







ΚΡΑΤΙΚΗ
ΒΕΡΡΟΙΑΣ


ΚΡΑΤΙΚΗ
ΒΕΡΡΟΙΑΣ

ΣΕΙΡΑ ΤΩΝ ΠΑΤΕΡΩΝ
ΕΙΣ ΤΟΝ
ΜΑΚΑΡΙΟΝ ΙΩΒ,
ΣΥΛΛΕΧΘΕΙΣΑ ΠΑΡΑ
ΝΙΚΗΤΑ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΗΡΑΚΛΕΙΑΣ,
Νεωςὶ μετατυπωθεῖσα σπουδῇ καὶ δαπάνῃ τοῦ ἐξ Ἀθηνῶν
ΙΩΑΝΝΟΥ ΜΑΡΜΑΡΟΤΟΥΡΗ,
Καὶ μετ' ἀκριβοῦς ἐπιμελείας διορθωθεῖσα,
ΠΑΡΑ ΓΕΩΡΓΙΟΥ ΧΡΥΣΟΦΟΥ
ΤΟΥ ἘΞ ΕΥΡΙΠΟΥ.
Προσφωνηθεῖσα δὲ τῷ Ὑψηλοτάτῳ Ἐκλαμπροτάτῳ τε καὶ Μεγαλοπρεπεςάτῳ Αὐθέντῃ καὶ Ἡγεμόνι Πάσης Οὐγγροβλαχίας,
ΚΥΡΙΩ, ΚΥΡΙΩ,
ΙΩ ΜΙΧΑΗΛ ΣΟΥΤΖΩ,



αψϥβ'. ἘΝΕΤΙΗΣΙΝ 1792.

Παρὰ Δημητρίῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων.
CON LICENZA DE' SUPERIORI.

Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς,
Καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι.

Σοφία Σολομ. Κεφ. 3. 6. 7.

Ὀνόματα τῶν Πατέρων, ἐξ ὧν αὕτη ἡ Σειρὰ Συνετέθη.


ἈΠΟΛΙΝΑΡΙΟΣ,
ἈΘΑΝΑΣΙΟΣ,
ΒΑΣΙΛΕΙΟΣ,
ΧΡΥΣΟΣΤΟΜΟΣ,
ΚΛΗΜΗΣ ἈΛΕΞΑΝΔΡΕΙΑΣ,
ΚΥΡΙΛΛΟΣ ἈΛΕΞΑΝΔΡΕΙΑΣ,
ΔΙΔΥΜΟΣ,
ΔΙΟΝΥΣΙΟΣ ἈΛΕΞΑΝΔΡΕΙΑΣ,
ἘΦΡΑΙΜ ΣΥΡΟΣ,
ΕΥΑΓΡΙΟΣ,
ΕΥΣΕΒΙΟΣ,
ΓΡΗΓΟΡΙΟΣ ΝΑΖΙΑΝΖΗΝΟΣ,
ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ,
ἸΣΙΔΩΡΟΣ,
ἸΟΥΛΙΑΝΟΣ ἉΛΙΚΑΡΝΑΣΑΙΟΣ,
ΜΕΘΟΔΙΟΣ,
ΝΕΙΛΟΣ,
ὈΛΥΜΠΙΟΔΩΡΟΣ,
ὨΡΙΓΕΝΗΣ,
ΠΟΛΥΧΡΟΝΙΟΣ,
ΣΕΒΗΡΟΣ,
ΘΕΟΦΙΛΟΣ ἈΛΕΞΑΝΔΡΕΙΑΣ.




ΤΩ͂ ΕΥ̓ΣΕΒΕΣΤΑΤΩ, ΥΨΗΛΟΤΑΤΩ ΤΕ ΚΑῚ ΓΑΛΗΝΟΤΑΤΩ, ΑΥ̓ΘΕΝΤΗ, ΚΥΡΙΩ, ΚΥΡΙΩ,

ΜΙΧΑΗΛ ΣΟΥΤΖΩ, ΒΟΕΒΟΔΑ,

Τῷ Μεγαλοπρεπεστάτῳ Ἡγεμόνι πάσης Οὐγκροβλαχίας.





Οὐκ ὀλίγα μοι, Ω̃ ΥΨΗΛΟΤΑΤΕ ΗΓΕΜΩΝ, οὐδὲ σμικρὰ τὰ προτρέψαντα ἐγένοντο αἴτια ἐπὶ τὸ προσφωνῆσαί ΣΟΥ ΤΗ͂ ΥΨΗΛΟΤΗΤΙ τὴν ἀνὰ χεῖρας τήνδε ΤΟΥ͂ ΘΕΟΦΙΛΟΥ͂Σ ΤΕ ΚΑῚ ΤΛΗΜΟΝΟΣ ΙΩΒ ΕΚΕΙΝΟΥ Βίβλον· ἣ σπουδῇ τε, καὶ πόνοις ἀρτίως ἐκδέδοται ὑπ᾽ ἐμοῦ ἐμοῖς· ὧν αἰτίων τί πρῶτον, τί δ᾽ ἔπειτα, τί δ᾽ ὕστατον καταλέξαι, ἡ ἐμὴ διάνοια στραφεῖσα πολ-

λάς

λάς τε, καὶ μεγάλας στροφὰς, ταύτῃ ἀπόρως ἔχει. Τοσαῦτα ἄρα πλήθει τε, καὶ μεγέθει ἐστὶν, οἷς φύσις συνελθοῦσα τύχῃ, καὶ ἑτέρα θατέρᾳ συνῳδὸς, ὡς ὤφελε, γενομένη, ἡ μὲν ἐκόσμησέ ΣΟΥ ὑπερφυῶς τὴν ψυχὴν ἡ δὲ περιέβαλέ ΣΟΙ ἐν ἀφθονίᾳ μυρίᾳ τὰ ἔξωθεν ἀγαθά. ἀλλ' ὥσπερ ταῦτα οὐδεὶ γνῶναί τε, καὶ εἰπεῖν δεινῷ ἤτοι τῶν ἀμηχανῶν ταύτῃ, ἢ πάνυ ἐργῶδες διελθεῖν ἐμμελῶς ἂν εἴη, πάντων δὲ δήπου ἥκιστα τῷ μετρίως γεγευμένῳ παιδείας ἄγαν, ὥσπερ ἐμοὶ, οὕτως ἐκ τοῦ ἴσου σιγῇ παραπέμψαι ταῦτα ὁμοῦ ἀγνώμονος ἂν εἴη, καὶ ἀνεπιεικοῦς τὸ ἔργον ἀνδρός. Εὐφημουμένη γὰρ ἀρετὴ ζῆλον τῆς αἰνοῦσιν ἐμποιεῖ τὰ πολλὰ καὶ ἄλλοις, σιωπωμένη δὲ καταφρόνησιν, καὶ ὀλιγωρίαν ὅσην.

Τῶν μὲν δὴ ἔξωθεν ἀγαθῶν, ΠΕΡΙΦΑΝΕΣΤΑΤΕ ΗΓΕΜΩΝ, τὸ πρῶτον, καὶ τῶν λοιπῶν προέχον, ἀφ' οὗ ἄρχεσθαι τοῖς ἄλλοις τῶν ἐγκωμίων ἔθος, λαμπρότητα, φημι, καὶ ἐπιφάνειαν ΤΩΝ ΣΩΝ ΠΡΟΓΟΝΩΝ ὑμνεῖν, ὑφ' ὧν ἐκοσμήθης διαφανῶς ΑΥΤΟΣ, προγεγενημένων τοιῶνδε, οἵους περ δὴ παρέλαβεν ὁ καθ' ἡμᾶς αἰὼν, καὶ οὓς ΑΥΤΟΣ, τοιόσδε εὐκλεῶς ἐπιγενόμενος, εὐδαίμονας, καὶ ὀλβίους τὸ ΣΟΝ μέρος τυγχάνεις ἀποφηνάμενος, ἐκ περιττοῦ ἂν εἴη, καὶ ἄκαιρον παραλαμβανόμενον, ὅταν μηδεὶς ὁ ἀντιτείνων πρὸς ταῦτα ᾖ.

Τὰ δὲ ἔσω, καὶ ΤΗΣ ΣΗΣ ΨΥΧΗΣ ἀγαθὰ, οἷς ἡ ἀληθὴς εὐδαιμονία μετρεῖται ὁριζομένη ὑπὸ τῶν σοφῶν δὴ πάντων καὶ πᾶσα, καὶ οἷς ΑΥΤΟΝ ΣΕ ὁρῶμεν σὺν θαύματι νοῦ εὖ μάλα τε, καὶ ἀφθόνως κεχορηγημένον ὑπό τε παιδείας, ὑπό τε φύσεως, καὶ ἃ δὴ βασκανία οὐχ ἡδέως ἀκούει, πῶς ἂν παρελθών τις σιγῇ οὐκ ἂν κακοηθείας δίκην ἐν δίκῃ ὀφλισκάνων διατελοῖ;

Καὶ γὰρ, ἵνα ἀπὸ τῆς ὑπάτης τῶν ἀρετῶν ἐνάρξωμαι, τίς τῶν περὶ ΣΕ, καὶ τῶν ὑπηκόων ἐν ἀγνοίᾳ ποτὲ ἐγένετο, ὁπόσον τοῖς θεοσεβεστάτοις, καὶ τοῦ θείου πώποτε ἐπιμελεστάτοις ἐνάμιλλος ΣΥ διετέλεσας; πόσῳ τε τοὺς πλείστους τῶν τὰ κράτη διεπόντων αὐτόθι, ὅσοι τε πρότερον, ὅσοι τε καθ' ἡμᾶς, σεβασμῷ τε, καὶ θεραπείᾳ τοῦ κρείττονος ὑπερέβαλες;

Ἐκ δὲ ταύτης ὑπαρχούσης ἀκραιφνοῦς, καὶ ἀπλάστου πᾶσα ἡ τῶν λοιπῶν ἀρετῶν, ὡς ἐκ ῥίζης στερεᾶς, καὶ μονίμου, βλαστάνει δήπου, καὶ ἀποφύεται, καὶ ἐπὶ μέγα ὕψος χωρεῖ σφόδρα τε, καὶ

συναρμολογία. Οὐ γάρ τις θαυμάζων τε, ϗ τιμῶν, ὡς τό γε εἰκὸς, δὴ πέφυκε, τούτῳ καὶ συνεξομοιοῦσθαι ἐκ πολλοῦ τοῦ περιόντος τε, καὶ τοῦ βίου διὰ παντὸς πᾶσαν καταβάλλει τὴν ἑαυτοῦ σπουδήν.

Ταῦτ᾽ ἄρα οἱ μὲν τοῦ ἡγεμονικοῦ ἐπιλαβόμενοι θρόνου πρὸ ΣΟΥ τε, ϗ ἔπειτα, πλοῦτον θημῶσι τε, ϗ θησαυρῶν ἐγκαλωπίζεσθαι πλήθει περὶ πολλοῦ ἐποιήσαντο μάλιστα.

ΣΥ δὲ, Ω῏ ΗΓΕΜΩ῾Ν, τὴν ἐναντίαν τούτοις τεμὼν ἐπὶ τῆς σῆς ἡγεμονίας ἀεὶ προείλου τε, ϗ ἐπιστροφὴν ἐποιήσω πᾶσαν· Δικαιοσύνῃ γὰρ ἀγάλλῃ κοσμούμενος παρὰ τοὺς πολλούς· ἧς οὐδὲν ἄλλο παρὰ πάντα τὸν ΣΑΥΤΟΥ῀ τῆς ἡγεμονίας χρόνον, τόν τε πρότου, ϗ τὸν ἤδη νῦν ἐπίπροσθεν φαίνῃ πεποιηκὼς δὴ πάντῃ. Ταύτης δὲ τί ἂν θεοφιλέστερον, ἢ βασιλικώτερον γένοιτ᾽ ἂν χρῆμα ποτέ;

Ταῖς τῶν ἀνθρωπίνων σκοπουμένοις, Ω῏ ΗΓΕΜΩ῾Ν, μεταβολαῖς πραγμάτων, ἡ ΤΗ῀Σ ΣΗ῀Σ Υ῾ΨΗΛΟ῾ΤΗΤΟΣ ἐπὶ τοῦ Ἡγεμονικοῦ ἀποκατάστασις θρόνου θεία ς τε, καὶ ὑπερφυοῦς προνοίας ἔργον ἀριδήλως καταφαίνεται ὄν· ϗ ἀεὶ ὡς ἀληθῶς ὁ Θεὸς μετὰ σάλον, ϗ κλύδωνα πραγμάτων ὅσον, ϗ πάλαι ϗ καθ᾽ ἡμᾶς, αἰθρίαν λαμπροτάτην χορηγεῖσθαι τοῖς κάτω οἴκτῳ ὡς πλείστῳ ἐπιδοκεῖ, καὶ τὸν ἄξιον αὐτοῖς ἐφιστησι κυβερνήτην, ὅπως τοὺς ναυαγήσαντας πρότου ἐν δεινοῖς, εἴτε ἀπειρίᾳ κυβερνητῶν τῶν προτέρων, εἴτε καὶ ἄλλων αἰτίων συμπλοκῇ ἀπορρήτων, ὡς καὶ τοῖς ἀπὸ τοῖς Στοᾶς ἀρέσκει, τούτους ΑΥ῾ΤΟ῾Σ ἀπὸ τοῦ ναυαγίου, ϗ τῆς τῶν κακῶν ἀχλύος ἀναλάβῃ τε, ϗ παραμυθήσῃ, ϗ φαιδροὺς, ϗ εὐδαίμονας ἰδεῖν τε, ϗ εἶναι ἀποδείξῃ τοῖς ἄλλοις.

Τοιοῦτος Περικλῆς Ἀθηναίοις μετὰ τὰ Μηδικὰ ἐγένετο πάλαι. τοιαύτη τῶν Ἀντωνίνων Ῥωμαίοις ἡ Φιλόσοφος δυὰς ἐκείνη. Τοιοῦτος, Υ῾ΨΗΛΟ῾ΤΑΤΕ ΗΓΕΜΩ῾Ν, ΑΥ῾ΤΟ῾Σ τε, καὶ ἐπὶ τοῖς αὐτοῖς καθ᾽ ἡμᾶς ἄνωθεν ὑπὸ τοῦ Θεοῦ τοῖς ὑπηκόοις σου ἐδωρήθης. ὃς οὐ μόνον πολιτικῶν ἐμπειρίᾳ τε, ϗ διαχειρίσει πραγμάτων τὰ ἴσα ἐκείνοις φέρεσθαι ἐπάξιος ἐν τοῖς μάλιστα εἶ, ἀλλὰ δὴ ϗ παιδείαν πᾶσαν ἐν τῷ τιμᾶν καὶ ξενίζειν κατὰ ταυτὰ ἐκείνοις ἐφάμιλλον ΣΕΑΥΤΟ῾Ν κατέστησας.

Πῶς δὲ οὐκ ἔμελλες, ὁπότε παρὰ τὰς λοιπὰς τῶν ἀρετῶν ἀγλαΐας καὶ παιδείας ἐπηβολώτατον, καὶ τῶν Μουσῶν γεγονέναι ἐκ νέας ΣΕ τρόφιμον παρειλήφαμεν;

Τοιαῦτα δὴ, καὶ τηλικαῦτα τὰ ὀλίγα ἐκ τῶν πολλῶν (ἐπεξιέναι γὰρ καθ᾽ ἕκαστον ἅπαντα θεσπέρας Μόσης ἂν εἴη ἔργον) ὑπάρχοντα τὰ δαιμονίως κοσμοῦντα ΣΟΥ τὴν ψυχὴν, Ω᾿ ΑΥ᾿ΘΕ᾿ΝΤΑ, πῶς οὐκ ἔμελλον προτρέψαι μου τὴν ψυχὴν τὸ τοῦ Ι᾿Ω᾿Β γράμμα τοῦτο ΣΟ᾿Ι τῶν ἁπάντων μόνῳ νῦν προσφωνῆσαί τε, καὶ ἀναθεῖναι, καὶ προσαγαγεῖν ἀδλαβῶς; οὗ γάρ τις τῶν ἀρετῶν τὸ πλῆθος διὰ θαύματος ἄγει πλεῖστου, τούτῳ καὶ τὰς τῶν πόνων ἑαυτοῦ ἀπαρχὰς προφρόνως τε, καὶ ἀγαπητῶς προσκομίζειν δήπου φιλεῖ. καὶ τούτῳ ἄρα πέφυκεν ἀρετὴ σεμνύνεσθαι, καὶ κομᾶν κατὰ τῆς ἐναντίας αὐτῇ, καὶ πλεονεκτεῖν ἐκείνης ἐνδίκῃ· ὅτι αὐτὴ μὲν καὶ πόῤῥωθεν προσάγεται τοὺς ἀκούοντας, καὶ οἰκειοῦται, καὶ εὔνους παρασκευάζεται ἑαυτῇ ὅτι μάλιστα, ἅτε πλεῖστον ἀγαμένους τοῦ κάλλους αὐτῆς, ὅσοι μὴ σκληροὶ, καὶ ἄτεγκτοι, καὶ ἀτεράμονες ἐγένοντο πεφυκότες περὶ αὐτήν. ἡ δὲ ἡ ἑτέρα, καὶ δύσνους αὐτῇ καὶ τοὺς ἐγγὺς, καὶ οἰκείους πρότερον γεγονότας αὐτῇ ἀποτρέπει ἑαυτῆς διὰ χρόνου οὐ πολλοῦ δήπου, καὶ ἀλλοτρίους πάμπαν ἀποκαθίστησιν.

Υ῾πέρευ, τοιγὰρ, διὰ ταῦτα, καὶ δαιμονίως τε, καὶ ἀξίως ἑαυτοῦ καὶ Πλάτων ἐκεῖνος ὁ θεῖος φαίνεται φρονήσεως πέρι τῆς τῶν λοιπῶν ἀρετῶν τὴν προεδρίαν λαχούσης, τοπάλαι ἀποφηνάμενος· Ω῾ς, εἰ φρόνησις ὀφθαλμοῖς ἑωρᾶτο, μυρίους ἂν ἔρωτας τοῖς ἀνθρώποις παρεῖχε.

Καὶ ταῦτα μὲν δὴ ταύτῃ· ἑξῆς δ᾽ ἂν εἴη, καὶ περὶ τῆς Βίβλου, ἣν προσφέρω ΣΟΙ, Ω᾿ ΑΥ᾿ΘΕ᾿ΝΤΑ, ὁποία ἐστι, καὶ τίς ὁ συγγραψάμενος διὰ βραχέων εἰπεῖν.

Αὕτη δὴ τὸ Ι᾿Ω᾿Β ἐπιφέρει ὄνομα, καὶ μία τις τῶν παρειλημμένων ἔκπαλαι γραφικῶν εἰς ἀνάγνωσιν Βίβλων ὑπὸ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Ἐκκλησίας τυγχάνει οὖσα.

Συνεγράφη δ᾽ οὐχ ὑπὸ τοῦ τυχόντος ἀνδρὸς, ὡς ἄν τις ὑπολάβοι δι᾽ ἄγνοιαν, ἤ τι ἄλλο κενοφροσύνης περὶ τὰ τοιαῦτα πάθος, ἀλλ᾽ ὑπὸ Θείου τῶν τοῦ Θεοῦ ἀποῤῥήτων μυστηρίων μυσταγωγοῦ· Μωσῆς δὲ οὗτος ἐστὶν ἐκεῖνος ὁ Θεῷ τῷ Υ῾ψίστῳ ἐν γραφαῖς δοῦλος ἀγαπητὸς, καὶ φίλος. Οὗ τί ἂν μηκύνων Ι῾στοροίην ἐν τῷ παρόντι τὰς ἀρετὰς, καὶ τῆς σοφίας αὐτοῦ τὸ ὑπερέχον, καὶ ἔξοχον τῶν λοιπῶν ἀνθρώπων;

Οὗτος δὴ παραστῆσαι βουληθεὶς τοῖς ὁμοεθνέσι δικαίου τε, καὶ θεοφιλοῦς ἀνδρὸς βίον, πρὸς ὃν εὐθύνειν τε; καὶ κανονίζειν τὸν

ἑαυτῶν ἔπειτα οἷοί τε γένωνται, ΙΏΒ ἀπεδέξατο τὸν μακάριον. ὅς πλούτῳ τε, καὶ ἄλλῃ τοῦ βίου εὐδαιμονίᾳ περιῤῥεόμενος συχνῇ ἄγαν, οὐ μέγα ἐφρόνησεν, οὐκ ἐπήρθη ποτὲ τὴν ψυχὴν, οὐχ ὑπερόπτης τῶν ἄλλων ἐγένετο, οἷα ἐν τοιᾶδε τοῦ βίου μακαριότητι τοῖς πλείστοις τῶν ἄλλων, καὶ τὰ πολλὰ συμβαίνειν φιλεῖ. ἀλλ' ἐγένετο ὡς ἀληθῶς, οἷον ὁ ἀπὸ τῆς σκηνῆς Φιλόσοφος ἔπειτα πεποίηκε τὸν αὐτοῦ Καπανέα γενέσθαι. Λέγων,

„ Καπανεὺς ὅδ' ἐστίν· ᾧ βίος μὲν ἦν πολὺς
„ Ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν· φρόνημα δὲ
„ Οὐδέν τι μᾶζον εἶχεν, ἢ πένης ἀνήρ.

Ὡς δὲ ἐγένετο τὰ δεινὰ εἰς πεῖραν αὐτοῦ αὐτῷ, (ὅσα τε, καὶ οἷα ὑπερφυᾶ·) καὶ ἀτεχνῶς ἀβίωτος ὁ βίος αὐτοῦ, μή τι ἥσσων ἐγένετο δυσθυμίας παντῇ; μὴ στόμα βλάσφημον κατὰ τοῦ ὑψίστου ποτὲ διῆρε; μὴ εὐλογιῶν ἐπαύσατο τοῦ κρείττονος τῶν συνήθων; ἐνὶ οὐδὲ ἐν πάμπαν τούτων. Ἐκείνου γάρ ἐστιν, Ὦ ΑΥΘΈΝΤΑ, τὰ περιφερόμενα ῥήματα, τῶν δεινῶν ἐνσκηψάντων γε τάδε. „ Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου,
„ τὰ κακὰ οὐχ ὑποίσομεν; ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφεί-
„ λετο. ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο. καὶ „ εἴη τὸ ὄνο-
„ μα Κυρίου Εὐλογημένον. Ὢν τί ὁσιώτερον; τί ἀνδρειότερον; τί μεγαλοῤῥημονέστερον, ἢ φιλοσοφώτερον γένοιτο ἄρα λεχθῆναι ποτέ;

Τοιαύτην οὖν, καὶ τηλικαύτην τὴν τοῦ ΙΏΒ Βίβλον οὖσαν, μεθ' ὑπομνημάτων τε ἀρχαίων, καὶ οὐκ εὐκαταφρονήτων ὑπ' ἐμοῦ ἐκδοθεῖσαν, τῇ τε Σῌ͂ ΓΑΛΗΝΟΤΗΤΙ εὐλαβῶς ὅτι μάλιστα ἤδη προσφερομένην ἀποδέξασθαι εὐμενῶς, εὐνοϊκῶς, φιλίως, δέομαί ΣΟΥ, εὐμενέστατέ μου ΑΥΘΈΝΤΑ, καὶ ἱκετεύω, καὶ ἀντιβολῶ ἄγαν, σφόδρα.

Ἐν Ἐνετίαις Αὐγούστου ιέ. ͵αψϥβ'.

Ὑποκλινέστατος, καὶ Ἐλάχιστος
Δοῦλος
Ἰωάννης Μαρμαρωτούρης Ἀθηναῖος.



ΠΡΟΟΙΜΙΟΝ ΝΙΚΗΤΑ.



ΥΠΟΘΕΣΙΣ μὲν ἡμῖν καὶ σκοπὸς τοῦ λόγου, ἡ τῆς Βίβλου τοῦ πολυάθλου Ἰὼβ ἀνάπτυξις· οὗ καὶ μόνον μεμνῆσθαι μέλλοντας, ἀποπλύναι δεῖ τὸ στόμα, καὶ οὕτως αὐτοῦ μνησθῆναι· καθαροῦ γὰρ ἀνέγγνοις ἅπτεσθαι χείλεσι, μὴ οὐχὶ θεμιτὸν εἴη. δεῖ δὲ ἄρα πρὸ τῆς εἰσόδου, τὰ πρόπυλα κατανοῆσαι, καί τινα ζητήσεως ἄξια εἰς ἀριθμὸν θέντας, ἐπὶ κεφαλαίων διεξελθεῖν. ζητήσειε γὰρ ἂν ὁ φιλομαθής, τίς, καὶ πόθεν, καὶ πότε ὁ δίκαιος Ἰὼβ οὗτος γέγονε, καὶ τίς ὁ τοῦ Βιβλίου τοῦδε πατήρ, καὶ πρὸς τίνα ἡμῖν τὸ σύγγραμμα χρήσιμον, ἵνα τὸ ἐντεῦθεν ὄφελος γνόντες, ἀσμένως καὶ μετὰ προθυμίας ἀναγινώσκωμεν.

ΧΡΥΣΟΣΤΟΜΟΥ.

Γέγονε τοίνυν ἐξ Ἀραβίας ὁ μακάριος, πέμπτος ἀπὸ Ἀβραάμ, διὰ Ἡσαῦ τοῦ διαβεβλημένου γενεαλογούμενος· τέτοκε γὰρ ὁ Πατριάρχης τὸν Ἰσαάκ, ὁ δὲ τὸν Ἡσαῦ, κἀκεῖνος τὸν Ραγουήλ, καὶ αὐτὸς τὸν Ζαρά, ἐξ οὗ ὁ Ἰώβ. ὅτι δὲ οὐ μετὰ τὸν νόμον ὁ δίκαιος οὗτος ἐγένετο, ὥς τισιν ἔδοξε διὰ τὴν ἔννομον αὐτοῦ πολιτείαν, ἀλλὰ πρὸ τοῦ νόμου γενόμενος, φύσει τὰ τοῦ νόμου ἐποίει, τῇ ἀδιδάκτῳ γνώμῃ χρώμενος, δῆλον μὲν καὶ ἀπὸ τῆς γενεαλογίας, δῆλον δὲ καὶ ἀπὸ τοῦ μακροβιώτατον τοῦτον γεγονέναι, καὶ ὑπὲρ τὰ διακόσια ἔτη βεβιωκέναι· οὐδεὶς γὰρ τῶν μετὰ τὸν νόμον, τοσαῦτα ζήσας ἱστόρηται.

ΠΟΛΥΧΡΟΝΙΟΥ.

Εἰς τὴν ὑπόθεσιν τȣ̃ Ἰὼβ διαφόρως ἠνέχθησαν οἱ ὑπομνηματισαί· οἱ μὲν γὰρ πρὸ νόμȣ τὸν ἄνδρα φήσαντες ἐκ τῆς ἐν τῷ τέλει τῆς βίβλου γενεαλογίας, λεγȣ́σης πέμπτον εἶναι αὐτὸν ἀπὸ Ἀβραάμ· οἱ δὲ μετὰ νόμον ἐκ τῆς ἐννόμȣ πολιτείας αὐτȣ̃, ἣν ȣ̓χ ὡς Ἰσραηλίτης, ἀλλ᾽ ὡς Ἰσραηλίταις ὅμορος, ἐκ παρακȣσμάτων ἐπαιδεύετο. παραγράφονται γὰρ τὴν ἐν τῷ τέλει γενεαλογίαν, ὡς μὴ ἐμφερομένην ἐν τῷ Ἑβραϊκῷ, τȣ̃ δὲ τέλȣς ὄντος ἄχρι, τȣ̃, καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν· ἀλλ᾽ ἀπάτης, φασὶ, γενομένης ἀπὸ τῆς ὁμωνυμίας τῆς ἐν γενέσει φερομένης εἰς τὴν κατὰ τὸν Ἠσαῦ γενεαλογίαν, ἔνθα μέμνηται Ἰωβὰβ, τὸ τοιȣ̃τον τινὲς ἐσχολιογράφησαν· καὶ λοιπὸν ἕτεροι τῷ χρόνῳ ὡς ὑφὴν τȣ̃ παντὸς βιβλίȣ εἰργάσαντο τὰ παραγεγραμμένα. πλὴν εἴτε πρὸ νόμȣ ὁ Ἰὼβ, εἴτε μετὰ νόμον, ἡ γραφὴ, φασὶν, ȣ̓δαμῶς ἐσαφήνισεν· τȣ̀ς γὰρ χρόνȣς ἐπ᾽ ἐκείνων τάττειν εἴωθεν, ἐφ᾽ ὧν ἐσὶν ἢ τῆς προῤῥήσεως τὴν ἀλήθειαν ἐκπλαγῆναι ὡς ἐπὶ τῶν Εὐαγγελίων καὶ τῶν προφητικῶν· ἢ πάλιν ἐφ᾽ ὧν πραγμάτων ποιεῖται διήγησιν, τῆς χρείας κατεπειγȣ́σης τὴν ἐπισημασίαν τῶν χρόνων, ὡς ἐπὶ τῶν Βασιλειῶν· ἐφ᾽ ὧν δὲ παραίνεσίς ἐστι μόνη, ὡς ἐπὶ τῶν παροιμιῶν καὶ τȣ̃ ἐκκλησιασȣ̃· ἢ πάλιν διδασκαλία, καὶ ἀγῶνες δογμάτων, ὡς ἐπὶ τῶν ἀποσολικῶν, ἐν τȣ́τοις περιττὸς ὁ χρόνος ἐνομίσθη. ȣ̔́τω δὴ κἀνταῦθα, ἐπειδὴ μόνον πρȣ̀κειτο δεῖξαι τȣ̀ς ἀγῶνας τȣ̃ ἀνδρὸς εἰς προτροπὴν ἀρετῆς, παρέλιπε τὸν χρόνον ὁ συγγραφεὺς, ὡς ȣ̓ μέγα τι περὶ τὴν ὑπόθεσιν ἐγνωκὼς συμβάλλεσθαι τȣ̃το. ἔφασαν δὲ, ὅτι καὶ οἱ φίλοι τȣ̃ Ἰὼβ ἐοίκασι συγγεγραφέναι τὸ βιβλίον, ἢ ἐν τῷ παρεῖναι μνημονεύσαντες, ἢ καὶ κατὰ θείαν χάριν ἐλλαμφθέντες· καὶ μάλιστα τȣ̃το εὐξαμένȣ τȣ̃ Ἰὼβ· ἔφη γὰρ, τίς ἂν δῴη γραφῆναι τὰ ῥήματά μȣ, τεθῆναι δὲ αὐτὰ ἐν Βιβλίῳ εἰς τὸν αἰῶνα; εἰσὶ δὲ οἳ ζητȣ̃σιν, εἰ τȣ̃ Ἰσραηλιτικȣ̃ γένȣς ἦν ὁ Ἰὼβ; καὶ εἰ τȣ̃το, πῶς ἂν αὐτὸν εὐγενῆ τῶν ἀφ᾽ Ἡλίȣ ἀνατολῶν, μετ᾽ ἐμφάσεώς φησιν, ἐπείπερ ȣ̓κ ᾔδει ἐν ταῖς δώδεκα φυλαῖς διαφορὰν γένȣς, ὡς ἕνα πατέρα τὸν Ἀβραὰμ ἐπιγραφομένων; πῶς δὲ καὶ τὰς θυσίας, ὅπερ ἦν μόνον τῶν Λευιτῶν, δι᾽ αὐτȣ̃ προσέφερε; καὶ ταῦτα μὲν οἱ μετὰ νόμον αὐτὸν θέλοντες εἶναι, καὶ ἐθνικόν. ἐπισήσῃ δὲ, ȣ̓ μόνον ἐκ τῆς ἐν τῷ τέλει γενεαλογίας, ἣν δὴ καὶ δεχόμεθα, οἷα τοῖς πατράσιν ἐγκεκριμένην τῇ Βίβλῳ, πρὸ νόμȣ γεγενῆσθαι τὸν δίκαιον, ἀλλ᾽ ὅτι καὶ τοσȣ̃τον ἐβίȣ χρόνον μηδενὸς μετὰ νόμον

ἱστορηθέντος τοσοῦτον διεζηκέναι χρόνον. εἰκὸς οὖν ὅτι καὶ Μωσῆς συνεγράψατο τὸ Βιβλίον εἰς παραίνεσιν τοῦ Ἰσραὴλ, ὡς καὶ ἀπὸ τοῦ χαρακτῆρός ἐστιν ἐπιβαλεῖν. ἑτέροις δὲ τῶν παλαιῶν ἔδοξε Σαλομῶντος εἶναι τὴν συγγραφὴν, ὡς καὶ ὁ Ναζιανζοῦ λέγει γρηγόριος, ἐν τῷ εἰς τὸν ἐξισωτὴν λόγῳ· ἔνεστι δὲ μαθεῖν ὡς ἐκ τοῦ γένους Ἠσὰφ, τοῦ Ἀδελφοῦ Ἰακὼβ, ἐστὶν ὁ Ἰὼβ, οὐ μόνον ἐκ τῶν γεγραμμένων εἰς τὴν γένεσιν, ἀλλὰ καὶ ἐκ τῶν φίλων αὐτοῦ, καὶ τῆς αὐτῶν χώρας. δείκνυσι γοῦν τοὺς χρόνους τοῦ Ἰὼβ καὶ ὁ φίλος Ἐλιοὺς, ὃς ἦν ἐκ τοῦ Ἰσραηλιτικοῦ γένους· γενεαλογεῖ δὲ αὐτὸν ὁ συγγραφεὺς, ὡς καὶ ἐν ταῖς παραλειπομέναις ἐστὶν εὑρεῖν· τοῦ γὰρ Ἰούδα, φησὶ, Φαρὲς, οὗ Ἐσρὼμ, οὗ Ἰερεμεὴλ καὶ Ἀρὰμ, ἀφ᾽ οὗ λέγει τὸν Ἐλιοῦν. Πολλὴν δὲ παράκλησιν εἰς ὑπόμνησιν ἀρετῆς φέρει ἡ Βίβλος, τοιοῦτον ἀθλητὴν εἰς μέσον παραγαγοῦσα, τούς τε ἀγῶνας διεξιοῦσα, καὶ ὡς μεγάλα τὰ κέρδη φέρουσιν οἱ κατ᾽ ἀρετὴν πόνοι· οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ Χριστοῦ μυστήριον ἅπαν ἐν αὐτῇ κατέσπαρται. γέγονε δὲ τῷ Ἰὼβ τὸ πάθος τετραχῶς, περὶ ὑπάρχοντα, περὶ τέκνα, περὶ δόξαν, περὶ σῶμα. τοῦ δε Θεοῦ μεμαρτυρηκότος αὐτῷ τὴν ἄκραν εὐσέβειαν, καὶ πρὸς τοὺς φίλους ὕστερον ἐπαπειλησαμένου, καὶ φήσαντος, ὡς εἰ μὴ δι᾽ αὐτὸν, ἀπώλεσα ἂν ὑμᾶς· χρὴ πᾶσι τρόποις ἀνασκοπεῖν τὰ δοκοῦντα αὐτῷ τραχέα τῶν ῥημάτων, ὁποῖον ἔχει σκοπὸν, καὶ μὴ προσπταίειν ταῖς λέξεσιν. Ὥσπερ γὰρ οἱ τὰς εἰκόνας ποιοῦντες, εἰ μὴ σωματοποιήσωσιν, οὐ δύνανται παραστῆσαι τὰ πράγματα· θέλοντες γοῦν εἰρηνικὸν καὶ τροπαιοῦχον ἐπιδεῖξαι βασιλέα, νίκην καὶ εἰρήνην τυπώσαντες περιϊστῶσιν αὐτῷ· οὕτως ὁ συγγραφεὺς τοῦ δε τοῦ Βιβλίου, θελήσας παραστῆσαι τὴν ὑφὴν τῶν πειρασμῶν τοῦ Ἰὼβ, τὰ κατὰ τὸν διάβολον, καὶ τοὺς πρὸς Θεὸν διαλόγους ἐνετυπώσατο. καὶ ὥσπερ παρὰ τοῖς ἔξω, ποιητικὰ, ἢ τραγικά· οὕτω παρὰ τῇ Θείᾳ Γραφῇ, στιχηρὰ βιβλία ὑπό τι μέτρον Ἑβραϊκὸν ἐλέχθη, ὧν ἓν καὶ τοῦτο τυγχάνει. ἔστι τοίνυν ἡ παροῦσα βίβλος ὠφελιμωτάτη· καὶ γὰρ καθάπερ λειμὼν παντοίων ἀνθέων ὑπάρχων ἀνελλιπὴς, παντὶ τῷ δρέπεσθαι βουλομένῳ παρέχει τὸ ποθούμενον· οὕτω καὶ ἐνταῦθα πᾶσαν ἐπιθυμίαν εὕροι τις καὶ θεραπείαν, κἄν τε Βασιλεὺς, κἄν τε Ἱερεὺς, κἄν τε Ἄρχων, κἄν τε ἰδιώτης, κἂν πλούσιος, ἢ πτωχὸς, περιστάσεσι μυρίαις τυπτόμενος, ἢ ὑπὸ τοῦ διαβόλου πληττόμενος. δεῖ οὖν ἐπιστημόνως τῇ βίβλῳ τῇ δε προσέχειν, ἵνα μή τις κἂν βραχὺ παραδραμὼν, μεγίστην ὑπομείνῃ ζημίαν.

ΙΟΥΛΙΑΝΝΟΥ Α'ΛΙ'Κ.

Σημαίνει ἡ Βίβλος τοῦ Μακαρίου Ἰὼβ, τὴν εἰς Ἰουδαίους τοῦ Θεοῦ κηδεμονίαν, μηνύει τὸν γράψαντα· καὶ ἡ ἐκ τοῦ γράμματος ὠφέλεια, δείκνυσι τὴν εἰς πάντας πρόνοιαν. Ἱστορεῖ δὲ αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ· καὶ γὰρ Ἰσραὴλ ἐκ τοῦ Ἀβραὰμ, καὶ ὁ Ἡσαῦ ὁμοίως, ἀμφότεροι δὲ τοῦ Ἰσαάκ. Μωϋσῆς δὲ ἀναγράφει τὴν τούτου ἀρετὴν, ἄγων τὸν λαὸν εἰς θεοσέβειαν. Εἰ δέ τις ἀντιλέγων μὴ πείθοιτο Μωϋσέως εἶναι τὴν Γραφὴν, διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον Ἰὼβ καὶ Μωϋσέα γεγενῆσθαι, ἐντεῦθεν πείθειν αὐτὸν προσήκει, ὡς ὅτι καὶ τὸ τῆς Γενέσεως Βιβλίον αὐτὸς ἱστόρησεν, οὐχ ὡς παρὼν ἡνίκα ταῦτα ἐγένετο, τρισχιλίων γὰρ ἐτῶν τὰ πάντα συνέταξεν, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ χάριτος, τῆς αὐτὸν ἀναδειξάσης Προφήτην, τῶν τε παρῳχηκότων καὶ ἐπιόντων, καὶ ἱεροφάντην τῶν Θείων Μυστηρίων καὶ ἔργων τοῦ Θεοῦ. οὐδεὶς γὰρ ἕτερος ἠξιώθη τῶν πρὸ αὐτοῦ τὴν τοῦ Κόσμου κτίσιν γραφῇ παραδοῦναι· οἱ μὲν οὖν ἄλλοι Προφῆται τὰ μετ' αὐτοὺς προειρήκασι, καὶ τὰ μετ' αὐτοὺς ἐξήγγειλαν· πλὴν δὲ οὐ πολὺ ἀλλήλων λείπονται τοῖς χρόνοις Μωϋσῆς τε καὶ Ἰὼβ, ὁ μὲν ἕκτος ἐστὶν ἀπὸ Ἀβραάμ, ὁ δὲ πέμπτος, οἷον, Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ, Λευὶ, Καὰθ, Ἀβραάμ, Μωϋσῆς· Πάλιν Ἀβραάμ, Ἰσαάκ, Ἡσαῦ, Ραγουὴλ, Ζαρὰ, Ἰώβ. ἐὰν δέ τις εἴπῃ οὐ Μωϋσέως εἶναι τοῦ Ἰὼβ τὴν γραφὴν, ἀλλ' αὐτοῦ τοῦ Ἰὼβ, ἀκουέσθω παρ' ἡμῶν, ὡς οὐκ ἦν ὁ ἀνὴρ αὐτεπαίνετος· ὁ γὰρ ἀνεπιλήπτως ζῶν, οὐκ ἂν αὐταρεσκείας πάθος ὑπέστη. ἐγκωμιαζέτω σε γάρ φησιν, ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· Ὁ γὰρ ἑαυτὸν ἐπαγγέλλων οὐκ ἀνεπίληπτος, ὁ δὲ ὑφ' ἑτέρου διεγκωμιαζόμενος κατὰ ἀλήθειαν, ἑνικῶς εἰπεῖν, μακάριος· ἐπεί περ δικαίων ὁ ἐπαινέτης, οὐ κατὰ προσπάθειαν ἐπαινεῖ, ἀλλ' ἀψευδῶς τὰ προσόντα τῷ ἁγίῳ ἐξαγγέλλει. Ἀναγκαίως οὖν Μωϋσῆς τὴν τοῦ Ἰὼβ ἀρετὴν ἀναγράφει· παίδευσις γὰρ τοῦ Ἰσραὴλ ἐγένετο ἡ περὶ αὐτοῦ ἐξήγησις· ἐπειδὴ γὰρ μέγα ἐφρόνει ὁ λαὸς ἐπὶ τῇ τοῦ γένους ἀγχιστείᾳ, καὶ ἐπὶ τοῖς θαύμασι τοῖς εἰς τὴν αὐτῶν πρόνοιαν ἐκτελεσθεῖσι· Τά τε γὰρ στοιχεῖα, ὡς ἂν εἴπῃ τις, συνεμάχουν αὐτοῖς διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας . . . . .

ΧΡΥΣΟΣΤΟΜΟΥ.

Ὅτι δὲ παντὶ χρήσιμον τὸ Βιβλίον, ἐν ἰδέᾳ πάσῃ καὶ βίων καὶ περιστάσεων, ἀνδρὶ καὶ γυναικὶ, πρεσβυτέρῳ καὶ νέῳ, ἰδιώτῃ καὶ ἄρχοντι,

πλουσίῳ ϗ πένητι, τοῖς δεξιοῖς εὐθυμουμένῳ, ϗ τοῖς ἀριστεροῖς πιεζομένῳ, ἐγγύθεν ἐστὶν λαβεῖν τὴν ἀπόδειξιν. ὁ γάρ τοι θαυμαστὸς ϗ μέγας οὗτος ἀνὴρ, ὁ πανταχοῦ τῆς οἰκουμένης ἀοίδιμος, ὁ τῆς εὐσεβείας ἀθλητὴς ϗ στεφανίτης, ὁ διὰ πάντων τῶν ἄθλων ἐλθὼν, ὁ μυρία κατὰ τοῦ διαβόλου τρόπαια στήσας, οὗτος ἐγένετο πλούσιος καὶ πένης, ἔνδοξος τε, ϗ εὐκαταφρόνητος, πολύπαις τε ϗ ἄπαις, ἐν Βασιλικαῖς Αὐλαῖς καὶ ἐν κοπρίᾳ, ἐν λαμπρᾷ στολῇ, ϗ μετ᾽ ἐκείνην ἐν πηγῇ σκωλήκων, μυρίας ἀπήλαυσε θεραπείας, καὶ μετὰ ταῦτα μυρίας ὑπέμεινεν ὕβρεις, οἰκετῶν ἐπανισταμένων, φίλων ὀνειδιζόντων, γυναικὸς ἐπιβουλευούσης. πάντα αὐτῷ καθάπερ ἐκ πηγῶν ἐπέῤῥει, χρημάτων περιουσία, δυναστείας μέγεθος, δόξης περιφάνεια, εἰρήνης ἀσφάλεια, τιμὴ, ϗ θεραπεία, καὶ σώματος ὑγίεια, ϗ παίδων εὐκοσμία· Οὐδὲν ἦν λυπηρὸν, παρῆν αὐτῷ πλοῦτος μετὰ ἀσφαλείας, ϗ εὐημερία ἀδιάπτωτος· ϗ μάλα εἰκότως, ὁ γὰρ Θεὸς πανταχόθεν αὐτὸν ἐτείχισεν. ἀλλ᾽ ὕστερον πάντα ἐκεῖνα ἀπέπτη, ϗ μυρίοι χειμῶνες κατεσκήνουν εἰς τὴν οἰκίαν ἐκείνου, καὶ πάντες ἐπάλληλοι ϗ συνεχεῖς, ϗ μεθ᾽ ὑπερβολῆς ἅπαντες· τὰ γὰρ αὐτῷ ὄντα πάντα ἀθρόον ἡρπάζετο, οἵ τε παῖδες κατεχώννυντο ἀώρῳ ϗ βιαίῳ θανάτῳ ἐπὶ τῆς τραπέζης καὶ τοῦ συμποσίου κατασφαγέντες, οὐ μαχαίρᾳ, καὶ ξίφει, ἀλλὰ πνεύματι πονηρῷ τὴν οἰκίαν κατασείσαντι, ϗ γυνὴ μετὰ ταῦτα ὡπλίζετο, ϗ τὰ μηχανήματα προσῆγε τῷ δικαίῳ· ϗ φίλοι ϗ οἰκέται, οἱ μὲν ἐνέπτυον εἰς τὸ πρόσωπον, οἱ δὲ ἐπέβαινον ϗ ἐνήλλοντο· ϗ οἰκίας ἐξεβάλλετο πάσης, ϗ ἐνδιαίτημα αὐτῷ ἡ κοπρία ἦν, ϗ πηγαῖς σκωλήκων ἔβρυε πανταχόθεν, ϗ αἵματι ϗ ἰχῶρι κατεῤῥεῖτο ὁ ἀδάμας, ϗ λαβὼν ὄστρακον ἐξέχεε τοὺς ἰχῶρας, δήμιος αὐτὸς ἑαυτῷ γενόμενος. καὶ ὀδύναι ἐπάλληλοι ϗ ἀκαρτέρητοι, ϗ νὺξ ἡμέρας χαλεπωτέρα, ϗ ἡμέρα νυκτὸς φορτικωτέρα, ϗ πάντα κρημνοὶ ϗ σκόπελοι· ϗ ὁ μὲν παρακαλῶν, οὐδεὶς, οἱ δὲ ἐπεμβαίνοντες μυρίοι· ἀλλ᾽ ὅμως ἐν τοσούτῳ χειμῶνι, ϗ κύμασιν οὕτως ἀποῤῥήτοις, ἔστη γενναίως ϗ ἀπεριτρέπτως. τὸ δὲ αἴτιον, ὅτι τὴν τῶν πραγμάτων φύσιν καλῶς ἐλογίζετο, ϗ τὴν τούτων εἰδὼς μεταβολὴν, προεώρατο τὸ μέλλον, ϗ πράττων καλῶς, τὴν ἀθυμίαν οὐκ ἀπελπίζετο, διὰ τοῦτο ϗ ἐν ταῖς εὐπραξίαις ἐμετρίαζεν. οὐ μόνον δὲ φερεπονίας ϗ ὑπομονῆς, ἀλλὰ ϗ τῆς ἄλλης ἀρετῆς, ὁ πολύτλας οὗτος τοῖς προσέχουσιν ὑπόδειγμα πρόκειται· ἀνδρείας μὲν ϗ καρτερίας, ἐν πειρασμοῖς· τοῦ δὲ μὴ ὑβρίζειν, ἀλλὰ πρᾳεῖς εἶναι, ϗ μετρίους, ϗ κοινωνικοὺς μετὰ ἱλαρότητος, ἐν πλούτῳ ϗ δυναστείᾳ· σωφροσύνης δὲ, ἐν ἡδοναῖς, ϗ δικαιοσύνης, ἐν δίκαις ϗ συναλλάγμασι· ϗ ἐπὶ πᾶσιν, ὁμονοίας, ϗ τοῦ κεφαλαίου τῶν ἀρετῶν, τῆς ἀγάπης· πᾶσαν γὰρ ἀρετὴν μετὰ τῆς προσηκούσης ἀκρι-

βείας κατώρθε. ταύτην τὴν εἰκόνα τὴν ὑπογραφεῖσαν ἀναλαβὼν, ἔμπιξον τῷ συνειδότι τῷ σῷ· κἂν ἐν ἀθυμίᾳ ἧς, πρὸς αὐτὴν καταφευγε, κἂν ἐν πλέτῳ, τὸ φάρμακον ἐντεῦθεν λάμβανε, ὥςε μήτε πτωχείᾳ βαπτισθῆναι, μήτε πλέτῳ φυσηθῆναι· κἂν παῖδας ἀποβάλῃς, ἔχεις ἐντεῦθεν τὴν παράκλησιν, τὴν γὰρ ὑπερβολὴν ἐνταῦθα εὑρήσεις, καὶ τῶν συμφορῶν καὶ τῆς καρτερίας· κἂν νόσῳ περιπέσῃς, ἐννόησον τὰς πηγὰς τῶν σκωλήκων, καὶ οἴσεις ἅπαντα πρᾴως· κἂν φίλος ἐπιβελεύσῃ, πάλιν τὸν Ἅγιον εἰς μέσον ἄγε, καὶ περιέσῃ τε πάθες· κἂν οἱ τυχόντες ἀποχρήσωνται, ἐννόησον ἅπερ ἔπασχε παρὰ τῶν οἰκετῶν, καὶ πολλὴν δέξῃ τὴν ἰατρείαν· κἂν πονηρᾷ τις ὑπολήψει σε περιβάλῃ, λόγισαι οἷα περὶ τούτου ἔλεγον, ὅτι ἐδέπω τῶν ἡμαρτημένων αὐτῷ δέδωκεν ἀξίαν δίκην, καὶ οἷα ὠνείδιζον, καὶ περίεσῃ τέτε τε πάθες. ἐ γὰρ ἐςὶν ἐν ἀνθρώποις συμφορὰ, ἣν ἐχ ὑπέμεινεν ἕτος, ὁ παντὸς ἀδάμαντος ςεῤῥότερος, λιμὸν, καὶ πενίαν, καὶ νόσον, καὶ ἀποβολὴν παίδων, καὶ ζημίαν τοσέτων χρημάτων ἀθρόον ὑπενεγκών· καὶ μετ' ἐκεῖνο παρὰ γυναικὸς ἐπιβελευθεὶς, παρὰ φίλων ἐπηρεασθεὶς, παρὰ οἰκετῶν ἐμπτυσθεὶς, διὰ πάντων ἀπεδείκνυτο πέτρας ἁπάσης ςεῤῥότερος ὤν· καὶ ταῦτα, πρὸ τε νόμε, καὶ τῆς χάριτος. καὶ γὰρ ἐ τὴν τυχεσαν ἕξομεν ἀπολογίαν, ὅταν οἱ μετὰ νόμον καὶ χάριν τοσαύτης ἀπολαύσαντες δωρεᾶς, ἐλάττω φέρωμεν τέτε, τε ἐν ἀρχῇ καὶ προοιμίοις τε βίε τῶν ἀνθρώπων τοσαύτην ἐπιδειξαμένε φιλοσοφίαν.

Ὁ ΛΑΥΜΠΙΏ.

Πολλὰ τοῖς παλαιοτέροις ἔδοξε περὶ τῆς προκειμένης συγγραφῆς· οἱ μὲν γὰρ τε Ἁγίε ὑπεραπολογέμενοι, λέγεσιν ὅτι πρὸ τῆς χάριτος γεγονὼς, καὶ μηδὲν ἐλπίζων ἔσεσθαι κατὰ τόνδε τὸν βίον, ἐπειδὴ τῆς τῶν ὁρωμένων εὐδαιμονίας ἀφηρέθη, χρημάτων καὶ παίδων, καὶ τῇ ἀνηκέςῳ περιεβέβλητο νόσῳ, εἰκότως ἐδυσχέραινεν. ἐδὲν γὰρ ἑαυτῷ συνειδὼς ἄδικον, ἐ δίκαια πάσχειν νομίζων, ἐταράττετο· καὶ ἐδὲν μὲν εἰς Θεὸν ἐδυσφήμησεν, ὅπερ μάλιςα τῷ διαβόλῳ διὰ σπεδῆς ἦν. πλὴν ἐκ ἐφύλαξε τὸ πρὸς Θεὸν ἀκρότατον σέβας, τῷ ὅλως ἀμφισβητῆσαι περὶ τὴν αὐτε πρόνοιαν, διατὶ μὴ τὸ κριτικὸν αὐτε ἐφύλαξεν ὁ Θεὸς, ἀλλ' εἴασε παρὰ τὴν ἀξίαν κακεσθαι· καὶ διατὶ μὴ φιλανθρωπίας κατηξίωσεν, εἴπερ ἄρα πονηρίαν ἐκ οἶδεν ἐν αὐτῷ. ἐκ ἀποδεδώκασιν ἐν οἱ ταῦτα λέγοντες τῷ δικαίῳ Ἰὼβ τὴν τελείαν ἀρετὴν, ἀλλ' ἔφασαν ὅτι καλὸν ἡμῖν ὑπόδειγμα γέγονεν ὁ Ἰὼβ ἕτω πρὸ τῆς χάριτος ἀγωνισάμενος, ἵνα ἡμεῖς οἱ τῆς χάριτος ἀπολελαυκότες, ἐπὶ τὰ τελεώτερα λοιπὸν ὁδεύωμεν, τὸ τε

θειοτάτου Παύλου κατὰ νοῦν λαβόντες, ὃς πρὸς τοὺς ἀμφισβητοῦντας ταῖς θείαις κρίσεσιν ἔφησεν, μενοῦν γε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ἕτεροι δὲ καὶ ἐπὶ τῶν χρόνων αὐτῶν τῶν Βασιλέων τοῦ τε Ἰούδα, καὶ τοῦ Ἰσραὴλ γεγονέναι φασίν. ἐγὼ δὲ Θεῷ πειθόμενος, τῷ μετὰ δικαίων καὶ Προφητῶν τὸν ἄνδρα συντάξαντι, καὶ διὰ τοῦ Θεοφόρου στόματος Ἰεζεκιὴλ τοῦ Προφήτου φήσαντι περὶ αὐτοῦ, ἐὰν στῇ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν οὐ μὴ ἐξέλωνται· πείθομαι δὲ καὶ τῷ λέγοντι, τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, τὸν μὲν ἄνδρα θαυμαστόν τινα καὶ ἀποστολικὸν εἶναι πείθομαι, καὶ προφητικῆς ἀξιωθέντα χάριτος, εἴτε καὶ πρὸ τῶν παλαισμάτων, εἴτε καὶ ἐν αὐτοῖς μέσοις τοῖς ἀγωνίσμασιν· τέλειος οὖν ἦν τὴν ἀρετὴν, καὶ τῆς τοῦ Θεοῦ μαρτυρίας ἄξιος. πάλιν τε, τοῖς Ἱεροῖς Ἀποστόλοις ἀκολουθῶν, καὶ τοῖς ἁγιωτάτοις ἡμῶν πατράσιν, οἵτινες ἐκ τῶν Ἀποστόλων τὸ Βιβλίον παρειληφότες, κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν ἐκδεδομένον, ἐν τοῖς ἐνδιαθέτοις τῆς θεοπνεύστου γραφῆς κατέλεξαν, οὐκ ἐξ ἀνθρωπίνης ἐννοίας συντεθεῖσθαι λέγω τὴν γραφήν· ἀλλὰ καὶ τοὺς Ἑβδομήκοντα φημὶ ἐξ ἐπιπνοίας τοῦ Ἁγίου Πνεύματος ὁδηγηθέντας τὰ Ἑβραϊκὰ αὐτό τε τοῦτο τὸ Βιβλίον, καὶ πάντα τὰ τῆς Παλαιᾶς διαθήκης, εἰς τὴν ἑλλάδα μεταβαλεῖν γλῶτταν πρὸ τῆς τοῦ Κυρίου ἐπιδημίας, ἐπὶ Πτολεμαίου τοῦ ἐν Αἰγύπτῳ βασιλεύσαντος, Θεοῦ τοῦτο οἰκονομήσαντος, ἵνα μή τις εἴπῃ, ὡς χάριν Χριστιανοῖς κατατιθέμενοι, οὕτω τὰς γραφὰς οἱ Ἑβδομήκοντα διηρμήνευσαν. ταῦτα μὲν περί τε τοῦ ἀνδρειοτάτου Ἰὼβ, καὶ τῆς συγγραφῆς, ἣν ἅπασαν δεχόμεθα, μετὰ τῶν ἐν τῷ τέλει γεγραμμένων, ἐν οἷς καὶ ἡ γενεαλογία φέρεται τῷ Ἰὼβ, δι᾽ ἧς δηλοῦται πρὸ νόμου τυγχάνων· ὅλην γὰρ τὴν συγγραφὴν οὕτω γεγραμμένην ἐκ τῶν Ἀποστόλων ἡ Ἐκκλησία παρείληφε. πείθομαι δὲ καὶ τοὺς αὐτοῦ φίλους δικαίους εἶναι· οὐ γὰρ ἦν τὸν δίκαιον μὴ δικαίους κεκτῆσθαι φίλους. ἐπειδὴ δὲ μέγας ἦν ἀθλητὴς, καὶ ὁ τῶν ἀποστατικῶν δυνάμεων ἄρχων διάβολος κατ᾽ αὐτοῦ κατέβη πρὸς τὸν ἀγῶνα, ὁ τοὺς ἑαυτοῦ στεφανίτας ἀνακηρύττων Θεὸς, πάντα παθεῖν συγκεχώρηκε τὸν δίκαιον, καὶ πάσας ἐνέγκαι τοῦ πολεμίου τὰς πληγὰς, ὡς ἂν μή τις αὐτῷ πρόφασις ὑπολειφθῇ· διὸ πρὸς πᾶσι τοῖς ἀλγεινοῖς συνεχωρήθησαν καὶ οἱ αὐτοῦ φίλοι, ἀντὶ παραμυθίας φαρμάκου, δεινοτέρους αὐτῷ τῶν τραυμάτων λόγους ἐπιθεῖναι· ἡ δὲ συγχώρησις γέγονεν οὕτω. πολλοὶ τῆς ἐγκαταλείψεως εἰσὶν οἱ τρόποι· ὁ μὲν πάσχει δι᾽ ἁμαρτίαν, ὡς ἐκεῖνος πρὸς ὃν ἔλεγεν ὁ Σωτὴρ, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ὁ δὲ ἵνα δοξασθῇ ὁ Θεὸς, ὡς ὁ ἐκ γενετῆς τυφλὸς, περὶ οὗ πάλιν ἔφησεν ὁ Κύ-

ριος, οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· καὶ ἄλλοι πάσχουσι κατ' ἄλλην οἰκονομίαν, ὡς οἱ παῖδες οἱ ὑπὸ Ἡρώδου ἀναιρεθέντες· καὶ ἄλλοι πολλάκις, ἵνα ἀπὸ κακίας εἰς ἀρετὴν ἐπιστρέψωσι· καὶ ἁπλῶς εἰπεῖν, πολλοὶ καὶ ποικίλοι εἰσὶν οἱ τρόποι τῆς τοῦ Θεοῦ προνοίας καὶ παιδεύσεως, καὶ πάντες ὠφέλιμοι, κἂν ἡμεῖς τούτων ἀγνοῶμεν τοὺς λόγους. εἷς δὲ τῶν τρόπων τυγχάνει καὶ οὗτος, ὃς τοῖς δικαίοις ἐπιφέρεται, ἵνα αὐτῶν ἡ κεκρυμμένη ἀρετὴ διαλάμψῃ, καὶ ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθέντες ἐκλάμψωσι. κατὰ τοῦτον τὸν τρόπον συνεχώρει ὁ Θεὸς τὸν τῆς ὑπομονῆς ἀνδριάντα, τὸν μέγαν Ἰὼβ, ὑπὸ τοῦ διαβόλου πειράζεσθαι· καὶ ἠγνόει μὲν τέως αὐτὸς τοῦτο, ὡς ἂν καὶ περιφανεστέρως ἀνδρεῖος ἀναδειχθῇ· ἠγνόουν δὲ καὶ οἱ τούτου φίλοι. ἐπεὶ δὲ ἤκουσαν αὐτοῦ τὸν θάνατον ἐπευχομένου, δέον ἑτέροις παραμυθήσασθαι λόγοις, συνεχωρήθησαν, ὡς ἤδη φθάσαντες εἴπομεν, τοῦτο μὲν μὴ ποιῆσαι ἔκ τινος δικαιώματος, ἴσως δὲ καὶ τοῦ διαβόλου λάθρα αὐτοῖς τοῦτο ὑποσπείραντος, τὸν ὑπὲρ Θεοῦ δῆθεν ζῆλον ἀναλαβεῖν· καὶ νομίσαντες, ὅπερ οὐκ ἦν ἀληθὲς, βλασφημίαν εἶναι κατὰ Θεοῦ τὸ ποθεῖν τὸν δίκαιον ἀπαλλαγῆναι τοῦ σώματος, τὴν ὑπὲρ Θεοῦ δῆθεν συνηγορίαν ἀναδεξάμενοι, οἱ πρὸς θεραπείαν ἥκοντες, πικρότεροι τῷ δικαίῳ τῶν ἀλγηδόνων κατέστησαν. ὅτι δὲ οὐκ ἦν ἀληθὴς ἡ ὑπόνοια, ἐξὸν ἦν αὐτῷ διαχειρίσασθαι ἑαυτὸν, καὶ ὑπεξαγαγεῖν τοῦ σώματος, ἀλλ' οὐκ ἠνέσχετο τοῦτο ποιεῖν διὰ τὸν Θεὸν τὸν συνδήσαντα τὴν ψυχὴν τῷ σώματι· καὶ ἤρα μὲν τοῦ θανάτου, εἰλικρινὲς δὲ πρὸς Θεὸν φυλάττων σέβας, καίτοι γε ἐπ' ἐξουσίας ἔχων, οὐχ ἑαυτὸν ἀνεῖλεν· εἴ τις τοιγαροῦν τοῖς ἴχνεσιν ἠκολούθησεν τοῦ Μεγάλου Ἰὼβ, καὶ τὸν ἐμπαθῆ φόβον ὑπεραναβὰς, εἰς τὴν τελευταίαν καὶ τελείαν ἀγάπην ἔφθασεν, οἶδεν ἐκ ποίας παῤῥησίας οὕτω διαλέγεται, καὶ ὅτι οὐκ ἂν ἐθάῤῥει κρίνεσθαι πρὸς τὸν Θεὸν, εἰ μὴ τῇ ἀγάπῃ τῇ πρὸς αὐτὸν συνεδέδετο, καὶ σφόδρα ἐθάῤῥει τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ἀπεδέξατο, εἰδὼς ἐκ ποίας γνώμης καὶ ποίας ἀγάπης τοὺς λόγους προσέφερεν. εἰ δὲ καί τις ἀλγηδόνων πεπείραται, διαφερόντως καταπλαγήσεται τὴν ἐν ταῖς βασάνοις τοῦ ἀνδρὸς φιλοσοφίαν. ἀλλ' ἰτέον λοιπὸν ἐπὶ τὴν τῶν ῥητῶν ἑρμηνείαν. λέξομεν δὲ ὅσα τῇ Ἱστορίᾳ συμβαίνει, καὶ ὅσα πρὸς ἀλληγορίαν βλέπει, οὐδὲν τῇ Ἱστορίᾳ λυμαινόμενα, ὥσπερ ἐπὶ τῶν λοιπῶν Ἁγίων Βιβλίων. οὕτω γὰρ ἡμᾶς οἱ Πατέρες ἐδίδαξαν, μήτε ἐκριζοῦν τὰ ἐγγεγραμμένα, καὶ πάντα πρὸς ἀλληγορίαν ἀντιστρέφειν, μήτε Ἰουδαϊκῶς ἐναπομένειν μόνῳ τῷ γράμματι· ἀλλὰ διασκαλιδεύειν καὶ καλιεργεῖν τὸν νοητὸν τῶν Θείων Γραφῶν Παράδεισον, καὶ τὰ μὲν τῇ Ἱστορίᾳ, τὰ δὲ τῇ θεωρίᾳ ἀποδιδόναι· καὶ διαφερόντως ἐπὶ τῶν Προφητῶν, ὧν

ἕνα

ἕνα ἡγῶμαι τὸν Ἁγιώτατον Ἰώβ· Εἰ μὲν γὰρ ἑκάτερα δέχεται τὸ ῥητὸν ἀβιάςως, ϗ τὴν θεωρίαν, ϗ τὴν ἱςορίαν, χρηςέον ἀμφοτέροις· εἰ δὲ Ἱςορίαν μόνην, μενετέον ἐπὶ τῦ γράμματος· εἰ δὲ πρὸς διάνοιαν μόνην ὁρᾷ, ἀνακυφιςέον τὸν λόγον, καὶ εἰς τὴν ἀλληγορίαν ἀνακτέον. Χωρήσωμεν τοιγαρῦν, ὡς ἔφην, ἐπὶ τὴν τῶν ῥητῶν σαφήνειαν, αὐτὴν πρότερον αἰτήσαντες τῦ Μακαρίυ Ἰώβ τὴν ἁγίαν ψυχὴν, ἱκετεῦσαι Θεὸν δῦναί τι ἡμῖν, ϗ διανοηθῆναι καὶ εἰπεῖν τῆς τῦ ἀνδρὸς μεγαλοψυχίας ἐπάξιον· ἵνα ϗ εὐμαθέςερον ἔχοιμεν, καὶ καλῶς παρακολυθεῖν τοῖς λεγομένοις δυναίμεθα.

Προθεωρίαις Χρηςέον καθ' ἕκαςον Κεφάλαιον.




ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ
ΤΟΥ ΠΡΩΤΟΥ ΚΕΦΑΛΑΙΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.



ἘΝ γοῦν τῷ πρώτῳ τούτῳ, ὄνομα τοῦ Δικαίου φησὶν ἡ Γραφὴ καὶ Χώραν, καὶ προδιαγράφει τὴν ὥραν αὐτοῦ τῆς ψυχῆς, προασφαλιζομένην τὸν ἀκροατήν, ἵνα κατ' αὐτὴν τοῦ ἀνδρὸς τὴν ὑπόληψιν ἀκούσῃ, καὶ τὰ ὑπ' αὐτοῦ λεγόμενα, μηδὲν θορυβούμενος, ἀλλ' ἀσφαλῶς πεπεισμένως περὶ τῆς αὐτοῦ δικαιοσύνης· Εἶτα ἐπιφέρει, ὡς καὶ πολύπαις ἦν, καὶ καλλίπαις, καὶ βρύων πᾶσι τοῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας ἀγαθοῖς. Διδάσκει δὲ καὶ τῶν παίδων αὐτοῦ τὴν ὁμόνοιαν, καὶ φιλαδελφίαν, καὶ τοῦ Πατρὸς τὴν ἐπιμέλειαν, καὶ τὸ πρὸς Θεὸν σέβας, καὶ μεθ' ὅσης ἐπιμελείας ἀνῆγε τὰ φίλτατα, πολλὴν ποιούμενος πρόνοιαν, καὶ τὰς κατὰ διάνοιαν αὐτῶν ἀκουσίας ἁμαρτίας ἐξαλείφων, διὰ θυσιῶν, καὶ τῆς εἰς Θεὸν δεήσεως.

Ἐδ. 1. ΚΕΙΜ. Ἄνθρωπός τις ἦν ἐν Χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί βούλεται τὸ προοίμιον, καὶ τίνος ἕνεκεν ὁ Συγγραφεὺς οὕτως ἤρξατο; ἔμελλε βίον ἐνάρετον διηγεῖσθαι, καὶ πολὺ τὴν ἡμετέραν ὑπερνικῶντα κατάστασιν. Ἵνα γοῦν μήτις εἰς τὴν ὑπερβολὴν τῶν ἀγώνων καὶ τῆς ὑπομονῆς ἀναβλέψας, νομίσῃ ξένην ἐνάι τινα φύσιν, καὶ οὐκ ἀνθρωπίνην, προλαβὼν δεικνύει τὴν φύσιν, ἵνα σὺ θαυμάσῃς τὴν πρόθεσιν, ὅτι ἄνθρωπος ἦν, κατὰ φύσιν μὲν εἷς τῶν πολλῶν, κατ' ἀρετὴν δὲ τῶν πολλῶν ὑψηλότερος. Εἶπε τὸ κοινὸν τῆς φύσεως, ἵνα δείξῃ τὸ ἰδιάζον τῆς προαιρέσεως, ὅτι τῆς αὐτῆς φύσεως ἅπασι κοινωνήσας, ὑπὲρ φύσιν, καὶ μεῖζον ἢ κατ' ἄνθρωπον ἐπολιτεύσατο. Κηρύττει δὲ αὐτὸν καὶ ἀπὸ τῆς χώρας, ἵνα κἀντεῦ-

θεν θαυμάσῃς, ὁποῖον Ῥόδον ἐξ ἀκάνθης ἐβλάστησεν.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ. Ἡ γὰρ Αὐσῖτις, Χώρα ἦν Ἡσαῦ τοῦ βεβήλου καὶ πονηροῦ, ἀφ' οὗ καὶ ὠνόμασται, ἤτοι ἀπὸ Αὒς ἑνὸς τῶν Υἱῶν Ἡσαῦ. Βούλεται οὖν εἰπεῖν, οἷον ἄνδρα ἤνεγκεν εἰς ἀσέβειαν, ἡ τοῦ βεβήλου, καὶ ἀθέσμου Χώρα, οὗ καὶ ἀπόγονος ἦν ὁ Δίκαιος. τὴν δὲ αὐσῖτιδα Χώραν οἱ μὲν, τὴν τοῦ Σιὼν εἶναι ἔφησαν, Ἑβραϊστὶ Αὒς καλουμένην, οἱ δὲ, τὴν Ἰδουμαίαν. Εὐσέβιος δὲ Ἀρισταῖον εἰσάγει, ἐν τῷ περὶ Ἰουδαίων λόγῳ φάσκοντα, ἑτέραν τινὰ ταύτην εἶναι ἐν ὁρίοις κειμένην Ἰδουμαίας καὶ Ἀραβίας· Ὁ δὲ Χρυσορρήμων Πατὴρ αὐτὴν τὴν Ἀραβίαν φησὶν, ἔνθα καὶ τὸ μνημεῖον τοῦ γενναίου φαίνεται, καὶ ἡ τῆς κοπρίας παλαίστρα, ἐν ᾗ τοὺς λαμπροὺς στεφάνους ἀνεδήσατο, καὶ τὰς δι' ἔτους αὐτῷ τιμὰς, ὡς λόγος, ἄγουσιν οἱ ἐπιχώριοι. ποῦ δὲ κατῴκει, καὶ ποῦ ἠγωνίσατο ὁ ἄμεμπτος, πρόδηλον ἐκ τῶν μέχρι νῦν εἰρημένων.

ΧΡΥΣΟΣΤ. Ὅρα δὲ πρῶτον ἐγκώμιον, ὅτι τοιοῦτον βλαστὸν ἤνεγκεν ἡ αὐσῖτις Χώρα. Τὸ γὰρ ἐν Ἀραβίᾳ οὕτως εἶναί τινα δόκιμον, ἔνθα πάντες διεφθαρμένοι, ἔνθα ὑπόδειγμα οὐδὲν ἦν ἀνομίας, τοῦτο ἦν θαυμαστόν.

ΔΙΔΥΜΟΥ. Ὑψηλότερον δὲ Αὐσῖτις βουλὴ ἑρμηνεύεται, κατὰ τὴν Ἑλλάδα φωνὴν, ἐν ᾗ ᾤκει ὁ Δίκαιος. Ὀξύθυμος μὲν γὰρ, μετὰ ἀβουλίας πράσσει· διὸ τυφλὰ παρ' αὐτῷ γεννᾶται, καθάπερ τοῖς κυσὶ, καὶ τὰ πράγματα καὶ τὰ ῥήματα· Ὁ δὲ Δίκαιος οὐδὲν ἀβούλως ποιεῖ, τῷ σοφῷ παραγγέλματι ἐκείνῳ πειθόμενος, (1) μετὰ βουλῆς πάντα ποίει. Τὸ δὲ Ἰὼβ ὄνομα, ὑπομονὴ νοεῖται καὶ ἔστιν, ὡς γενέσθαι τοῦτον ὃ προεκλήθη, ἢ κληθῆναι ὅπερ ἐγένετο.

ΚΕΙΜ. Καὶ ὁ ἄνθρωπος ἐκεῖνος ἦν ἀληθινὸς, ἄμεμπτος, Δίκαιος, Θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

ΧΡΥΣΟΣΤ. Οἱ μὲν ἔξωθεν σοφοὶ τὸν Ἄνθρωπον ὁριζόμενοί φασιν, Ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, ἡ δὲ Θεία Γραφὴ, τὸν τηρήσαντα τὸ κατ' εἰκόνα, καὶ ἐκ τῆς ἀρετῆς γνωριζόμενον, τοῦτον εἶναι ἄνθρωπον ὁρίζεται, τὸν δὲ συγχέαντα καὶ διαφθείραντα τοὺς θεοειδεῖς τύπους, καὶ χαρακτῆρας, οὐδὲ ἄνθρωπον καλεῖν βούλεται· εἰ γάρ τις ἔχει μὲν τὸν χαρακτῆρα τῆς φύσεως, ὑβρίζει δὲ αὐτὸν τῇ κακίᾳ τῆς προαιρέσεως, ἄκουε παρὰ τοῦ Προφήτου, (2) ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· κἀνταῦθα τοίνυν τῇ συνηθείᾳ ἑαυτῆς ἡ Γραφὴ κεχρημένη, καὶ δεικνῦσα, ὅτι τὸν ἄνθρωπον οὐδὲν οὕτω χαρακτηρίζει ὡς τὸ ἄμεμπτον, τὸ Δίκαιον, τὸ Θεοσεβὲς, ἐντεῦθεν καὶ τὸν Ἰὼβ γνωριζόμενον ἀποφαίνει, καί φησιν, ὅτι ἦν Ἄνθρωπος ἀληθινὸς, οἱ γὰρ φαῦλοι, ψευδεῖς ἄνθρωποι, ὥσπερ οἱ ζωγραφούμενοι. Ταῦτά τοι καὶ ὁ Ἐκκλησιαστὴς, πάσας ἐπιτελεῖ τὰς ἐντολὰς εἰς τὸν τοῦ Θεοῦ φόβον συγκεφαλαιούμενος, (3) πέρας, φησὶ, λόγου, τὸ πᾶν ἄκουε,

τὸν

(1) Σιρὰχ 32. 19. (2) Ψαλμὸς 48. 12. (3) Ἐκκλησιαστὴς 12. 13.

τὸν Θεὸν φοβε͂, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· Ἕτερος δέ τις προφητῶν ἐν Ἱερουσαλὴμ, ἐπειδὴ οὐδένα ἑώρα τὸν ἀκούοντα, (1) ἦλθόν φησι, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων· καὶ ἡμεῖς δὲ κατὰ τὴν κοινὴν συνήθειαν, ἐπειδὰν ἐπί τινα πρᾶξιν τὸν οἰκέτην, ἢ τὸν υἱὸν ἀποστέλλωμεν, εἰώθαμεν μὲν λέγειν πρὸς αὐτὸν, ὡς ἄνθρωπος ἅψαι τῆς πράξεως, τουτέστι, τὴν ἀνθρωπίνην κατάστασιν τήρησον, ὡς νουνεχὴς, ὡς λόγον ἔχων, οὕτω διανόησαι, οὕτω πρᾶξον, ἐκ τῆς ἐνεργείας δεῖξον ὅτι ὄντως ἄνθρωπος εἶ· οὐ γὰρ ἐκ τοῦ σχήματος, ἀλλ' ἐκ τῆς ἐνεργείας, ὅπερ ἐστὶν ἕκαστος γνωρίζεται· Εἰ δὲ μὴ, ὁμωνύμως λέγεται ὃ λέγεται· Μόνος δὲ ἀληθὴς ἐκεῖνός ἐστιν ἄνθρωπος, ὁ τὴν εἰκόνα σώζων, ὁ τὸ θεόσδοτον κάλλος μὴ ἀφανίζων, οἷος ὁ Ἰὼβ, ἀληθινὸς οὐκ ἐπίπλαστος, ἔργοις τὴν τοῦ ἀνθρώπου δεικνὺς ἀρετὴν, οὐ σχήματι προσποιούμενος, ἢ σκηνικῶς ταύτην ὑποκρινόμενος· Ὅπερ δὲ πρότερον ἀπῄτει τὸν Ἀβραὰμ ὁ Θεὸς λέγων, (2) σὺ δὲ εὐαρέστει ἐνώπιόν μου, καὶ γίνου ἄμεμπτος, τοῦτο καὶ νῦν ἡ Γραφὴ τῷ Ἰὼβ μαρτυρεῖ, εἰποῦσα γὰρ ὅτι ἦν ἀληθινὸς, ἐπήγαγεν ὅτι καὶ ἄμεμπτος· Καί μοι τὴν λέξιν βασάνισον, ἵνα γνῷς τὴν πολλὴν τοῦ Δικαίου ἀκρίβειαν. διὰ τί οὐκ εἶπεν ἀνέγκλητος, ἀλλὰ ἄμεμπτος; ὅτι τὸ μὲν ἔγκλημα ἐπὶ τῶν μεγίστων ἁμαρτημάτων τίθεται, ἡ δὲ μέμψις ἐπὶ μικρῶν τε καὶ ἐλαχίστων. Οὐ μόνον οὖν, φησὶ, τῶν βαρυτάτων κακῶν ἀπείχετο, ἀλλὰ οὐδὲ τοῖς κουφοτάτοις ἁλῶναι ἠνείχετο, ἃ μέμψις μᾶλλόν ἐστιν ἢ ἔγκλημα, καὶ κατάγνωσιν μόνον φέρει, οὐ κόλασιν. Ἀκύλας γεμὴν, καὶ σύμμαχος, ἀντὶ τοῦ ἄμεμπτος, ὁ μὲν ἁπλοῦς ἐξέδωκεν, ὁ δὲ ἄμωμος. Ὁ μὲν, τὸ ἀπόνηρον τοῦ Δικαίου καὶ ἄπλαστον, ὁ δὲ, τὸ πρὸς ἀκρίβειαν ἠσκημένον εἰς ἀρετὴν, αἰνιττόμενος· ἄμωμος γάρ ἐστιν, ὁ μηδενὸς τῶν ἀγαθῶν ἐλλιπὴς, ὁ ἀπὸ πάσης κακίας ἀπταίστως τὸν βίον αὐτοῦ διεξάγων· εἶτα μετὰ τὸ ἄμεμπτος, προστίθησιν ὅτι καὶ Δίκαιος, Συναγωγὴ δὲ καὶ ἕνωσις πάντων τῶν καλῶν καὶ τῶν ἀγαθῶν ἐστὶν ἡ δικαιοσύνη, Εἰ γάρ τι τῶν δοκούντων ἐπαινετῶν εἶναι, καθ' αὐτὸ δίχα τῆς λοιπῆς ἀρετῆς εὔ τινι γένοιτο, ἀτελὲς τοῦτο καὶ ἄχρηστον, μᾶλλον δὲ καὶ πολλάκις ἐναντίον καὶ ψεκτὸν εὑρίσκεται, οἷον νοήμων καὶ συνετός τίς ἐστιν, εἰμὴ δίκαια βούλοιτο, κακεντρεχὴς καὶ κακοήθης, οὐ φρόνιμος οὗτος· περὶ γὰρ τῶν τοιούτων εἴρηται, (3) σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν· Πάλιν ἀνδρεῖος ἕτερος πρὸς τοὺς ἀγῶνάς ἐστι καὶ κινδύνους, εἰμὴ δικαιοπραγεῖν βούλοιτο, ὠμός ἐστι καὶ βίαιος, ὡς οἱ λέγοντες, (4) ἔστω δὲ ἡμῖν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται· τῶν περὶ τὸ σῶμά τις ἡδονῶν κρατεῖ, ἀλλ' οὐκ ἂν εἴη σώφρων, φιλάργυρος, ἐρασιχρήματος, ἄσωτος, οὐκ ἐλευθέριος, ὁ χρημάτων εἰς ἐπιθυμίαν ἀφειδής. καθόλου, πᾶν μέρος δικαιοσύνης, ἀπὸ τοῦ λοιποῦ καθάπερ σώματος, ἀποτετμημένον, οὐδέν ἐστιν· ἡ δὲ πάντων ἁρμονία καὶ σύνοδος τῶν ἀγαθῶν, εἴη ἂν καὶ νομίζοιτο εὐλόγως δικαιοσύνη· εἰδέ τι τῶν θαυμαστῶν ἀπείη, σκάζει κατὰ τοῦτο καὶ ἠκρωτηρίασται, καὶ τὸ τῆς δι-

(1) Ἡσαΐα 50. 2. (2) Γενέσ. 17. 1. (4) Σοφ. Σολ. 2. 11. (3) Ἱερεμ. 4. 22.

δικαιοσύνης ὄνομα ψεύδεται· Ὁ γὰρ Δίκαιος πρῶτον ἐξ ἀνάγκης ἐςὶ σοφός· πῶς γὰρ ἂν τὰ δέοντα πράττοι, καὶ πᾶσιν ἐναρμόςως προσφέροιτο, μὴ τὴν ἑκάςου τάξιν καὶ δύναμιν συνιείς; εἶτα σωφρονῶν, ἀκολασία γὰρ ἀδικία· Φιλόθεος, οἱ γὰρ ἀσεβεῖς, φησὶν, δίκαια ἐβουλεύσαντο· ἤπιος, φιλάνθρωπος, εὐεργετικός· καὶ καθάπαξ ἡ πάντων τῶν κατὰ τὸν ὀρθὸν λόγον πρακτέων συμφωνία, τὸν Δίκαιον συμπληροῖ· καὶ τοῦτ' ἀκριβῶς ὁ Ἰεζεκιὴλ ἡμᾶς ἐσόφισε, δι' οὗ φησὶν ὁ Θεὸς, (1) ὁ δὲ Ἄνθρωπος ὃς ἔςαι Δίκαιος, ὁ ποιῶν δικαιοσύνην· εἶτα διαγράφει τὸν Δίκαιον, τὴν παντελῆ καὶ ὁλόκληρον ἀρετὴν ἐκ τῶν κατὰ μέρος συντιθείς· καὶ πρῶτον αὐτῷ τὴν εὐσέβειαν προσάπτει, λέγων, ἀπὸ τῶν ὀρέων οὐ φάγεται· ἐν γὰρ τοῖς ὄρεσι τὰς εἰδωλολατρείας ἐπετέλουν· εἶτα σωφροσύνην αὐτῷ προσεῖναι δεῖν λέγει, καὶ τὴν γυναῖκά φησι, τοῦ πλησίον οὐ μὴ μιανεῖ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖ· εἶτα καὶ τὸ πρᾶον αὐτῷ, καὶ τὸ ἐπιεικὲς προσγράφει, καὶ Ἄνθρωπόν φησιν, οὐ μὴ καταδυναςεύσει· πρὸς τοῦτο ἰδιοπραγεῖν αὐτὸν ἀποφαίνεται ἐν τῷ λέγειν, καὶ ἅρπαγμα οὐχ ἁρπάσει· ἐλεήμονά τε καὶ κοινωνικὸν, διατυποῖ λέγων, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει, καὶ γυμνὸν περιβαλεῖ, τὸ ἀργύριον αὐτοῦ οὐ δώσει ἐπὶ τόκῳ, καὶ πλεονασμὸν οὐ λήψεται· εὐσυνάλλακτόν τε καὶ εἰρηνικὸν ἀποφαίνει, ὡς καὶ διαιτᾷν ἄριςα τοῖς ἀμφισβητοῦσι δύνασθαι, καὶ ἐξ ἀδικίας γάρ, φησιν, ἀποςρέψει τὴν χεῖρα αὐτοῦ καὶ κρίμα Δίκαιον ποιήσει ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ πλησίον αὐτοῦ· τοῦτο γὰρ τὸ ἐξαίρετον καὶ διαπρεπέςατον, τοῖς ἄλλοις ἅπασι συγκείμενον τοῖς τῆς δικαιοσύνης κατορθώμασιν, ἡ πολιτικὴ καὶ δικαςικὴ ἕξις, ἑκάςῳ πρόσφορον ἐπιφέρουσα, διὸ καὶ τῆς δίκης ἐςὶν ἐπώνυμος· Διεξελθὼν δὲ, πάντα τά τε πρακτέα, καὶ τὰ μὴ, τὸν κοινὸν κανόνα πᾶσι καὶ τύπον ἐφήρμοσεν, εἰς ὃν ἀφορῶν τις, ἐν οὐδενὶ διαμαρτήσεται· Ἐν τοῖς προςάγμασί μου, φησὶ, πεπόρευται, τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά· καὶ ταῦτα πάντα συνδεθέντα καὶ ἀνακραθέντα, καὶ ὥσπερ σῶμα ἓν πολυμερὲς καὶ παναρμόνιον κρατυνθὲν, ὁ Δίκαιος γίνεται. καὶ διὰ τῶν τοσούτων ἀπαρτήσας αὐτὸν, καὶ ὥσπερ ὅρον αὐτῷ καὶ περιγραφὴν μίαν ἐκ τῶν τοσούτων συνθεὶς, εἰς ἓν πάντα κατέκλεισεν ὄνομα καὶ λέγει, Δίκαιος οὗτος, ζωῇ ζήσεται· Ἐπεὶ οὖν ἠκούσαμεν τινά ἐςι τὰ τὸν Δίκαιον χαρακτηρίζοντα, φέρε παρὰ ταῦτα καὶ τὰ κατὰ τὸν Ἰὼβ θεωρήσωμεν. Εὐσεβής ἐςιν ὁ Δίκαιος, τί δὲ ὁ Ἰὼβ; οὐχὶ ταῖς θυσίαις τὸν Θεὸν ἐφ' ἑκάςης ἱλάσκετο; σώφρων καὶ οὗτος, (2) διαθήκην, φησὶν, ἐθέμην τοῖς ὀφθαλμοῖς μου, τοῦ μὴ κατανοῆσαι εἰς Παρθένον· πρᾶος καὶ ἐπιεικὴς, καὶ τί τούτου πρᾳότερον; οὗ καὶ οἱ οἰκέται διὰ τὴν ἄγαν χρηςότητα οὕτως ἐξεκρέμαντο, ὡς μικροῦ καὶ καταπιεῖν αὐτὸν ἐπιθυμεῖν, ἔλεγον γάρ, (3) τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; ἐλεήμων καὶ κοινωνικὸς, καὶ τίς ἐνταῦθα τῷ Ἰὼβ ἐφάμιλλος; οὗ ἡ θύρα παντὶ ἐλθόντι ἀνέῳκται, καὶ οὐδεὶς ἐξῆλθε κόλπῳ κενῷ· διαιτήσει δικαίως τοῖς ἀμφισβητοῦσιν ὁ Δίκαιος, ἔξεςι κἀνταῦθα τῷ Ἰὼβ καυχήσασθαι, καὶ εἰπεῖν,

(1) Ἰεζεκ. 18. 5. (2) Ἰὼβ 31. 1. (3) Ἰὼβ 31. 31.

πεῖν, (1) δίκlω lὼ ὐκ ἤδειν ἐξιχνίασα, καὶ συνέτριψα μύλας ὀδόντων. ὐκ ἀδικήσει ὐδένα ὁ Δίκαιος, ὁ δὲ Ἰώβ καὶ ἐπαρᾶται ἑαυτῷ, (2) εἰ ἐπῆρα ὀρφανῷ χεῖρα, ἀποσαίη ἄρα ὁ ὦμός μυ ἀπὸ τῆς κλειδός. ἐπειδὴ τοίνυν ὁ Ἰώβ ἅπαν μόριον ἀρετῆς μεθ' ὑπερβολῆς ἠκριβώσατο, διὰ τῦτο ἄμεμπτός τε καὶ Δίκαιος ὀνομάζεται.

ΒΑΣΙΛΕΙ'ΟΥ. Μὴ μόνον ποιῶν τlὼ δικαίαν πρᾶξιν, ἀλλὰ καὶ ἀπὸ διαθέσεως δικαίας ἐργαζόμενος, κατὰ τὸ εἰρημένον, ὅτι (3) δικαίως τὸ δίκαιον διώξεις. ὥσπερ γὰρ ποιεῖ τι ἰατρικὸν καὶ ὁ ἰδιώτης, ἀλλ' ὐχὶ καὶ ἰατρικῶς, ὐ γὰρ ἐνεργεῖ μετὰ λόγυ· ὕτως εἰκός ἐςι δικαίαν μὲν πρᾶξιν ἐπιτελέσαι, ὐ μlὼ μετὰ τῦ λόγυ τῆς δικαιοσιώης, τὸ δὲ ἄμεμπτον, ὅταν σlὼδράμῃ τῇ δικαίᾳ πράξει, καὶ ἡ τοιαύτη διάθεσις.

ΧΡΥΣΟΣΤ. Οὕτω καὶ ὁ Ἰώβ δίκαιος lὼ, ὐ μέρος ἀρετῆς ἐν αὐτῷ ἔχων, ἀλλὰ πᾶσαν ἀρετlὼ ἀνθρωπίνlὼ ὁλόκληρον καὶ καθολικlὼ, ὐκ ἀπὸ τύτυ μὲν ἀπεχόμενος τῦ πονηρῦ, ἑτέρυ δὲ ἀντεχόμενος· ὕτω καὶ ἡμεῖς δίκαιον ςάθμιον τῦτο λέγομεν, τὸ πανταχῦ ἴσον, ὐκ ἐὰν χρυσὸν μὲν ἐξ ἴσης ἱςᾷν δεώηται, μόλυβδον δὲ ἐναντίως. ἀλλὰ τὸ ἐν πάσαις ὕλαις τlὼ ἰσότητα παρεχόμενον, καὶ μέτρον πάλιν πανταχῦ ἴσον. ὕτω καὶ ὁ Ἰώβ δίκαιος πανταχῦ ἴσος ὢν, ὐδὲ γὰρ ἐπὶ χρήμασι τlὼ ἰσότητα ταύτlὼ ἐφύλαττε μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὐδαμῦ τὸ μέτρον ὑπερβαίνων. ὐδὲ γὰρ ἔχοι τὶς ἂν εἰπεῖν ὅτι ἐν χρήμασι μὲν τlὼ ἰσονομίαν ἔςεργεν, ἐν δὲ τῇ πρὸς τὺς πλησίον ὁμιλίᾳ τὸ μέτρον ὑπερέβαινεν, ἀλαζών τις ὢν καὶ ὑπεροπτικός, ἀλλὰ καὶ τῦτο ἐκ πολλῆς τῆς περιυσίας ἔφυγε λέγων, (4) εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντος ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με, ἢ ὐχ ὡς ἐγὼ ἐγενόμlὼ, καὶ αὐτοὶ ἐγένοντο; ἄρα καὶ τῦτο ἀδικία μεγίςη τὸν ἀλαζόνα εἶναι καὶ ὑπερήφανον· ὥσπερ γὰρ πλεονέκτlὼ, τὰ τῶν ἄλλων βυλόμενον λαβεῖν καλῦμεν, καὶ τοῖς οἰκείοις ὐκ ἀρκύμενον, ὕτω καὶ ἀλαζωνικὸν λέγομεν, ὅταν πλέον ἀπαιτῇ τῶν ὀφειλομένων ἀνθρώπῳ, παρὰ τῦ πλησίον, ὅταν τις ἑαυτὸν μὲν ἐν πάσῃ καθιςᾷ τιμῇ, ἕτερον δὲ ἀτιμάσαι θέλῃ, τῦτο δὲ ὐδαμόθεν ἄλλοθεν γίνεται ἢ ἐξ ἀδικίας. ὅτι γὰρ ἀδικία τῦτο, μίαν ὐσίαν ἁπάντων ὁ Θεὸς ἐποίησεν, πάντα κοινὰ καὶ ἴσα δέδωκε πρὸς τὸν πλησίον. πῶς οὖν αὐτὸν ἐκβάλλεις καὶ ἀποςερεῖς τῆς τιμῆς, ἧς ἔδωκεν ὁ Θεός· ὐκ ἀφεὶς εἶναι κοινωνόν, ἀλλὰ τὸ πᾶν σὺ ποιῶν, ὐκ ἐν χρήμασιν, ἀλλ' ἐνδόξῃ ποιῶν αὐτὸν πένητα; μίαν ὐσίαν ἀμφοτέροις ὁ Θεὸς ἐχαρίσατο καὶ τlὼ τῆς ὐσίας προεδρίαν. (5) τὸ γὰρ ποιήσωμεν ἄνθρωπον, κοινὸν τῦ γένυς παντός· πῶς ὖν αὐτὸν τῆς πατρώας ἐκβάλλεις ὐσίας, εἰς ἐχάτlὼ ἀπώλειαν κατάγων; καὶ τὸ κοινὸν ἰδιοποιύμενος; ἀλλ' ὐχ ὁ μακάριος Ἰώβ τοιῦτος, διὸ καὶ ἔλεγεν, ὐκ ἐφαύλισα κρίμα θεράποντος ἢ θεραπαίνης. διὰ τῦτο καὶ ὁ συγγραφὰς δίκαιον αὐτὸν λέγων, παρίςησιν, ὐ τlὼ μερικlὼ δικαιοσιώlὼ, τlὼ ἐν συναλλάγμασι καὶ δίκαις, ἀλλὰ τlὼ κα-

(1) Ἰωβ. 29. 16. (2) Ἰώβ 31. 21. (3) Δευτερον. 16. 20. (4) Ἰώβ 31. 13. 15.
(5) Γενεσ. 1. 26.

καθόλου ἀρετὴν ἔχοντα, κατ᾽ ἐκεῖνον περὶ οὗ γέγραπται, (1) τῷ δικαίῳ νόμος οὐ κεῖται. ὑπάγει δὲ ὅτι καὶ θεοσεβὴς, ἵνα δείξῃ ὅτι καὶ τὰ πρὸς ἀνθρώπους, καὶ τὰ πρὸς Θεὸν τέλειος ἦν. ἡ μὲν γὰρ δικαιοσύνη πρὸς ἀνθρώπους, ἡ δὲ θεοσέβεια πρὸς Θεόν. ὅρα δὲ πῶς ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταὶ, καὶ συγκροτοῦσιν ἀλλήλαις. βίος γὰρ καλὸς τὸν Θεὸν ἐπιγνῶναι ποιεῖ, καὶ ἡ τοῦ Θεοῦ γνῶσις, τοῦ βίου γίνεται φυλακή. ὅθεν καὶ ὁ Ἰώβ, ἐπειδὴ δίκαιος, διὰ τοῦτο καὶ θεοσεβὴς, καὶ ἐπειδὴ πρὸ ὀφθαλμῶν ἀεὶ τὸν Θεὸν εἶχε, διὰ τοῦτο καὶ τὸ δίκαιον δικαίως ἐδίωκε, δι᾽ αὐτὸ τὸ καλὸν, καὶ οὐδὲ ἕτερόν τι· οὐκ ἔστι δὲ δίκαιον γενέσθαι μὴ πρότερον γενόμενον ἄμεμπτον, διὰ ταῦτα προηγεῖται μὲν ὁ ἀληθινὸς ἄνθρωπος, ὁ μὴ πλάσμα καὶ σκηνὴν τῆς εὐλαβείας περικείμενος, ἀλλ᾽ ἀληθείᾳ καὶ πράγματι τὴν ἀρετὴν μετερχόμενος, καὶ κατ᾽ αὐτὴν μορφαζόμενος· ἕπεται δὲ τούτῳ ὁ ἄμεμπτος, ὁ γὰρ γνήσιος ἐργάτης τῆς ἀρετῆς, καὶ ἀπὸ τῶν μικρῶν δοκούντων φυλάττεται, ἐκείνῳ δὲ πάλιν ἀκολουθεῖ ὁ παρωνύμως ἀπὸ τῆς τελείας δικαιοσύνης ὀνομαζόμενος δίκαιος, ὁ κατὰ πᾶν εἶδος ἀρετῆς ἀπηρτισμένος, εἶτα ὁ θεοσεβὴς μετὰ τούτους λαμπρότερος ἐπεισέρχεται, ἔργοις ὁμοῦ ἀγαθοῖς, καὶ δόγμασιν ὀρθοῖς διαπρέπων. τούτοις ἐπάγεται, τὸ, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, ὃ καὶ αὐτὸ οὐδὲ μίαν ὑπερβολὴν καταλείπει· οὐ γὰρ εἴρηται, ὅτι τοῦδε μὲν τοῦ φαύλου ἀπείχετο, τοῦ δὲ οὔ. ἢ πολλῶν μὲν ἐκράτει, ὑπ᾽ ὀλίγων δὲ ἐκρατεῖτο. ἀλλ᾽ οὐδὲ μιᾶς πονηρίας θιγγάνειν ἤθελε.

ΝΙΚΗ'ΤΑ. Χρὴ μέντοι εἰδέναι, ὡς ὁ πόνος δηλοῖ μὲν καὶ τὴν κακίαν, δηλοῖ δὲ καὶ τὴν ὀδύνην καὶ κακοπάθειαν· τὴν μὲν κακίαν, ὡς ὅταν ψάλλῃ Δαβὶδ, (2) ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος. καὶ πάλιν. (3) συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν· τὴν δὲ ὀδύνην καὶ τὸν μόχθον, ὡς ὅταν ἡ γυνὴ τοῦ Ἰὼβ λέγῃ, (4) ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι· διαφέρει δὲ καὶ τὰ ἐξ ἑκατέρων τούτων καὶ γινόμενα καὶ λεγόμενα, ἤγουν τότε πονηρὸν καὶ τὸ πονηρόν. τὸ μὲν γὰρ πρῶτον τῆς πονηρίας καὶ φαυλότητος μηνυτικὸν, τὸ δὲ δεύτερον τοῦ ὀδυνηροῦ παραστατικὸν, οἷόν τι καὶ τὸ, (5) ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ, τουτέστι, πόνον ἐμποιοῦντι καὶ ὀδύνην· δόξειε δ᾽ ἂν ὁ ἀπεχόμενος παντὸς πονηροῦ πράγματος, ὁ αὐτὸς εἶναι τῷ δικαίῳ ἀλλ᾽ οὐκ ἔστιν· ὥσπερ οὖν οὐδὲ ὁ ἀργῶν τῷ ἐργαζομένῳ· ὁ μὲν γὰρ ἀπεχόμενος τῆς πονηρίας οὐκ ἤδη καὶ δίκαιος, ὁ δὲ δίκαιος πάντως καὶ τῆς πονηρίας μακρὰν ἐστιν. ἀρχὴ μέντοι τῆς τῶν καλῶν ἀναλήψεως, ἡ ἀπομάθησις τοῦ κακοῦ, διὸ εἴρηται, (6) ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ ἡ ἀποχὴ τοῦ κακοῦ ἀργία τις οὖσα, δευτερείας τυγχάνει τῆς τοῦ καλοῦ πράξεως.

ΧΡΥΣΟΣΤ. Οὐκ ἀρκεῖ μέντοι μόνον ἡ ἀποχὴ τῶν κακῶν, ἀλλὰ δεῖ προσεῖναι καὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν, καὶ γὰρ ἡ ἀργία τῆς ἀρετῆς, κόλασιν οἶδε προξενεῖν, οὐχ ἡ ἐργασία τῆς πονηρίας μόνον. ἐπεὶ κἀκεῖνοι οἱ πεινῶντα μὴ θρέψαντες, ἐπειδὴ ἐλεημοσύνην οὐκ εἰργάσαντο, διὰ τοῦτο τῇ ἀθανάτῳ παραδίδονται κολάσει. ὅθεν μαν-

(1) Πρὸς Τιμόθ. Ἐπιστολ. 1. 1. 9. (2) Ψαλμ. 10. 7. (3) Ψαλμ. 7. 15. (4) Ἰὼβ 2. 9.
(5) Ἰὼβ 2. 7. (6) Ψαλμ. 36. 27.

μανθάνομεν ὅτι οὐ τὸ ἀπέχεσθαι κακῶν, ἀρχὴ σωτηρίας ἡμῖν, ἐὰν μὴ προστῇ καὶ τῶν ἀγαθῶν ἡ κτῆσις, καὶ τῆς ἀρετῆς ἡ ἐργασία. σὺ δέ μοι θέα, πῶς ἐν ὀλίγῳ τὸν ἔπαινον τοῦ ἀνδρὸς, ὁ τοῦ θείου πνεύματος συνήγαγε νόμος· ἀληθινὸν μὲν εἰπὼν τὸν Ἰὼβ, κατὰ τὴν δημιουργίαν, ὥσπερ πατρίδα ταύτην καὶ προγόνους ἀπογραφόμενος, ἄμεμπτον δὲ κατὰ τὴν πρᾶξιν, δίκαιον κατὰ τὴν ἔννομίαν, καὶ τὴν τῶν ὄντων αὐτῷ κοινωνίαν, καὶ ἔτι κατὰ τὸ ὀρθὰς τὰς ψήφους ἐπὶ τοῖς κρινομένοις ἐκφέρειν, καὶ τὸ κῦρος πάντων, θεοσεβῆ κατὰ τὴν πίστιν, καὶ τὸ πρὸς τὰ εἴδωλα μῖσος, ἀπεχόμενον ἀπὸ παντὸς πονηροῦ πράγματος, κατὰ τὴν τῶν πονηρῶν θερμοτάτην ἀπέχθειαν· καὶ ἵνα συνελὼν εἴπω, οὐδὲν, φησι, πώποτε μέμψεως ἄξιον διεπράξατο, ἀλλὰ καὶ τὰ πρὸς ἀνθρώπους ἐφύλαττε δίκαια, καὶ τὰ περὶ τὴν θρησκείαν μετῄει καθαρῶς, πάντα κατὰ Θεὸν πράττων, καὶ γνησίως εὐσεβῶν τὸ θεῖον.

2. ΚΕΙΜ. Ἐγένοντο δὲ αὐτῷ Υἱοὶ ἑπτὰ, καὶ Θυγατέρες τρεῖς.

ΧΡΥΣΟΣΤ. Πρῶτον εἶπε τὴν ἀρετὴν, καὶ τότε τὰ παρὰ Θεοῦ δεδομένα. ἐξ ἀρετῆς γὰρ πάλαι ταῦτα ἐγένετο, εὐπαιδία, λέγω, καὶ πολυπαιδία. (1) οὐκ ἔσαι γὰρ ἐν σοὶ, φησιν, ἄγονος, οὐδὲ στεῖρα. ὁ δὲ Ἀβραὰμ διὰ τοῦτο ἄγονος ἦν, ἵνα μάθῃς ὅτι οὐ ταῦτα ὄντως ἀρετῆς ἔπαθλα, ἀλλ' ἕτερα, διὰ δὲ τοῦτο ταῦτα ὑπέσχετο συγκαταβαίνων.

ΒΑΣΙΛ. Τίνος δὲ εὕνεκεν ἐπισημαίνεται ἡ γραφὴ, ὅτι πολύτεκνος ἦν ὁ Ἰὼβ; διὰ τοὺς προφασιζομένους τοὺς παῖδας, καὶ ἀφορμὴν εὐπρόσωπον ὑποτιθεμένους εἰς τὴν ἁμαρτίαν· φασὶ γὰρ ὅτι ἀναγκαῖα τὰ χρήματα διὰ τοὺς παῖδας, ἀγνοοῦσι δὲ ὅτι πολλάκις οἱ παῖδες αὐτοῖς οὐκ εἰσὶν ὑπόθεσις τῶν θησαυριζομένων, γίνεται δὲ ἢ λῃστοῦ διάρπαγμα, ἢ συκοφάντου παρανάλωμα, ἢ πολεμίων αἰχμαλώτευμα, τὰ ὑπὸ τούτων συναχθέντα· οὓς ἡδέως ἂν ἐρωτησαίμην, ὅτε ᾐτεῖτε παρὰ τοῦ Θεοῦ τοὺς παῖδας, τί προσετίθετε τῇ εὐχῇ; δὸς ἡμῖν παῖδας, ἵνα τῇ προφάσει τῶν παίδων μὴ ποιήσωμεν τὰς ἐντολάς σου, ἀλλὰ τῇ γεέννῃ παραδοθῶμεν; οὐ ταῦτα ἦν ἃ τότε ἐλέγετε, ἀλλὰ παῖδας ἐζητεῖτε συνεργοὺς τοῦ βίου. ἐπειδὴ τοίνυν ἐλάβετε συνεργοὺς καὶ κοινωνοὺς, διδάσκετε καὶ λόγοις ἀγαθοῖς, καὶ ὑποδείγμασι χρηστοῖς, ὁποίους προσήκει εἶναι τὰ πρὸς τὸν Θεόν. οὗτος γάρ ἐστιν ὁ πλοῦτος πολλῶν χρημάτων τιμιώτερος, αὕτη ἡ κληρονομία ἀγαθὴ παρὰ πατρὸς εἰς παῖδας παραπεμπομένη. οὕτω καὶ ὁ Ἰὼβ τοὺς παῖδας ἀνῆγε, καὶ ἐντεῦθεν καλλίτεκνος ἐγνωρίζετο. πολλοὶ γάρ που ἀδελφοὶ γένοιντο ἂν ἑνὸς ἀνδρὸς καὶ μιᾶς γυναικὸς ὄντες, καὶ δὴ θαυμαστὸν οὐδὲν, τοὺς πλείους μὲν αὐτῶν ἀδίκους γενέσθαι, τοὺς δὲ ἐλάττους δικαίους· τὸ δὲ πάντας καλοὺς ἢ ἀγαθοὺς εἶναι, τοῦτο σαφὲς τῶν ἀναθρεψαμένων ἐγκώμιον.

ΔΙΔΥΜ. Ἐνταῦθα δὲ, καὶ ὁ τῶν παίδων κατάλογος τίμιος παρὰ τῇ γραφῇ, καὶ λόγοις σύμφωνος μυστικοῖς. τίς γὰρ οὐκ οἶδε τὴν ἑβδόμην ἀπαρίθμησιν, τῶν ἑπτὰ χαρισμάτων, μη-

νύειν

(1) Ἐξοδ. 23. 26.

νύειν τὴν σωύοδον· ὥσπερ ἓν καὶ τὴν τελείαν ἐκφώνησιν, πρὸς τὸ πλειόπερον ὁρᾶν καὶ θειόπερον, ἵνα μάθωμεν τὴν ἐν τριάδι πίστιν, τῆς ἑβδομαίας χάριτος εἶναι δημιουργὸν, καθάπερ τινὰ κεφαλὴν ἐπιτιθεμένην ταῖς ἀρεταῖς.

ΧΡΥΣΟΣΤ. Συνάγομεν δὲ ὅτι ὐδεν ὁ γάμος ἐμπόδιον πρὸς ἀρετήν. ἢ γὰρ αὖ καὶ τῷ Ἰώβ ἐγένετο κώλυμα, ἀλλὰ μὴν ὁ δεσμὸς ἔτος τὸν δίκαιον τρέχειν ὀρθῶς ὐκ ἐκώλυσεν, ὥστε καὶ τῦτο μάτην τινὲς προφασίζονται.

Α'ΘΑΝΑΣΙ'ΟΥ. Τὸ γεμὴν λέγειν τὴν γραφὴν, ἐγένοντο αὐτῷ υἱοὶ, καὶ πρὸς τὺς ἀρειομανίτας ἡμῖν συμβαλεῖται, οἳ ὡς μέγα βοήθημα τῆς αἱρέσεως αὐτῶν κατέχυσι, τὸ, περὶ τῦ μονογενῦς παρὰ τῦ ἀποςόλυ, λεγόμενον, (1) πιςὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, καὶ φιλονεικῦσι ποίημα εἶναι τὸν τῦ Θεῦ υἱόν. ἔςι δὲ αὐτοῖς κάλαμος πεθλασμένος, τῦτο τὸ ἔρεισμα. ὅταν μεν γὰρ ἡ ὐσία ποίημα καὶ κτίσμα ᾖ, τηνικαῦτα, τὸ, ἐποίησε, καὶ τὸ, ἔκτισε, κυρίως ἐπ' αὐτῶν λέγεται, καὶ σημαίνει τὸ ποίημα. ὅταν δὲ ἡ ὐσία γέννημα ᾖ, καὶ υἱὸς, τότε ἐποίησε, καὶ τὸ, ἐγένετο, καὶ τὸ, ἔκτισεν, ὐκ ἔτι κυρίως ἐπ' αὐτῦ κεῖται, ὐ δὲ ποίημα σημαίνει, ἀλλ' ἀντὶ τῦ ἐγέννησε, τῷ ἐποίησεν, ἀδιαφόρως τις κέχρηται ῥήματι. ὥστε, καταγνώσονται ἑαυτῶν οἱ ἀρειανοὶ εἰ μάθοιεν τὸ τῆς γραφῆς ἰδίωμα. καὶ γὰρ εἰ ποιυμένυς, καὶ γινομένυς, καὶ κτιζομένυς, τὺς ἐξ αὐτῶν φυομένυς, λέγοιεν οἱ γονεῖς, ὐδὲν ἧττον ὐκ ἀρνῦνται τὴν φύσιν. ὁ γῦν Ἐζεκίας, ὡς ἐν τῷ Ἠσαΐᾳ γέγραπται, λεγόμενος ἔλεγεν, ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἀντὶ τῦ γεννήσω, τὸ, ποιήσω εἰρηκὼς, καὶ τὺς ἐξ αὐτῦ φυομένυς, ὡς ποιυμένυς εἰπὼν, καὶ ὐ διαφέρεταί τις, ὡς περὶ τῦ φύσει γεννήματός ἐςιν ἡ λέξις. καὶ ἡ εὔα δὲ τεκῦσα τὸν κάϊν εἶπεν, (2) ἐκτησάμην ἄνθρωπον διὰ τῦ Θεῦ, ἀντὶ τῦ τεκεῖν, ἄρα καὶ αὕτη, τὸ, ἐκτησάμην, εἴρηκε. καὶ γὰρ πρότερον, ἰδῦσα τὸν τόκον, ὕςερον εἶπε, τὸ, ἐκτησάμην· καὶ ὐδὲ διὰ τὸ, ἐκτησάμην νομίσειεν αὐτις ἔξωθεν ἠγωρᾶσθαι τὸν κάϊν, καὶ μὴ ἐξ αὐτῆς τετέχθαι· καὶ ὁ Πατριάρχης Ἰακώβ ἔλεγε τῷ Ἰωσὴφ, (3) νυῦ ὖν οἱ δύο υἱοί συ, οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ πρὸ τῦ ἐλθεῖν με πρὸς σὲ εἰς Αἴγυπτον, ἐμοί εἰσιν Ἐφραὶμ καὶ Μανασσῆς. κἂν ταῦθα δὲ περὶ τῦ Ἰώβ εἴρηται, ὅτι ἐγένοντο αὐτῷ υἱοὶ ἑπτὰ, ὥσπερ καὶ Μωϋσῆς ἐν τῷ νόμῳ φησὶν, ἐὰν γίνωνταί τινι υἱοὶ, καὶ, ἐὰν ποιήσῃ τὶς υἱόν. ἰδὺ πάλιν τὺς γεννηθέντας, ὡς γενομένυς καὶ ποιηθέντας εἰρήκασιν, εἰδότες ὅτι ἕως αὖ ὁμολογῶνται υἱοὶ, κἂν λέγῃ τις ἐγένοντο, ἢ ἐκτησάμην, ἢ ἐποίησα, ὐδὲν διαφέρει. ἡ γὰρ φύσις καὶ ἡ ἀλήθεια ἕλκει τὴν διάνοιαν εἰς ἑαυτήν. διὸ καὶ πρὸς τὺς ζητῦντας, εἰ ποίημα καὶ κτίσμα ἐςὶν ὁ κύριος, χρὴ πρότερον ζητεῖν εἰ υἱός ἐςι. τύτυ γὰρ ἀποδεικνυμένυ, παύεται ἡ περὶ τῦ ποιήματος καὶ κτίσματος ὑπόνοια. καὶ φανερὰ πᾶσιν ἀπόδειξις, ὡς ἡ λέξις ἡ λέγυσα, τῷ ποιήσαντι αὐτὸν, ὐκ εἰς ὄνησίν ἐςι τῇ αἱρέσει αὐτῶν, ἀλλὰ μᾶλλον εἰς κατάγνωσιν. δέδεικται γὰρ, ὅτι ἡ τῦ, ἐποίησε, λέξις, καὶ ἐπὶ τῶν γνησίων, καὶ τῶν φύσει τέκνων, ἐν τῇ θείᾳ κεῖται γραφῇ. ὅθεν τῦ κυρίυ ἀπο-

(1) Ἑβρ. 3. 2. (2) Γενεσ. 4. 1. (3) Γενεσ. 48. 5.

ἀποδεικνυμένε φύσει καὶ γνησίε ὑε, κἂν λέγηται ἐπ' αὐτε, τὸ, ἐποίησεν, ἢ ἐγένοντο, ἐχ ὡς ποιήματος ὄντος αὐτε λέγεται, ἀλλ' ἀδιαφόρως χρῶνται τῇ λέξει οἱ ἅγιοι.

ΚΕΙΜ. Καὶ ἦν τὰ κτήνη αὐτε πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, ὄνοι θήλειαι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς.

Ο'ΛΥΜΠ. Λέγει τὴν εὐπαιδίαν, ἀπαριθμεῖται τὴν κτῆσιν, ἵνα δύο κατ' αὐτὸν ὠφεληθῶμεν. ὅτι τε ἐδὲν αὐτῷ πρὸς δικαιοσύνην ὁ πλετος ἐμπόδιον γέγονεν. ἐν τοσαύτῃ γὰρ παρὰ ἀνθρώποις εὐδαιμονίᾳ καὶ εὐπαιδίᾳ τυγχάνων, ἐκ ἀπαιδαγώγητος ἦν, ἐδὲ περιεσπᾶτο τὸν νεν ἀπὸ τῆς εὐσεβείας. καὶ οἵων ἀφαιρεθεὶς, οἵες ἐφθέγξατο λόγες; καὶ πλέσιοι τοίνυν ἐντεῦθεν παιδευέσθωσαν, μὴ διὰ τὸν κόρον ὑβρίζειν, καὶ πένητες εὐχαριστήτωσαν, ἢ τὴν ἀρχὴν μὴ κτησάμενοι, ἢ καὶ ἀποκτησάμενοι, καὶ εἰς πενίαν μεταπεπτωκότες. παραμυθείσθωσαν δὲ, καὶ οἱ παῖδες ἀποβεβληκότες, πρὸς τὴν θαυμαστὴν εἰκόνα τε δικαίε βλέποντες. ὑπηρεσίαν δὲ τὴν διὰ τῶν οἰκετῶν φησίν. ὁ γὰρ ἀκύλας καὶ δελία πολλὴ σφόδρα, ἐκδέδωκεν. ὁ δὲ σύμμαχος, οἰκετία, ἑρμηνεύων σαφέστερον. ἔργα δὲ μεγάλα, πρὸς μὲν νεν, τὰ τῆς εὐσεβείας, πρὸς δὲ ῥητὸν, τὰ κατ' ἀγρὲς καὶ κατ' οἴκες, φυτεῖαι, λειμῶνες, παράδεισοι, συνοικίαι, οἰκοδομήματα.

ΧΡΥΣΟΣΤ. Ὅρα λοιπὸν πλετον ἔχοντα τὸν ἀγροικότερον. ἐ γὰρ δανείσματα καὶ τόκες κατέλεξεν, ἐδὲ χρυσορόφες οἰκίας. ὅθεν ἐδὲν ἄπορον ἦν, ὥστε καὶ εὖ ποιεῖν δύνασθαι. ἀλλὰ καὶ πρόβατα, καὶ βόας, καὶ τὰ ἐξ ὀρῶν καὶ γεωργίας, ἐξ ὧν τοῖς δεομένοις ἐπήρκει. ὅπερ γὰρ ἔφην, ἐκ ἐκ τιμίας ὕλης μεγαλαυχέμενον, ἀλλὰ τοῖς τῇ χρείᾳ συμμετρεμένοις ἀρκέμενον, τετον ἡμῖν ἡ γραφὴ τὸν βασιλέα παρίστησιν, ἐχ ἵππων μέμνηται, καὶ ἁρμάτων χρυσοκολλήτων, ἢ ἀργυρίε, καὶ χρυσίε θησαυρῶν, καὶ λίθων τιμίων, καὶ ἑτέρων τῶν τὴν φιλόπλετον νόσον ἀναφλεγόντων, ἀλλὰ τῶν ἥκιστα τὴν χρείαν ἐκβαινόντων. παῖδας γὰρ ἔχων, τοῖς χρήμασιν ἔμεινεν ἄτρωτος, εὐποιΐαν τιθέμενος καὶ περιεσίαν, τῆς ἐπιθυμίας τὴν ἔνδειαν, καὶ φιλοτιμίαν, τὸ μὴ δεδελῶσθαι τοῖς πάθεσιν. ἐπειδὴ δὲ ὠβέλισαι, τὸ, καὶ ὑπηρεσία πολλὴ σφόδρα, χρὴ εἰδέναι, ὅτι ὅσα ὠβέλισαι, ἐν τῷ ἑβραϊκῷ ἐκεῖται, ὑπὸ δὲ τῶν ἑβδομήκοντα μόνον πρὸς σαφήνειαν ἐτέθη. τὸ γεμὴν τῇ τῶν ζώων ἐν διαφόρῳ γένει καταγραφῇ πνευματικὴν θεωρίαν ἐπάγειν, ὀνειροκριτικὸν ἅμα καὶ περιττόν.

ΚΕΙΜ. Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίε ἀνατολῶν.

Ο'ΛΥΜΠ. Τε γὰρ ἀπολέκτε γένες τε ἀβραμιαίε ἐτύγχανε, καὶ τέκνον ἦν ὄντως τε Ἀβραὰμ, ὡς τῆς συγγενείας, ἔτω καὶ τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς ὑπάρχων διάδοχος. ὁ δὲ Ἀβραὰμ καὶ οἱ τετε πρόγονοι, τὰ ἀνατολικὰ κατῴκεν μέρη.

ΧΡΥΣΟΣΤ. Ὁ μέντοι σύμμαχος, μέγιστος πάντων τῶν ἀνατολικῶν, ἐκδέ-

δωκε. πάντων, φυσὶ, λαμπρότερος ἦν καὶ περιφανέστερος, καὶ προγόνους εἶχεν ἀριθμεῖν ἐπισήμους καὶ λαμπρούς, ἀλλ' οὐδεὶ τούτων ἐπῆρεν αὐτὸν εἰς ὑπερηφανίαν.

ΔΙΔΥΜ. Πρὸς μὲν οὖν τὸ ῥητὸν, εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, λέγεται, διὰ τὴν κατὰ σάρκα τοῦ Ἀβραὰμ οἰκειότητα, πρὸς δὲ ἀναγωγὴν, υἱοὶ τοῦ φωτὸς, καὶ τέκνα Θεοῦ δι' ἔργων φωτεινῶν χρηματίζονται, οὗτοί εἰσιν οἱ ἀφ' ἡλίου ἀνατολῶν. ὁ γὰρ δίκαιος εὐγένειαν κτᾶται, οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἀπὸ τοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης, καταλαμπομένην.

ΚΕΙΜ. Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους, ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν.

ΟΛΥΜΠ. Ἀλλήλους, φησὶν, ἐκ διαδοχῆς συνεκάλουν, ἕκαστος τὴν ἑαυτοῦ ἡμέραν, οὕτω γὰρ ἀκύλας ἐκδέδωκε. τοῦτο δὲ φιλαδελφίας καὶ ὁμονοίας ἔργον, καὶ τῆς πατρώας παιδεύσεως γνώρισμα. θαυμασιώτατα δὲ ἐπὶ μὲν τῶν ἀῤῥένων ἔφη, τὸ, συμπορευόμενοι πρὸς ἀλλήλους, τουτέστι, παρ' οὐδενὶ αὐτῶν περὶ πρωτείων ἡ αἵρεσις, μέγιστον δὲ ἕκαστος ἔχεινε, τὸ πρὸς τὸν ἀδελφὸν ἐπείγεσθαι, ἐπὶ δὲ τῶν θηλειῶν, τὸ, συμπαραλαμβάνειν. οὐ γὰρ ταύτας ἀπῄτουν τὴν περὶ τῶν τοιούτων φροντίδα, ἀλλὰ κοινωνοὺς μόνον τῆς εὐωχίας ἐλάμβανον. καὶ οἱ μὲν ἄῤῥενες περὶ ταύτην τὴν διακονίαν ἠσχολοῦντο, αἱ δὲ θήλειαι, σεμνῶς, καὶ ἀπερισπάστως συνῆσαν τοῖς ἀδελφοῖς.

ΧΡΥΣΟΣΤ. Σύμφωνον δὲ ἔχοντες τὴν ἀρετὴν, καὶ ἐν τοῖς αἰσθητοῖς ἦσαν ἀστασίαστοι, πρὸς ἀλλήλους πορευόμενοι, καὶ οὐ πόῤῥω, οὐδὲ πρὸς ἀλλήλους ἐπιμιξίας ποιούμενοι. Ἐποιοῦντο δὲ καὶ τὰς ἀδελφὰς, τοῦ Σώφρονος Μάρτυρας, οὐ γὰρ ἀλλοτρίας τινὰς ἐπὶ τὰς φιλοτησίας καὶ τὰ δεῖπνα ἐκάλουν, ἀλλὰ τὰς ἀδελφὰς συμπαρελάμβανον, ὅπερ σημεῖον ἐναργὲς σωφροσύνης καὶ κοσμιότητος· ἀλλὰ τὴν τούτων ὁμόνοιαν καὶ συνουσίαν, εἰς τὴν ἀθρόαν κατ' αὐτῶν ἐπιβουλὴν, εὗρεν ὁ διάβολος ἀφορμὴν, τοῦ πάντας ἅμα καταβαλεῖν ἐν τῷ οἴκῳ τοῦ ἀδελφοῦ τοῦ πρεσβυτέρου.

ΚΕΙΜ. Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν ὁ Ἰὼβ καὶ ἐκαθάριζεν αὐτοὺς, ἀνιστάμενος τὸ πρωῒ, καὶ προσέφερε περὶ αὐτῶν θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν. Ἔλεγε γὰρ ὁ Ἰὼβ, μήποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν. Οὕτως οὖν ἐποίει ὁ Ἰὼβ πάσας τὰς ἡμέρας.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς καθαρισμὸν, οὐχὶ Μωσαϊκὸν, ἀλλ' ἀποστολικὸν, τὴν διάνοιαν αὐτοῖς, ἀλλ' οὐ τὸ σῶμα, τοὺς εὐχαῖς ἀποσμήχοντα. τινὲς δέ φασιν, ὅτι καὶ οἱ Ἱερεῖς τὸ παλαιὸν ἦσαν, ὥσπερ ὁ Μελχισε-

δέκ,

δὲκ, ἀχειροτόνητοι· τοῦτο οὖν δηλοῖ, τό, ἀπέστειλεν.

ΟΛΥΜΠ. Ὅρα δὲ πῶς καὶ ἐν τῇ θυσίᾳ ὁμόνοιαν αὐτοὺς ἐδίδασκεν, ἕνα ὑπὲρ πάντων μόσχον προσφέρων, ὡς ὑπὲρ μιᾶς ψυχῆς. Τὸ μὲν οὖν ἀπέστειλε, τὴν ἐπιμέλειαν δείκνυσι τοῦ πατρός. Οὐ γὰρ ἐκ τύπου τινός, φησι, τοῦτο ἐγένετο, ἀλλ' ἐξ ἀγρύπνου φροντίδος. Τὸ δέ, ἐκαθάριζε, καθαρσίοις ὡς ἔοικε, τοῖς δι' ὑδάτων, οἷς φυσικῶς τε ἄνθρωποι χρῶνται, καὶ κατὰ νόμον Ἰουδαῖοι. Τὸ δὲ ὡς συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἢ ὅτι καθ' ἑκάστην ἡμέραν τοῦτο ἐποίει, ὑπὲρ τῆς παρελθούσης σήμερον προσφέρων τὴν θυσίαν, ἢ ὅτι κατὰ τὴν περίοδον τῶν ἑπτὰ ἡμερῶν ἅπαξ τῆς ἑβδομάδος. Τὰς μὲν οὖν θυσίας, ὑπὲρ τῆς αὐτῶν σωτηρίας προσέφερε, τὸν δὲ μόσχον, ὑπὲρ τῶν κατὰ διάνοιαν ἁμαρτημάτων. ηὐλαβεῖτο γὰρ τὴν συνεζευγμένην τοῖς δείπνοις τοῦ λογισμοῦ ταραχήν, καὶ καθαίρειν ταῖς θυσίαις, τὰς μόνῳ Θεῷ γινωσκομένας πράξεις, ἠπείγετο, πρὸς τὴν χάριν βλέπων, καὶ παρατρέχων τὰ νομικὰ παραγγέλματα. Ὁρᾷς ἀκρίβειαν εὐαγγελικήν. τοῦ γὰρ εὐαγγελικοῦ νόμου κελεύοντος, μήτε κατὰ διάνοιαν πορνεύειν, ἢ θυμοῦσθαι εἰκῆ, ὁ Ἅγιος Ἰὼβ καὶ ὑπὲρ τῶν κατ' ἔννοιαν ἁμαρτημάτων τῶν παίδων, τὸν Θεὸν ἐξιλεοῦτο διὰ τῆς θυσίας.

ΠΟΛΥΧΡ. Τὰ γὰρ ὁρώμενα αὐτῶν εἰδὼς καθαρά, διενοεῖτο μήπως τι ἦν ἐν αὐτοῖς κρυπτὸν παρολίσθημα, καὶ ἔθυεν ὑπὲρ τῶν κρυφίων, κατὰ τὸν λέγοντα Προφήτην, (1) ἐκ τῶν κρυφίων μου καθάρισόν με, τουτέστι τῶν κατ' ἄγνοιαν συμβαινόντων.

ΔΙΔΥ. Καὶ κατὰ τὸν εἰρηκότα, (2) ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός. καί, ὁ Θεός, ὁ Θεός μου, (3) πρὸς σέ, ὀρθρίζω. Οὐ πρὸς ἕτερον ἔργον ὁ Μακάριος Ἰὼβ τὸ πρωῒ ἀνίστατο, ἀλλὰ τῷ Θεῷ ὑπὲρ τῶν παίδων θυσίαν προσάξων, κατὰ τὸν ἀριθμὸν αὐτῶν. Ὅ ἐστι καθ' ἕκαστον, καὶ ἀτάκτως. οὐ δεῖ γὰρ συγκεχυμένον ἐν σπουδαίῳ, ἀλλὰ καὶ μετὰ τοῦτο, ὑπὲρ πάντων μόσχον προσῆγε κατὰ τὸν ἴδιον τρόπον, καὶ τῇ τῶν παίδων ἀγωγῇ συνεθίζων. οὕτω γοῦν καὶ ἐκαθάριζεν αὐτοὺς μετὰ τὸ συντελεσθῆναι τὸν πότον, μετὰ τῆς αἰσθητῆς καθάρσεως, καὶ τὰ συντελοῦντα πρὸς διάνοιαν καθάρσια παραδεικνύς. Φαίνεται γὰρ προφητικῶς καὶ κατὰ νόμον, καὶ κατὰ χάριν τὰς θυσίας πληρῶν. κατὰ νόμον μέν, τὰς διαφόρους, κατὰ χάριν δέ, τὸν ἕνα μόσχον τὸν περὶ ἁμαρτίας. καὶ γὰρ ἡ τοιαύτη θυσία τῆς χάριτος προεμήνυε τὴν ἀλήθειαν, τὴν μίαν τυποῦσα κατὰ σάρκα θυσίαν τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. εἰδὲ ὁ ὑπὲρ ἁπάντων προσαγόμενος μόσχος, τὸν δι' ἡμᾶς σταυρὸν ὑπομείναντα σωτῆρα δηλοῖ, συνεπίσκεψαι καὶ μὴ θαυμάσῃς· οὐ γὰρ ἀμύητος ἦν ὁ Ἰώβ, τῆς τοῦ σωτῆρος ἐπιδημίας, ὁ λέγων, ὅτι αὐτός ἐστιν (4) ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.

ΠΟΛΥΧΡ. Μεγάλη δὲ καθαρότης ἐν τούτῳ, τῶν παίδων δείκνυται, ἐν τῷ λέγειν, μήποτε ἐν τῇ διανοίᾳ αὐτῶν, τινὰ λυποῦντα τὸν Θεὸν ἐνενόησαν.

(1) Ψαλ. 18. 12. (2) Ἠσα. 26. 9. (3) Ψαλ. 62. 1. (4) Ἰώβ. 3. 8.

σαν. Μὴ γὰρ ὁρῶν αὐτῶν αἰσθητόν τι ἁμάρτημα, περὶ τῶν κατὰ διάνοιαν τὴν θυσίαν ἀνέφερε, λογιζόμενος, ὅτι ἡ ἀνθρωπίνη ἀσθένεια, καὶ μάλιστα ἐν νεότητι, ὄλισθον ἔχει πολλάκις. ὅθεν παρατηρητέον, ὡς οὐχ ἁμαρτημάτων ἕνεκεν, τοιούτῳ θανάτῳ ὑπεβλήθησαν.

ΟΛΥΜΠ. Θαυμαστοὶ γὰρ οὖν καὶ οἱ παῖδες, Θαυμασιώτερος δὲ ὁ τούτων πατὴρ, καὶ παιδευτής. τῶν μὲν γὰρ οὐδὲν φανερὸν ἁμάρτημα ἐδείκνυτο, διόπερ οὐδὲ ἠγωνία περὶ τούτων ὁ πατήρ. τοῦ δὲ, τοσαύτη τις ἦν ἡ περὶ Θεὸν καὶ παῖδας ἀγάπη, ὅτι τὸν μὲν, ἐξευμενίζετο, τοὺς δὲ, καθαίρειν, καὶ τῶν κατὰ διάνοιαν ἁμαρτημάτων, ἐσπούδαζεν. ἀλλὰ βαβαὶ τῆς εὐλαβείας, καὶ τῆς περὶ τὸ θεῖον θερμῆς θεραπείας. οὕτω γὰρ ἐποίει ὁ Ἰὼβ, φησι, πάσας τὰς ἡμέρας. δι' οὗ δηλοῦται τὸ ἀδιάστατον τοῦ τόνου τοῦ Ἁγίου. οὐ γάρ ποτε μὲν τὴν ἀρετὴν ἐνήργη, ποτὲ δὲ οὔ, ἀλλ' ὅλος ὁ Βίος τοῦ δικαίου, Θεῷ προσανέκειτο, ἀκρότατος δὲ, καὶ οὗτος ἔπαινος, καὶ πλατύτατος ὅρος, τῶν ἐγκωμίων, τὸ μηδαμῶς ἀναπαύεσθαι τὸν εὐσεβῶς πολιτευόμενον. ἡ γὰρ ἀργία τῶν καλῶν ἐπάνοδος πρὸς κακίαν ἐστίν. ἐκ τούτου μανθάνομεν, ὅτι φεύγειν δεῖ τὰ συμπόσια, ὡς ἁμαρτίας ποιητικά. ὅπου γε γὰρ καὶ καθαρισμοῦ ἡμῖν δεῖ, μετὰ τὴν τούτων συμπλήρωσιν, εἰ καὶ τὰ μάλιστα οἱ τοῦ Ἰὼβ παῖδες, δι' ὁμόνοιαν καὶ φιλαδελφίαν τοῦτο ἔπραττον. εὖ δὲ, τὸ, μή ποτε κακὰ ἐνενόησαν, οὐχ ὅτι τοιοῦτοι ἦσαν οἱ παῖδες τοῦ Ἰὼβ, ἀλλ' ἐπειδὴ ἄνθρωποι. μέγα ἄρα τὸ ὑπὲρ ἀλλήλων φροντίζειν καὶ δεδοικέναι. Ὅπερ οὖν καὶ ὁ δίκαιος οὗτος ἔπασχε, καὶ διὰ τοῦτο ὑπὲρ τῶν παίδων ἐποίει θυσίας, καὶ ἀπήλλαττεν αὐτοὺς τῶν ἁμαρτημάτων. οὕτω τίς προνοεῖται παίδων; οὐκ εἶπε καθάπερ οἱ πολλοὶ τῶν νῦν ἀνθρώπων, καταλείπω αὐτοῖς ὑπάρχοντα, δῶ αὐτοῖς δόξαν, ἀρχὴν ὠνήσομαι, ἀγροὺς πριῶμαι, ἀλλὰ τί; μήτι ἐνενόησαν ἐν τῇ καρδίᾳ αὐτῶν. τί γὰρ ὄφελος, ἐκείνων πάντων ἐνταῦθα μενόντων; τὸν βασιλέα πάντων ἵλεων ποιήσω, φασὶν, αὐτοῖς, καὶ οὐδὲν αὐτοῖς λείπει λοιπόν.

ΒΑΣΙΛ. Εἰκότως δὲ περὶ τῆς ἐν τῷ κρυπτῷ ἁμαρτίας, ὁ δίκαιος ἐνενόει καὶ ἐδεδίει, ὅτι καὶ εὔκολοί ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας, οἱ ἄνθρωποι. αἱ μὲν γὰρ δὴ τοῦ σώματος πράξεις, καὶ χρόνου δέονται, καὶ εὐκαιρίας, καὶ καμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς συνεργείας. αἱ δὲ τῆς διανοίας κινήσεις, ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται, ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καί πού τις τῶν καταφρυομένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον, ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι, εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν οὐκ εὐπρεπῆ, καὶ ὅλως ἐν τῷ κρυφαίῳ τῆς διανοίας ἐργαστηρίῳ ἐναργῆ τὴν ἡδονὴν ἑαυτῷ ζωγραφήσας, ἀμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο. Ἐπειδὴ τοίνυν αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται, ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν,

ὅπου ὀξὺ τὸ παράπτωμα, καὶ ἄδηλον, ἐκεῖ καὶ ὁ φόβος πλείων, καὶ ἡ φυλακή. τοῦτο καὶ ὁ Ἰὼβ εἰδὼς, ὑπὲρ τούτων τὰς θυσίας ἐποίει.

ΝΙΚΗ'ΤΑ: Ἀλλ' ἐν τούτοις μὲν τὸ πρῶτον κεφάλαιον, χρὴ δὲ προθεωρίαν καὶ τοῦ δευτέρου ποιήσασθαι.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ ΔΕΥΤΕ'ΡΟΥ.

ὈΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

Ὁ Κοινὸς τοίνυν τῶν ἀνθρώπων ἀλιτήριος διάβολος, οὐ φέρων τοῦ δικαίου τὴν ἐπ' ἀρεταῖς ἀνδραγαθίαν, ἀλλ' οὐδὲ ἔχων τινὰ ἐξουσίαν καθ' ἡμῶν, ὅπου γε οὔτε χοίρων ἔχειν, εἰμὴ παρὰ τοῦ σωτῆρος εἴληφε, διαβάλλει πρὸς τὸν Θεὸν τὸν δίκαιον, ὡς οὐ δι' ἀρετὴν μετιόντα τὸ δίκαιον, ἀλλ' ὡς ἀντιμισθίαν τῷ Θεῷ εἰσφέροντα, ἐφ' οἷς αὐτὸν εὐεργέτησεν. Ἐπεί φησι, περίελε τὴν εὐδαιμονίαν, καὶ ὄψει τοῦ τρόπου τὴν φαυλότητα, ὁμοῦ γὰρ τῇ τῶν χρημάτων ἀφαιρέσει, καὶ εἰς πρόσωπον ἐξοίσει κατὰ σοῦ τὴν βλασφημίαν. ἐπὶ τούτοις εἰδὼς ὁ Θεὸς τοῦ δικαίου τὴν κατὰ ψυχὴν ἀνδρείαν, βουλόμενος δὲ αὐτὸν καὶ διὰ τῶν ἀγωνισμάτων λαμπρότερον ἀναγορεῦσαι, δίδωσι τῷ διαβόλῳ τὴν κατὰ τῆς περιουσίας τοῦ Ἰὼβ ἐξουσίαν. ὁ δὲ οὕτος ἐπεξῆλθεν αὐτῷ τῇ τῶν ὑπαρχόντων ἀπωλείᾳ, ὡς ἀκριβῶς αὐτοῦ πᾶσαν ἐκκόψαι τὴν περιουσίαν, καὶ μόνους ἀγγέλους ὑπολείπεσθαι τῶν συμφορῶν, ἀλλεπαλλήλοις αὐτὸν καὶ πικροτάταις βάλλοντας ταῖς ἐπαγγελίαις. Ἐπειδὴ δὲ τὰ τιμιώτατα τῶν πατέρων κτήματα παῖδες τυγχάνουσιν, ἀπολαβὼν ὁ διάβολος τὴν ἀρίστην δεκάδα τῶν παίδων, ἐπὶ μιᾶς ἑστίας συνεστιωμένην, ἀθρόαν ἅπασι τὴν οἰκίαν ἀπέσεισε, καὶ πολυάνδριον τὸν οἶκον αὐτοῖς εἰργάσατο, ἄπαιδα τὸν πολύπαιδα ἐν μιᾷ καιροῦ καταστήσας ῥοπῇ. τότε ὁ ἀδάμας ἐκεῖνος Ἰὼβ, ἀποδιδοὺς τῇ φύσει τὸ χρέος, τὴν μὲν στολὴν ἔρρηξε, φθέγγεται δὲ οὐδὲν ἀγενὲς, οὐδ' ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοψυχίας, ἀλλ' ὁμοῦ τῇ ὑστάτῃ καὶ μεγίστῃ πληγῇ, τὰς πολυυμνήτους ἐκείνας ἀφῆκε φωνάς, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ταύταις ταῖς φωναῖς, τὰς καιριωτάτας πληγάς δεξάμενος ὁ διάβολος, καὶ διαφερόντως διὰ τῶν εἰς τὸν δίκαιον ἐπαίνων τοῦ Θεοῦ, οὐκ αἰσχύνεται μὲν, (ἀναιδὲς γὰρ τὸ θηρίον) τὸν δὲ εἰς τὸ δέρμα τοῦ δικαίου προτίθησιν ἀγῶνα, καὶ αἰτεῖ τὸν Θεὸν ἐξουσίαν λαβεῖν τῷ σώματι χρήσασθαι τοῦ Ἰὼβ. πάλιν δὲ ὁ

φιλαν-

φιλάνθρωπος Θεός, ὁ τοὺς οἰκείους στεφανίτας Ἀγγέλοις καὶ ἀνθρώποις δημοσιεῦσαι βουλόμενος, ἐπιτρέπει καὶ τοῦτο. Ἐπειδὴ δὲ τὴν ἀνήκεστον πληγὴν εἰλήφει ὁ ἀνήρ, καὶ οὐδὲν ἧττον ἔμεινεν ἀκλινὴς καὶ ἀκατάσειστος, ἐπὶ τὴν συνήθη τρέπεται πανουργίαν ὁ δράκων, καὶ ὑποδραμὼν αὐτοῦ τὴν σύζυγον, δι' αὐτῆς παραινεῖ τῷ δικαίῳ, λέγων, εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. ἀλλὰ πάλιν κατὰ κόρρης εἴληφε τὴν πληγὴν ἀκούσας· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; οὕτω τοῦ διαβόλου πολλάκις ὑπὸ τοῦ ἀθλητοῦ, καὶ ἐν πολλαῖς ταῖς προσβολαῖς περιτραπέντος καὶ καταρραγέντος, τρεῖς ἔνδοξοι φίλοι τοῦ Ἰὼβ, τῆς φήμης αὐτοῦ πανταχοῦ τὰς συμφορὰς περιαγγειλάσης, ἀκούσαντες τὰ συμβεβηκότα, ἦλθον αὐτοῦ πρὸς τὴν ἐπίσκεψιν· παραμυθίας δὲ οὐχ εὑρίσκοντες φάρμακον, διὰ τὴν τῶν κακῶν ὑπερβολὴν, σιωπῇ παρεκαθέζοντο, τῇ προσεδρείᾳ τὴν συμπάθειαν ἐπιδεικνύμενοι. Τοιαύτη μὲν ἡ τοῦ δευτέρου κεφαλαίου δύναμις, ἑξῆς δὲ τὰ ῥητὰ προθετέον, καὶ κατ' ἴχνος ἐξεταστέον.

ΚΕΙΜΕΝ. Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν.

ΧΡΥΣΟΣΤ. Ὁ μὲν Θεὸς ἀόρατος πάσῃ γενητῇ κτίσει, ἄποσος, ἀμεγέθης, πανταχοῦ παρὼν, καὶ τοῖς πᾶσιν ἐφιστάμενος, τὰ πάντα περιλαμβάνων, καὶ οὐκ ἔστι τόπος ἔξω τῆς αὐτοῦ δεσποτείας, πάρεστιν ἑκάστῳ, καθὸ προσήκει. τοῖς μὲν γὰρ Ἁγίοις Ἀγγέλοις, ὡς Ἁγίοις, ἀπορρήτους φωνὰς ἐπιταγμάτων ἐπιπέμπων. τῷ πονηρῷ δὲ, ὡς πονηρῷ, συγχωρήσεις πειρασικὰς αὐτῷ ἐφιείς. οὐ γὰρ δύναταί τινα πράττειν ὁ διάβολος, εἰ μὴ ὅσα συγχωρεῖται παρὰ Θεοῦ. καὶ οὐχ ἵσταται μὲν εἰς τοὺς ὑπερουρανίους τόπους, μὴ γένοιτο, ἐκεῖθεν γὰρ ἐξεκυλίσθη (1) πῶς γάρ φησιν, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων. λέγεται δὲ, παρίστασθαι μετὰ τῶν ἀγγέλων, ὡς καὶ αὐτὸς ἐν τοῖς τόποις τῆς δεσποτείας τοῦ Θεοῦ τυγχάνων, καὶ ἀναμένων ἐπιτραπῆναι, ἢ συγχωρηθῆναι τοὺς κατὰ τῶν ἀνθρώπων ποιεῖσθαι πειρασμούς· οὐ λειτουργίαν τινὰ ταύτην ἐκπληρῶν τῷ Θεῷ, ἀλλ' ἐπειδήπερ ὑπὲρ τῆς παρατροπῆς καὶ τῆς κακίας εἰς τοῦτο κατηνέχθη, καὶ μέμηνε καθ' ἡμῶν, συγχωρεῖται ὑπὸ τοῦ τὰ ἡμέτερα καλῶς διοικοῦντος, πρὸς ἃ φέρειν δυνάμεθα, τοὺς πειρασμοὺς ἡμῖν ἐπάγειν. ταῦτα οὖν αὐτὰ διατυπώσασα ἡ γραφὴ, διὰ τὴν ἡμετέραν νόησιν κατὰ σχηματισμὸν τὸν λόγον προήγαγε. τὸ δὲ, ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, ἀντὶ τοῦ, ἧκέ τις ἡμέρα, ἐν ᾗ τὸ θέατρον ἠνοίχθη, καὶ ὁ ἀθλητὴς κατέβη πρὸς τὰ παλαίσματα. Ἐπειδὴ δὲ οἱ Ἅγιοι Ἄγγελοι κήδονται ἡμῶν, καὶ περιέπουσιν, ὁ δὲ διάβολος ἀντιπράττει τῇ ἡμετέρᾳ σωτηρίᾳ, καὶ περὶ τὸ αὐτὸ πρᾶγμα, τουτέστι, τὸν ἄνθρωπον, ἀντιφέρονται ἀλλήλοις, ὁμοῦ παρεστάναι λέγονται, τοῦ Θεοῦ τὰ πραττόμενα ἐφορῶντος. Νικῶμεν δὲ ἡμεῖς, ἢ ἡττώμεθα.

(1) Ἠσα. 14. 12.

θα, οὐ παρὰ τὴν τῶν ἀντιπραττόντων δύναμιν, ἢ τὴν τῶν συμμαχούντων ἀδυναμίαν, ἀλλὰ παρὰ τὴν ἡμετέραν προαίρεσιν. Ἑκατέρων γὰρ εἰς ἑαυτοὺς προτρεπόντων, τῶν μὲν Ἁγίων Ἀγγέλων εἰς τὰ ἀγαθά, τῶν δὲ ἀλιτηρίων δαιμόνων εἰς τὰ φαῦλα, ἡ ἡμετέρα προαίρεσις τῷ αὐτεξουσίῳ τετιμημένη, εἰς ὃ ἂν θελήσῃ μέρος προχωρεῖ. οὔτε γὰρ Θεὸς βιάζεται, τιμήσας ἡμᾶς τῷ αὐτεξουσίῳ, οὔτε διάβολος ἀναγκαστικήν τινα δύναμιν κέκτηται καθ' ἡμῶν, ἀλλὰ κατὰ προαίρεσιν εἴτε κατορθοῦμεν, ἢ ἁμαρτάνομεν, Ἀγγέλοις, ἢ δαίμοσι προσκλινόμενοι.

ΔΙΟΝΥ. Ὧν οἱ μὲν τῆς οἰκείας ἀκινήτου τάξεως συντόνως καὶ ἀρρεπῶς ἐχόμενοι, τὴν ἐπὶ τὰ χείρω κατά τι μείωσιν οὐκ οἴδασιν, ἀλλ' ἄπτωτον καὶ ἀμετακίνητον ἔχουσι, τὴν τῆς οἰκείας θεοειδοῦς ἰδιότητος ἀμιγεστάτην ἵδρυσιν, καὶ φυλάττουσι τὴν ἀξίαν, τῇ ἐπιμονῇ τοῦ καλοῦ, ἔχοντες μὲν ἐν προαιρέσει τὸ αὐτεξούσιον, οὐδέποτε δὲ ἐκ τῆς τοῦ ὄντως ἀγαθοῦ προσεδρείας ἐκπίπτοντες. Τάχα δὲ καὶ τὸ, πρὸς αὐτῆς τῆς ἀληθείας ἐκφωνηθέν, ὡς οἱ τῶν μικρῶν τούτων Ἄγγελοι, τῶν ἐκ προσοχῆς δηλαδὴ τῇ κακίᾳ νηπιασάντων, ἐνατενίζουσι τῷ θείῳ κάλλει διὰ παντός, τὴν αὐτὴν ἡμῖν ὑποβάλλει διάνοιαν. Εἰ γὰρ διὰ παντός, οὐδέποτε δηλονότι ἐκπίπτουσιν· Οἱ δὲ ὑπὸ κακίας ἑαλωκότες, τῆς μὲν οὐρανίας ἀποπεπτώκασι τῶν θείων νόων ἁρμονίας, εἰς τὴν ἀλαμπῆ δὲ τῶν ἀποστατικῶν πληθύων πτῶσιν συνηνέχθησαν, μᾶλλον δὲ τῷ ἀποστατήσαντι συγκατηνέχθησαν. Ὃς οὐκ εὐθὺς διάβολος ἐκτίσθη, ἀλλ' Ἀγγέλου ἐξουσίαν λαβών, κατεστράφη εἰς τὴν τοῦ δαίμονος φύσιν, καὶ ἐγένετο πονηρός. Ταύτῃ δὲ τῇ πονηρίᾳ χαρακτηρισθείς, καὶ ἀπαλλοτριωθεὶς τῆς πρὸς τὸν Θεὸν οἰκειότητος, ἀποστραφεὶς δὲ πρὸς τὸ μέρος τῆς ἀποστασίας, ἐπειδὴ εἶδε τὸν ἄνθρωπον μικρὸν μὲν ζῶον, παρὰ πᾶσαν δὲ τὴν κτίσιν τιμιώτερον, ἐβάσκηνε. Καὶ ἕως μὲν μόνος ἦν ὁ ἄνθρωπος, οὐκ εἶχε λαβεῖν. Ἐπειδὴ δὲ ἐκτίσθη ἡ γυνή, (ἁπαλὸν ζῶον καὶ φιλάνθρωπον, ἵν' ὑπὸ τοῦ φιλανθρώπου ἀμαρῶς τραφῇ τὰ νήπια) προτυχὼν ὁ διάβολος τῷ ἁπαλῷ καὶ τῷ εἰκτικῷ, τὴν εὐκολίαν τὴν πρὸς ἀρετήν, εὐκολίαν εἰς κακίαν ἐποιήσατο, καὶ θεομάχος πρότερον γεγονώς, ὕστερον γέγονεν καὶ μισάνθρωπος. καὶ ὁ εἰς ἡμᾶς πόλεμος ἀπόδειξιν ἔχει, τοῦ θεομάχον εἶναι τὸν πονηρόν, καὶ πρῶτον πολεμεῖν τῷ δεσπότῃ. Μὴ δυνάμενος γὰρ εἰς Θεὸν τραπῆναι, εἰς τὴν εἰκόνα τοῦ Θεοῦ τὴν ἑαυτοῦ πονηρίαν, ἐκένωσεν. οὐ γὰρ ἄνωθεν κακὸς ὁ διάβολος, ἀλλ' ἐκ τῆς οἰκείας αὐτοῦ προαιρέσεως, αὐθαίρετον ἔχων τὴν ζωήν, καὶ ἐπ' αὐτῷ κειμένην τὴν ἐξουσίαν, ἢ παραμένειν τῷ Θεῷ, ἢ ἀλλοτριωθῆναι τοῦ ἀγαθοῦ. Γαβριὴλ Ἄγγελος καὶ παρέστηκε τῷ Θεῷ διηνεκῶς, ὁ σατανᾶς Ἄγγελος καὶ ἐξέπεσε τῆς οἰκείας τάξεως παντελῶς. Κἀκεῖνον ἡ προαίρεσις διεφύλαξεν ἐν τοῖς ἄνω, καὶ τοῦτον κατέρριψε τῆς γνώμης τὸ αὐτεξούσιον. ἐδύνατο γὰρ κἀκεῖνος ἠπατῆσθαι, καὶ οὗτος μὴ ἐκπεσεῖν. Ἀλλὰ τὸν μέν, διεσώσατο τῆς ἀγάπης τοῦ Θεοῦ τὸ ἀκόρεστον, τὸν δέ, ἀπόβλητον ἔδειξεν ἡ ἐκ τοῦ Θεοῦ ἀναχώρησις. Προσηγόρευται δὲ σατανᾶς μέν, διὰ τὸ ἀντικεῖσθαι τῷ ἀγαθῷ, ὁ γὰρ σατανᾶς, τὸν ἀντικείμενον δηλοῖ. διάβολος δέ, ἐπειδὴ ὁ αὐτὸς καὶ συνεργὸς τῆς

ἁμαρ-

ἁμαρτίας ἡμῶν, καὶ κατήγορος γίνεται, χαίρων μὲν ἡμῶν τῇ ἀπωλείᾳ, παραδειγματίζων δὲ ἡμᾶς ἐπὶ τοῖς πεπραγμένοις· ἢ ἐπειδὴ Θεὸν μὲν ἀνθρώπῳ διέβαλεν, ὡς φθονερὸν, ἄνθρωπον δὲ Θεῷ, ὡς μισθοῦ τὴν ἀρετὴν ἐργαζόμενον. Πρὸς μὲν γὰρ τὴν πρώτην γυναῖκα εἶπεν, (1) ὅτι ἐβάσκηνεν ἡμῖν ὁ Θεὸς, καὶ διὰ τοῦτο τὴν βρῶσιν ἀπηγόρευσε, πρὸς δὲ τὸν Θεὸν, ὅτι οὐ δωρεὰν αὐτὸν ὁ Ἰὼβ σέβεται, ἀλλ' ὑπὲρ ὧν εὐεργέτηται.

ΓΡΗΓΟΡ. Ὢ τῆς ἀναισχυντίας, τοῦ τὰ τοιαῦτα τολμῶντος. Ἐκεῖνος δὲ εἰς τὸν παράδεισον ἀπ' ἀρχῆς παρέδυ κατὰ τοῦ πρώτου πλάσματος, καὶ μέσος ἀγγέλων ἵσταται, τὸν Ἰὼβ ἐξαιτήσων.

ΠΟΛΥΧΡ. Ἦλθον γάρ φησιν οἱ Ἄγγελοι παραστῆναι Κυρίῳ, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν. Τὸ δὲ, παρίστασθαι, καὶ ἐνώπιον τοῦ Θεοῦ ἵστασθαι τοὺς Ἀγγέλους, καὶ τὸν διάβολον εἰς μέσον ἔρχεσθαι, μὴ νόει σωματικῶς, ἀλλ' ὅτι οἱ μὲν, τὴν συνήθη λειτουργίαν πληροῦσιν, ἐν τῇ πρὸς ἀνθρώπους κηδαιμονίᾳ, ἣν δὴ ἐπλήρουν καὶ τοῦ Ἰὼβ προνοοῦντες· Ὁ δὲ διάβολος ἐξ ἐναντίας τῶν Ἀγγέλων, τοὺς ἀνθρώπους ἀδικεῖν τε, καὶ ὑποσκελίζειν πειρᾶται; καὶ ταύτην σαφεστέραν τὴν ἔννοιαν εὕροι ἄν τις παρὰ τῷ Ζαχαρίᾳ· (2) ἔδειξε γάρ μοι, φησὶ, Κύριος τὸν Ἰησοῦν, τὸν Ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου Ἀγγέλου Κυρίου, δηλονότι, τῆς παρ' αὐτοῦ κηδεμονίας ἀξιούμενον· καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ· εἶτα καὶ ἡ αἰτία, τοῦ ἀντικεῖσθαί, φησιν, αὐτῷ. ἐν τούτοις γὰρ σαφῶς δείκνυσιν, ὅτι τῶν μὲν Ἀγγέλων ἴδιόν ἐστι, τὸ ὀρέγειν τοῖς ἀνθρώποις τὴν παρ' ἑαυτῶν ῥοπήν· Τοῦ δὲ διαβόλου, τὸ μάχεσθαι ἔτι. Ἄλλως μὲν συνάγονται πρὸς τὸν Θεὸν, αἱ μὴ γνωρίσασαι πονηρίαν ἄϋλοι φύσεις, ἐγγύτεραι γινόμεναι κατὰ τὴν ἀξίαν καὶ οἰκειότητα, καθά φησι, καὶ Ἠλίας, (3) ζῇ Κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ. καὶ ἄλλως ὁ μισόθεος καὶ βλάσφημος σατανᾶς, κατὰ μόνον τὸ πανταχοῦ παρεῖναι τὸν Θεὸν, καὶ τὴν κακίαν ἐλέγχοντα, καὶ τὴν ἀρετὴν στεφανοῦντα. Διὸ ἄγγελοι μὲν παρόντες Θεῷ μετέωροί εἰσι, πρὸς λειτουργίαν, τῆς σιωπῆς ἀφορμὴν λαβόντες ἀπὸ τοῦ θεάματος, καὶ καθαροῖς μὲν ὄμμασιν οὐ θαῤῥοῦσιν αὐτὸν εἰσορᾶν, πλὴν ἑστῶτες, τὸ θεῖον ἐκεῖνο κάλλος φαντάζονται, καὶ ταῖς ἱεραῖς ὑμνῳδίαις ἀγάλλονται, ὁ δὲ μισόκαλος θρασύνεται, καὶ γέμων ὕβρεως ἀπαντᾷ, καὶ ἵσταται ἐνώπιον Κυρίου, οὐχ ὡς ἄξιος ἀγγελικῆς κοινωνίας, πρὸς δὲ τὴν πονηρὰν ἀντιλογίαν εὐτρεπιζόμενος. Ἐνώπιον δὲ ἐλθεῖν, λέγεται, Κυρίου, οὐχ ὡς ὑπομένων τῆς ζωῆς τὴν ἐγγύτητα, ἀλλ' ὅτι λαθεῖν οὐκ εἶχε τὸν ἀπερίγραπτον, ὅτι (4) πάντα γυμνὰ τοῖς ὀφθαλμοῖς αὐτοῦ, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· ἀλλ' οἶδε καὶ τῶν ἀσωμάτων πνευμάτων τοὺς διαλογισμούς. Διαλογικῶς δὲ προσάγει τὸν λόγον ὁ συγγραφεὺς, καὶ αἰσθητῶς διατυποῖ τὰς ἐννοίας, ἵνα ἐκ τῶν οἰκείων καὶ συγγενῶν, τῶν κρειττόνων λάβωμεν τὴν θεωρίαν, καὶ οὕτω καθάπερ τισὶν ὁδοῖς, τῇ τοῦ λογισμοῦ βασάνῳ τὸ παχὺ τεμόντες. τῶν

λέ

(1) Γεν. 3. 5. (2) Ζαχ. 3. 1. (3) Βασ. 4. 5. 16. (4) Ἑβρ. 4. 13.

λέξεων, ἄρτον λογικὸν ἀποδείξωμεν τὴν ψυχὴν διατρέφοντα.

ΚΕΙΜ. Καὶ εἶπε Κύριος τῷ διαβόλῳ πόθεν παραγέγονας.

Ο'ΛΥΜΠ. Ο"τι Θεῖοι Α"γγελοι προσδιαλέγονται τῷ διαβόλῳ δηλοῦται μὲν καὶ ἐκ τῶν παρὰ τῷ Ζαχαρίᾳ. ἔνθα φησὶν ὁ Α"γγελος τῷ διαβόλῳ, (1) ἐπιτιμῆσαί σοι ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. εἴρηται δὲ καὶ ἐν Καθολικαῖς, ὅτι ὁ Μιχαὴλ περὶ τοῦ Μωϋσέως διεμάχετο σώματος, ὅτι οὐκ ἐτόλμησεν ὁ Α"γιος Μιχαὴλ κρίσιν βλασφημίας ἐπενεγκεῖν κατὰ τοῦ διαβόλου, ἔφη δὲ μόνον, ἐπιτιμῆσαί σοι ὁ Κύριος. κἀνταῦθα τοίνυν ἐστὶν ἐννοεῖν, ὡς τῷ δεσποτικῷ προστάγματι ὁ Α"γιός τις Α"γγελος ὑπηρετούμενος, τὴν διάλεξιν ποιεῖται πρὸς τὸν διάβολον. καὶ ὥσπερ εἴτις δορυφόρος ἄρχοντος ἀπόκρισιν ἐκ τοῦ κρατοῦντος φέρῃ πρός τινα, τοῦ ἄρχοντος εἶναι τὴν ἀπόκρισιν οἴδαμεν, οὕτω καὶ τῶν Α'γίων Α'γγέλων αἱ φωναὶ, κατὰ γνώμην Θεοῦ προφερόμεναι, αὐτοῦ εἶναι πιστεύονται τοῦ Θεοῦ. Διαλέγεται τοίνυν ὁ Θεὸς τῷ διαβόλῳ διὰ τῶν Α'γίων Α'γγέλων, οὐκ ἀξιῶν αὐτὸν λόγου, ἀλλὰ διάγῃ τὸ πειραζόμενον, τουτέστι, τοῦ Θεοῦ, τοῖς τοῦ Δικαίου κατορθώμασιν· ἡδομένου, τοῦ δὲ διαβόλου διαφθονημένου, καὶ ζητοῦντος λαβεῖν τὴν κατ' αὐτοῦ τῶν πειρασμῶν συγχώρησιν, ἡ γραφὴ κατὰ σχηματισμὸν τὸν λόγον προήγαμεν. Τὸ δὲ, πόθεν παραγέγονας; ὀνειδιστικῶς πρὸς τὸν διάβολον λέγεται, διὰ τὸ ἐκπεπτωκέναι τῆς τῶν λειτουργικῶν πνευμάτων τάξεως. Ὡς καὶ τῷ (2) Α'δὰμ, τὸ, ποῦ εἶ, ἀντὶ τοῦ, ἐκ ποίων. Εἰς οἷα καταπέπτωκας; τάχα δὲ καὶ ἐλεγκτικόν ἐστι τῆς ματαίας τοῦ διαβόλου κινήσεως, τὸ, πόθεν παραγέγονας; οἱ μὲν γὰρ Α"γγελοί φησιν, ὑπηρεσίας θείας πρὸς ἐμοῦ ποιεῖν προστεταγμένοι, ταύτας ἐκτελοῦντες, παρεστήκασί μοι αὐτὸ τοῦτο, αὐτὴ παραστάσεως ἐνεργοῦντες, τὴν τῶν ἐμῶν θελημάτων ἐκπλήρωσιν. οὐ γὰρ τοπικὴ ἡ τούτων παράστασις. σὺ δὲ πόθεν; οὐ γὰρ ὑπάρχεις λειτουργὸς ἐμός.

Α'ΘΑΝ. Α"μα δὲ ἐν τούτοις παρίσταται. Καὶ ὅτι τὰ γεννητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσὶ, φωστῆρες μὲν ἐν τῷ στερεώματι, νέφη δὲ ἐν τῷ ἀέρι, καὶ τοῖς ἀνθρώποις (3) ἔστησεν ὅρια ἐθνῶν, οἱ δὲ ἄγγελοι ἀποστέλλονται εἰς διακονίας, καὶ ἀναβαίνουσι καὶ καταβαίνουσιν ἐπὶ τῆς κλίμακος, κἀνταῦθα ἦλθόν φησι παραστῆναι ἐνώπιον Κυρίου, καὶ πεῦσις γίνεται πρὸς τὸν διάβολον, πόθεν παραγέγονας; ὥστε ἐν τόπῳ εἰσὶ, καὶ ἔνθα ἀποστέλλονται ἐκεῖ πάρεισι, μόνος δὲ ὁ Θεὸς ἀπερίγραπτος. Τὸν πανταχοῦ παρόντα ζητοῦσιν, ἵνα εὕροιεν ἐν χωρίῳ τινὶ συγκλειόμενον τὸν ἀόριστον. ἀλλὰ, τὸ παραστῆναι, τοῦτο ἐστι, τὸ, τῆς θελήμασιν αὐτοῦ τυπωθῆναι. Καὶ, τὸ, πρὸς αὐτὸν ὁλικῶς ἀνατείνεσθαι. Θεοῦ μὲν γὰρ ἐνώπιόν ἐστι πᾶσα ἡ κτίσις. καὶ αὐτὴ ἡ ἀποστατικὴ καὶ πονηροτάτη, κατὰ τὸ ἀπερίγραπτον τῆς οὐσίας ἐκείνης. Ἰδίως δὲ οἱ Α"γγελοι πάρεισι τῷ Θεῷ, κατὰ τὸν τῆς θείας ἀγάπης ἀκόρεστον ἔρωτα.

ΧΡΥ-

(1) Ζαχ. 3. 2. (2) Γεν. 3. 9. (3) Δευτερ. 32. 8.

ΧΡΥΣΟΣΤ. Τί δὲ ἄρα σὺν τῇ Ἀγγελικῇ λειτουργίᾳ παρίσταται καὶ ὁ διάβολος; καὶ ἐν μέσῳ τῶν Ἁγίων πνευμάτων, τὸ ἀκάθαρτον παῤῥησιάζεται. Οὔτε οἱ Ἄγγελοι τῷ Θεῷ σωματικῶς παρέστησαν, οὔτε ὁ σατανᾶς, ἀλλὰ πᾶσα ὑπουργία, παράστασις λέγεται. Ὡς κτίσμα ὢν Θεοῦ, καὶ ὁ διάβολος κελεύεται ποιεῖν τὰ καθήκοντα. εἰ γὰρ καὶ ἀφηνίασε τῇ προθέσει, ἀλλ' ὑπὸ τὸν ζυγὸν κεῖται τῆς δουλείας, καὶ κελεύεται ὡς δήμιος πρᾶξαι τὰ προσταττόμενα. καὶ ὥσπερ οἱ παρ' ἡμῖν ἄρχοντες, ὅταν μέν τινα μετὰ τιμῆς καλῶσι, τοὺς ἐντίμους ἀποστέλλουσιν, ὅταν δὲ μετ' ἀτιμίας ἕλκωσιν, ὠμούς τινας στρατιώτας πέμπουσιν. Οὕτω καὶ ὁ Θεὸς, τοῖς μὲν Ἁγίοις ἀποστέλλει διακόνους Ἀγγέλους εἰς σωτηρίαν, ὅταν δὲ τιμωρήσασθαι βούλεται, τοῖς κακοποιοῖς ἐπιτρέπει δυνάμεσιν. Ὅθεν καὶ Παῦλος τὸν ἐν Κορίνθῳ παρανομήσαντα (1) τῷ σατανᾷ παραδίδωσιν εἰς ὄλεθρον τῆς σαρκὸς, καὶ ἄλλους πάλιν ἵνα μὴ βλασφημῶσιν.

ΚΕΙΜ. Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ εἶπε, περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι.

ΧΡΥΣΟΣΤ. Διὰ τοῦ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν προαγάγεσθαι τὸν λόγον, μᾶλλον διέγραψε τὴν ἀλήθειαν ἡ γραφὴ, καὶ πᾶσαν ἐκκόπτει τῶν ἀναισχύντων τὴν πρόφασιν. Α' γὰρ λέγει πρὸς τὸν Θεὸν εἰρηκέναι τὸν διάβολον, οὐκ εἶπε μὲν, ἐνθυμήθη δὲ, οὐ γὰρ αὐτῷ μετέστη παῤῥησίας τοιαύτης. ἐκ δὲ τοῦ λέγειν, ὅτι πανταχοῦ περίεισι, πρῶτον μὲν ἑαυτοῦ κατήγορος γίνεται, ὡς οὐκ ἔτι βεβαίαν ἔχει τὴν εὔστασιν, ἀλλ' ἀστάτως πανταχοῦ περιφέρεται τὴν κατὰ πάντων ἀνθρώπων ἐπιδειξάμενος μάχην, ἔπειτα μανθάνομεν ὅτι καὶ δαιμόνων καὶ Ἀγγέλων ἡ οἰκουμένη πεπλήρωται, καὶ ὅτι ἑκάτεροι ὑπὸ τὴν ἐξουσίαν εἰσὶ τοῦ Θεοῦ. Καὶ ὅτι Ἄγγελοι μὲν παραγίνονται πρὸς τὸν Θεὸν ἐπίταγμα δεχόμενοι, διάβολος δὲ οὐδὲν δυνήσεται ποιῆσαι τῶν καθ' ἡδονὴν αὐτῷ, μὴ συγχώρησιν λαβὼν ἄνωθεν. εἰ γὰρ καὶ ἀφηνίασε, καὶ ἔξω τοῦ θεραπεύειν ἐστὶ τὸν Θεὸν, ἀλλ' ὅμως ὁ φόβος ἔγκειται καθάπερ χαλινὸς, καὶ οὐ συγχωρεῖται τῇ ἐξουσίᾳ χρήσασθαι τῇ ἑαυτοῦ. ἀλλ' ὅρα, ἐκεῖνοι μὲν παραγίνονται καθάπερ οἰκέται, ἀναφέροντες τὰ πραττόμενα. οὗτος δὲ οὐδὲν ἔχει εἰπεῖν. Ὁ οὐρανὸς τοίνυν ἄβατος τῷ πονηρῷ δαίμονι τούτῳ, καὶ οὐδὲ κατὰ ταὐτὸν πανταχοῦ πάρεστιν, ἀλλ' ἐκ περιόδου. Τὴν ὑπ' οὐρανὸν δὲ φησὶν, ἵνα αἰνίξηται καὶ τὴν ἔρημον, καὶ εἴ τι ὑπόκειται τῷ οὐρανῷ, καὶ τὸν ἀέριον τόπον, περινοστεῖ δὲ καὶ τὴν ἀοίκητον, κατά τινα ἴσως οἰκονομίαν Θεοῦ, ὡς ἂν μὴ διὰ παντὸς ἐνοχλοίη ἡμῶν τῷ γένει.

ΔΙΔΥ'. Σημειωτέον δὲ, ὅτι διάφοροι τόποι, ἡ γῆ, καὶ ἡ ὑπ' οὐρανὸν εἰσί. τῆς μὲν γῆς ὑπὸ τὸν Οὐρανὸν οὔσης, τῶν δὲ ὑπὸ τὸν Οὐρανὸν τόπων, οὐ πάντως γῆς ὑπαρχόντων. τὴν μὲν οὖν γῆν περίεισιν, ἵνα κατανοῇ δὲ

(1) Κορινθ. 1. 5. 5.

στῃ περὶ τινὸς ἀνθρώπου αἰτήσει. τὴν δὲ ὑπ' οὐρανὸν ἐμπεριπατεῖ, ἀφραινόμενος τοῖς πνευματικοῖς τῆς πονηρίας, τοῖς ὑπηρετοῦσιν αὐτῷ πρὸς τὰ αἴσχιστα. οὐδεῖ δὲ ξενίζεσθαι, εἰ λεπτὸν ὑπάρχων πνεῦμα, διέβη τοὺς προειρημένους τόπους. καὶ γὰρ οὐδὲ ὁ Θεὸς ὡς ψευδόμενον αὐτὸν ἤλεγξε. τὸ μέντοι ἀνήμερον καὶ ἀφιλάνθρωπον τοῦ τρόπου τῇ τοσαύτῃ περιόδῳ καταμηνύει ὁ πονηρός. Μανικοῦ γάρ τινος, καὶ ὑπὸ ἐκπληξίας περινοστοῦντός ἐστι τὰ ῥήματα, καθὼς καὶ ἑτέρωθί που εἴρηται, ὅτι ὁ ἀντίδικος ἡμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ. Ἄγρυπνος γὰρ πολεμεῖ καὶ περιέρχεται, τοὺς μὲν φίλους ὑπαγόμενος, τοὺς δὲ ἐχθροὺς ἐξαιτούμενος. οὐ γὰρ ἐξουσιάζει ἡμῶν. καί τι τοιοῦτον τὰ ῥήματα αὐτοῦ βούλεται, ἐπειδή, φησί, γηΐνων, καὶ ἀερίων ὑποτασσομένων μοι, Ἰὼβ μόνος ἀνθίσταται, ἥκω αὐτὸν αἰτησόμενος.

ΚΕΙΜ. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος, προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ;

ΧΡΥΣΟΣΤ. Ἐκ τούτου μανθάνομεν, ὅτι ἐβούλετο μὲν ὁ Θεὸς τὸν Ἰὼβ πειρασθῆναι, καθάπερ τις ἀθλητὴν ἔχων γενναῖον. διὰ γὰρ τοῦτο ἐρωτᾷ τὸν διάβολον, ἵνα αὐτῷ δῷ ἀφορμὴν τῷ τῆς πάλης, οὐκ ἤθελε δὲ αὐτὸς παρασχεῖν τὴν ἀφορμήν, ἵνα μὴ δόξῃ φιλότιμός τις εἶναι. Ὅρα δὲ πῶς κατὰ μικρὸν ὁ τῆς διαλέξεως τρόπος ἐλέγχεται. οὐκέτι γὰρ δεικνύει αὐτὸν ῥημάτων ἐπαγγελίαν ποιούμενον, ἀλλ' ὅτι προσέσχες τῇ διανοίᾳ σου; τὴν ὡς φωνὴν ἐκ δέδωκεν ἡ Ἱστορία. γνῶναι τοίνυν ὁ Θεὸς συνεχώρησε τῷ διαβόλῳ καὶ δίχα φωνῆς, ὅτι οὐκ ἔλαθεν αὐτὸν ἡ πονηρὰ βουλή τε καὶ πρᾶξις, καὶ οἱονεὶ φθέγγεται πρὸς αὐτόν, πόθεν παραγέγονας; οὐ μαθεῖν βουλόμενος τὴν τοῦ πονηροῦ διατριβήν. (πῶς γὰρ ὁ παρεστῶσαν ἔχων πάντων τὴν γνῶσιν;) ἀλλ' εἰωθεν ὡς τὰ πολλά. ἐν ἐρωτήσεως σχήματι ἠθοποιεῖν τὰ λεγόμενα, καθάπερ καὶ ἐν Εὐαγγελίοις τοῖς περὶ τὸν Κλεόπαν προσάγει τὰς πεύσεις ὁ Κύριος. (1) τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλεται πρὸς Ἀλλήλους; καὶ τίς ἂν θαῤῥήσῃ εἰπεῖν, (2) τὸν πλάσαντα κατὰ μόνας τὰς καρδίας ἡμῶν, δεῖσθαι τῆς ἐρωτήσεως; τοιοῦτον καὶ τό, (3) πόσους ἄρτους ἔχετε; καὶ ἑτέρωθι πιστούμενος αὐτοῦ τὴν ἀνάστασιν, ἔλεγεν, (4) ἔχετέ τι βρώσιμον ἐνθάδε; καὶ περὶ Λαζάρου διεπυνθάνετο, (5) ποῦ τεθείκατε αὐτόν; ὁ τὴν ἀκοὴν προφθάσας, καὶ τὴν αὐτοῦ τελευτὴν προειπών. τὸν αὐτὸν οὖν τρόπον κἀνταῦθα, τῷ διαβόλῳ λέγων. πόθεν παραγέγονας; καί, προσέσχες τῷ θεράποντί μου; οὐκ ἀγνοίας προΐεται ῥήματα, οὐδὲ διδαχθῆναι βούλεται τοῦ δυσμενοῦς τὴν δίαιταν, ἀλλὰ αὐτὸν ἐκεῖνον τῆς οἰκείας ὠμότητος δεικνύει κατήγορον. αὐτὴ γὰρ ἑαυτὴν ἡ κακία πέφυκε τιτρώσκειν.

ΟΛΥΜΠ. Ἐμφαντικῶς δὲ εἴρηται τό, τῇ διανοίᾳ σου, τῇ διεστραμμένῃ

(1) Λουκ. 24. 17. (2) Ψαλμ. 32. 15. (3) Μάρτ. 15. 34. (4) Λουκ. 24. 41.
(5) Ἰωάν. 11. 34.

μενῃ δηλαδή. τῇ κακοτέχνῳ, ἣ ἀεὶ προσέχεις εἰς τὸ παρατρέψαι τῶν ἀνθρώπων τὴν εὐθύτητα. τὸ δὲ προσέσχες, λέγεται μὲν καὶ ἐρωτηματικῶς, δύναται δὲ καὶ ἀποφαντικῶς νοεῖσθαι, ἀντὶ τοῦ, οἶδα ὅτι προσέσχες. Διαφθονεῖς γὰρ αὐτῷ διὰ τὰς προσηκούσας αὐτῷ ἀρετάς. πολλοῖς δὲ ἐγκωμίοις ὁ Θεὸς βάλλει τὸν δίκαιον, πρὸς τὴν κατὰ τοῦ ἀθλητοῦ πάλιν τὸν ἀνταγωνιστὴν ἐκκαλούμενος, καὶ φησὶν, ὅτι οὐκ ἔστι κατ᾽ αὐτὸν τῶν ἐπὶ τῆς γῆς, ἀντὶ τοῦ τῶν κατὰ τοὺς αὐτοὺς χρόνους, κατὰ τὸ ἐν τῇ γενέσει περὶ Νῶε λεχθὲν, ὅτι ἦν δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ.

ΚΕΙΜ. Α῎νθρωπος ἄμεμπτος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

ΧΡΥΣΟΣΤ. Τίς βλάβη ἀνθρώπων καταφρονούντων, καὶ τῆς οἰκουμένης ἁπάσης, ὅταν ὁ τῶν Α'γγέλων δεσπότης ἐπαινῇ καὶ ἀνακηρύττῃ; ὥσπερ οὖν μὴ εὐλογοῦντος αὐτοῦ, κἂν ἅπαντες ἐπαινῶσιν οἱ γῆν καὶ θάλασσαν οἰκοῦντες, οὐδὲν ὄφελος. τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν. ὅπως αὐτὸς ἡμᾶς ἀνακηρύξῃ. κἂν τοῦτο ᾖ, πάντων ἐσμὲν ὑψηλότεροι, κἂν ἐν πενίᾳ, καὶ ἐν νόσῳ, κἂν ἐν τοῖς αἰσθητοῖς ὦμεν κακοῖς. ἐπεὶ καὶ ὁ Μακάριος Ἰὼβ ἐν κοπρίᾳ καθήμενος, καὶ τῷ ἰχῶρι τῶν τραυμάτων κεκυκλωμένος, καὶ μυρίας βρύων πηγὰς σκωλήκων, καὶ τὰ ἀνήκεστα πάσχων ἐκεῖνα, παρὰ οἰκετῶν ἐμπτυόμενος, παρὰ φίλων, παρὰ ἐχθρῶν, παρὰ γυναικὸς ἐπιβουλευόμενος, εἰς πενίαν, εἰς λιμὸν, εἰς ἀῤῥωστίαν τὴν ἀνήκεστον ἐκείνην κατενεχθεὶς, πάντων μακαριώτερος ἦν. πῶς ἐπειδὴ αὐτὸν ὁ Θεὸς εὐλόγει, λέγων, ἄνθρωπος, δίκαιος, ἄμεμπτος, ἀληθινὸς, θεοσεβής; πῶς γὰρ οὐχ ὑπερβάλλων ἅπαντας τοὺς ἐπὶ γῆς ἐτύγχανε, τοῦ Θεοῦ τῶν ὅλων αὐτῷ μαρτυροῦντος, ἐν τῷ λέγειν, ἄμεμπτος, ἄνθρωπος, ἀληθινὸς, ἀσύγκριτόν τινα τὴν ἀρετὴν ἔχων, τά τε πρὸς ἀνθρώπους δίκαια φυλάττων ἀμέμπτως, τήν τε πρὸς τὸν Θεὸν εὐσέβειαν ἀκριβῶς μετιὼν, καὶ ὅτι τὰ κατ᾽ αὐτὸν σκοπῶν ὁ διάβολος, οὐ μικρὸν τὸ περὶ αὐτοῦ ἐκέκτητο θαῦμα. τί δὲ δήποτε τῶν ἐγκωμίων ἐνταῦθα τὴν τάξιν ἀμείβει, ἴσως μὲν ἀδιαφόρως τοῦτο ποιεῖ, τάχα δὲ καὶ κατὰ τὴν φύσιν τῶν πραγμάτων καὶ τὴν ἁρμονίαν, τὸν ἔπαινον διατίθησι. πρῶτον μὲν γὰρ ἀληθινὸς πᾶς ἄνθρωπος, κατὰ τὸν τῆς δημιουργίας λόγον, εἶθ᾽ οὕτως ἄμεμπτος κατὰ τὸν τῆς πολιτείας τρόπον. ἐνταῦθα δὲ διὰ τὴν πρὸς τὸν διάβολον μάχην, τὸ ἄμεμπτον, τοῦ ἀληθινοῦ προτάσσει. ἀρετὴ γὰρ οἶδε πολεμεῖν τῇ κακίᾳ, καὶ τὸ δίκαιον τοῦ τρόπου, βέλος ὀξύτατον γίνεται τῷ βασκάνῳ, εἶθ᾽ οὕτω καὶ τὸ ἀληθινὸν ἐπισυνάπτει τῷ ἀμέμπτῳ, ἵνα καὶ τὴν φύσιν συνομολογοῦσαν δείξῃ τῷ τρόπῳ, καὶ προαίρεσιν κοσμοῦσαν τῆς φύσεως τὴν εὐγένειαν.

ΚΕΙΜ. Α'πεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον Κυρίου.

Ο'ΛΥΜΠ. Τοῦτο εἰς τὸ ἀναιδὲς τοῦ διαβόλου λαμβάνεται. τὸ γὰρ ἐναντίον τοῦ Κυρίου, εἶπεν, ἵνα δείξῃ τὴν ἀναιδῆ

γνώ-

γνώμην, τὴν ἀντιπράττειν ἀεὶ τοῖς τῷ Θεῷ δοκοῦσι σπουδάζουσαν, ὁ μὲν γὰρ Θεὸς ἐμαρτύρει τῷ δικαίῳ, ὁ δὲ συκοφαντεῖ αὐτὸν, ὡς οὐ κατ' ἀρετὴν, ἀλλὰ κατ' ἐμπορείαν, εὐσεβοῦντα, καὶ φησὶ, μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Κύριον; οὕτως διαβόλου τὰ ῥήματα, οὐκ ἀρετὴν, φησὶν, ἀλλ' ἀντιμισθίαν τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀπονέμει σοι τὸ σέβας. Μισθωτός ἐστιν οὐκ ἀληθινός. ἐκεῖνος δωρεὰν σέβεται, ὁ μήτε διὰ κολάσεις, μήτε δι' ἐπαγγελίας δουλεύων Θεῷ. Ὅρα δὲ πονηρίαν, ἐπειδὴ τῶν εἰρημένων ἐπιλαβέσθαι οὐκ εἶχε, τὴν γνώμην διαβάλλει, καὶ οὐκ ἐπιλαμβάνεται τῶν φανερῶν, ἀλλὰ τῶν ἀφανῶν.

ΔΙΔΥ. Ἴδιον δὲ τῶν πρὸς ἀρετὴν ἀπεχθανομένων, τὸ μὴ λογίζεσθαι γνήσια τὰ καλὰ τῶν πέλας, ἀλλὰ διαβάλλοντας λέγειν, ὡς ὅδε τις δίκαιός ἐστιν, δι' ἀδυναμίαν τοῦ ἀδικεῖν. ὅδε τις σώφρων, διὰ τὴν καλουμένην ἠλιθιότητα. ὁ δὲ χρήματα καὶ πορισμοὺς οὐκ ἔχει, διὰ τὸ πρὸς ταῦτα ἀνεπιτήδειον. καὶ ὅλως οὐδεὶς φαῦλος ἀποδέχεταί τινος ἀρετὴν ὡς γνησίαν.

ΒΑΣΙΛ. Δεινοὶ δὲ οὗτοι, ταῖς εἰς τὸ χεῖρον παρατροπαῖς, τὸ ἐπαινετὸν διαπτύσαι, καὶ ἐκ τῆς γείτονος κακίας, τὴν ἀρετὴν διαβαλεῖν. Θρασὺν μὲν γὰρ λέγουσι τὸν ἀνδρεῖον. ἀνάλγητον δὲ τὸν σώφρονα. τὸν δίκαιον, ἀπηνῆ, καὶ κακοῦργον, τὸν φρόνιμον, καὶ τὸν μεγαλοπρεπῆ μὲν, ὡς βάναυσον διαβάλλουσι. τὸν ἐλεύθερον δὲ, ὡς ἄσωτον, καὶ τὸν οἰκονόμον πάλιν, ὡς φειδωλὸν, καὶ ὅλως πάντα τὰ τῆς ἀρετῆς εἴδη, οὐκ ἀπορεῖ παρωνύμοις ὀνόματος, ἐκ τῆς ἀντικειμένης κακίας μετονεχθέντος. ταύτης ἀρχηγὸς ὢν τῆς κακίας ὁ διάβολος. τοιαῦτα ἐννοῶν περὶ τοῦ Ἰὼβ, ἐφανέρου αὐτὰ τῷ τὰ κρυπτὰ ἐπισταμένῳ, λέγων, ὡς διὰ τὰ ἐκτὸς ἀγαθὰ δίκαιός ἐστιν Ἰὼβ. Ὅθεν ἐπάγει.

ΚΕΙΜ. Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔξω, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ.

ΝΙΚΗΤΑ. Καθ' ὑπόθεσιν, φησιν, ὡς ἐπιβουλεύσειεν ὁ ἐχθρὸς τῷ Ἰώβ. Ἔλεγε δὲ, εἰ γυμνωθείη τῆς φρουρούσης αὐτὸν δυνάμεως, ὑποσκελίσω αὐτόν. Θεὸς δὲ εἰς δόξαν τοῦ ἀνθρώπου, καὶ αἰσχύνην τοῦ διαβόλου, συνεχώρησε τὸν ἀγῶνα. τοῦτον οὖν θέμενος τὸν σκοπὸν, ὁ ἱερολογράφος θαυματουργεῖ τὴν ὑπόθεσιν. οὐ γάρ ἐστιν ἴσον εἰς τὸ πεῖσαι, τὸ ἁπλῶς ἀποφήνασθαι, καὶ τὸ τυπῶσαι, καὶ διαγράψαι τὸν λόγον, ὥστε καὶ τὸν ἀφελέστερον προσαγάγεσθαι τῷ διηγήματι.

ΠΟΛΥΧΡ. Θαυμάζει μὲν τὸν δίκαιον ὁ πονηρὸς, ὡς εἰς ἄκρον ἀρετῆς ἐληλακότα. Ὑπόθεσιν δὲ τῆς τοσαύτης εὐσεβείας ᾤετο τῶν προσόντων τὴν περιουσίαν, οὐκ ἄλλοθεν αὐτῷ ταύτην, ἢ παρὰ Θεοῦ προσοῦσαν εἰδώς. ὅθεν καὶ εὐγνώμονα περὶ τὸν εὐεργέτην ἡγεῖτο γίνεσθαι, ἀμοιβὴν αὐτῷ πληροῦντα τὴν εὐσέβειαν.

ὈΛΥΜΠΙΟΔ. Τῶν ἀμοιβῶν ἤδη, φησὶ, τυγχάνει, πάντα τὰ αὐτοῦ ἀβλαβῆ διαφυλάττεις, εἰρήνης ἀπο-

λαύει βαθείας, οὐκ ἐμφύλιος, οὐκ ἐξωτικὸς αὐτὸν ἐλυμήνατο πόλεμος, ἔχει μισθὸν τὴν τῶν παρόντων ἀπραγίαν, ἔχει τὴν θεραπείαν, τοῦ πλούτου, καὶ αὐτόθεν ὑποκρίνεται τὴν εὐσέβειαν. πανταχόθεν αὐτῷ τὴν ἀπάθειαν πραγματεύῃ, καθάπερ τινὶ περιβόλῳ ὀχυρῷ περιφράττων, καὶ κινδύνων ἐλευθερῶν. ὅρα δὲ, πῶς δείκνυσιν ὁ διάβολος, ὡς πολλάκις ἐπεχείρησε λυμήνασθαι τὸν Ἰώβ, οὐ σὺ γάρ, φησι, περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω; ἵνα εἴπῃ τὰ κατ᾽ ἀγροὺς, καὶ τῶν βοσκημάτων τὴν περιουσίαν. πόθεν οἶδας ὅτι πέφρακται ὦ πονηρέ; δῆλον ὅτι πολλάκις βουλόμενος ταῦτα ποιῆσαι, ἃ ὕστερον λαβὼν ἐξουσίαν πεποίηκας, ἔγνως ἐκ τοῦ κεκωλῦσθαι, ὅτι πάντα περιπεφραγμένα ἦν, καὶ διὰ τοῦτο λέγεις, ὅτι σὺ περιέφραξας τὰ αὐτοῦ κύκλῳ. πάντα γὰρ ἐφ᾽ ὅσον οὐ δίδοται τῷ διαβόλῳ, Θεὸς περιφράττει.

ΚΕΙΜ. Τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας.

ΠΟΛΥΧΡ. Τουτέστι πληθύνει αὐτοῦ τὰ γεώργια, τῆς γῆς αὐτῷ ἀφθόνως τοὺς καρποὺς παρεχομένης, βαθέα μὲν προδεικνυούσης τὰ λήϊα, πολὺν δὲ φαινούσης τὸν βότρυν ὑπὲρ κλημάτων, βρύουσαν δὲ τῷ Καρπῷ τὴν ἐλαίαν παρεχομένης, καὶ πᾶσαν ἐπαγγελλομένης τὴν ἐξ ἀκροδρύων τρυφήν. τοιαῦτα δέσποτα παρὰ σοῦ, γῆς ἐπιτηδειότης, ἀέρων εὔκρατοι καταστάσεις, σπερμάτων ἀφθονίαι, βοῶν συνεργείαν, τὰ ἄλλα, οἷς γεωργία πέφηκεν εὐθηνεῖσθαι.

ΚΕΙΜ. Καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς τὸν πλοῦτον παρὰ τοῦ Θεοῦ δεδομένον, ὁρᾷς ὅτι οὐκ ἐξ ἀδικίας. σὺ γάρ, φησι, περιέφραξας, σὺ εὐλόγησας, σὺ πολλὰ τὰ αὐτοῦ ἐποίησας. πόσα ἔδει καμεῖν τὸν Ἰώβ, ὥστε πεῖσαι τοὺς ἀνθρώπους ὅτι οὐκ ἐξ ἀδικίας ἦν ὁ πλοῦτος; ἰδοὺ ὁ διάβολος αὐτῷ τούτῳ ἐμαρτύρησεν, κἂν οὐκ οἶδεν.

ΚΕΙΜ. Ἀλλ᾽ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.

ΔΙΔΥ΄. Χεῖρα Θεοῦ διαφόρως ἐκληπτέον, ἢ τὴν κολαστικὴν, καὶ εἰς τοῦτο ὑπηρετικὴν δύναμιν, ἥτις καὶ σκεῦος ὀργῆς λέγεται, (1) κατὰ τὸ, ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν, ἢ τὴν φρουρητικὴν, καὶ σκεπαστικὴν δύναμιν, ὡς τὸ, (2) ἔπλασάς με, καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου. ἐνταῦθα τοίνυν, τὸ ἀπόστειλον τὴν χεῖρά σου, ἀντὶ τοῦ πληκτικῶς αὐτοῦ περίδραξαι, εἴρηται· τὸ δὲ, ἅψαι αὐτοῦ, ἀντὶ τοῦ, καθάψαι, ἐπάγαγε θλιβερά. Ἔχομεν δὲ καὶ τούτου παράδειγμα, (3) τὸ μὴ ἅψησθαι τῶν χριστῶν μου. Οὐ γὰρ τὴν ἁπλῆν ἀφὴν ἀπαγορεύει, ἀλλὰ τὴν κατὰ τῶν Ἁγίων τόλμαν ἐπὶ κακώσει. ὅρα δὲ ὅπως πανούργως, καὶ μεθ᾽ ὑποκρίσεως, οὐ λέγει, ὅτι ἐπίτρεψόν μοι, ἀλλὰ σὺ ποίησον. Συνοίδε γὰρ τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ ὅμως μέμηνε καὶ ἀλαζονεύεται.

(1) Ψαλ. 43. 2. (2) Ψαλ. 138. 5. (3) Ψαλ. 130. 5.

ται, ὅπερ τῆς ἐχάτης ἀνοίας ἐςίν. σὺ δέ μοι θεώρει καὶ ἑτέραν κακίαν, καὶ τυφλότητα διαβολικὴν, ὅτι τὸν μόνον ἀγαθὸν πείθειν ἐθέλει κακοποιεῖν. Κατὰ πολλὴν δὲ λίαν ὠμότητα, οὐκ ἀρκεῖται μέρος αὐτοῦ τῆς οὐσίας ἀπολέσαι, ἤ τινας τῶν παίδων, ἀλλ' ἀθρόον πάντων αὐτῶν ἔρημον καταςῆσαι βούλεται. Διὸ οὐ μερικῶς, ἀλλὰ καθολικῶς ἐξαιτεῖται τὸν δίκαιον, λέγων, ἅψας πάντων ὧν ἔχει, γύμνωσον αὐτὸν πάσης ἀνθρωπίνης ἐλπίδος, ἔσω θλίψεων, καὶ θρήνων εἰκὼν ἀπαράβλητος. τότε γὰρ καὶ τὸ ἀχάριςον, καὶ τὸ ἀγνωμον θαυμασθήσεται, ταῖς μεταβολαῖς μηδαμῶς ἐλεγχόμενον. εἰ οὐκ εἰς πρόσωπόν σε εὐλογήσει. τουτέςιν. ἐὰν μὴ τότε σε φανερῶς βλασφημήσῃ, καὶ ἐναντίον σου θρασυνόμενος ἀκονήσει τὴν γλῶσσαν, ἅτε τῶν συμφορῶν μὴ βαςάζων τὸ μέγεθος.

ΧΡΥΣΟΣΤ. Τοῦτο γάρ ἐςι, τὸ, εἰς πρόσωπον, φανερῶς, ἀναισχύντως, οὐχ ὑποςελλόμενος.

Ο'ΛΥΜΠ. Εὐφήμως δὲ ἡ γραφὴ, τὸ, εὐλογήσει, ἀντὶ τοῦ βλασφημήσει, χρῆται. ὥσπερ καὶ ἐν ταῖς Βασιλείαις γέγραπται περὶ τοῦ Ναβουθαὶ, (1) εὐλόγησε Θεὸν καὶ βασιλέα.

ΔΙΔΥΜ. Κἀνταῦθα τοίνυν, ἀντὶ τοῦ καταράσεται, καὶ βλασφημήσει σε, ὁ διάβολος εἶπεν, τῷ εὐφημοτέρῳ χρησάμενος ὀνόματι, ὅπως μὴ πρὸς Θεὸν τὴν τραχυτέραν προσενέγκηται λέξιν, μηδὲ ἐρεῖ, ὅτι ἐξ ἐναντίας αὖ σοι ἔςη, τῷ Θεῷ.

ΚΕΙΜ. Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ, ἰδοὺ πάντα ὅσα ἔχει δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ὁ μὲν διάβολος οὐκ εἰδὼς τὸ μέλλον, οὐδὲ ἐμβατεύων καρδίαις, μάτην ἐπαγγέλλεται τὴν ἧτταν τοῦ δικαίου. Εἴπερ γάρ φησιν, εἰ συνεχώρησέ μοι ὁ Θεὸς ἅψασθαι τῶν αὐτῷ προσόντων, καὶ γυμνώσω τῆς προσούσης περιουσίας τε καὶ δόξης, παρεσκεύασα ἂν αὐτὸν βλάσφημα ῥήματα φθέγξασθαι. ὁ δὲ Θεὸς τοῦ μέλλοντος προγνώςης ὢν, οἶδεν ὡς νικήσει ὁ ἀθλητής. Ὅθεν καὶ συνεχώρησε τῷ διαβόλῳ τὰ κατὰ γνώμην πρᾶξαι περὶ τὸν δίκαιον, μόνον εἴρξας αὐτὸν τῆς κατὰ τοῦ σώματος βλάβης.

ΧΡΥΣΟΣΤ. Οὕτω γάρ, φησι, θαῤῥῶ τῷ ἐμῷ ἀθλητῇ, ὅτι σὺ εἶπας, ἀπόςειλον τὴν χεῖρά σου, ἐγὼ δὲ λέγω, ὅτι ἐν τῇ χειρί σου δίδωμι πάντα ὅσα ἐςὶν αὐτῷ, τῇ χειρί σου, τῇ μιαρᾷ, τῇ ἀκορέςῳ. τί φῂς; τίς χρεία μετὰ τὴν σὴν μαρτυρίαν, ἑτέρας βασάνου; ἵν' ἐπιςομισθῇ, φησὶν, ὁ διάβολος, ἵνα λαμπρότερος φανῇ ὁ δίκαιος, ἵνα τοῖς μετὰ ταῦτα, καὶ ὑπομονῆς καὶ θλίψεως φάρμακα καταλίπωμεν.

Ο'ΛΥΜΠΙΟΔ. Ὅρα δὲ, ὅτι τοῦ πονηροῦ μὴ εἰρηκότος, ἐπίτρεψόν μοι, ὁ μέγας ἀγωνοθέτης τὴν ἀνδρείαν ἐπιςάμενος τοῦ οἰκείου ἀθλητοῦ, αὐτῷ τῷ ἀντιπάλῳ δίδωσιν αὐτὸν ἔκδοτον, κεῖσθαι

(1) Βασιλ. 2. 20. 13.

θαι ὡς βέλεται. εἰδὼς δὲ τοῦ μισανθρώπου τὸν ἀκόρεστον θυμὸν, μέτρῳ περιορίζει τὸ ἀόριστον αὐτοῦ τῆς ἐπιθυμίας. τοῖς μὲν γὰρ αὐτοῦ, φησὶν, ὡς βέλει κέχρησο, αὐτοῦ δὲ μὴ ἅψῃ.

Α'ΠΟΛΙΝ. Ε'νταῦθα αἰνίττεται, ὅτι οὐκ ἐβέλετο ὁ διάβολος μέχρι τῶν παίδων στῆσαι τὴν πληγὴν, ἀλλὰ καὶ αὐτοῦ ἅψασθαι τοῦ δικαίου, ὃ μὴν ἐτόλμα, ἀλλ' ἢ συγχωροῦντος τοῦ Θεοῦ. δείκνυται οὖν καὶ ἐντεῦθεν, ὅτι οὐδὲ μίαν ἔχει καθ' ἡμῶν ἐξουσίαν ὁ διάβολος, εἰμὴ ὑπὸ Θεοῦ συγχωρηθῇ, κατὰ τὰς αὐτοῦ περὶ ἡμᾶς ἀοράτους οἰκονομίας.

ΔΙΔΥ'ΜΟΥ. Τὸ γὰρ ἰδοὺ δέδωκα πάντα ἐν τῇ χειρί σου, παραστατικόν ἐστι, τοῦ μὴ χωρὶς θείας συγχωρήσεως ὑποπίπτειν τινὰ πειρασμοῖς. ἵνα δὲ φανερὸν γένηται ὅτι μέτρῳ καὶ τὴν συγχώρησιν ποιεῖται, ἐπιφέρει, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. ὅθεν δῆλον, ὅτι, οὔτε εἱμαρμένῃ, αἱ περιστάσεις συμβαίνουσιν, οὔτ' ἐκ ταυτομάτου, ἀλλ' ἐκ Θεοῦ συγχωρήσεως.

Ο'ΛΥΜ. Ο'ρα δὲ σοφίαν ἀγωνοθέτου. πρῶτον ἐᾷ τὸν ἀθλητὴν ἐν τοῖς ἔξωθεν, καὶ ἀκινδυνωτέροις διαγυμνασθῆναι, εἶτα νικηφόρον ἀναδείξας, τότε προτίθησι καὶ τὸν περὶ τὰς σάρκας ἀγῶνα. πῶς γοῦν μετρεῖ τὴν συμφορὰν, καὶ μένειν μὲν αὐτὸν ἀσφαλῶς κελεύει, τὰ δὲ περὶ αὐτὸν ἐκδίδωσι. τί γὰρ ἂν ἐντεῦθεν πάθοι φιλόσοφος ἀνὴρ, ὁ μὴ τιμᾶν ἐγνωκὼς τὰ φθορᾶς καὶ γέλωτος ὑπόθεσιν;

ΚΕΙΜ. Καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ Κυρίου.

Ο'ΛΥΜΠ. Καίτοιγε οὐκ ἔστι τόπος ἔξω τῆς τοῦ Θεοῦ δεσποτείας, ἀλλ' οὕτως εἶπεν, ἵνα δείξῃ ὅτι τὴν ἐπιτροπὴν λαβὼν διὰ τῆς συγχωρήσεως, εἴχετο λοιπὸν τοῦ ἔργου. καὶ ὅτι ἐντὸς τοῦ ἀγαθοῦ, φαῦλον οὐδὲν, οὔτε εἶναι, οὔτε πράττεσθαι δύναται. ἔξω γάρ εἰσι τοῦ ἀγαθοῦ τὰ φαῦλα. κατὰ μὲν οὖν τὸν ἐμὸν λόγον, τὸ, ἐξῆλθε παρὰ Κυρίου, ἀντὶ τοῦ, παρ' αὐτοῦ λαβὼν τὸν ἐνδόσιμον, ἀπῄει λοιπὸν ἐνεργήσων ὅσα συνεχωρήθη.

ΔΙΔΥ'ΜΟΥ. Κατὰ δέ τινας, εἰμὴ ἔξω γέγονεν τοῦ Θεοῦ ὁ διάβολος, οὐκ ἂν ἐνέργησε τὰ κατὰ τοῦ Ἰώβ. κυριολεκτεῖται δὲ ἐπὶ τούτου μᾶλλον, ἢ ἐπὶ τοῦ Κάϊν, τὸ, (1) ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου, ὃ δηλοῖ τὸ ἀφάνταστον τοῦ Θεοῦ εἶναι αὐτόν. οὗτος γὰρ ἀεὶ τῶν ἔξω τυγχάνει, εἰ καὶ προσποιητῶς ἦλθε μετὰ τῶν παραστατῶν τοῦ Θεοῦ.

ΙΟΥΛΙΑΝΟΥ͂. Ο'ταν μὲν οὖν εἴπῃ, ὅτι ἦλθεν ὁ διάβολος, τὴν ὑπόθεσιν τοῦ πράγματος, καὶ τὴν ἐπιχείρησιν, ἐξηγεῖται. ὅτε δὲ, τὸ, ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου τὴν συγχώρησιν διηγεῖται τοῦ Θεοῦ, καὶ τὴν δοθεῖσαν αὐτῷ κατὰ τῶν τοῦ δικαίου κτημάτων ἐξουσίαν. ὡς καὶ, τὸ, (2) ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, τουτέστιν ἔχων τὸν ὅρον τοῦ ἐπ' αὐτῷ τιθέντος προστάγματος. ἐντεῦθεν διδασκόμεθα, τὸν εἰς ἐπιβουλὴν αὐθ...

(1) Γεν. 4. 16. (2) Γεν. 4. 16.

ἀνθρώπε τρεπόμενον, ἐξέρχεσθαι παρὰ τῆ Κυρίε. Καθὼς καὶ περὶ τῆ Ἰσκαριώτε εἴρηται, ὅταν τὴν προδοσίαν ἐμελέτησεν, ὅτι, ἐξῆλθεν Ἰέδας, (1) ἦν δὲ νὺξ, ἐ μόνον ἡ αἰσθητὴ, ἀλλὰ καὶ ἡ νοητὴ, τῆς πωρώσεως. Νὺξ γὰρ ἦν περὶ αὐτὸν τῶν κακῶν, ἡνίκα τὸ φωτὸς ἀνεχώρησε.

ΚΕΙ'Μ. Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη.

Ο'ΛΥΜΠ. Αὕτη τῆ ἥκέτις ἡμέρα, ἐν ᾗ τὸ θέατρον ἠνοίχθη, καὶ ὁ Ἀγὼν συνεκροτήθη, καὶ ὁ ἀθλητὴς κατέβη πρὸς τὰ παλαίσματα. καὶ ὅρα ὡς ἐν ἡμέρα μιᾷ πάντα ὁ διάβολος ἐπήγαγε τὰ δεινὰ, εἰς ἔκπληξιν αὐτὸν, ἢ ἀγανάκτησιν. Καὶ βλασφημίαν κινῆσαι βελόμενος. Τῦτο γὰρ καὶ ὑποσχόμενος ἐτύγχανε, φήσας, εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.

ΧΡΥΣΟΣΤ. Ἵνα τοίνυν ὁ συγγραφεὺς δείξῃ τὸ ὀξὺ τῆς ἐπιβελῆς τῦτο φησιν. Οὔπω γὰρ μεσέσης ἡμέρας ἤρξατο τῆ πολέμε.

ΔΙΔΥ'. Ἀκολέθως καὶ τῆς ἡμέρας μνημονεύει, καὶ τῆς συνελεύσεως τῶν τέκνων, ἵνα ἔτι καὶ τὸ τῆ θανάτε αὐτῶν γένηται πιςὸν, ἀθρόως ὑφ' ἕνα Καιρὸν ὑπὸ τὴν πτῶσιν τῆς οἰκίας ἀποθανέντων.

ΚΕΙ'Μ. Καὶ οἱ υἱοὶ Ἰὼβ, καὶ αἱ θυγατέρες αὐτῦ, ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τῦ ἀδελφῦ αὐτῶν τῦ πρεσβυτέρε.

ΠΟΛΥΧ. Τίνος ἕνεκεν τῆ συμποσίε τῶν παίδων ἐμνημόνευσε, μέλλων τὴν τῶν βοῶν ἁρπαγὴν λέγειν; ἢ πάντως ἵνα παραςήσῃ τὴν κατὰ πάντων ἀθρόαν ἀπώλειαν, καὶ τὸ ἀπροσδόκητον τῆ κακῦ, καὶ τὸ ἐν μιᾷ ἡμέρᾳ πᾶσαν τὴν τῦ πάθες τραγῳδίαν συμβῆναι, ἢ ἵνα εἴπῃ ὅτι τῆς ἐξεσίας λαβόμενος, εἴχετο τῦ προκειμένε. Καὶ δὴ τῆς ἡμέρας ἐν σάσης καθ' ἣν τὴν μάχην ἔδει συγκροτεῖσθαι τὴν πρὸς τὸν δίκαιον. Οἱ μὲν παῖδες ἦσαν ἐν εὐωχίᾳ ἐπὶ μιᾶς ἑςίας, ἐδὲν τῶν δεινῶν ἐλπίζοντες. ὅθεν καὶ ηὐπόρησε τῆς ἀθρόας κατ' αὐτῶν ἀπωλείας ὁ διάβολος, ἅμα πάντας αἱρῶν, καὶ σχήματι πολεμικῷ, τῆς ἀποτμίας τὴν ὑπόθεσιν ἀφείλετο.

ΚΕΙ'Μ. Καὶ ἰδὲ Ἄγγελος ἦλθε πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ, τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύσαντες ᾐχμαλώτευσαν αὐτὰς, καὶ τὲς παῖδας ἀπέκτειναν ἐν μαχαίραις, σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τῦ ἀπαγγεῖλαί σοι.

Ο'ΛΥΜΠ. Ἠδύνατο μὲν ὁ διάβολος ἐξεσίαν παρὰ τῆ Θεῦ λαβὼν, καὶ πολεμίων διερεθίσαι ψυχὰς, καὶ πῦρ αἰθέριον κατάγειν, καὶ μόνες Ἀγγέλες σώζειν τῶν συμφορῶν, καὶ πνεῦμα συγκινεῖν εἰς τὴν τῆς οἰκίας καταπτω-

(1) Ἰωάν. 13. 30.

D

τύπτωσιν, τῇ Ἀγγελικῇ δυνάμει χρώμενος, ἣ ἐξ ἀρχῆς εἴληφε παρὰ τοῦ δημιουργοῦ, ἠδύνατο δέ, ὡς ἔφην, παρὰ Θεοῦ συγχωρούμενος. ἠδύνατο δὲ καὶ σχηματίζεσθαι, καὶ τοὺς οἰκείους δορυφόρους δαίμονας διασκευάζειν, ὡς πολεμίους φαίνεσθαι, καὶ εἰς ἀνθρώπους ἀπαγγέλοντας τὰς συμφοράς. Καὶ πυρὸς ὑπόληψιν ποιεῖν ἐξ οὐρανοῦ κατερχομένου, καὶ πνοῆς ἀνέμου βιαίας φερομένης κατὰ τῆς οἰκίας. Ὅπου γε καὶ εἰς Ἄγγελον φωτὸς (1) μετασχηματίζεται, τοιαύτην τινὰ φύσεως ἐξουσίαν παρὰ τοῦ δημιουργοῦ λαχών. Εἴτε οὖν οὕτως, εἴτε ἐκείνως ἠγωνίσατο, πλὴν ὅτι πικρῶς, καὶ ἐντέχνως, καὶ κακοήθως ἐχρήσατο τοῖς παλαίσμασιν φανερόν ἐστιν. Ὅρα γὰρ Ἀγγελίαν διαβολικὴν κακοτέχνως, καὶ κατὰ τὴν αὔξησιν προερχομένην, ἐφ᾽ ᾧ τὴν ἄσειστον τοῦ δικαίου καταπεῖσαι ψυχήν. Οὐκ εἶπεν ἁπλῶς, τὰ ζεύγη τῶν βοῶν, ἀλλὰ καὶ ἠροτρία, ἀντὶ τοῦ, πόρον, τῶν ἐκ τῆς γῆς προσόδων εἰργάζοντο. Οὐδὲ ἁπλῶς εἶπεν, αἱ ὄνοι, ἀλλὰ αἱ θήλειαι, ἐξ ὧν ἡ ἐπιγονή, καὶ ἡ αὔξησις. Εἶτα εἰρηκὼς τὴν ἀφαίρεσιν τῶν ἀλόγων, τότε εἰς αὔξησιν τοῦ πάθους, προστίθησι, καὶ τῶν οἰκετῶν τὴν ἀναίρεσιν, τῶν ἐπὶ τοῖς κτήνεσι τεταγμένων.

ΧΡΥΣΟΣΤ. Φόνος τῇ ἀπωλείᾳ ἀναμέμικται, ὅπερ φορτικοὺς ποιεῖ τοὺς πολεμίους φαίνεσθαι. Πολλὴ ἡ ὠμότης, καὶ ἡ ἀπανθρωπία, διπλῆ ἡ συμφορά, φόνος, καὶ αἰχμαλωσία. Καὶ ἡ σωτηρία τοῦ περιλειφθέντος, προσθήκη τῶν κακῶν.

ὉΛΥΜΠ. Σέσωσται γὰρ μόνος ὁ ἀπαγγείλας ταῦτα, οὐ φιλανθρωπίᾳ τοῦ πολεμίου, ἀλλ᾽ ἵνα μηνυτὴς τῶν σκυθρωπῶν γένηται. Ἴσως δὲ οὐκ ἄνθρωπος ἦν ὁ ἀπαγγέλλων, ἀλλ᾽ αὐτὸς ὁ δαίμων, εἰς τοὺς Ἀγγέλους ἐσχηματίζετο.

ΧΡΥΣΟΣΤ. Εἶδες πόση ταχύτης τῆς πληγῆς, καινὴ καὶ ξένη ἡ συμφορά, ὁ ἐν τοσαύτῃ ἀφθονίᾳ, καὶ μηδέποτε πεῖραν λαβὼν τοιούτου τινός, ἐξαίφνης γέγονεν ἐν ἀφαιρέσει τῶν ὄντων πάντων. Οὐ γὰρ τὰ μὲν ἀφῃρέθη, τὰ δὲ ὑπελείφθη, πρὸς παραμυθίαν τινὰ τῶν ἀπολλυμένων, ἀλλ᾽ οὗτος ὑπολείπεται μόνος, ὁ τὴν τραγῳδίαν ἀπαγγέλων.

ΔΙΔΥΜ. Κατανοεῖν δὲ ἄξιον, ὅπως τὰ τῆς ἐπαγγελίας ἀθρόως γεγενημένα, καὶ ἐκ τῆς διηγήσεως ἔχει τὸ βαρύ, καὶ τό, πρὸς λύπην ὑπερβάλλουσαν, ἐπιρρεπές. Ἀλλ᾽ εἰ καὶ ἱκανὰ ἦν ταράξαι, διὰ τὸ ἀθρόον τοῦ χαλεποῦ, ὅμως οὐκ ἐταράχθη ὁ δίκαιος. Εἴρηται γοῦν ἐν ἑνὶ τῶν ψαλμῶν, περὶ τοῦ Ἁγίου, (2) ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

ΠΟΛΥΧΡ. Ἀντὶ μέντοι τοῦ, ἐλθόντες οἱ αἰχμαλωτεύσαντες, ἐπέπεσον οἱ σαβαῖται, ἔχει τὸ ἑβραϊκόν, εἴτουν, οἱ Σαρακηνοί. Τὸ δέ, ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι, ὁ ἑβραῖος, ἐσώθην, ἔχει, τοῦ ἀπαγγεῖλαί σοι, μόνον. Ἐμφαντικώτερον δὲ τοῦ διαβόλου ἡ διάνοια γνωρίζεται, διὰ τοῦ ῥηθέντος. Εἴτε γὰρ ἐσχηματίζετο ὁ παρών, εἴτε

οὕτως

(1) Κορ. 2. 11. 14. (2) Ψαλ. 112. 7.

ὄντως τὶς τῶν οἰκετῶν διεσώθη, δείκνυται πικρῶς διασκελίσας τὸ συμβάν, πρὸς αὔξησιν τοῦ πάθους.

ΚΕΙΜ. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος Ἄγγελος, καὶ εἶπε πρὸς Ἰώβ, πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως, καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

ΟΛΥΜΠ. Ἐπειδὴ πρὸς τὴν πρώτην ἀκοὴν ὁ δίκαιος οὐκ ἐταράχθη, ἀλλὰ γενναίᾳ ψυχῇ τὴν Ἀγγελίαν ἤνεγκε, καὶ τὴν πεῖραν τοῦ δυσμενοῦς ἀπεκρούσατο, εὐθὺς ἕτερος τοῦ διαβόλου δωρυφόρος ἐπέστη, οὐκ ἔτι μὲν αὐτὸν ἐξ ἀνθρώπων πολεμεῖσθαι, λέγων, οὐρανόθεν δὲ κεραυνῷ βληθῆναι τὰ πρόβατα, καὶ τοὺς ποιμένας, καὶ τὸν Θεὸν αὐτῷ παραδηλῶν πολέμιον γεγονέναι τὸν ὑπ᾽ αὐτοῦ σεβόμενον.

ΠΟΛΥΧΡ. Πικρότατα γὰρ ὁ διάβολος, ἐκ τοῦ οὐρανοῦ φέρεσθαι τὸ πῦρ, ἐσχηματίσθη, ἵνα μὴ παρ᾽ ἀνθρώπων νομίσῃ πολεμεῖσθαι μόνον, ἀλλὰ καὶ παρὰ Θεοῦ, ὃν εὐσεβεῖν ἐσπούδαζε, καὶ εἰς ἀνελπιστίαν βοηθείας πέσῃ καὶ εἰς ἀπόγνωσιν.

ΧΡΥΣΟΣΤ. Μεμελήθη ὁ πονηρὸς, ὅτι κακῶς τὰ πρῶτα ἀπήγγειλε. Κακῶς φησὶν, ἐτόξευσα, οὐ κατὰ σκοποῦ ἔβαλον, περιεπλανήθη ἡ ἄτρακτος, εἰπὼν, ὅτι οἱ ἄνθρωποι τὰ ζεύγη, καὶ τὰς ὄνους ᾐχμαλώτευσαν, δύναται λογίσασθαι ὁ Ἰώβ, ἄνθρωποί με ἠδίκησαν, τί τοῦτο πρὸς τὸν Θεόν; τὴν τῶν ἀνθρώπων ἀδικίαν Θεῷ ἐπιγράψω; ἄλλοι οἱ ἀδικήσαντες, καὶ ἕτερος ἐστὶν ὁ βλασφημούμενος. Ἵνα οὖν μεταγάγῃ αὐτοῦ τὴν διάνοιαν ἀπὸ τῶν ἀνθρώπων εἰς Θεὸν, φησὶ, πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ. Ἀκύλας δὲ, καὶ Θεοδοτίων, πῦρ, εἶπον, Θεοῦ. [illegible] δυνάμη εἰπεῖν, ὅτι ἐχθροὶ ἔρριψαν αὐ[illegible]θεν, ὕβρισον τὸν ἀδικήσαντα, βλασφήμησον τὸν πολεμήσαντα. Διατί λατρεύεις αὐτῷ; διατὶ προσκυνεῖς τὸν ἀναλίσκοντά σου τὰ κτήματα; μὴ νόμιζε ἀνθρωπίνας εἶναι τὰς πληγὰς ἀκέστας, αἰχμαλωτεύοντας. Ἄνωθέν σοι πολεμεῖ, ἐκ τοῦ οὐρανοῦ ὁ Θεός. Καὶ δῆλον, ὥστε καὶ πῦρ κατελθὸν ἐκ τοῦ οὐρανοῦ, κατέφαγε τὰ πρόβατα. Ὅρα πόση τοῦ διαβόλου ἡ δύναμις, πῶς ἔθνη τοσαῦτα ἐκίνησεν, εἴτε δαίμονας σχηματίσας εἰς πολεμίους, σύ μοι τὴν σκολιὰν νόησον μὴ νομίζων πῦρ εἶναι κατ᾽ ἀλήθειαν. Οὐ γὰρ δύναται δημιουργεῖν, ἀλλ᾽ οὕτως ἔδειξε καταφλέξαι ἅπαντα, ἢ εἴπερ ἦν κατ᾽ ἀλήθειαν πῦρ, ἐκ τοῦ ὄντος καὶ τοῦτο κεκίνηκε, Θεοῦ ἀφέντος.

ΔΙΔΥΜ. Οὐ γὰρ ὁ διάβολος ἐξουσίαν ἔχει πῦρ ἐξ οὐρανοῦ καταγαγεῖν, ἀλλὰ θείᾳ κρίσει τοῦτο γεγένηται, ὅπως παραστήσῃ τῷ σατανᾷ, ὁ δεδωκὼς τὴν ἐξουσίαν αὐτῷ τῶν τοῦ Ἰὼβ Θεὸς, ὅτι οὐδὲ μέλλει τῷ μακαρίῳ τῶν ἀνθρωπίνων, κἂν πολλὰς πλέκῃ μηχανὰς, καίτοιγε εἰ καὶ τὰ δόγματα τῆς ἀληθείας ἠκριβωκὼς ὁ Ἅγιος, ἐγίνωσκεν, ὡς οὐκ ἄνευ Θεοῦ ἡ τῶν πειρασμῶν ἐπιτροπὴ γέγονεν, ἀλλ᾽ ἱκανὸν ἦν τὸ γινόμενον, μεγίστην αὐτῷ φέρειν λύπην, διὰ τοὺς σκανδαλιζομένους, ὡς καὶ Θεοῦ κατ᾽ αὐτοῦ χωροῦντος. Τὸ γὰρ τοὺς αἰχμαλωτίζοντας

ἐπελθόντας, τὰ μὲν κτήνη ἀπελάσαι, τοὺς δὲ παῖδας, ἀποσφάξαι, ἠδύναντο λογίσασθαι οἱ ἁπλούστεροι, ὅτι νόμῳ πολέμου, ἀλλ' οὐκ ἀπὸ Θεοῦ γέγονεν. Ὅτε δὲ πῦρ ἐπήγγελται οὐρανόθεν κατελθὸν, δέος ἦν, μή τις λογίζεται τῶν ἀσθενῶν, ὡς οὐδὲν θαυμαστὸν ἡ ἀρετὴ, καὶ παρὰ Θεοῦ τιμωρουμένου τοῦ ταύτην ἔχοντος. Ἀλλὰ καὶ τούτου συμβάντος, ὁ Ἅγιος οὐκ ὤκλασεν. Ὅθεν πρὸς τὸ ἀνένδοτον τοῦ ἀθλητοῦ ἐναργέστατα δηλοῦσθαι εἴρηται, τὸ, ὅτι οὗτος ἐλάλει, καὶ οὗτος ἦλθεν. Ἵνα γὰρ μηδεμίαν τῶν πόνων ἀνάψυξιν τῷ παλαιστῇ δῷ, ἀλλὰ τῷ συνεχεῖ τῆς Ἀγγελίας ταράξῃ τὸν δίκαιον, καὶ καθάπερ ναῦν, τῷ ἀπαλλήλῳ τῶν κυμάτων ὑποβρύχιον γενέσθαι παρασκευάσῃ τοῖς πάθεσι. πυκνὰ κατ' αὐτοῦ πέμπει τὰ πικρὰ βέλη τῶν συμφορῶν. Αὐτὸς ὁ τῶν κακῶν ἐργάτης, αὐτὸς ὁ Ἄγγελος, αὐτὸς ἔπληξε τὰ κτήνη, καὶ αὐτὸς ἀπαγγέλλει τὴν πληγὴν, καὶ ταύτην κατὰ τὴν συνέχειαν, ἵνα μηδὲ ἀναπνεύσῃ ὁ ἀκούων.

ΚΕΙ'Μ. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος Ἄγγελος, καὶ εἶπε πρὸς Ἰὼβ, οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις, ἐσώθην δὲ, ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

ΟΛΥΜΠ. Ἡ πάλιν κάτωθεν ἀγγελία τοῦ πολέμου, ὡς ἂν ἀπείπῃ, καὶ ὑπὸ Θεοῦ, καὶ ὑπὸ ἀνθρώπων πολεμούμενος. Τὸ δὲ, κεφαλὰς τρεῖς, ἀντὶ τοῦ, διέταξαν ἑαυτοὺς οἱ πολέμιοι εἰς ἀρχὰς καὶ τάγματα τρία. Οὕτω γὰρ Ἀκύλας ἐκδέδωκεν, οἱ Χαλδαῖοι ἔθηκαν καθ' ἡμῶν τρεῖς ἀρχάς. Σώζεσθαι δὲ πάλιν μόνον, φησὶ, τῶν συμφορῶν ἀγγελιαφόρον. Προσέθηκε δὲ καὶ τῶν ἀνθρώπων τὴν ἀναίρεσιν, ἐφ' ᾗ μάλιστα ἀλγοῦσιν οἱ δίκαιοι.

ΔΙΔΥ'Μ. Τὸ γοῦν, καὶ περὶ τῆς σφαγῆς τῶν παίδων ἀκοῦσαι, καὶ ἀνδρείως ἐνεγκεῖν, τοῦτο δείκνυσι τὴν ἀνδρείαν τε τοῦ δικαίου, καὶ καρτερίαν. Δῆλον δὲ ὡς ὑφ' ἓν πάντα γέγονε, μηδὲ ἀκουσάντων υἱῶν τὰ συμβεβηκότα, καὶ γὰρ ἐσημειώσατο ἡ γραφὴ, ὅτι παρὰ τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν ἠρίστων. ταῦτα ἱκανὰ ἦν εἰς ἔκστασιν ἀγαγεῖν καὶ θορυβῆσαι, τοὺς μὴ λογιζομένους τὰς συνεχεῖς τροπὰς τῶν πραγμάτων καὶ ἀλλοιώσεις. τοὺς συνέχειν πειρωμένους τὰ μὴ ἴδια, ὧν ἡ κτῆσις λυπηροτέρα, καὶ τῆς πρώτης στερήσεως. Ἤδη γάρ τινες τῷ ἀθρόῳ τῆς μεταπτώσεως προσομιλήσαντες, καὶ περὶ αὐτὸν τὸν σώφρονα νοῦν ἐκινδύνευσαν, τοσοῦτον ἁλόντες ὑπὸ τοῦ πάθους, ὅσον καὶ ἠγάπησαν τὰ μίσους ἄξια, καὶ φυγῆς. Μετρεῖ γὰρ αὐτοῖς τὴν ἀθυμίαν, τῆς πολλῆς ἀθυμίας τὸ ἀβασάνιστον. Τὸ γὰρ μὴ πρὸς κτῆσιν ἐλθὸν, καὶ λύπης ἐστὶν ἀπείρατον. Τὸ δὲ ἐν πείρᾳ γενόμενον, καὶ πρὸ τῆς στερήσεως σύνοικον ἔχει τὸν φόβον τοῦ πάθους, καὶ μετὰ τὴν στέρησιν δειμείας φέρει τὰς ὀδύνας. Εὐθυμία γὰρ ἀχαλίνωτος, καὶ νοῦς ἀπαιδαγώγητος, τελευταίοις ἁλίσκεται θρήνοις, ἀλλ' οὐ τοιοῦτος ἦν ὁ Ἰὼβ ὁ ἀοίδιμος, τῆς καρτερίας τὸ θαυμαστὸν χρῆμα, τῆς ἀνδρείας ὁ ἀκρότατος ὅρος, τὸ τῆς δι-

στε-

σεβείας κεφάλαιον, τῆς φιλοσοφίας τὸ μέγα παράδειγμα, φέρειν γὰρ οἶδε, καὶ εὐθυμίαν σωφρόνως, καὶ συμφορὰν γενναίως. Ἡ γὰρ προλαβοῦσα φιλοσοφία ταῖς μετὰ ταῦτα πληγαῖς οὐδαμῶς ἀπελέγχεται. Πῶς δ' αὖ καὶ ἐγένετο τὸ πάθος ἀφόρητον, τῷ τὰ θεῖα πεπαιδευμένῳ, καὶ προασκηθέντι καλῶς τὴν εὐσέβειαν. Ὁ γὰρ τὸν πλοῦτον κοινὸν ἔχειν πεπαιδευμένος, ταῖς δαπάναις τῶν δεομένων πλουτεῖ, καὶ οὐκ εὐλαβεῖται τὴν στέρησιν. Διὸ καὶ ἀφιστάμενος οὐ δυσχεραίνει, φιλοσοφίας δὲ μᾶλλον ἀφορμὴν τὸ πάθος πεποίηται, καὶ τοῖς φαιδροῖς χαλινὸν ἐπιτιθεὶς τοῦ ἤθους τὸ μέτριον, καὶ τοῖς λυπηροῖς εἴκειν, οὐκ ἀνεχόμενος, οἷα καὶ φρουρούμενος ἄνωθεν. Οἶδε γὰρ φιλοσοφία πρὸς ἑκατέραν μεταβολὴν σωφρονεῖν, ὅθεν οὔτε ταῖς πολυτελείαις ἐξυβρίζει. Πλουτεῖ γὰρ φιλοσοφίαν. Οὔτε καταβαπτίζεται ταῖς συμφοραῖς. Ἀσκεῖ γὰρ τὴν καρτερίαν, καὶ γίνεται αὐτῷ σωτηρίας ὁδὸς, ἡ τοῦ βασκάνου πεῖρα. Ἔλαθε γὰρ ἑαυτὸν ὁ πολέμιος. Ἐκεῖθεν ὁδοποιῶν αὐτῷ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν, ὅθεν ἑλεῖν αὐτὸν προσεδόκησε. Διὰ τοῦτο καὶ σύνοικος ἐπιβουλεύουσα διελέγχεται. Καὶ παίδων πανωλεθρία τὴν εὐσέβειαν οὐ λυμαίνεται. Καὶ πῦρ ῥέον ἀπ' οὐρανοῦ, τὴν διάνοιαν οὐ παρακρούεται, σωζομένην ὑπὸ Θεοῦ. Καὶ αἱ συνεχεῖς τῶν κακῶν Ἀγγελίαι, καὶ αἱ πανταχόθεν οἰμωγαὶ τὴν καρτερίαν οὐ σαλεύουσι. Πᾶς γὰρ Θεῷ προσομιλῶν, μικρὰ φροντίζει τῶν κάτω καὶ φθειρομένων. Τοσούτῳ δὲ μᾶλλον οἰκειοῦται τοῖς ἄνω καὶ μένουσιν, ὅσῳ καὶ τῶν παρόντων ἐλαύνεται. Τὸ γὰρ τῆς πονηρίας πνεῦμα, καὶ ἡ τοῦ κλύδωνος ἐπανάστασις, δικαίαν οὐκ οἶδε καταβλάπτειν ψυχὴν, ἐφρούρει γὰρ αὐτὴν ὁ Θεὸς, μετρήσας τὴν συμφοράν. Τὰ μὲν ὅσα περὶ αὐτὴν, τῷ πειράζοντι συγχωρήσας, εἰς ἔλεγχον σώφρονος λογισμοῦ, τὸν δὲ νοῦν ἀπαθῆ φυλάξας, ᾧ καὶ πολεμεῖν ἔμελλεν, ᾧ καὶ παραταξάμενος, τῶν τοσούτων τροπαίων ἐκράτησεν.

ΚΕΙ'Μ. Ἔτι τούτου λαλοῦντος, ἄλλος Ἄγγελος ἔρχεται, λέγων τῷ Ἰώβ, τῶν υἱῶν σου, καὶ τῶν θυγατέρων σου, ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία, ἐπὶ τὰ παιδία σου καὶ ἐτελεύτησαν, ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

ΙΟΥΛΙΑΝΟΥ. Ταῦτα κινῶν, ἐποίει νομίζων τὸν τοῦ Θεοῦ ἄνθρωπον πᾶσαν ἐκπεπολεμῆσθαι κατ' αὐτοῦ τὴν κτίσιν, ἵν' οὕτως αὐτὸν ἐπαγάγῃ τοῦ ὀρθοῦ φρονήματος. Ἄνεμος γὰρ ἦλθε, φησιν, οὐχ ὡς πέφυκεν, οὐ γὰρ ἀπὸ ἀνατολῶν ἢ δυσμῶν, ἀλλ' ἐκ τῶν τεσσάρων μερῶν προσέπεσε τῇ οἰκίᾳ, καὶ οὐκ ἀνθρώπου χεὶρ ἐστὶ, ἀλλ' ἄνωθεν τὰ βέλη.

ΟΛΥΜΠ. Θεώρει δὲ κἀνταῦθα τοῦ διαβόλου τὴν πικρίαν, καὶ ἐπισημείωσαι τὸ ἐπιτηδευμένον τῆς Ἀγγελίας, πῶς ὀνομαστὶ τῆς γονῆς μέμνηται, μονονουχὶ τὴν φύσιν αὐτὴν τοῦ

δι-

δικαίε πλήττων. Οὐ γὰρ εἶπεν ἔπεσεν ἐπὶ πάντας τὲς ἔνδον, καίτοιγε πᾶσιν εἷς ἐγένετο τάφος ἡ οἰκία, καὶ πάντας ἀπέκτεινεν, ἐξ ὧν αὐτὸς, φησὶν, ἐσώθην δὲ ἐγὼ μόνος. Ἀλλ' ἰδικῶς φησὶν, ἔπεσεν ἐπὶ τὰ παιδία σε, τῆς φύσεως ἀναμιμνήσκων, καὶ καιρίας αὐτῷ διδὲς τὰς πληγάς. Σεμνύνει καὶ τὸ συμπόσιον, παρὰ μὲν τῷ ἀδελφῷ πρεσβυτέρῳ, λέγων, γίνεσθαι, αὐτὲς δὲ κατευφραίνεσθαι, καὶ ἐξαίφνης ἐξελθεῖν ἄνεμον μέγαν ἐκ τῆς ἐρήμε, καὶ ἄλλης μὲν οἰκίας μὴ ἅψασθαι, μόνον δὲ ἐκείνην ἔνθα οἱ παῖδες εὐωχῦντο, κατασείσαι.

ΧΡΥΣΟΣΤ. Καὶ ταύτην αὐτοῖς ἐπικατέπεσεν, ὥςε μηδὲ πρὸς ταφὴν εὐδιάκειτον εἶναι λοιπὸν ἑκάςε τὸ σῶμα. Τὸ δὲ, ἐσθιόντων καὶ πινόντων, προσέθηκεν, ἵνα εἴπῃ, ἐν αὐτῷ τῷ τῆς εὐφροσύνης Καιρῷ.

ΔΙΔΥ'ΜΟΥ. Οὐ μάτην πρόκειται τὸ, τῶν υἱῶν σε καὶ τῶν θυγατέρων ἐσθιόντων, καὶ πινόντων, ἀλλὰ πρὸς ἐπίτασιν ἀνοίας, καὶ τῦτο τῦ διαβόλου πραγματευομένε, ἵνα ἡ τῶν γεγενημένων ἐπαγγελία βαρεῖα γινομένη, λύπην ὑπερβάλλεσαν τῷ Ἁγίῳ ἐμποιήσῃ. Κοιμωμένων γὰρ τῶν τέκνων εἰ συνέβη, τὸ τῆς πτώσεως ἀνεπαίσθητον λογιζόμενος, ἐχ ἔτως ἠνίατο. Πρόσκειται δὲ τὸ, ἐξαίφνης, ἐμφαντικὸν, τῦ μὴ διώκεσθαί τινα διαδρᾶναι, ἔτω συμβάντος τῦ πράγματος.

Ο'ΛΥΜΠ. Πάλιν δὲ θεήλατον ἔπλασε τὴν συμφοράν. Δύο μὲν πολεμίων σχηματίσας ἐφόδες. δύο δὲ ἐκ Θεῦ, τήν τε τῦ πυρὸς, καὶ τῦ ἀνέμε, πλεῖςον δὲ τὴν τῶν παίδων ἀναίρεσιν ἐπαγάγει, μόνων σωζομένων Ἀγγέλων, τῷ παραδόξῳ, εἰς ἀμηχανίαν, καὶ σύγχισιν, καὶ τὴν κατὰ Θεῦ βλασφημίαν ὑπερεθίζων τὸν δίκαιον.

ΧΡΥΣΟΣΤ. Ὡς γὰρ πᾶσαν πεῖραν προσαγαγὼν, καὶ τῶν κτημάτων γυμνώσας, τῆς ἀρετῆς ἐκ ἐγύμνωσε, χωρεῖ λοιπὸν ἐπὶ τὴν φύσιν, ἀποσπᾷ τὲς κλάδες ἀπὸ τῆς ῥίζης, περιαιρεῖ τὸν καρπὸν, ἵνα λυπήσῃ τὸν γεννήσαντα. Καὶ βλέπων τὴν Ἀγγελίαν πῶς μεςὴ ἐςὶν εἰρωνείας, καὶ εἰς γοητείας ῥέπεσα, καὶ κατακλᾶσαι τῦ γενναίε τὴν ψυχὴν δυναμένη. Ἐπῆλθέ, φησι, πνεῦμα μέγα ἐκ τῆς ἐρήμε. Καὶ πάλιν τὸν κεντὴν διαβάλλει. Πνεῦμα γὰρ ἐκ ἀνθρώποις ὑπακέει, ἀλλὰ τῷ Θεῷ. Καὶ ἐκ εἶπεν ἔπεσεν ἡ οἰκία ἐπὶ τὲς ἔνδον, ἀλλ' ὅπερ ἠδύνατο πένθος ἐγεῖραι ἐπὶ τὰ παιδία σε, ἵνα τῶν παίδων ἀκούσας, εἰς οἶκτον ἔλθῃ, καὶ καμφθῇ πρὸς συμπάθειαν, καὶ οἰμώζων ἐρεῖ. Οἴμοι ἐξαίφνης ἄπαις ὁ πολύπαις γέγονα. Βέλτιον ἦν μὴ λαβεῖν, ἢ ἔτω λαβεῖν, ἵνα μάθω τίνος ἀπεςερήθην. Ἡ γὰρ παρελθῦσα, εἰρήνη, καὶ γαλήνη, καὶ εὐημερία, τὴν συμφορὰν χαλεπωτέραν ἐργάζεται. Τὸ μέντοι, ἐσώθην ἐγὼ μόνος, ἐπὶ μὲν τῶν ἄλλων ὅπως δήποτε λόγον εἶχεν, ἐνταῦθα δὲ πλέον ποιεῖ τὸ πάθος, εἴγε τῶν παίδων ἀπελθόντων ἔτως, ἐσώθη μόνος ὁ τὴν Ἀγγελίαν κομίζων. Ὅθεν μοι δοκεῖ, ὅτι αὐτὸς ὁ διάβολος ἐςὶν, ὁ ταῦτα ἀπαγγέλλων, αὐτὸς ὁ πρόξενος τῶν κακῶν, πολυτρόπως παραγενόμενος, καὶ μεμηχανημένως τὰς ἐπαγγελίας ποιούμενος. Διὰ τῦτο συνεχῶς ἐπιφοιτᾷ, καὶ πονηρῶς διαλέγεται, καὶ τὰ

χα-

χαλεπώτερα τῶν κινδύνων τίθεται τελευταῖα. Ἵνα τοῖς ἥττοσι προδιαφθείρας τὴν δύναμιν τῆς ψυχῆς, τῶν μειζόνων ἀνύποιστον παρασκευάσῃ τὴν ἔφοδον. Ὅτι δὲ οὐκ ἦν τῶν θεραπόντων εἷς, ὁ τὰς ἀγγελίας φέρων, ἐκεῖθεν δῆλον. Πῶς γὰρ ἡ οἰκία, ἡ ἐκ τῶν τεσσάρων γωνιῶν ἁλοῦσα, διέσωζε τὸν ἕνα; πῶς δὲ καθ' ἑκάστην πληγὴν, εἷς, καὶ μόνος ἦν ὁ κρείττων εὑρισκόμενος τῶν κινδύνων, καθάπερ εἰς τοῦτο τηρούμενος; ἀλλ' αὐτὸς ἦν ὁ καὶ ἐνεργῶν, καὶ ἀπαγγέλλων τὰ δυσχερῆ. Οὐ δὲ γὰρ εὑρίσκεται πικρότερος ἄλλος, διόπερ οὐδὲ ἑτέρῳ κατεπίστευσε τὴν τῶν τοιούτων πονηρῶν δραμάτων διακονίαν. Ποικίλλει δὲ τὰς πληγὰς ὁ σοφὸς τὴν κακίαν μηδὲν διανοούμενος μέτριον, ἵν' οὕτω τὰ τῆς ψυχῆς ὀχυρώματα ταῖς κατὰ μέρος προσβολαῖς κατασείσῃ. Καὶ καθάπερ τὰς μηχανὰς τείχεσι προσάγων, τὸν πολεμούμενον παρακρούεται, κλέπτων πολυτρόποις ἐπιβουλαῖς τὴν ἀσφάλειαν. Οὕτως ὁ βάσκανος, κατὰ τινὰ τάξιν ἐν ἀταξίᾳ, καὶ ἀσεβείᾳ, τῷ τῆς εὐσεβείας πύργῳ τοὺς κινδύνους ἐπήγαγε.

ΠΟΛΥΧΡ. Τί δὲ δήποτε ἐπὶ τῆς τῶν υἱῶν ἀπωλείας, οὐκ ἐσχημάτισε πολεμίους; ὡς ἂν μὴ ἡ κατὰ τῆς πόλεως ἔφοδος, ἅπασιν ἐργάσηται ταραχήν. Κατὰ γὰρ τοῦ δικαίου μόνου τὴν ἄδειαν ἔλαβε, οὐ μὴν καὶ κατὰ τῶν λοιπῶν.

ὩΡΙΓΕ΄ΝΟΥΣ. Τὰς μὲν οὖν καμήλους πεποίηκε γενέσθαι ὑπὸ τοὺς ἱππεῖς, τοὺς ὄνους δὲ καὶ τὰ ζεύγη τῶν βοῶν, ὑπὸ τοὺς αἰχμαλωτίζοντας. τὰ πρόβατα δὲ ἐμίσει, διὰ τοῦτο πῦρ ἐπ' αὐτὰ κατήγαγεν. Ἀλλὰ καὶ τοῖς υἱοῖς ἐπιβουλεύων. Καιρὸν ἐζήτει τοῦ αὐτοὺς ἀπολέσαι. Εἰ εὑρήκει ἀναγινώσκοντας, οὐκ ἂν ἥψατο τῆς οἰκίας, οὐδὲ τόπον εἶχε τοῦ αὐτοὺς ἀποκτεῖναι. Εἰ εὑρήκει προσευχομένους, οὐδὲν ἐδύνατο ποιῆσαι κατ' αὐτῶν, ἀλλ' ὅτε εὗρεν εὐκαιρίαν, ἴσχυσε. Ποῖος ἦν ὁ Καιρός; μέθη ἦν. Τὸ δὲ, τῶν γωνιῶν τῆς οἰκίας ἅψασθαι τὸ πνεῦμα, ἐπίστησον, ὅτι (1) ἐν ταῖς τῶν πλατειῶν γωνίαις οἱ ὑποκριταὶ ἑστῶτες προσεύχονται. Πᾶς δὲ, ὁ μὴ ἐπιβεβηκὼς εὐθείας ὁδοῦ, ταῖς γωνίαις κέχρηται. Πλατείας δὲ γωνία ἐστὶν, ἡ πολλὴ καὶ ἀνειμένη κακία.

ΚΕΙΜ. Οὕτως ἀκούσας Ἰώβ, ἀναστὰς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ.

ὈΛΥΜΠ. Ἐπὶ μὲν ταῖς προτέραις Ἀγγελίαις σιωπῶν ἦν, ὡς εἰκὸς, καὶ ἐθαύμαζε τὰ γινόμενα, ὡς δὲ τὴν τῶν πολλῶν καὶ ὡραίων παίδων ἀθρόαν ἤκουσε τελευτὴν, ἵνα μήτις ἀνάλγητος εἶναι δόξῃ, καὶ ἀσυμπαθὴς, ἀποδίδωσι τῇ φύσει τὸ χρέος, καὶ διαῤῥήσσει μὲν τὴν ἐσθῆτα, κείρεται δὲ τὴν κόμην πενθικῶς. Οὐ γὰρ ἐν τῷ μὴ πάσχειν ἡ νίκη, ἀλλ' ἐν τῷ πάσχειν καρτερεῖν.

ΧΡΥΣΟΣΤ. Εἰ οὖν διέῤῥηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς. Πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος. Καὶ ἔδει καὶ τὴν

τῆς

(1) Ματ. 6. 5.

τῆς φύσεως δειχθῆναι συμπάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν. Εἰ γὰρ μὴ τοῦτο ἐποίησε, τάχα καὶ ἀναλγησίας ἐνόμισεν ἄν τις εἶναι τὴν φιλοσοφίαν ταύτην. Διὰ τοῦτο, καὶ τὰ σπλάγχνα δείκνυσι, καὶ τῆς φιλοσοφίας τὴν ἀκρίβειαν, καὶ ἀλγήσας οὐ περιετράπη.

ΒΑΣΙΛΕΊΟΥ. Οὐδ' ἂν ἐπειδὴ ἐξ ὧν ἔπαθε, λογίσασθαί τε καὶ εἰπεῖν, ὡς ἄρα οὐδὲ μία πρόνοια τάττει τὰ καθ' ἡμᾶς, οὐ κατηγόρησε τῆς οἰκονομίας τοῦ δεσπότου, καὶ κρίσεως. Ἀλλ' ἐν τοῖς ἀγῶσιν ἅπασιν ἐφεξῆς ἠρίστευσεν, καὶ πολλοῖς βέλεσιν ὑπὸ τοῦ διαβόλου βληθεὶς, οὐκ ἐδέξατο καιρίαν τὴν πληγήν. Περιεῖλε μὲν γὰρ αὐτοῦ τὴν εὐπραγίαν τῶν οἰκείων, καταχῶσαι δὲ αὐτὸν ταῖς ἐπαλλήλοις τῶν κακῶν ἐπεβουλεύσατο φήμαις. Ἔτι γὰρ τοῦ προτέρου τὴν τοιάνδε συμφορὰν ἐξαγγέλοντος, ἕτερος Ἄγγελος ἤρχετο χειρόνων πραγμάτων φέρων κατήφειαν ἀλλήλοις ἐπισυνήπτετο τὰ δεινὰ, καὶ τὴν τῶν κυμάτων ἐπιδρομὴν ἐζήλουν αἱ συμφοραί, καὶ πρὶν ἢ παυθῆναι τὸ πρότερον δάκρυον, ἑτέρου προσήγετο πρόφασις. Ὁ δίκαιος δὲ ὥσπερ τις πρόβολος εἱστήκει τὰς τοῦ χειμῶνος ὑποδεχόμενος προσβολὰς, καὶ ἀλλοιῶν εἰς ἀφρὸν τῶν κυμάτων τὴν βίαν, καὶ οὐδενὸς τῶν συμβαινόντων δακρύων ἠξίωσεν. Ἐπειδὴ δὲ ἧκέ τις Ἀγγέλων, ὡς τοῖς παισὶ καὶ ταῖς θυγατράσιν εὐωχουμένοις, ἐπετίναξε πνεῦμά τι βίαιον, τὸ τῆς εὐφροσύνης δωμάτιον. τότε μόνον τὴν ἐσθῆτα διέρρηξεν, τὸ τῆς φύσεως ἐπιδεικνύμενος συμπαθές. Καὶ ὅτι πατὴρ εἴς φιλόστοργος, οἷς ἔπραττε μαρτυρούμενος.

ΧΡΥΣΟΣ. Μὴ νομίσῃς ἧττον εἶναι τὸ πρᾶγμα, τοῦτο μάλιστα δείκνυσι τὴν νίκην. εἰ γὰρ μὴ τοῦτο ἐποίησεν, εἶπεν ἄν τις, ὅτι ἀναίσθητον αὐτὸν κατεσκεύασεν ὁ Θεὸς ἐν τοῖς πάθεσι. νυνὶ δὲ δείκνυσιν, ὅτι καὶ ἀλγῶν φιλοσοφεῖ, οὕτως ἐπὶ τὴν πέτραν ἑαυτοῦ τὴν ψυχὴν ᾠκοδόμησε. κατέβη ἡ βροχή. πῦρ γάρ, φησιν, ἔπεσεν ἐκ τοῦ Οὐρανοῦ, καὶ κατέφαγε πάντα τὰ ποίμνια, ἦλθον οἱ ποταμοὶ οἱ πυκνοί, καὶ συνεχεῖς, καὶ ἐπάλληλοι τῶν συμφορῶν ἄγγελοι. οἱ μὲν τῶν αἰπολίων, ὁ δὲ τῶν καμήλων, ὁ δὲ τῶν παίδων λέγων τὴν ἀπώλειαν. ἔπνευσαν οἱ ἄνεμοι, τὰ παρὰ τῆς γυναικὸς ῥήματα. εἶπον γάρ φησι, τὶ ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. καὶ ἔπεσεν ἡ οἰκία, ἀλλ' οὐχ ὑπεσκελίσθη ἡ ψυχή, οὐκ ἐβλασφήμησεν ὁ δίκαιος, ἀλλὰ καὶ εὐχαρίστησε, καίτοι διάβολος ἦν ὁ πολεμῶν, ὁ πονηρὸς, ὁ ἄγελος, ὁ μηδέποτε καταλλαττόμενος τῇ τῶν ἀνθρώπων φύσει, ἀλλὰ πόλεμον ἄσπονδον, καὶ μάχην ἀκήρυκτον πρὸς τὸ γένος ἡμῶν ἀράμενος, καὶ οὐχ ἁπλῶς ὠργίζετο, ἀλλὰ πάντα ἐκίνει τὰ μηχανήματα, καὶ πᾶσαν προσῆγε μαγγανείαν. καὶ οὐδὲν οὕτως ἤλεγξε τοῦ δικαίου τὴν ἀνδρείαν, ἀλλὰ κατεγέλασεν αὐτοῦ τῶν βελῶν ὁ γενάδας, καὶ τὸν ἀφόρητον πόλεμον ἐκεῖνον γενναίως ἤνεγκεν. καὶ ταῦτα οὐκ ἐν τῇ χάριτι, ἀλλὰ πρὸ τῆς παλαιᾶς διαθήκης, καὶ πρὸ τῆς χάριτος. καὶ ἔδειξεν, ὅτι οὐχ ἡ τῶν πειρασμῶν φύσις, ἀλλ' ἡ τῶν ῥαθυμούντων ὀλιγωρία, τὴν πτῶσιν ποιεῖν εἴωθεν. ὡς τόν γε ἰσχυρὸν καὶ ἰσχυρότερον ἡ θλίψις ἐργάζεται. ἡ θλίψις γάρ, φησιν, ὑπομονὴν κατεργάζεται. καὶ καθάπερ τὰ ἰσχυρὰ τῶν δένδρων, ἡ τῶν ἀνέμων ῥύμη προσπίπτουσα, καὶ

πάντοθεν ῥιπίζουσα, οὐκ ἀνασπᾷ, ἀλλὰ καὶ ἰσχυρότερα ταῖς προσβολαῖς ταύταις κατασκευάζει, οὕτω καὶ τὴν ψυχὴν παγίαν, καὶ εὐλαβείᾳ συζῶσαν, αἱ τῶν θλίψεων ἐπαγωγαὶ οὐχ ὑποσκελίζουσιν. ἀλλὰ πρὸς πλείονα ὑπομονὴν ἀλείφουσιν, καὶ τὴν ἀνθρώπου ἀρετὴν βλάψαι οὐ δύνανται. τί δὲ ἐστὶν ἀρετὴ ἀνθρώπου; οὐ χρήματα, ἵνα πενίαν δείσῃς. οὐ δὲ ὑγίεια σώματος, ἵνα φοβηθῇς ἀρρωστίαν. οὐ δὲ ἡ τῶν πολλῶν ὑπόληψις, ἵνα ὑπείδῃ δόξαν πονηράν, οὐ δὲ τὸ ζῆν ἁπλῶς καὶ εἰκῇ, ἵνα μὴ φοβερός σοι γένηται ὁ θάνατος. οὐδὲ ἐλευθερία, ἵνα δουλείαν φύγῃς, ἀλλ' ἡ τῶν ἀληθινῶν δογμάτων ἀκρίβεια, καὶ ἡ κατὰ τὸν βίον ὀρθότης. ταῦτα οὐ δὲ αὐτὸς ὁ διάβολος ἀποσυλῆσαι δυνήσεται, ἐὰν ὁ κεκτημένος αὐτὰ μετὰ τῆς προσηκούσης ἀκριβείας διαφυλάττῃ. καὶ ταῦτα ὁ πονηρότατος καὶ ἄγριος δαίμων οἶδεν ἐκεῖνος. διὰ γάρ τοι τοῦτο, καὶ τὴν οὐσίαν ἐσύλα τοῦ Ἰώβ, οὐχ ἵνα πένητα ποιήσῃ, ἀλλ' ἵνα βλάσφημόν τι ῥῆμα ἐκβάλλειν βιάσηται, καὶ τὸ σῶμα κατέτεμνεν, οὐχ ἵνα ἀρρωστίαν περιβάλλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν κατὰ ψυχὴν ἀρετήν. Ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ μηχανήματα, καὶ πένητα ἀντὶ πλουτοῦντος ποιήσας. τοῦτο δὴ τὸ πᾶσιν ἡμῖν φρικωδέστατον εἶναι δοκοῦν, ἀντὶ πολύπαιδος ἄπαιδα, καὶ καταξάνας αὐτοῦ τὸ σῶμα ἅπαν, τῶν ἐν δικαστηρίοις δημίων χαλεπώτερον (οὐ γὰρ οὕτω διορύττουσιν οἱ ἐκείνων ὄνυχες τὰς πλευρὰς τῶν ἐμπιπτόντων, ὡς κατέξανον αὐτοῦ τὴν σάρκα τῶν σκωλήκων τὰ στόματα.) καὶ περιθεὶς αὐτῷ πονηρὰν δόξαν (οἱ γὰρ φίλοι αὐτῷ παρόντες ἔλεγον, οὐκ ἄξια ὧν ἥμαρτες μεμαστίγωσε, καὶ πολλοὺς ἀπέτεινον κατ' αὐτοῦ κατηγορίας λόγους) καὶ οὐχὶ τῆς πόλεως ἐξέβαλε μόνον, οὐ δὲ τῆς οἰκίας, καὶ εἰς ἄλλην κατέστησε πόλιν, ἀλλὰ τὴν κοπρίαν, αὐτῷ καὶ οἰκίαν, καὶ πόλιν καταστήσας, οὐ μόνον οὐδὲν αὐτῷ ἐλυμήνατο, ἀλλὰ καὶ λαμπρότερον, δι' ὧν ἐπεβούλευσεν, ἀπέφηνεν. οὐδὲ οὐ μόνον τι τῶν ὄντων, οὐκ ἀφείλετο, καίτοι τοσαῦτα ἀφελόμενος, ἀλλὰ καὶ μείζονα αὐτῷ τὸν πλοῦτον τῆς ἀρετῆς εἰργάσατο. καὶ γὰρ πλείονος μετὰ ταῦτα ἀπέλαυσε παρρησίας, ἅτε καὶ σφοδρότερον ἀγωνισάμενος ἀγῶνα. εἰ δὲ ὁ τοσαῦτα παθών, οὐδὲν ἠδίκηται, καὶ παθὼν οὐ παρὰ ἀνθρώπου, ἀλλὰ παρὰ τοῦ πάντων ἀνθρώπων πονηροτέρου δαίμονος, τίς ἕξει λοιπὸν ἀπολογίαν τῶν λεγόντων, ὅτι ὁ δεῖνα με ἠδίκησε, καὶ παρέβλαψεν; εἰ γὰρ ὁ διάβολος ὁ τοσαύτης γέμων κακίας, πάντα αὐτοῦ κινήσας τὰ ὄργανα, καὶ πάντα ἀφεὶς τὰ βέλη, καὶ ὅσα ἦν ἐν ἀνθρώποις κακά, μετὰ πολλῆς τῆς ὑπερβολῆς εἰς τὴν οἰκίαν τοῦ δικαίου, καὶ εἰς τὸ σῶμα κενώσας, οὐ δὲν τὸν ἄνδρα ἠδίκησεν, ἀλλ' (ὥσπερ ἔφην) καὶ μᾶλλον ὠφέλησε, πῶς δυνήσονται τινές, τὸν δεῖνα, καὶ τὸν δεῖνα αἰτιάσασθαι, ὡς παρ' αὐτῶν, ἀλλ' οὐχ ὡς οἴκοθεν ἠδικημένοι; πῶς οἴκοθεν, φησίν, ὅταν τὶς μαστιχθῇ παρά τινος, ἢ τὰ ὄντα ἀφαιρεθῇ, ἢ χαλεπήν τινὰ ἑτέραν ὑπομείνας ἐπήρειαν, βλάσφημόν τινα ῥῆμα ἐξήνεγκεν; ἐβλάβη μὲν ἐντεῦθεν, καὶ βλάβην μεγίστην, οὐ μὴν παρὰ τοῦ ἐπηρεάσαντος, ἀλλὰ παρὰ τῆς οἰκείας μικροψυχίας. ὅπερ γὰρ ἔμπροσθεν εἶπον, καὶ νῦν ἐρῶ, οὐδεὶς ἀνθρώπων κἂν μυριάκις ᾖ πονηρός, τοῦ ἀλάστορος ἐκείνου δαίμονος, καὶ ἀκαταλλάκτως πρὸς ἡμᾶς ἔχοντος

τοῦ διαβόλου, πονηρότερον ἂν προσβάλλοι, οὐδὲ πικρότερον. ἀλλ᾽ ὅμως. ὁ χαλεπὸς οὗτος δαίμων οὐκ ἴσχυσε, τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος, τοσαῦτα κατ᾽ αὐτοῦ βέλη, καὶ οὕτω πικρὰ πανταχόθεν ἀφεὶς, ὑποσκελίσας καταβαλεῖν.

ὈΛΥΜΠ. Εἰ δὲ περιεῤῥήξατο τὸν χιτῶνα, καὶ περιεῖλε τὴν Κόμην, οὐκ ἀφιλόσοφον τὸ συμπαθὲς, καὶ τοῦτο δείκνυσι μὲν Παῦλος, λέγων ἐν ταῖς πράξεσι, τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; δείκνυσι δὲ καὶ Δαβὶδ, οὐ τῶν παίδων τὸν πειθήνιον, ἀλλὰ τὸν πολεμιώτατον ὀλοφυρόμενος, καὶ μετὰ πικρῶν οἰμωγῶν ἀναστένων, καὶ λέγων, υἱέ μου Ἀβεσαλὼμ υἱέ μου. Δακρύει δὲ, καὶ αὐτὸς ὁ Θεὸς ἡμῶν, καὶ σωτὴρ συμπαθῶς, εἴτε διὰ τὸν Λάζαρον, εἴτε διὰ τὴν τῶν Ἰουδαίων ἀπώλειαν, ὃ δὴ καὶ ἀληθέστερον εἰπεῖν. καὶ Ἰὼβ τοίνυν, ἵνα μὴ δόξῃ ἀσυμπαθής τις εἶναι, ὃ δὴ καὶ φύσει, καὶ ἀρετῇ ἀνοίκειον, πάσχει τὰ τῆς φύσεως, καὶ ἀλγήσας κείρεται τὴν κόμην. οἷς μὲν γὰρ τὸ κομᾶν πρὸς κόσμον νενόμιστο, οὗτοι ἐπὶ τοῖς πένθεσιν ἐκείροντο. οἷς δὲ τὸ κείρεσθαι ἀπρεπὲς ἐδόκει, οὗτοι ἐπὶ τοῖς πένθεσιν ἐκόμων, τοῦ τῶν τριχῶν ἀνεχόμενοι βάρους. περιῤῥήγνυσι δὲ καὶ τὴν ἐσθῆτα, ὅπερ καὶ αὐτὸ πένθους ἦν τοῖς ἀρχαίοις σύμβολον. εἴποι δ᾽ ἄν τις, γλαφυρώτερον ἐξηγούμενος, ὅτι καὶ αὐτὴν τῷ διαβόλῳ τὴν ἐσθῆτα προσέῤῥιψεν, οἷά τις ἀθλητὴς, εἰς πάλην ἀποδυόμενος, ὡς ἂν γυμνὸς γενόμενος, τὰ πολυύμνητα φθέγξηται ῥήματα.

ΝΕΙ'Λ. Οὐ γὰρ ἐνδεδυμένοι ἀθλοῦσιν οἱ ἀθλοῦντες, ἀλλὰ γυμνοὺς αὐτοὺς εἰς τὸ στάδιον ὁ ἀθλητικὸς εἰσάγει νόμος. εἰ δέ τις αὐτῶν τὴν γύμνωσιν παραιτήσεται, καὶ τὸν ἀγῶνα παρῃτήσατο. δυσάλωτος γὰρ, ἢ καὶ ἀνάλωτος, τοῖς ἐπιβουλεύουσίν ἐστιν ὁ γυμνός, διὰ τοῦτο καὶ Ἰωσὴφ, ὁ τῆς σωφροσύνης ἀθλητὴς, τῇ κατέχειν ἐπιχειρούσῃ ἡδονῇ, ὡς ἱμάτιον καταλιπὼν τὰ σωματικὰ πράγματα, ἔφυγε καὶ ἐξῆλθεν ἔξω, καθάπερ ἐν τῷ παραδείσῳ, τῇ ἀρετῇ γυμνὸς ἐμπεριπατῶν κατὰ μίμησιν τοῦ πρωτοπλάστου, ὃς ἐξαίρετον γέρας παρὰ Θεοῦ τὴν γύμνωσιν λαβὼν, εἶχεν, ἕως διὰ τῆς παρακοῆς, εἰς χρείαν ἐνδυμάτων κατέστη. μέχρι μὲν γὰρ ἠγωνίζετο, πρὸς τοὺς λύειν τὴν ἐντολὴν τοῦ Θεοῦ συμβουλεύοντας ἀντιπάλους, γυμνὸς, ὡς ἀθλητὴς ἐπὶ τοῦ σκάμματος, ἐστήκει. ἡττηθεὶς δὲ καὶ ἐξαγώνιος γενόμενος, εἰκότως ἐνεδύσατο τὴν γύμνωσιν μετὰ τῆς ἀθλητικῆς ἕξεως. ἀποδυσάμενος. διὰ τοῦτο ὁ παροιμιαστὴς πρὸς τὸν ἀλείπτην φησὶν, ἄφελε τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γὰρ ἕως μὲν γὰρ ἦν ἔξω τοῦ σταδίου, καλῶς τοῖς τῶν οὐκ ἀθλούντων ἐνδύμασιν ἐκέχρητο, τὴν ἀγωνιστικὴν ἀνδρείαν, τοῖς τῶν ἐσθημάτων ἐνδύμασιν ἐπικρύπτων. ἐπειδὴ δὲ εἰς τὸν ἀγῶνα παρῆλθε, ἄφελε, φησὶν, αὐτοῦ τὸ ἱμάτιον, γυμνὸν γὰρ ἀγωνίζεσθαι δεῖ, μᾶλλον δὲ, οὐ γυμνὸν μόνον, ἀλλὰ καὶ ἠλειμμένον, τὸ μὲν γὰρ γεγυμνῶσθαι, ἀνέπαφον ποιεῖ τῷ ἀντιπάλῳ τὸν ἀνταγωνιστήν. τὸ δὲ, ἐλαίῳ ἠλεῖφθαι εἰ καὶ ληφθείη ποτὲ διολισθαίνειν ἐκ τῆς λαβῆς παρασκευάζει. καὶ διὰ τοῦτο γῆν προσπάσσειν φιλονεικοῦσι τοῖς ἀντιπάλοις, ἵνα τῇ κόνει τὴν τοῦ ἐλαίου ἐπιτραχύνοντες λειότητα, εὐλήπτους αὐτοὺς πρὸς τὰς λα-

βὰς ἀπεργάσωνται. ὅπερ δέ ἐςιν ἡ κόνις ἐκεῖ, τοῦτο ἐν τῷ ἡμετέρῳ ἀγῶνι, τὰ γήϊνα πράγματα. καὶ ὅπερ ἐςὶν ἐκεῖ τὸ ἔλαιον, τοῦτο ἐν ταῦθα τὸ ἀμέριμνον. καὶ ὥσπερ ἐκεῖ ὁ ἠλειμμένος ἀχερῶς λύει τὰ λεγόμενα, παρ' αὐτοῖς ἅμματα. εἰ δὲ ἐδέξατο κόνιν, δυσκόλως ἐκφάγει τὴν χεῖρα τοῦ προσπαλαίοντος. οὕτως ἐνταῦθα ὁ μηδὲν μεριμνῶν, δύσληπτός ἐςι τῷ διαβόλῳ. φροντίζων δὲ, καὶ ταῖς μερίμναις καθάπερ κόνει, τραχύνων τὸ λεῖον τῆς ἀμεριμνίας τοῦ νοῦ, δυχερῶς ἑαυτὸν ἐξελεῖ ἐκ τῆς ἐκείνου χειρός. Ἀλλὰ ὁ Ἰὼβ πάσης ἀπολυθεὶς τῶν χρημάτων σχέσεως, καὶ αὐτὸν τὸν χιτῶνα περιεῤῥήξατο, καὶ ταῦτα μὲν κομψότερον εἴρηται.

ΠΟΛΥΧΡ. Τὸ γεμῶν, οὕτως ἀκούσας, πολλὴν μαρτυρεῖ καρτερίαν τῷ δικαίῳ. ὡς γὰρ οὐ διαταραχθέντα ἐπὶ τῇ τῶν λοιπῶν ἀκοῇ, πλὴν τῶν παίδων μηνύει καὶ νῦν δὲ οὐδὲν ἀπρεπὲς φαίνεται φθεγγόμενος. ἀλλὰ μόνον εἰς πενθικὸν μεταβαλλόμενος σχῆμα, διὰ μὲν τῶν ἱματίων διαῤῥήξεως, τὴν τοῦ πάθους ἐπίτασιν δῆλον ποιεῖ, διὰ δὲ τῆς ἀφαιρέσεως τῆς Κόμης, τὸ ἐπὶ τοῖς παισὶ πάθος γνωρίζει. πενθικὸν γὰρ τὸ τοιοῦτον σχῆμα τὸ τηνικαῦτα.

ΧΡΥΣΟΣ. Νῦν μὲν γὰρ ἐφ' ἡμῶν, πολλοὶ τῶν πενθούντων τρέφουσι κόμην, ἐκεῖνος δὲ περιήρει. διατί; τῷ πενθοῦντι τὸ σπουδαζόμενον ἦν εἰς τὸ ἐναντίον σχῆμα περιςῆσαι τὴν κατάςασιν. ὅπου οὖν τιμᾶται κόμη, σημεῖον πένθους τὸ κείρεσθαι. διέῤῥηξε δὲ τὰ ἱμάτια, τῷ μὲν σχήματι πρὸς πάθος ἀποδυρόμενος, τῇ δὲ ἀληθείᾳ πρὸς πάλην ἀποδυρόμενος, καὶ εἰς τὸν ἀγῶνα λοιπὸν ἑαυτὸν καθιείς, ἵνα ὡς γυμνὸς ἀθλητὴς, περιπλακῇ τῷ ἀντιπάλῳ.

ΚΕΙΜ. Καὶ πεσὼν χαμαὶ, προσεκύνησε, τῷ Κυρίῳ, καὶ εἶπεν, αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ.

ΒΑΣΙΛ. Ἀνάνδρου ψυχῆς καὶ οὐδὲν εὔτονον ἐκ τῆς ἐπὶ Θεὸν ἐλπίδος ἐχούσης, τὸ σφοδρῶς καταῤῥήγνυσθαι, καὶ ὑποπίπτειν τοῖς λυπηροῖς. ὥσπερ γὰρ οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιςα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται. μὴ γὰρ ἀδαμάντινος ἦν ὁ Ἰὼβ τὴν καρδίαν; μὴ γὰρ ἐκ λίθου ἦν πεποιημένα αὐτῷ τὰ σπλάγχνα; ἔπεσον αὐτῷ δέκα παῖδες, ἐν βραχείᾳ καιροῦ ῥοπῇ, μιᾷ πληγῇ συντριβέντες, ἐν τῷ οἴκῳ τῆς θυμηδίας, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως, ἐπικατασείσαντος αὐτοῖς τοῦ διαβόλου τὸ οἴκημα. εἶδε τράπεζαν αἵματι μεμιγμένην, εἶδε παῖδας διαφόρως μὲν κατὰ τὸν χρόνον ἀποτεχθέντας, κοινὴ δὲ ὑπελθόντας τοῦ βίου τὸ τέλος, οὐκ ᾤμωξεν οὐκ ἀφῆκέ τινα φωνὴν ἀγεννῆ, ἀλλὰ τὴν ἀοίδιμον ἐκείνην, καὶ παρὰ πᾶσιν ἀνυμνουμένην εὐχαριςίαν ἐφθέγξατο μὴ ἀσυμπαθὴς ὁ ἄνθρωπος; καὶ πῶς ὅς γε περὶ ἑαυτοῦ λέγει. ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα. ἀλλὰ ἄρα μὴ ἐψεύδετο ταῦτα λέγων; καὶ μὴν Μαρτυρεῖ αὐτῷ ἡ ἀλήθεια ὅτι πρὸς ταῖς λοιπαῖς ἀρεταῖς, καὶ ἀληθινὸς ἦν.

ΧΡΥΣΟΣΤ. Οὗτος ὁ Ἰὼβ συνέ-

κόψε τοῦ διαβόλου τὴν ὄψιν, παιόμενος, οὐ παίων, ἐκένωσεν αὐτοῦ τὴν βελοθήκην ἅπασαν, καὶ κατατοξευόμενος παρ' αὐτοῦ συνεχῶς, ἅπαν ὑπέμενεν πειρασμῶν εἶδος, καὶ ἕκαστον μεθ' ὑπερβολῆς ἁπάσης. τὰ γὰρ δοκοῦντα κατὰ τὸν βίον εἶναι λυπηρὰ, καὶ ὄντα, ταῦτα μάλιστα πάντων ἐστὶ, πενία, καὶ νόσος, καὶ παίδων ἀποβολὴ, καὶ ἐχθρῶν ἐπανάστασις, καὶ φίλων ἀγνωμοσύνη, καὶ λιμὸς, καὶ σαρκὸς ὀδύναι διηνεκεῖς, καὶ λοιδορίαι, καὶ συκοφαντίαι, καὶ τὸ πονηρὰν κτήσασθαι ὑπόληψιν, καὶ ταῦτα ἅπαντα εἰς ἓν διεχύθη σῶμα, καὶ μιᾶς κατεσκεδάσθη ψυχῆς, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἀμελετήτῳ ὄντι ἐπέθετο. ὃ δὲ λέγω, τοιοῦτον ἐστὶν, ὁ ἐκ πενήτων τεχθεὶς, καὶ ἐν κακίᾳ τοιαύτῃ τραφεὶς, ἅτε γυμνασάμενος καὶ μελετήσας, ῥαδίως ἂν ἐνέγκοι τῆς πενίας τὸ βάρος. Ὁ δὲ τοσούτοις περιῤῥεόμενος χρήμασι, καὶ τοσούτῳ πλούτῳ κομῶν, εἶτα ἀθρόον εἰς τὸ ἐναντίον μεταπεσὼν, οὐκ ἂν ῥᾳδίως ὑπομείνῃ τὴν μεταβολὴν, καὶ γὰρ ἀγυμνάστῳ ὄντι χαλεπωτέρα φαίνεται, ἀθρόον προσπεσοῦσα. πάλιν, ὁ ἄσημος καὶ ἐξ ἀσήμων γενόμενος, καὶ ἐν τῷ διηνεκῶς καταφρονεῖσθαι ζῶν, οὐκ ἂν σφόδρα λοιδορούμενος καὶ ὑβριζόμενος ταραχθείη. ὁ δὲ τοσαύτης ἀπολαύσας δόξης, καὶ παρὰ πάντων δορυφορούμενος, καὶ ἐν τοῖς ἁπάντων στόμασιν ὢν, καὶ πανταχοῦ μετὰ πολλῆς ἀνακηρυττόμενος τῆς περιφανείας, εἰς ἀτιμίαν καὶ εὐτέλειαν κατενεχθεὶς, τὸ αὐτὸ ἂν πάθοι, τῷ ἀπὸ πλούτου ἀθρόον γενομένῳ πένητι. Ὁ παῖδας ἀποβαλὼν, πάλιν κἂν ἅπαντας ἀποβάλῃ, μὴ ἐν ἑνὶ δὲ καιρῷ, τοὺς λειπομένους ἔχει τῶν ἀπελθόντων παραμύθιον, καὶ ἐπὶ τῇ τοῦ προτέρου πληγῇ, τοῦ πάθους λήξαντος, ἂν ἡ τοῦ δευτέρου γένηται μετὰ χρόνον, τοῦτο αὐτῷ προσηνέστερον γίνεται τὸ πάθος. Οὐ γὰρ νεαρῷ ὄντι ἔπεισι τῷ ἕλκει, ἀλλὰ κοιμηθέντι ἤδη, καὶ ἀφανισθέντι, ὅπερ οὐκ ὀλίγον ὑποτέμνεται τῆς ὀδύνης. οὗτος δὲ, ὁλόκληρον τὸν χορὸν αὐτῷ εἶχεν ἐν μιᾷ ἀναρπασθέντα καιροῦ ῥοπῇ, καὶ τρόπῳ πικροτάτῳ τελευτῆς· καὶ γὰρ βίαιος, καὶ ἄωρος ὁ θάνατος ἦν. ὁ καιρὸς δὲ καὶ ὁ τόπος, οὐ μικρὰν ἐποιεῖτο τῷ πένθει προσθήκην. καὶ γὰρ ἐν ὥρᾳ συμποσίου, καὶ ἐν οἰκίᾳ τῇ τῆς ξενίας ἀνεῳγμένῃ, καὶ τάφος αὐτοῖς ὁ οἶκος ἐγένετο. καὶ τὸ δὴ θαυμαστότερον ὅτι ὁμοῦ ταῦτα πάντα ὑπήνεγκεν, ὅπερ διπλασίονα καὶ τριπλασίονα ποιεῖ τὰ χαλεπὰ, ὅταν μηδὲ τὴν ἐκ τῆς ἀνοκωχῆς ἔχῃ παραμυθίαν ὁ ἀγωνιζόμενος, ἀλλὰ τῇ συνεχείᾳ τῆς ἐπαγωγῆς, πλείων ὁ θόρυβος γίνεται, καὶ μείζων ἡ ταραχὴ, ὅπερ ἐπὶ τούτου συνέβη. τὴν μὲν γὰρ τῶν προβάτων ἀπώλειαν, καὶ τὸν ἐμπρησμὸν, διεδέχετο ἡ τῶν βοῶν ἁρπαγή. καὶ τὴν τούτων, ἡ τῶν ὄνων ἀφαίρεσις, καὶ ταύτην ἡ τῶν καμήλων αἰχμαλωσία, καὶ τῶν οἰκετῶν ἡ σφαγή, καὶ ταύτην ἡ τῶν παίδων ἀπώλεια, καὶ ὁ φρικτὸς ἐκεῖνος, καὶ κοινὸς θάνατος, καὶ ὁ φρικωδέστατος τάφος, ὁ αὐτὸς ὁμοῦ καὶ θάνατος, καὶ τάφος γενόμενος. καὶ ἡ τράπεζα, ἣ νῦν μὲν ἑστιωμένα. νῦν δὲ κατακοπέντα δεξαμένη τὰ σώματα. καὶ φιάλαι, καὶ τὰ ποτήρια, μετὰ τοῦ οἴνου, τὸ αἷμα ὑποδεχόμενα, καὶ κατακεκομμένα μέλη. λόγισαι τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην, καὶ παράδοξον τραγῳδίαν. Ἄλλος μὲν γὰρ ἴσως ἕνα υἱὸν ἀπώλεσεν, ἢ δεύτερον, ἢ τρίτον,

ἐκεῖνος δὲ τοσούτους, καὶ τοσαύτας, καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγένετο, καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, οὐδὲ εἰς γῆρας ἐλθόντες, ἀλλὰ καὶ ἀώρῳ καὶ βιαίῳ θανάτῳ, καὶ πάντες ὁμοῦ, καὶ οὐδὲ παρόντος, οὐδὲ παρακαθημένου. ἵνα κἂν ἐσχάτων ἀκούσας ῥημάτων, ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς, ἀλλὰ παρ' ἐλπίδα πᾶσαν, καὶ μηδὲν τῶν γινομένων εἰδότος, ἀθρόον ἅπαντες κατεχώννυντο, καὶ ἡ οἰκία τάφος αὐτοῖς ἐγένετο, καὶ παγίς. οὐκ ἄωρος δὲ μόνον θάνατος, ἀλλὰ καὶ πολλά, μετὰ τούτου ἦν λυποῦντα, οἷον τὸ ἐν ἀκμῇ πάντας εἶναι, τὸ ἐναρέτους πάντας, τὸ φιλικούς, τὸ πάντας ὁμοῦ, τό, τῆς φύσεως ἑκατέρας, τὸ μηδὲ ἕνα ὑπολειφθῆναι, τό, μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως, τό, μετὰ τοσαύτην ζημίαν, τό, μηδὲν ἑαυτῷ συνειδότα πονηρόν, μηδὲ ἐκείνοις, ταῦτα παθεῖν. τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ καθ' ἑαυτό, θορυβῆσαι. ὅταν δὲ καὶ ὁμοῦ φαίνεται συντρέχοντα ἐννόησον τῶν κυμάτων τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολή. ἀλλ' ὅμως οὐκ εἶπεν οὐδὲν τοιοῦτον, οἷον εἰκός τινας τῶν ἀσθενεστέρων εἰπεῖν, ἐπὶ τούτοις ἔθρεψα τοὺς παῖδας, καὶ μετὰ ἀκριβείας ἁπάσης ἤσκησα; ἐπὶ τούτοις ἤνεῳξα τὴν οἰκίαν τοῖς παριοῦσιν; ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους, τοὺς ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολάβω τοῖς ἀμοιβάς; ἀλλ' ἀντὶ τούτων, ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, τὰ πάσης θυσίας κρείττονα ἀνήνεγκεν, ἃ μυρίων στεφάνων μᾶλλον ἀνέδησε τὴν Ἁγίαν ἐκείνην κεφαλήν, καὶ σαλπίγγων πολλῶν λαμπρότερον ἀνεκήρυξεν. ἔφη γάρ, αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. μὴ γὰρ ἐμὰ ταῦτα ἦν, μικρὸν ὕστερον ἀποστήσεσθαι τούτων ἔμελλον. οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν Κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, καὶ πρὸ τῶν ῥημάτων πεσὼν χαμαὶ προσεκύνει. καίτοι γὰρ τοιαῦτα παθών, τῆς εἰς, Θεὸν εὐσεβείας οὐκ ἀπέστη. ἀλλὰ πεσὼν ἐπὶ τὴν γῆν, ἐκεῖνον κατέβαλε τὸν εἰπόντα, ἦ μὴν εἰς πρόσωπον σὲ εὐλογήσει. ἔδειξε τὴν φύσιν, ἔδειξε καὶ τὴν εὐλάβειαν. σωφρόνως γὰρ τὴν περὶ τοὺς παῖδας συμπάθειαν ἐνδειξάμενος, φθάνει τῇ ἀνδρείᾳ τὸ πάθος, καὶ οὐκ ἔτι πρὸς θρήνους ἐξέρχεται, ἀλλὰ τοὺς θείους ἐκείνους ἀποφθέγγεται λόγους, γυμνὸς γάρ φησιν, ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. ποίας μέμνηται κοιλίας; μήποτε ἄρα τὴν πρώτην δημιουργίαν λέγει, τὴν ἀπὸ γῆς τὸν ἄνθρωπον γυμνόν, καὶ ἐλεύθερον πάσης κακίας συμπηξαμένην, τὴν τοῦ προπάτορος οἰκειούμενος δημιουργίαν; ὡς εἶναι τὸν νοῦν τοιοῦτον. γυμνὸς ἐκ τῆς γῆς διεπλάσθην, παρὰ τῆς θείας χάριτος, ἀπέριττός τις, καὶ οἱονεὶ τυγχάνων ἄϋλος, γυμνὸς οὖν καὶ ἀπελεύσομαι ἐκεῖ. ποῦ; δῆλον, ὅτι ἐπὶ τὸν τόπον τὸν πένθους ἐλεύθερον. εἰ γὰρ πρὸς τὸ προχείρως νοούμενον, τὴν διάνοιαν λάβοις, καὶ ὑπολάβοις, ὅτι ἐκ τῆς μητρικῆς νηδύος προελθών, εἰς ταύτην πάλιν ἀπελεύσομαι, οὐ δὲ τοῦ λόγου σώζεται εὐπρεπές, οὐ δὲ ἡ ἁρμονία τῆς λέξεως. τίς γὰρ τῶν εὖ φρονούντων ἐπὶ τῆς τοιαύτης διανοίας, ἀδικήσοι τὴν φύσιν, γαστέρα μὲν μητρός, τὸν ἐξ αὐτῆς ἀποδιδούς, διαφθείρων δὲ δι' ἀμφοτέρων

ἑκα-

ἑκάτερον, μιᾷ μυθολογίᾳ φόνον διπλοῦν ἐργαζόμενος; ἐπεὶ καὶ Νικόδημος, ἀκούων περὶ τοῦ τῆς ἀναγεννήσεως λουτροῦ, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, ταχέως καὶ ταπεινῶς ἀπεκρίνατο. τὴν ἀπὸ τῆς σαρκὸς ᾠήθη γέννησιν ἀκούειν, κάτω τοῖς λογισμοῖς συρόμενος, καὶ οὐδὲν ὑψηλὸν φανταζόμενος.

ΚΛΗ'Μ. Α'ΛΕΞΑΝ. Ἀλλὰ τὰ τοῦ Ἰὼβ κομψότερον μὲν, οὕτω νοητέον. γυμνὸς κακίας, καὶ ἁμαρτίας, ὡς ἐκ κοιλίας μητρὸς, ἐκ τῆς γῆς κατ' ἀρχὰς διεπλάσθην, γυμνὸς εἰς τὴν γῆν καὶ ἀπελεύσομαι. γυμνὸς οὐ κτημάτων, τοῦτο γὰρ μικρόν τε καὶ κοινὸν, ἀλλὰ κακίας καὶ πονηρίας, καὶ τοῦ ἑπομένου τοῖς ἀδίκως βιώσασιν ἀειδοῦς εἰδώλου. κατὰ δὲ τὸ πρόχειρον, πάντες ἄνθρωποι καὶ γυμνοὶ γενώμεθα, καὶ γυμνοὶ πάλιν ἐκφερόμεθα, τοῖς ἐνταφίοις μόνοις σπαργάνοις δεσμούμενοι, ἄλλον γὰρ ἡμῖν ὁ Θεὸς προὐτρέπησε βίον, καὶ τοῦ πρὸς ἐκεῖνον δρόμου, τὴν παροῦσαν ζωὴν ὁδὸν κατεσκεύασεν, τὰς παρὰ τῆς κτίσεως χρείας εἰς ἐφόδια μόνον τῆς ὁδοῦ καταστάξας, ταύτην δὲ ἡμῖν τὴν ὁδὸν διελθοῦσιν, ὁ τῶν κτηθέντων ἀσυνόδευτος πλοῦτος. οὐδὲν γὰρ ὧν ἐσχήκαμεν, ἔχομεν, ἴδιον, ἑνὸς κτήματος μόνου τῆς εὐσεβείας ἐσμὲν ἰδιοκτήτορες. ταύτην ἡμᾶς θάνατος ἐπελθὼν οὐ συλήσει τῶν ἄλλων δὲ ἁπάντων ἐκβαλεῖ, καὶ μὴ θέλοντας. εἰς ὑποκατάστασιν γὰρ τὴν βιωτικὴν πάντες παρελάβομεν κτῆσιν, καὶ μόνου ταύτης τὴν χρῆσιν ἕκαστος καρπωσάμενος ἄπεισι. βραχὺ παρὰ τοῦ βίου κομιζόμενος μνῆμα. τοῦτο γὰρ πάσης εὐημερίας τὸ τέλος. τοῦτο τῶν βιωτικῶν ἀγαθῶν, τὸ συμπέρασμα. καλῶς ἄρα τὸ βρέφος, τῆς γαστρὸς παρακύψαν, θρήνων εὐθέως, οὐ γέλωτος ἄρχεται. κλαίει γὰρ ὥσπερ τοῦ βίου καταβοῶν, παρ' οὗ, θνησιμαίων ἐκ προοιμίων ἀπογεύεται δώρων. τεχθὲν γὰρ, χεῖρας εὐθέως σπαργανοῦται καὶ πόδας, καὶ δεσμοῖς ἐνειλημμένον ἀπολαύει τῆς θηλῆς. ὢ προοιμίου ζωῆς, προδρόμου νεκρώσεως ἄρτι τὸ βρέφος εἰς ζωὴν παρελήλυθε, καὶ νεκρῶν εὐθέως αὐτῷ στολισμὸς προσηνέχθη. ὑπομιμνήσκει γὰρ τὸ τέλος τοὺς τεχθέντας ἡ φύσις, διὸ καὶ τὸ παιδίον γεννηθὲν ἀποδύρεται, καθάπερ τῇ μητρὶ διὰ τοῦ θρήνου βοῶν, τί με πρὸς ταύτην ὦ μῆτερ, τὴν ζωὴν ἀπεκύησας, ἐν ᾗ τὸ ζῆν ἡ προσθήκη, προκοπὴ πρὸς τὸν θάνατον; τί με πρὸς πολυτάραχον αἰῶνα παρήγαγες, ἐν ᾧ τεχθέντι μοι τὰ προοίμια, τὰ σπάργανα; τί με τοιούτῳ παρέδωκας βίῳ, ἐν ᾧ, νεότης ἐλεεινὴ τρεχομένη πρὸ γήρως, καὶ γῆρας φευκτὸν, ὡς ἐπὶ θάνατον; δεινὸν, ὦ μῆτερ, τοῦ βίου τὸ στάδιον θάνατον ἔχον τῶν προτρεχόντων καμπτῆρα. πικρὰν τὴν βιωτικὴν ὁδοιποροῦμεν ὁδὸν, τάφον ἔχουσαν τῶν ὁδευόντων κατάλυμα. χαλεπὸν τὸ τῆς ζωῆς διαπλέομεν πέλαγος, ἄδην γὰρ ἔχει πειρατὴν ἐφεστῶτα. μόνος ἐν ἅπασι γυμνὸς γεννᾶται ὁ ἄνθρωπος. οὐχ ὅπλον, οὐκ ἔνδυμα συγγενώμενον ἔχων οὐχ ὡς τῶν ἄλλων ζώων ἐλάττων, ἀλλ' ὅπως ἡ μὲν γύμνωσις, καὶ τὸ μηδὲν συνεπάγεσθαι, κατασκευάζῃ σοι μέριμναν. ἡ μέριμνα δὲ τὸ σοφὸν ἐκπομπεύσῃ, τὴν ἀργίαν ἐκβάλῃ, εἰσαγάγῃ τὰς τέχνας δι' ἔνδειαν, γεννήσῃ μηχανῶν ποικιλίας. ὁ γὰρ γυμνὸς πολυμήχανος, ὥσπερ κέντρῳ τῇ χρείᾳ νυττόμενος, πῶς ὑετοὺς ἀποφύγῃ, πῶς σοφίσηται

κρύος,

κρύος, πῶς πληγὰς ἀντιφράζεται, πῶς γεωργίσῃ τὴν γῆν, πῶς φοβήσῃ θηρία, πῶς δαμάσῃ τὰ δυνατώτερα. βρεχόμενος, ὀροφὴν ἐπεχνήσατο. ῥιγώσας, ἐπενόησεν ἔνδυμα. πληττόμενος μεμηχάνηται θώρακα. ἀκάνθαις τὰς χεῖρας γυμνὰς ἐν γεωργίαις αἱμάσσων, ἐμελέτησεν ὀργάνων βοήθειαν. γεγυμνωμένος θηρίοις εἰς βρῶμα, εὗρεν ἐκ φόβου τέχνην, τὰ φοβοῦντα φοβοῦσαν. ἄλλην δὲ ἄλλης ἐγέννησεν ἡ γύμνωσις σύνεσιν ὡς εἶναι καὶ τὴν γύμνωσιν, δῶρον καὶ χάριν δεσποτικὴν, γυμνὸς οὖν καὶ ὁ Ἰὼβ κατασχὰς, χρημάτων, κτημάτων, ἀτεκνίας, πολυτεκνίας, καὶ πάντα ἐν βραχεῖ ἀποβαλὼν, τὴν εὐχάριστον ταύτην, φωνὴν ἐξεβόησεν, γυμνὸς ἐξῆλθον ἐκ νηδύος, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ, πρὸς Θεὸν δηλαδὴ, καὶ τὴν μακαρίαν λῆξιν ἐκείνην καὶ ἀνάπαυσιν.

ὈΛΥΜ. Βαβαὶ φιλοσοφίας τῆς ὑπερβολῆς. τῷ μὲν σχήματι, τῇ φύσει τὸ χρέος ἀπέδωκε περιῤῥηξάμενος τὴν ἐσθῆτα, καὶ τὴν κόμην τιλλάμενος. τῇ δὲ διαθέσει, χωρεῖ πρὸς Θεὸν, καὶ κλίνει γόνυ, καὶ προσκυνεῖ γνησίως, καὶ φυσικῶς ἅπτεται φιλοσοφίας, ἐν μέσοις τοῖς πάθεσιν, ἑαυτῷ τε καὶ ἡμῖν, τὸ τῆς παραμυθίας κατασκευάσας φάρμακον. νόμος ἀνθρώπῳ, φησὶν, ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παράγεσθαι γυμνὸν, ἀλλὰ καὶ ἐξιέναι τοῦ βίου, μετὰ τοῦ ὁμοίου σχήματος. τί οὖν δεινὸν πεπόνθαμεν, φησι, φυσικῶς μὲν οὐδὲν ἔχοντες, εἰληφότες δὲ παρὰ Θεοῦ, καὶ αὖθις ἀφαιρεθέντες, ὧν μικρὸν ὕστερον τὴν στέρησιν ὑπομένειν ἀνάγκη; καὶ νομίζει μὲν ὑπὸ Θεοῦ πάσχειν τὰ δεινὰ, προσκυνεῖ δὲ, καὶ εὐχαρίστως ἀποδίδωσι τὴν παρακαταθήκην, καὶ αὐτοῖς τοῖς ἀκοντίοις διαβολικοῖς κατατοξεύει τὸν ἀλητήριον. ὁ μὲν ἔλεγεν εἰρωνευόμενος, ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει ἀντὶ τοῦ δυσφημήσει, ὁ δὲ τὸν χαριστήριον ἐπὶ τοῖς συμβᾶσιν ἀναπλέκων ὕμνον, αὐτὴν ταύτην ἀφίησι τὴν φωνὴν εὐλογῶν τὸν Θεὸν καὶ φησίν.

ΚΕΙΜ. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο. εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

ΒΑΣΙΛΕΙ͂ΟΥ. Μονονουχὶ τοιαῦτα βοῶν, ἐκλήθη πατὴρ, ἐφ' ὅσον ὁ τοῦτό με ποιήσας ἐβούλετο χρόνον περιελεῖν μου τὸν ἐκ τῆς γονῆς στέφανον, ἐβουλήσατο πάλιν, οὐ διαμάχομαι περὶ τῶν ἰδίων αὐτῷ. κρατείτω τῷ δεσπότῃ τὸ δοκοῦν, αὐτός ἐστι πλάστης τοῦ γένους, ἐγὼ δὲ ὄργανον. τί με χρὴ, δοῦλον ὄντα, δυσχεραίνειν ἀνόητα, καὶ μέμφεσθαι ψῆφον, ἣν οὐ δύναμαι λύειν.

ΠΟΛΥΧΡΟΝΙ. Στέργω τὰ παρὰ Θεοῦ γινόμενα, καὶ πλουτεῖν αὐτοῦ διδόντος βούλομαι, καὶ πένεσθαι, μετὰ τῆς αὐτοῦ βουλῆς θέλω. καὶ ἐφ' οἷς πρώην ἔλαβον εὐχαριστῶ. καὶ ἐφ' οἷς ἀπώλεσα οὐ δυσχεραίνω.

ΧΡΥΣΟΣΤ. Ἤλγησε μὲν γὰρ Ἰὼβ, τοσοῦτον δὲ ὅσον εἰκὸς πατέρα φιλόπαιδα, καὶ σφόδρα κηδόμενον τῶν ἀπελθόντων. οὐκ εἶπε κατὰ τοὺς πολλοὺς, βέλτιον ἦν μηδὲ πεῖραν ἔχειν, μηδὲ κληθῆναι πατέρα, ἢ μετὰ τὸ γεύσασθαι τῆς ἡδονῆς ἐκπεσεῖν, ἀλλ' ὑπὲρ μὲν ὧν ἔλαβεν, εὐχαριστεῖ,

ὑπὲρ δὲ ὧν οὐκ εἰς τέλος ἔχεν, ἐδόξαζεν. οὐκ εἶπεν, ὅτι βέλτιον ἦν μὴ λαβεῖν τοῦτο, ὅ τινες λέγουσιν ἀγνωμόνως, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων εὐχαριστεῖ, λέγων, ὁ Κύριος ἔδωκε, καὶ ὑπὲρ τούτων εὐλογεῖ λέγων, ὁ Κύριος ἀφείλετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. καὶ τὴν γυναῖκα οὕτως ἀπεστόμιζε, δικαιολογούμενος πρὸς αὐτήν, καὶ τὰ θαυμαστὰ ἐκεῖνα φθεγγόμενος ῥήματα, εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ τῶν μὲν ἄλλων ἕκαστος ἀνθρώπων, πολλὰ ἑαυτῷ συνειδὼς πονηρά, τὴν αἰτίαν οἶδεν ὧν πάσχει, οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν, ἐκεῖνος δὲ οὐδὲ τοῦτο εἶχε λογίζεσθαι, ὅτι πλημμελημάτων ἐτίνε δίκας, ὃ μάλιστα αὐτοῦ τὸν λογισμὸν ἐθορύβει, ὅταν μὲν εἰς τὸν βίον εἶδε τὸν ἑαυτοῦ, καὶ τὸ συνειδός, ὑπὲρ τὸν ἥλιον, λάμπων, καὶ τῶν κατορθωμάτων τὸ πλῆθος, ἤδει ὅτι στεφάνων, καὶ βραβείων, καὶ μυρίων ἐπάθλων ἄξιος ἦν. ὅτε δὲ εἰς τὰ συμβεβηκότα ἅπαντα τῶν τὰ ἔσχατα πετολμηκότων, ὁρῶν ἑαυτὸν χαλεπώτερα πάσχοντα, οὐ δὲ τὴν αἰτίαν εὑρίσκων εἰπεῖν, δι᾽ ἣν ταῦτα ἔπασχεν. διὰ δὴ τοῦτο, οὐκ ἔχων οὐδὲ μίαν αἰτίαν ἐπιθεῖναι τῇ συμφορᾷ, ἐπὶ τὸ ἀκατάληπτον τῆς τοῦ Θεοῦ οἰκονομίας κατέφυγεν, καὶ ἐπὶ τὸ δοκοῦν αὐτῷ ἀναφέρων τὰ γενόμενα, ἔλεγεν, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. οὐ γὰρ οἶμαι, δεῖν ἐξετάζειν δεσποτικὴν γνώμην, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. οὐδὲν ἀπηλές, φησιν, φθέγξομαι περὶ Θεοῦ, ὕμνων δὲ ἄξιον κρινῶ, ἐφ᾽ οἷς τότε τὴν ἀρχὴν παρέσχε, καὶ ἐφ᾽ οἷς νῦν ἀπολέσθαι ἐδοκίμασε. τοιούτοις τὸν διάβολον ὁ δίκαιος κατηκόντισε ῥήμασι. θαυμαστὸν δὲ ὅτι καὶ παρὰ Θεοῦ νομίζων ἀφῃρῆσθαι, εὐχαριστεῖ, καὶ οὐκ ἐκλύεται. τοῦτο καὶ σὺ ποίει, καὶ λογίζου πρὸς ἑαυτόν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλὰ Θεὸς ὁ ποιήσας, ὁ μᾶλλόν σου κηδόμενος, καὶ τὸ συμφέρον εἰδώς, οὐ πολέμιος, οὐ δὲ ἐπίβουλος, βοήθησον τοῖς ἀπελθοῦσιν, μνείαν ὑπὲρ αὐτῶν ἐπιτελῶν. εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθηρεν, ἡ τοῦ πατρὸς, πνεύματος θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων γίνεταί τις αὐτοῖς παραμυθία; εἴωθε γὰρ ὁ Θεὸς, καὶ ἑτέροις ὑπὲρ ἑτέρων, χαρίζεσθαι. ὠφελῶμεν. ὠφεληθῶμεν κατὰ τὸ δυνατὸν, αἰσθητὸν, ὅτι πᾶσα κτίσις ἕπεται τῷ δημιουργῷ. Διὸ κατὰ τὸ συμφέρον καὶ δίδωσιν, ἑκάστῳ, καὶ ἀφαιρεῖται, τὸ εὔγνωμον ὁμοῦ, καὶ καρτερικῶν ἡμῶν ἐγγυμνάζων. ἡ γὰρ ἐπὶ τοῖς παραχεθεῖσιν εὐγνωμοσύνη, δευτέρας εὐεργεσίας ἦν ὑπόθεσις.

ΚΕΙΜ. Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον Κυρίου, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

ΧΡΥΣΟΣΤ. Καθάπερ ἐπὶ τῶν εἰκόνων ἐπειδὰν τινα γράψωμεν, κάτωθεν ἐν ταῖς χοινικίσιν ὑπογράφομεν, ὁ δεῖνα ἀνατέθεικεν. οὕτω καὶ ἐνταῦθα τὴν εἰκόνα τῆς ψυχῆς τοῦ δικαίου διὰ ῥημάτων γράψας, ὁ συγγράψας τὸ βιβλίον, ὥσπερ ἐν χοινικίδι κάτωθεν ὑπογράφων, λέγει, ὅτι, ἐν τούτοις πᾶσιν οὐχ ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον Κυρίου. μηδὲ νομίσῃς ἐπὶ μὲν τῶν ἀνθρώπων ἐσί-

γησεν.

γησεν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐχί, ἀλλ' οὐδὲ κατὰ διάνοιαν ἥμαρτε. τί δέ ἐστιν, ἐν τοῖς χείλεσιν; πολλάκις ὑπὸ τοῦ πάθους συναρπαζόμενοι, ῥῆμα ἐκφέρομεν, τῆς διανοίας μὴ συγκατατιθεμένης, ἀλλὰ τὴν γλῶτταν τῆς ἀθυμίας συναρπαζούσης. ἐκεῖνος δὲ οὐδὲ τοῦτο πέπονθεν, ἀλλὰ καθαρὰ μὲν ἡ διάνοια βλασφημίας ἦν, καθαρὰ δὲ ἡ γλῶττα πονηρῶν ῥημάτων. καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ, τουτέστι, οὐ κατέγνω τῶν γεγενημένων ἀδικίαν, οὐκ εἶπεν ὡς πολλοί, ἁπλῶς, καὶ ὡς ἔτυχε τὰ πράγματα φέρεται, ἀλλ' ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο.

ΠΟΛΥΧΡΟΝ. Οὕτως ἐν πᾶσι τοῖς τῶν συμφορῶν κύμασιν, οὐδὲ κατὰ διάνοιάν τι ἀπρεπὲς περὶ Θεοῦ ὁ Ἰὼβ ἐλογίσατο. τοῦτο γὰρ σημαίνει, τό, ἐναντίον Κυρίου, ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς τὴν καρδίαν βλέπει. ἀλλὰ μετὰ γνησίας τῆς διαθέσεως, τὴν δοξολογίαν προσήνεγκεν, καὶ οὐ φαύλους, καὶ ἄφρονας λογισμοὺς, ἀντὶ ἀγαθῶν προεκόμισεν. οὐ μόνον γὰρ ἐν τῇ ἀποστερήσει τῶν λοιπῶν, ἀλλ' οὐδὲ ἐν τῇ τῶν παίδων ἀκοῇ, ἠναγκάσθη τί βλάσφημον φθέγξασθαι περὶ Θεοῦ. ἀλλ' εἰ καὶ ἔδοξεν δυστυχεῖν τοῖς ἀνθρώποις, ἀλλ' ἐναντίον Κυρίου ἄμεμπτος ἦν, καὶ οὐκ ἔσχε περὶ Θεοῦ ἀπρεπῆ ἔννοιαν. σαφέστερον γὰρ ὁ ἑβραῖος, οὐκ ἐμέμψατό, φησι, τῷ Θεῷ. ἐνταῦθα διττὴ ἡ μαρτυρία, καὶ θαύματος ἀξία. οὐ γὰρ ἀφῆκέ, φησιν, ἀχαριστίας φωνήν, οὐδὲ κατὰ λογισμὸν ἔπαθέ τι φιλοσοφίας ἀνάξιον. ὅτι ἡ ἀφροσύνη, οὐκ ἐν ῥήμασιν, ἀλλ' ἐν τῇ διαθέσει τῆς ψυχῆς συνίστασθαι πέφυκεν. Ἡ δὲ φρόνησις ἐνέργεια ψυχῆς ἐστὶν ἀθεώρητος, μήτηρ καθιστῶσα τῶν ἀσεβῶν ῥημάτων. καὶ ἕτερον δὲ μανθάνομεν ἐγκώμιον, οὐ μικρόν, τὸ ἐναντίον τοῦ Θεοῦ φανῆναι βίον ἀκατηγόρητον.

ἘΦΒΑΙ͂Μ. Ἐντεῦθεν μανθάνομεν ὅτι ἀδύνατόν ἐστι, τοὺς φοβουμένους τὸν Κύριον ἐν ἀληθείᾳ, καταχειρωθῆναι ὑπὸ τοῦ διαβόλου. ἐπιχειρεῖ μὲν γὰρ τοῦ σαλεύειν, ἀλλ' ἐκριζῶσαι οὐκ ἰσχύει, καθάπερ ἐγένετο καὶ ἐπὶ τοῦ Ἰώβ, παρεδόθη μὲν εἰς χεῖρας τοῦ πειράζοντος, ἀλλ' οὐκ ἐτόλμησεν αὐτοῦ ἅψασθαι, δίχα τῆς τοῦ Θεοῦ ἐπιτροπῆς. καίπερ λαβὼν ἐξουσίαν παρὰ τοῦ Θεοῦ, χρήσασθαι αὐτῷ καθὼς ἂν βουληθῇ, δίχα τῆς ψυχῆς τοῦ δικαίου. ὅπου γε οὐδὲ κατὰ τῶν χοίρων τὴν ἐξουσίαν ἔχει ὁ ἐχθρὸς, δίχα τῆς τοῦ Θεοῦ συγχωρήσεως. ἐνίκησε δὲ ὁ δίκαιος τὸν ἀντίπαλον, ὡς καὶ Παῦλος τὸν δοθέντα σκόλοπα, Ἄγγελον σατανᾶ, μόνῳ τῷ πόθῳ, ᾧ εἶχε πρὸς τὸν Θεὸν ἐν ἀληθείᾳ. οὐδὲ γὰρ τὸ ἀσθενῆσαι κατὰ σάρκα, ἐστὶν ἥττημα, οὐδὲ τὸ ζημίαις καὶ θλίψεσι περιπεσεῖν ἐστὶ πτῶμα, ἀλλὰ τὸ ἐν τοῖς πειρασμοῖς εὑρεθῆναι ἀδόκιμον.

ΧΡΥΣΟΣΤ. Οὐκ οὖν μὴ ἀναπαυσώμεν ποτε ἕως ἂν ἐνταῦθα ὦμεν, ἀλλὰ πυκτεύωμεν ἀεί, μάλιστα δὲ ἐν τῷ καιρῷ τῆς νόσου, ὅταν ὀδύναι πανταχόθεν θορυβῶσι τὴν ψυχήν, ὅταν ἀλγηδόνες πολιορκῶσιν, ὅταν ὁ διάβολος ἐφεστήκει, παροξύνων εἰπεῖν τι ῥῆμα πικρόν. τότε δὲ μάλιστα ἀσφαλίζεσθαι δεῖ, καὶ φράττεσθαι τῷ τῆς ὑπομονῆς θώρακι, καὶ τῷ τῆς εὐχαριστίας ὅπλῳ. ταῦτα γὰρ χαλεπὰ κατὰ τοῦ διαβόλου τὰ βέλη, αὕτη καιρία

F ἡπ-

ἡ πληγή. τότε μάλιστα λαμπροὶ οἱ στέφανοι. ἐπεὶ καὶ τὸν μακάριον Ἰὼβ τοῦτο μάλιστα λαμπρὸν ἀπέφηνε, τοῦτο ἀνεκήρυξε, τὸ, ἐν καιρῷ πειρασμοῦ, καὶ νόσου, καὶ πενίας, ἀπερίτρεπτον φανῆναι, καὶ ἄσειστον τὴν διάνοιαν, τὰ εὐχαριστήρια τῷ Θεῷ ἀνενεγκεῖν ῥήματα, καὶ τὴν πνευματικὴν ἐκείνην θυσίαν. θυσία γὰρ ἦν τὰ ῥήματα αὐτοῦ ἅπερ ἔλεγεν, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, καὶ τὰ ἑξῆς ὃ δὴ καὶ ἡμεῖς ἀεὶ ποιῶμεν, ἐν πειρασμοῖς, ἐν περιστάσεσιν, ἐν ἐπιβουλαῖς τὸν Θεὸν δοξάζοντες.

ΚΕΙΜ. Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἔναντι τοῦ Κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν, παραστῆναι ἐναντίον τοῦ Κυρίου.

ΧΡΥΣΟΣΤ. Τί δή ποτε καθ' ἑκάστην ἡμέραν παρισταμένους αὐτοὺς εἰσάγει; ἵνα μάθωμεν, ὅτι οὐκ ἀπρονόητα τὰ παρόντα, ἀλλὰ λόγον διδόασι τῶν καθ' ἑκάστην ἡμέραν γινομένων, καὶ καθ' ἑκάστην ἀποστέλλονταί τι οἰκονομοῦντες οἱ Ἄγγελοι, εἰ καὶ ἡμεῖς οὐκ ἴσμεν.

ἈΠΟΛ. Καὶ νῦν οὖν οἱ μὲν ἐξεπλήσσοντο ἐπὶ τῇ ἀνδρείᾳ τοῦ δικαίου, ὁ δὲ διάβολος δακνόμενος ἐπὶ τῇ καρτερίᾳ, πυκνοτέρας ἀνεμόχλευσεν ὀδύνας, καὶ ἑτέραν πεῖραν προσάγειν ἐβούλετο. ὁ δὲ Θεὸς ἐθαυμάζετο τῆς ἀρετῆς τὸν δίκαιον, ἧς καὶ τοῖς ἀνθρώποις τὴν ἀπόδειξιν παρείχετο, ἐν τῇ τῶν παθῶν καρτερίᾳ, ὅπου γε καὶ μετὰ τοσαύτην πεῖραν κακῶν, τῶν καλῶς ἐγνωσμένων οὐκ ἀπέστη.

ἸΟΥΛΙΑΝ. Ἦλθεν ἐν μέσῳ τῶν Ἀγγέλων, οἱονεὶ συνειλημμένος. κατῃσχύνετο γὰρ, καὶ φθέγγειν ὥσπερ ἐβούλετο. ἢ ἐν μέσῳ, λέγεται, εἶναι τῶν Ἀγγέλων, ὡς διακόψας αὐτῶν τὴν πρόνοιαν, τὴν περὶ τοῦ Ἰὼβ διὰ τῆς ἐξαιτήσεως. πῶς δὲ ἄρα καὶ Ἄγγελοι παρίστανται τῷ Κυρίῳ; πότε δὲ λειτουργικὰ πνεύματα τῆς θείας θεραπείας ἀνακεχώρηκε; τί δὲ καὶ εἴη ἂν τὸ δυνάμενον, τὸν δημιουργὸν μερίσαι τῆς ἰδίας κτίσεως, ᾧ, κατὰ τὸν προφήτην, πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν; πῶς δὲ καὶ ὁ διάβολος Ἀγγελικῆς ἀξιοῦται συνόδου, καὶ ῥήματα προΐσχεται ἡ ἀπώλεια; καὶ λόγον δέχεται παρὰ τῆς ὄντως ζωῆς; τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; οὐχ ὑπομένει σκότος παρουσίαν φωτός, οὐδὲ ὁ μισόκαλος τὴν ἐγγύτητα τῆς ζωῆς. ἀλλ' αὐτόθεν εὐσεβῶς ἑλκύσωμεν τὴν θεωρίαν. διττὴ τοίνυν ἐστὶν ἡ προκειμένη θεωρία. Θεοῦ μὲν γὰρ ἐνώπιόν ἐστι πᾶσα ἡ κτίσις, καὶ αὐτὴ ἡ ἀποστατικὴ κατὰ τὸ ἀπερίγραπτον τῆς οὐσίας ἐκείνης. ἄλλως μέντοι συνάγονται πρὸς Θεὸν, αἱ μὴ γνωρίσασαι πονηρίαν φύσεις, ἐγγύτεραι γινόμεναι κατὰ τὴν οἰκειότητα, καὶ ἄλλως ὁ βλάσφημος καὶ μισόθεος σατανᾶς. κατὰ μόνον τὸ πανταχοῦ παρεῖναι τὸν Θεόν. ἐνώπιον δὲ ἐλθεῖν, λέγεται, Κυρίου, οὐχ ὡς ὑπομένων τῆς ζωῆς τὴν ἐγγύτητα, ἀλλ' ὅτι λαθεῖν οὐκ εἶχε τὸν ἀπερίγραπτον. ἡ τοίνυν φθονερὰ τοῦ διαβόλου διάθεσις, τὴν ἀρετὴν τοῦ ἀθλητοῦ πληγὴν ἰδίαν λογιζομένη, διανοεῖται πικρῶς, πολλοὺς πρὸς τὴν

ὁμοίαν συμφορὰν παρακαλοῦσα, οἰομένη τῇ κοινωνίᾳ τῶν ἐγκλημάτων διαφύγειν τὴν τιμωρίαν, καὶ πειρᾶται ταῖς δυσκολίαις κατασείειν τὸν τῆς εὐσεβείας πύργον. τὸ γὰρ ἐν ἀφθονίᾳ, φησὶ, γνώσκειν τὸν τρέφοντα, πρόσεστι καὶ τοῖς ἀλόγοις ζώοις. λείπεται οὖν αὐτὸν καὶ τῶν ὄντων ὑπομεῖναι τὴν στέρησιν, γενέσθαι δὲ καὶ ἄπαιδα, καὶ αὐτοῦ τοῦ σώματος τὴν διαφθορὰν ἀπελθεῖν. ἐν τούτοις γὰρ δειχθήσεται, εἰ ὡς υἱὸς ἀγαπᾷ τὸν πατέρα, καὶ μὴ πείθεται τοῖς δώροις, καθάπερ οἱ φίλος καλοῦντες τὸν μισθωσάμενον. ἡ τοιαύτη πικροτάτη μελέτη, λεγέσθω φωνή. οἶδε γὰρ ὁ τῶν ἀοράτων δημιουργὸν, καὶ τούτων τὰς ἐνεργείας γινώσκειν, καὶ οὐ δεῖται βοῆς παριστώσης σαφῶς τὰ ἀπόῤῥητα. ἀλλ' ὅπερ ἡμῖν ἐστὶν, ὁ διὰ τῆς γλώττης προφερόμενος ψόφος, τῇ πληγῇ τοῦ ἀέρος ἐμπίπτων ταῖς ἀκοαῖς, καὶ οὕτως περιποιῶν ἡμῖν τὴν συναίσθησιν τῶν λεγομένων, τοῦτο Θεῷ τυγχάνει διάνοια. διάλεξις τοίνυν τοῦ διαβόλου γέγονεν πρὸς τὸν Θεὸν, οὐ διὰ φωνητικῶν ὀργάνων. πῶς γὰρ ἂν καὶ ἁρμόσειε τοῖς ἀΰλοις λόγοις τοιοῦτος; ἀλλ' ἡ κατὰ τὸ κρυπτόμενον ὑποτυπουμένη βουλὴ, φωνὴν ἀπεμιμήσατο, Θεὸν μὴ λανθάνουσα. οὕτω γὰρ καὶ Μωϋσέως σιγῶντος, καθάπερ κεκραγότος ἔλεγεν ἀκηκοέναι. οὕτω καὶ διάβολον διανοούμενον λαβὼν, ὡς φθεγγόμενον οἶδε. τὰ γὰρ τοῦ διαβόλου κινήματα, ὅπως ὥρμητο κατὰ τοῦ δικαίου, εὔδηλον ὡς οὐκ ἠγνόει Θεός. καθ' ὅσον δὲ αὐτῷ συνεχώρει πειράζειν, ἐνεδείκνυε τὴν νόησιν. καὶ τοῦτο αὐτὸ παριστῶσα ἡμῖν ἡ γραφὴ, ὡς ἐν διαλογῷ, πεύσεις τε καὶ ἀποκρίσεις, κατ' ἠθοποιΐαν εἰσάγει.

ΚΕΙ'Μ. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ, πόθεν σὺ ἔρχῃ;

ΟʹΛΥ. Εʹώρα ὁ Θεὸς, ὅπως αἰσχυνθεὶς διεπονεῖτο ὁ σατανᾶς. ὅταν δὲ ἐπερωτῶν ἴδῃ ἀγνωμονοῦντα, τότε ἐλέγχει κακουργοῦντα, ὡς ἤλεγξε τὸν Καΐν.

ΧΡΥΣΟΣΤ. Ἤδει πόθεν ἦλθεν, ὅτι ἡττηθεὶς παρὰ τοῦ δικαίου, ἀλλὰ βούλεται ἰδεῖν, εἰ ἀγνωμόνως ὁμολογεῖ τὴν ἧτταν.

ΟʹΛΥΜΠ. Εʹ̓γνω, σὲ φησιν, ἀπὸ ποίας ἐπανῆλθες δεινοτάτης δραματουργίας, ἡττηθεὶς μὲν καὶ ἐγκαλυπτόμενος, πρὸς ἑτέραν δὲ παρασκευαζόμενος μηχανὴν, οὕτος αὐτὸν ἐπερωτῶν ἐλέγχει τὸ τῆς μανίας ἀκάθεκτον καὶ τῆς ἐπιχειρήσεως τὸ πικρότατον.

ΚΕΙ'Μ. Τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ Κυρίου, διαπορευθεὶς τὴν ὑπ' Οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν πάρειμι.

ΤΟΥ' ΑΥ'ΤΟΥ' Οὐκ οἶδε μετελοφρονεῖν ὁ τῆς ὑπερηφανίας διδάσκαλος, πανταχοῦ δὲ τὸν ἀπάνθρωπον ἐνδείκνυται τρόπον. ταύτῃ τοι καὶ νῦν τὴν ἑαυτοῦ καταμηνύει περίοδον, καὶ τὴν πρὸς πάντας ἀνθρώπους ἀπέχθειαν, καὶ δίχα τινὸς προκαλύμματος, τὸ τῆς κακίας ἄστατον παραδηλοῖ, μὴ δυνάμενος ἠρεμεῖν.

ΕΥ'ΑΓΡΙ'ΟΥ. Διὰ τοῦτο μέν τοι τῷ Ἰώβ οὐκ ἐμπεριπατεῖ, ἐπειδὴ οὐκ ἦν ὑπουράνιος, ἔχων τὸ πολίτευμα

ἐν Οὐρανοῖς. ψεύδεται οὖν ὁ πονηρὸς, ἐν παντὶ λέγων ἐνηργηκέναι, καὶ πάντας ἀνθρώπους ὑφ' ἑαυτῷ ποιήσασθαι. Διὸ καὶ παρὰ πόδας ἐλέγχεται. ἐπεὶ πῶς ὁ πάντας ἀνθρώπους πατήσας, ὡς φῂς, ἑνὸς τοῦ Ἰὼβ οὐ περιγέγονας;

ΚΕΙ'Μ. Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον, προσέσχες οὖν τῷ θεράποντί μου Ἰώβ; ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς. ἄνθρωπος ἄκακος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβής. ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. ἔτι δὲ ἔχεται ἀκακίας σὺ δὲ εἶπας ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι.

ΧΡΥΣΟΣΤ. Ο' μὲν διάβολος κρύψας τὴν ἧτταν, τῇ πρώτῃ κέχρηται φωνῇ, καὶ περιελθὼν, φησὶ, τὴν γῆν, πάρειμι. ὁ δὲ Θεὸς, ὃ ἔκρυψε φθονῶν ἐκεῖνος, ἐκκαλύπτει. καὶ ἐπειδὴ ἐρωτήσας οὐκ ἔμαθε παρ' αὐτοῦ τὴν ἧτταν ἣν ὑπέστη, αὐτὸς αὐτὴν στηλιτεύει, καὶ τοῦ δικαίου τὴν νίκην ἐκφαίνει, ἐμπεριπατήσας τὴν σύμπασαν πάρειμι. τί οὖν εἰς τοῦτο εἰσῆλθες τοῦτο ἤτησας; οὐ σὺ εἶπας, δός μοι τὰ ὑπάρχοντα τοῦ Ἰώβ; διατὶ κρύπτεις τὸν ἀγῶνα; ἵνα ἀφανίσῃς τὸν στέφανον τῆς νίκης. προσέσχες τῷ θεράποντί μου; ὅτι οὐκ ἔστι κατ' αὐτὸν, ἄνθρωπος ἄκακος. μὴ παραδράμῃς ἁπλῶς τὸ ῥηθὲν, ἀλλ' ἐπισήμηναι, ὅτι ἐν πρώτῃ μαρτυρίᾳ οὐδαμοῦ ἐλέχθη, τὸ, ἄκακος. ἀλλὰ μὴ μνησθεὶς τοῦ ὀνόματος τούτου πρότερον, νῦν αὐτῷ προσέθηκε τὸν τῆς ἀκακίας στέφανον, ἐπειδὴ τὰ κακὰ εὐχαρίστως ἤνεγκεν. εἶτ' οὖν καὶ δοκεῖ ἐν τοῖς ἑξῆς φθέγγεσθαι τολμηρὸν τῇ ἀκακίᾳ προσλελόγισται. φησὶ δὲ καὶ αὐτὸς ὕστερον ὁ Ἰώβ, οἶδε δὲ ὁ Κύριος τὴν ἀκακίαν μου. Τῷ δὲ ἀκάκῳ οὐδεὶς τὸ ῥῆμα εἰς πονηρίαν λογίζεται. Οὐ γὰρ ἐπὶ τοῖς πράγμασιν, ἀλλὰ τῇ προθέσει τῶν ποιούντων δικάζομεν. Ὑβρίζει υἱὸς πατέρα, καὶ τὸ πρᾶγμα ἀνόσιον, καὶ ὡς πατραλοίας κατακρίνεται, ὅτι φωνὴν ἐναντίαν ἔῤῥηξε πατρὶ, καὶ τὴν ἑαυτοῦ ῥίζαν δυσφημῆσαι ἐτόλμησε. Παιδίον δὲ ἄκακον, κἂν τύψῃ τὸν πατέρα, ἢ τὴν μητέρα, ἢ ὕβρεις πάσης εὐφροσύνης ποθεινοτέρα. Πολλάκις οὖν μητέρες εἰς ὕβριν τὰ τέκνα διερεθίζουσιν, οὐ τῇ ὕβρει, ἀλλὰ τῇ ἀκακίᾳ, ἀλλὰ τῷ ἀκαιραίῳ, ἀφελεῖν τοῦ ἤθους, ἐπαγγελόμεναι, οὕτω ὁ Θεὸς εἰδὼς, ὅτι οὐκ ἐκ κακίας φθέγγεται, δέχεται τὰ παρὰ τοῦ Ἰώβ, εἰς κρίσιν καλούμενος παρ' αὐτοῦ. Α'κακίας γὰρ τὸ ῥῆμα οὐ πονηρίας.

Α'ΠΟΛΙΝ. Οὕτω καὶ ὁ Θεὸς μαρτυρεῖ, λέγων, ἔτι δὲ ἔχεται ἀκακίας. Τούτεστι οὐκ εἰς δέον σοι, ὦ πονηρὲ, ἡ κατ' αὐτοῦ κακία προὐχώρησε. Τῆς γὰρ αὐτῆς ἀκακίας ἔχεται, μηδὲν ὧν αὐτὸς ἐπιθυμεῖς, πράξας. Α'ντὶ μέντοι, τοῦ ἔχεται ἀκακίας, ὁ Ἑβραῖος, ἔχεται τῆς ἑαυτοῦ τελειότητος, ἔχει.

ΠΟΛΥΧΡ. Α'πέχεται δὲ Κυρίως κακίας ὁ πεφυκὼς αὐτὴν δέχεσθαι. Τότε γὰρ ὁ ἔπαινος χώραν ἔχει, ὅτε δυνάμενος εἶναι φαῦλος, ἀπέχεται κακίας, μίσει τῷ πρὸς αὐτήν. Ο'ρα δὲ, ὅτι μετὰ τὴν τοσαύτην πεῖραν, καὶ τὴν τῶν ὄντων διαφθορὰν, καὶ τὴν τῶν παίδων οἰκτρὰν τελευτὴν, τῶν ἐγκωμίων ὁ δεσπότης ἀπτόμενος, οὐκ ἔτι τὸ ἀληθινὸν, καὶ ἄμεμπτον,

τῶν ἐπαίνων ποιεῖται κεφάλαιον ὡς ἐν τοῖς προλαβοῦσιν, ἀλλ᾽ ἐκ τοῦ γεγονότος ἔργου λαμβάνει τὸ ὄνομα, ἄκακος γάρ φησι, τουτέστι, ἐκ τοῦ πράγματος τῆς προσηγορίας ἕλκων τὴν ἀφορμήν. Οὐ γὰρ ἐπισυγνάζει τοῖς πόνοις, οὐδὲ πάλιν θρασύνεται, καὶ ταῖς ἀλαζονείαις ὑπερχεῖται, ὅτι τοῦ πολεμίου κεκράτηκεν, ἀλλ᾽ ἔχεται καὶ οὕτω τῆς ἀκακίας, τουτέστι, γνωρίζει τὴν τῶν ἀγαθῶν αἰτίαν, τῆς καρτερίας τὴν ὑπόθεσιν. Ὅθεν καὶ τῇ κλίσει τετίμηται. Ὁ γὰρ τῆς ἀκακίας ἐχόμενος, ἄκακος ὀνομάζεται, τό, σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι, Ἀκύλας σαφέστερον ἐκδέδωκεν, ἀνέσεισάς με ἐπ᾽ αὐτῷ, τοῦ καταποντίσαι αὐτὸν δωρεάν.

ΧΡΥΣΟΣΤ. Μάτην αὐτοῦ, φησί, τῇ περιουσίᾳ ἐφθόνησας, εἶπας, προφάσει τῶν χρημάτων ἀσεβεῖν τὸν ἄνδρα. Ἐγυμνώθη τῶν κτημάτων, καὶ οὐκ ἐγυμνώθη τῆς εὐσεβείας. Οὐκ ἠθέλησας, ὦ ἀναίσχυντε, ὡς Θεῷ, μοὶ πιστεῦσαι. Ἀπὸ τῆς πείρας οὖν σε δεῖ πιστωθῆναι λοιπόν, ὅτι οὐ ταῖς εὐπραγίαις τὴν φιλοσοφίαν ὁ ἐμὸς θεράπων μετρεῖ; ὅρα δέ, οὐκ εἶπεν, ὅτι διακενῆς ἀπώλετο τὰ ὑπάρχοντα, ἀλλά, σὺ εἶπας, ἀπολέσαι διακενῆς. ἐπεὶ αὐτὸς μισθόν, οὐ τὸν τυχόντα ἔλαβε τῆς ἀπωλείας.

ὈΛΥΜΠ. Τινὲς δέ, σὺ εἶπας, διακενῆς, φασί, τουτέστι, μάτην ἐλογίσω, ὡς ἐὰν ἀφαιρεθῇ τὰ ὑπάρχοντα, εἰς βλασφημίαν ἐκφέρεται. Διακενῆς δὲ νοοῦσιν, ἀπολέσαι, ἐπεὶ δι᾽ ἁμαρτίας ἀπώλοντο τὰ τοῦ Ἰώβ, ἢ ὅτι, οὐκ εἰς εὐποιΐας δεδαπάνηντο.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ ὁ διάβολος, εἶπε τῷ Κυρίῳ, δέρμα ὑπὸ δέρματος, ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει.

ἈΠΟΛ. Τό, ὑπολαβών, κατὰ τὴν τοιαύτην ἔννοιαν κεῖται, ἀντὶ τοῦ, καὶ τούτων οὕτω γενομένων, ἔτι κατὰ τοῦ δικαίου ἐβουλεύετο. Ἢ ὅτι μετά τινος ἀγῶνος τὴν ἄδικον μελέτην πεποίηται, καθάπερ τις ἀθλητὴς ὑπερχόμενος, καὶ κλέπτων τὰ προσπαλαίοντα ταῖς λανθανούσαις λαβαῖς, ὡς εἶναι τό, ὑπολαβών, ἀντὶ τοῦ, πᾶσαν ὑπελθὼν πεῖραν, πρὸς ἔλεγχον τῆς τοῦ ἀνδρὸς φιλοσοφίας, διέθηκε τοὺς ἀγῶνας πικρῶς καὶ ἀθέως. Οὐ γὰρ οἶδεν ὅρους ἐπιτιθέναι ταῖς πονηρίαις.

ὈΛΥΜΠ. Σκόπει δὲ ὧδε πρῶτον, ἐν πενίᾳ, καὶ ἀπαιδίᾳ γυμνασθέντος τοῦ δικαίου, καὶ τὴν ἄκραν φιλοσοφίαν ἐπιδειξαμένου, ἐφ᾽ οἷς, οὐ μόνον οὐκ ἐδυσφήμησεν, ἀλλὰ καὶ εὐχαριστηρίους φωνὰς ἀνέπεμψεν. Οἱ μὲν Ἅγιοι συνέχαιρον Ἄγγελοι τῇ νίκῃ, ὁ δὲ διάβολος διεπρίετο τοὺς ὀδόντας, καὶ δευτέρας πείρας ἐξουσίαν ἐζήτει κατ᾽ αὐτοῦ λαβεῖν. Ὁ δὲ ἀγαθὸς Θεός, καὶ τοὺς ἑαυτοῦ δοξάζων γνησίους θεράποντας, ὑπερεθίζει τὸ θηρίον, ἵνα καὶ μᾶλλον καταισχυνθῇ, καὶ πολλοῖς ἐγκωμίοις στεφανοῖ τὸν δίκαιον, ὡς τὴν φυσικὴν ἀλήθειαν διαφυλάξαντα, καὶ οὐδὲ μίαν ὑπομείναντα διαστροφήν, ἐκ τῶν συμφορῶν. Ἔτι γάρ, φησι, τῆς αὐτῆς ἀκακίας ἔχεται, μηδὲ μίαν ὑπομείνας βλάβην. Σὺ δὲ ἐμεγαλαύχεις

διακευῆς, ἀντὶ τῦ, ἀκαίρως ἐφλυάρει. Λέγων, ἐὰν ἀπολέσῃ τὰ ὑπάρχοντα, δυσφημήσει. Κατανόει δὲ ἐντεῦθεν, ὡς ὁ μὲν Θεὸς, προγνώστης ὢν, καὶ εἰδὼς τὸ ἐκβησόμενον, καὶ ὅτι μέγας ὁ Ἰὼβ ἐκ ἂν ἀπρεπές τι φθέγξαιτό ποτε, ἐπέτρεψε τὴν κατὰ τῦ δικαίε πάλην. Ὁ δὲ διάβολος ἔτε τὸ μέλλον οἶδεν, ἔτε τὰ ἐν ἡμετέρᾳ καρδίᾳ γινώσκει. Διὸ καὶ ἀγνοῶν ὅτι ἡττηθήσεται, ἐλήρει λέγων, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. Καὶ αὖθις νικήσειν οἰόμενος, τὴν εἰς τὸ δέρμα τῦ δικαίε πεῖραν ἐξαιτεῖ, καί φησι, δέρμα ὑπὲρ δέρματος, πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτῦ ἐκτίσει. Ὁ δὲ σύμμαχος, χρῶτα ὑπὲρ χρωτὸς, καὶ πάντα ὅσα ἔχει, προήσεται ὑπὲρ τῆς ψυχῆς αὐτῦ. Ἐλεγχθεὶς ὁ μισάνθρωπος, κἀνταῦθα πάλιν ἀναισχυντεῖ, καί φησιν, ἐδὲν μέγα, εἰ ἀλλοτρίων σωμάτων πεπονθότων, ἐκ ἐδυσφήμησε, δεδοικὼς μή σε παροργίσῃ, καὶ κατὰ τῦ ἰδίε σώματος ἐνέγκῃ τὴν πληγήν. Τῦτο γάρ ἐστιν ὃ λέγει, δέρμα ὑπὲρ δέρματος. Καὶ γὰρ πολλάκις τίς ἵνα μὴ εἰς ὀφθαλμὸν βλαβῇ, τὴν χεῖρα προτείνει, καὶ εἰς τὸ ἧττον τίμιον μέλος δέχεται τὴν πληγὴν, δέρμα ὑπὲρ δέρματος προϊέμενος. Ἵνα σώσῃ τὸ καιριώτερον. Τί ἔν θαυμαστὸν, εἰ τὰ ὑπάρχοντα προήκατο; ὁπότε καὶ σῶμα ὑπὲρ σώματος πολλάκις προϊέμεθα, καὶ πληγῆς φερομένης τυχὸν κατὰ τῦ ὀφθαλμῦ, ἢ τῆς κεφαλῆς, τὴν χεῖρα ἀντιθέντες, τὸ Καιριώτερον μέρος τῆς πληγῆς ἀπαλλάττομεν, καὶ ἅπαντα δὲ τὸν πλῦτον ἑτοίμως προτείνομεν, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας. Ἔστι δὲ καὶ ἄλλως νοεῖν τὸ ῥητὸν, διαπελίζων τὴν τῦ δικαίε πρὸς Θεὸν εὐφημίαν ὁ πονηρὸς, δέρμα φησὶν, ὑπὲρ δέρματος δέδωκεν, τετέστιν, εἰς ὀλίγα βλαβεὶς, ὀλίγον τινὰ εὐφημίαν προσήγαγε. Καὶ ἐδὲν μέγα, εἰ τῶν ὑπαρχόντων ἄνθρωπος καταφρονῇ, ἵνα αὐτὸς μὴ βλαβῇ. Τὸ γὰρ τῆς ψυχῆς αὐτῦ, ἀντὶ τῦ, ἑαυτῦ, εἴρηκεν.

ΚΕΙ'Μ. Οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σε, ἅψαι τῶν ὀστῶν αὐτῦ, καὶ τῶν σαρκῶν αὐτῦ, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.

Ο'ΛΥΜΠ. καὶ ΧΡΥΣΟΣΤ. Ὢ μὸν τὸ θηρίον, καὶ ἀναίσχυντον. Οὐ γὰρ ἀνέχεται, μόνον τῶν ἡμετέρων ἐμφορηθῆναι σαρκῶν, ἀλλὰ καὶ μέχρις ὀστῶν, καὶ μυελῶν διελθεῖν βέλεται. Οὐκ ἀπορεῖ πονηρίας, εὑρίσκει πάλιν ἐπίνοιαν. Οὐδὲν, φησὶ, μέγα, εἰ ἀπώλεσε κτήματα, ἡδέως πάντων καταφρονήσας, ἵνα ἑαυτὸν σώσῃ. Ἀλλὰ μὴν τί τῦτο; εἰ τὴν ψυχὴν ἐδίδως λαβεῖν; τῦτο γὰρ ἐνέφηνε ζητῶν διὰ τῦ λέγειν. Πάντα ὑπὲρ τῆς ψυχῆς αὐτῦ ἐκτίσει. Τὸ γῦν σῶμα πλῆξον, διατί δὲ, μὴ ἐξ ἀρχῆς τῦτο ᾔτησεν; ἐλογίσατο, ὅτι εἰ συμβῇ αὐτὸν ἡττηθῆναι βέλτιον ἀπὸ τῶν ἐλαττόνων τὴν νίκην ἐνεγκεῖν, εἰδὲ μὴ, ἀπὸ τῦ σώματος περιέσεσθαι. Οὐ πολλῦ λόγε, φησὶν, τὰ χρήματα τοῖς ἀνθρώποις. Ὑπὲρ γὰρ σωτηρίας τῆς οἰκείας ψυχῆς, ἅπαντα διδόασιν. Οὐχ ἁπλῶς δὲ, τῶν σαρκῶν, εἶπεν, ἅψαι, ἀλλ' ὥστε καὶ ἔνδοθεν τεθῆναι τὸ κακὸν, ἕτω μετὰ πονηρίας διαλέγεται. Δείκνυται δὲ καὶ ἐντεῦθεν, ὡς ἐδὲ μίαν ἔχει καθ' ἡμῶν ἐξεσίαν ὁ

ἀρ-

ἀρχαῖος δράκων, εἰμὴ ὑπὸ Θεοῦ συγχωρηθῇ, κατὰ τὰς ἀῤῥήτους αὐτοῦ περὶ ἡμᾶς οἰκονομίας. Καὶ ὡς ἀνελεῖν μὲν ἄνθρωπον δύναται, εἰ λάβοι συγχώρησιν. Κακὸν δὲ ποιῆσαι οὐ δύναται, παρὰ Θεοῦ δὲ ἐξαιτεῖ. Οἶδε γὰρ εἰ καὶ ἔπεσεν, ὅτι εἰμὴ Θεὸς ἐπιτρέψει, οὐδὲν αὐτὸς κατά τινος δύναται, τῆς ἐπιτροπῆς οὕτω νοουμένης, ὅτι σοφῶς γίνεται. Ἅτε παρὰ Θεοῦ γενομένης. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι, περίελε αὐτοῦ τὴν φρουρὰν τῆς ἔξωθεν θεραπείας, καὶ τῆς κατὰ ψυχὴν ἐπιμελείας. Οὐ γάρ ἐστι θαύματος ἄξιος, εἰ φυλάττεις αὐτὸν ἀπολέμητον. Συγχώρησόν μοι διαφθεῖραι τὰς σάρκας, ἄχρι καὶ μυελῶν. Ἐλέγχειν γὰρ οἶδε συμφορὰ γνώμην ἀπαιδαγώγητον, καὶ τρυφὴν μόνην τῆς περὶ σὲ θεραπείας, ὑπόθεσιν ἔχουσαν. Ὡς εἴγε ἅψαι τῆς σαρκὸς αὐτοῦ, τηνικαῦτα εἰς πρόσωπόν σε εὐλογήσει, τουτέστι φανερῶς σε βλασφημήσει.

ΚΕΙΜ. Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ, ἰδοὺ παραδίδωμί σοι αὐτὸν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον. Ὁ δὲ Θεοδοτίων, τῆς ψυχῆς αὐτοῦ οὐχ ἅψῃ.

ΧΡΥΣΟΣΤ. καὶ ὈΛΥΜΠ. Πάλιν ὁ φιλάνθρωπος Θεὸς, ὁ τοὺς οἰκείους στεφανίτας ἀγγέλοις καὶ ἀνθρώποις δημοσιεύειν βουλόμενος, ἐπιτρέπει καὶ τοῦτο, ὥστε μαθεῖν ἡμᾶς, ὅτι ὅσα δύναται ὁ πονηρὸς, κατὰ συγχώρησιν δύναται. Καὶ ὁ μὲν ἔλεγε, σὺ ἅψαι τῶν σαρκῶν αὐτοῦ. Ἀλλ' ἵνα μὴ λέγῃ, ὅτι σὺ πεφεισμένως αὐτὸν ἔπληξας, ὡς οἰκεῖον θεράποντα, οὐκ ἐποίησεν ὅπερ ᾔτησεν ὁ διάβολος, ἀλλ' ἐκείνῳ ἐπέτρεψε.

ΔΙΔΥΜ. Καὶ τοῦτο πρὸς ἡμετέραν ὠφέλειαν, ἵνα χαρακτὴρ, καὶ τύπος ἀνδρείας, καθάπερ ἐν στηλογραφίᾳ, ὁ Ἰὼβ τεθεὶς, σκοπὸς τῆς τοιαύτης ἀρετῆς, καὶ τοῖς τότε, καὶ τοῖς μεταγενεστέροις, ὑπάρξῃ, ὃ καὶ γέγονεν. Αὐτοῦ γάρ ἐστιν ἀκοῦσαι τοῦ ἀθλητοῦ, καὶ ἀγωνιστοῦ λέγοντος, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. Παραδιδοὺς δὲ ὁ Κύριός, φησι, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον. Ὅπερ νοηθείη οὕτως, παρακούσας πολλάκις, καὶ τοῦ ἡγεμονικοῦ διαστροφὰς, ἐν τισιν ὁρῶμεν γινομένας, δι' ἃς οἶδε λόγους, ὁ τὰ κρυπτὰ γινώσκων Θεός. Ἐπεὶ οὖν εἰς παραφρόνησιν τὸν δίκαιον ἀγαγεῖν ἐσπούδαζεν ὁ διάβολος, καὶ ἔκστασιν φρενῶν, ἵνα καὶ ἄκοντα αὐτὸν τοῖς τῆς βλασφημίας περιβάλῃ ῥήμασιν. Ἰδοὺ φησι, παραδίδωμί σοι ὃν ἐξητήσω, ἵνα κἀκεῖνος πλεῖον εὐδοκιμήσῃ, καὶ σὺ αἰσχυνθῇς. Πλὴν μὴ κάρον αὐτῷ, καὶ διαστροφὴν ἐργάσω τοῦ ἡγεμοικοῦ. Τοῦτο γὰρ οὐκ ἐφεῖταί σοι, ἵν' ἐρρωμένῳ τῷ λογισμῷ, τὴν ἐν τοῖς πάθεσιν ἐνδείξεται ἀνδρείαν, ἀλλὰ σαρκῶν ἅπτου, καὶ ὀστέων ὡς ἐξητήσω.

ὈΛΥΜΠ. Εἰ τοίνυν τοῦτό φησιν, ὅτι τοῦ ἡγεμονικοῦ αὐτοῦ μὴ ἅψῃ, διὰ δὲ τῶν εἰς τὴν σάρκα βασάνων τὸν ἀγῶνα ποιοῦ, καὶ τοῦ μὲν σώματος ἐξουσίαν δίδωσιν, οὐ συγχωρεῖ δὲ αὐτῷ μετὰ τοῦ σώματος ὑπεξαγαγεῖν τὴν ψυχὴν, ἵνα ἐξ ἐπιγονῆς, τὰ διπλασίονα χαρίσηται ἀγαθὰ, καὶ ἀντεισαγάγῃ αὐτῷ τὰ ἀπολύμενα.

ΧΣΤΣΟΣΤ. Ὅρα δὲ ὀκ εἶπε, μόνον, τῆς ψυχῆς αὐτὸ μὴ ἅψῃ, ἀλλὰ μόνον τὴν ψυχὴν αὐτὸ διατήρησον, εἰς μέγαν αὐτὸν φόβον περιέστησε, τὴν σωτηρίαν τῆς ψυχῆς αὐτὸ, φησι, παρὰ σοῦ ζητῶ. Ἐπειδὴ γὰρ εἰκὸς ἦν, αὐτῷ τοιαύτην νόσον ἐπιβαλεῖν, ὥστε ἀποκτεῖναι τὸ σῶμα, καὶ εἶχεν εἰπεῖν, ὅτι τῆς ψυχῆς αὐτὸ ὀκ ἡψάμην. Διὰ τοῦτό φησι, διατήρησον, μή τι πάθη κατὰ τὸν τῆς ζωῆς λόγον. Ἐὰν γὰρ ἀνέλῃς, ὀκ ἔτι ἡμῖν τὸ θέατρον συγκεκρότηται.

ΟΛΥΜΠ. Πάλιν μέντοι, κατὰ μέτρον, χρυσὸν ἀνδριάντα, τῷ διαβολικῷ πυρὶ δοκιμάζει Θεὸς, ὀκ αὐτὸς γνῶναι θέλων, ὃν ἠπίστατο, ἀλλ' εἰς ἔλεγχον διαβολικὸν, καὶ ἐφ' ᾧ τὸτον ἡμῖν γνωρίσαι. Τὸ γεμὴν, τὴν ψυχὴν αὐτὸ διαφύλαξον, ἀντὶ τὸ, μὴ πειράσῃς τῆς θείας εἰκόνος. Οὐδὲ γὰρ τῷ ἐχθρῷ φρουρεῖν τὴν ψυχὴν ἐπέτρεψε. Πῶς γὰρ τὸν πολέμιον, ἀεργετεῖν μὴ πεφυκότα, φύλακα ψυχῆς προεστήσατο;

ΚΕΙΜ. Ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τὸ Κυρίο.

ΟΛΥΜΠ. Πάλιν διδασκόμεθα, τὸν εἰς πεῖραν ἀνθρώπε τρεπόμενον, ἐξιέναι ἀπὸ προσώπου τοῦ Κυρίου. Θεοῦ γὰρ χωρίζεσθαι, πέφυκε πᾶσα πονηρὰ μελέτη, μηδὲ μίαν ἔχουσα πρὸς τὴν ἀγαθότητα συγγένειαν.

ΚΕΙΜ. Καὶ ἔπαισεν τὸν Ἰὼβ ἕλκει πονηρῷ, ἀπὸ ποδῶν ἕως κεφαλῆς.

ΧΡΥΣΟΣΤ. Ἔπληξέ, φησιν, αὐτὸν χαλεπωτάτῃ βασάνῳ, λώβῃ καὶ ἐλέφαντι καθ' ὅλον τὸ σώματος. Ὅλον γὰρ αὐτὸ τὸ σῶμα, ἓν τραῦμα ἐποίησεν, ἓν μώλωπα, ἵνα δι' ὅλων τῶν μελῶν στεφανίτης ἀναδειχθῇ. Οὐ γὰρ οἶδε φείδεσθαι κακία, φθοράτις κατὰ τὴν οἰκείαν ὑπάρχουσα πικροτάτην διάθεσιν.

ΠΟΛΥΧΡ. Τετραχῶς δὲ τῷ Ἰὼβ τὸ πάθος γέγονε, περὶ ὑπάρχοντα, περὶ τέκνα, περὶ δόξαν, καὶ περὶ σῶμα. Μετὰ γὰρ τὴν τῶν κτημάτων, καὶ τῶν οἰκετῶν, καὶ τῶν παίδων ἀφαίρεσιν, τότε τῆς λώβης ἕλκος ἐπήγαγεν ὁ διάβολος, ὡς δριμεῖς μὲν ῥέειν ἰχῶρας, ἐκ τὸ σώματος, καὶ ἔτι δάκνοντας. Ἀπορίαν δὲ εἶναι παντελῆ, τῶν τε ἀναγκαίων, καὶ τῶν νοσοκομούντων. Καὶ τῆς μὲν πόλεως ὡς λελωβημένος, ἔξω καθῆστο (ὀκ ἐῶνται γὰρ ἐν πόλεσιν ὁμοδίαιτοι εἶναι τοῖς ἄλλοις, οἱ ἐλεφαντιῶντες) τῇ δὲ χειρὶ τὸς μυδῶντας ἰχῶρας ὀκ ὑπεδέχετο, ἵνα μὴ καὶ μᾶλλον ἀποκναίοιτο, ἀλλ' ὀστράκῳ τότος ἀπέξεεν. Αἴθριος δὲ, καὶ ἐπὶ κοπρίας ἔκειτο, ἵνα κἂν ἀνθρωπίνης ἀκόσῃ φωνῆς, ἢ καθαρὸν ἀναπνεύσῃ τὸν ἀέρα, ἢ τό γε ἀληθέστερον εἰπεῖν, τῇ μείζονι κακοπαθείᾳ τὸν Θεὸν ἐξιλεόμενος. Ἕλκει δὲ πονηρῷ, παροξυτόνως, ἀναγνωστέον, ἵνα σημάνῃ τὸ ἐπαχθὲς καὶ ἐπίπονον.

ΚΕΙΜ. Καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας, ἔξω τῆς πόλεως.

ἈΠΟΛΙΝ. Τινές φασι, τοῦ ἐλέφαντος αὐτῷ τὸ πάθος ἐπενηνέχθαι. Πολλοῦ τοίνυν τοῦ ὑγροῦ φερομένου ἐν τῇ ἐκροῇ, ὥςε δεινοτέρους ἐμποιεῖν τοὺς πόνους, τὸ περιττὸν ἀποξύεσθαι διὰ τῶν ὀςράκων ἠβούλετο, αὐτὸς ἑαυτῷ γενόμενος δήμιος. Ὁ δὲ ἑβραῖος, ἀντὶ τοῦ, ἵνα ξύῃ τῷ ὀςράκῳ τὸν ἰχῶρα, τὸ, κνᾶσθαι ἐν αὐτῷ, ἔχει. Περιέπεσεν οὖν τῷ πάθει ὁ Ἰώβ, καὶ ᾤετο μὴ πεῖραν εἶναι τὰ συμβαίντα, ἀλλὰ παρὰ Θεοῦ τιμωρίαν. Διὰ τοῦτο ἀκοινώνητος ὢν τοῖς πολλοῖς, μᾶλλον δὲ βαρὺς ἅπασι νομιζόμενος, καὶ ἐκ τούτου τὴν καθ' ἑαυτὸν ἀγαπήσας δίαιταν, πρὸ τῆς πόλεως ἐπὶ τῆς κοπρίας ἐκαθέζετο, ἐξιλεούμενος τὸν Θεὸν, μήποτε ἐπ' ἀδήλοις ἡμαρτηκὼς ἀγνοῇ, ἐφ' οἷς, ᾤετο δεῖν εὐμενῆ καταςῆσαι, τῷ πενθικῷ σχήματι τὸν τιμωρησάμενον.

ΧΡΥΣΟΣΤ. Τίνος δὲ ἕνεκεν, οὐχὶ χερσὶν, οὐ δὲ δακτύλοις τὸν ἰχῶρα ἀπέξεεν, ὥςε μὴ τὴν θεραπείαν μείζονα γενέσθαι ἀηδίας ὑπόθεσιν. Ὁ δὲ αὐτὸς ἑαυτὸν θεραπεῦσαι μὴ ἀνεχόμενος, πῶς ἂν ἑτέρων ἔτυχεν; αὐτὸς ἑαυτοῦ δήμιος ἦν, οὐ διορύττων τὰς πλευράς. ἀλλὰ τὴν πηγάζουσαν σηπεδόνα περικόπτων, καὶ τῷ νεκρῷ πηλῷ, τὸν ζῶντα πηλὸν ξέων. Τίνος δὲ ἕνεκεν, ἐπὶ κοπρίας ἐκαθέζετο; ὥςε τὰ καταπίπτοντα συγκαλύψῃ τῇ θημωνίᾳ. Τίνος δὲ ἕνεκεν αἴθριος; ὥςε μὴ ἀποπνίξαι ἑαυτὸν τῇ δυσωδίᾳ. Ὅπερ ἔπαθεν ἂν, εἴγε ἐν οἰκίσκῳ τινὶ κατακέκλειςο. Ἄλλως τε, οὐδὲ οἶκον αὐτῷ καταλέλοιπεν ὁ πειραςής.

ΒΑΣΙΛ. Ὃς ἐπειδὴ νικῶντα αὐτὸν οἶδε τὸν ἀθλητὴν, καὶ οὐδενὶ τῶν προλαβόντων τιναχθῆναι δυνάμενον, αὐτῇ τῇ σαρκὶ τὸ τῆς πείρας προσῆγε μηχάνημα, καὶ τὸ σῶμα μαςίξας ἀρρήτοις πληγαῖς, σκωλήκων ἀναδίδοσθαι πηγὰς ἐξ αὐτοῦ παρεσκεύασε, καὶ τῶν τῆς βασιλείας θρόνων τὸν ἄνδρα καταγαγὼν, ἐπὶ κοπρίας ἐκάθισεν, ὁ δὲ καὶ τοιούτοις βαλλόμενος πάθεσιν, ἀκίνητος ἔμεινε. Καὶ σπαραττομένου τοῦ σώματος, ἄσυλον ἐφύλαττεν τὸν τῆς εὐσεβείας θησαυρὸν, ἐν τῷ κρυπτῷ τῆς ψυχῆς.

ΧΡΥΣΟΣΤ. Ἦν μὲν γὰρ βαρεῖα καὶ ἡ τῶν παίδων ἀποβολὴ, ἀλλ' ὅμως τὴν χαλεπὴν ταύτην τραγῳδίαν ἑτέρα χαλεπωτέρα ἀνέμενε. καὶ μηδὲν μικρὸν ἀναπνεύσαντος. ἐντεῦθεν αἱ πηγαὶ τῶν σκωλήκων, οἱ τῶν ἰχώρων ῥύακες, ἡ ἐπὶ τῆς κοπρίας καθέδρα, τὸ ὄςρακον, τὸ τὰς πλευρὰς καταξαῖνον, ἡ δυσωδία τῶν ἑλκῶν, ἡ τὸν καινὸν ἐκεῖνον ἐπεισάγουσα λιμὸν, καὶ ὁρωμένων οὐκ ἀφεῖσα τῶν σιτίων ἅπτεσθαι, καὶ τοῦ λιμοῦ χαλεπωτέραν ἐντιθεῖσα τὴν ἀηδίαν, καὶ ταῦτα οὐκ ἐπὶ δύο, καὶ δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν ἡμέραις; ἀλλ' ἐπὶ μησὶ πλείοσιν. οὐ μετρίως δὲ τοὺς ὀδυνωμένους παρακαλέσει τὰ κατὰ τὸν Ἰὼβ παραδείγματα, καὶ τὰ τοῦ δικαίου τραύματα, καὶ ἡ κοπρία, ἡ παντὸς θρόνου βασιλικοῦ σεμνοτέρα. ἀπὸ μὲν γὰρ τοῦ, θρόνον ἰδεῖν βασιλικὸν, οὐδὲν ἔςαι τοῖς θεωμένοις τὸ κέρδος, ἀλλὰ πρόσκαιρος μόνον τέρψις, ὄνησιν οὐδὲ μίαν ἔχουσα. ἀπὸ δὲ τοῦ, τὴν κοπρίαν ἰδεῖν τοῦ Ἰὼβ, πᾶσάν τις δέξεται ὠφέλειαν, καὶ φιλοσοφίαν πολλὴν, καὶ παράκλησιν εἰς ὑπομονῆς λόγον. διὰ τοῦτο

πολλοὶ νῦν μακράν τινα, καὶ διαπόντιον ἀποδημίαν στέλλονται ἀπὸ τῶν περάτων τῆς γῆς εἰς ἀραβίαν τρέχοντες, ἵνα τὴν κοπρίαν ἐκείνην ἴδωσι, καὶ θεασάμενοι καταφιλήσωσι τὴν γῆν, τὴν τὰ σκάμματα τοῦ στεφανίτου δεξαμένην ἐκείνου, καὶ τὸ χρυσίου παντὸς τιμιώτερον αἷμα. οὐδὲ γὰρ οὕτως ἐστὶν ἁλουργὶς λαμπρὰ, ὡς τὸ σῶμα ἐκεῖνο τότε ἀπέστιλβεν, οὐκ ἀλλοτρίῳ, ἀλλ' οἰκείῳ βαπτιζόμενον αἵματι, καὶ τὰ τραύματα ἐκεῖνα, ἁπάντων λίθων ἦν τιμιώτερα. μαργαριτῶν γὰρ φύσις οὐδὲν τὸν βίον ὠφελεῖ τὸν ἡμέτερον, οὐ χρείαν τινὰ πληροῖ τοῖς ἔχουσιν ἀναγκαίαν. τὰ δὲ τραύματα ἐκεῖνα, πάσης ἀθυμίας ἐστὶ παράκλησις. καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἐὰν ἀποβάλῃ τις υἱὸν γνήσιον καὶ μονογενῆ, δεῖξον αὐτῷ μυρίους μαργαρίτας, καὶ οὐ παραμυθήσῃ τὸ πάθος, οὐδὲ θεραπεύσεις τὴν ὀδύνην. ἀναμνήσας δὲ αὐτὸν τῶν τραυμάτων τοῦ Ἰώβ, ῥᾳδίως δυνήσῃ θεραπεῦσαι, οὕτω λέγων, τί πενθεῖς ἄνθρωπε; σὺ μὲν τέκνον ἀπέβαλλες ἓν, ὁ δὲ μακάριος ἐκεῖνος, μετὰ τὸ τῶν παίδων ὁλόκληρον ἀφαιρεθῆναι τὸν χορὸν, καὶ αὐτῇ τῇ σαρκὶ πληγὴν ἐδέξατο, καὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ἰχῶρι πάντοθεν καταρρεόμενος, κατὰ μικρὸν αὐτῷ τῆς σαρκὸς δαπανωμένης, ὁ δίκαιος, ὁ θεοσεβὴς, ὁ τὸν Θεὸν μάρτυρα τῆς ἀρετῆς ἔχων. ἂν γὰρ ταῦτα εἴπῃς τὰ ῥήματα πᾶσαν ἔσβεσας τοῦ πενθοῦντος τὴν ἀθυμίαν, καὶ πᾶσαν ἀνεῖλες τὴν ὀδύνην. καὶ γὰρ οὕτω χρησιμώτερα μαργαριτῶν τὰ τραύματα τοῦ δικαίου. ὑπογράψατε τοίνυν ἑαυτοῖς τὸν ἀθλητὴν, καὶ νομίζετε βλέπειν τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῳ καθήμενον, τὸν ἀνδριάντα, τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν πῶς εἴπω οὐκ οἶδα. οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι τὸ ᾑμαγμένον ἐκεῖνο σῶμα παραβαλεῖν. οὕτω καὶ πάσης ὕλης τιμαλφεστάτης, ἐκ πολλοῦ τοῦ περιόντος τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἦν τιμιωτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα. αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις, ἐκεῖνα δὲ τὰ τῆς διανοίας ἡμῶν φωτίζει ὄμματα, ἐκεῖνα καθάπαξ τὸν διάβολον ἀπετύφλωσε. διὰ γοῦν τοῦτο, μετὰ τὴν πληγὴν ἐκείνην, ἀπεπήδησε, καὶ οὐκ ἐφάνη λοιπόν. σὺ δέ μοι κἀντεῦθεν ἀγαπητὲ μάνθανε, τὸ τῆς θλίψεως κέρδος πόσον ἐστίν. ἡνίκα μὲν γὰρ ἐπλούτει, καὶ ἀνέσεως ἀπήλαυεν ὁ δίκαιος, διαβάλλειν εἶχεν αὐτὸν, ψαδῶς μὲν, εἶχε δ' ὅμως εἰπεῖν, μὴ δωρεὰν σέβεταί σε ὁ Ἰώβ; ἐπειδὴ δὲ αὐτὸν ἐγύμνωσε, καὶ ἐποίησε πένητα, οὐδὲ γρύξαι λοιπὸν ἐτόλμησε. καὶ ὅτε μὲν πλούσιος ἦν, ὑπισχνεῖτο παλαίειν αὐτῷ, καὶ ὑποσκελίζειν ἠπείλει. ἐπειδὴ δὲ πένητα εἰργάσατο, καὶ πάντων ἀπεστέρησε, καὶ εἰς ἐσχάτην ὀδύνην ἐνέβαλε, τότε ἀπεπήδησε. καὶ ὅτε μὲν ὑγιὲς αὐτοῦ τὸ σῶμα ἦν, τὰς χεῖρας ἀντῇρεν, ὅτε δὲ αὐτοῦ κατέκοψε τὴν σάρκα, τότε ἔφυγεν ἡττηθείς. εἶδες πόσον, πενία πλούτου, καὶ νόσος ὑγείας, καὶ πειρασμὸς ἀνέσεως, βέλτιον τοῖς νήφουσιν ἐστὶ καὶ χρησιμώτερον, καὶ λαμπροτέρους, καὶ εὐτονωτέρους τοὺς ἀθλοῦντας ποιεῖ; τίς εἶδε τίς ἤκουσεν οὕτω θαυμαστὰ παλαίσματα; οἱ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται. οὗτος δὲ ὅτε κατέκοψεν τὸ σῶμα

τοῦ

τοῦ δικαίου, παντοδαποῖς ἕλκεσιν αὐτὸ διατρήσας, καὶ ἀσθενέστερον ἐποίησε, τότε ἐνικήθη, καὶ ἀνεχώρησε. καὶ ἐπειδὴ διώρυξεν αὐτοῦ πάντοθεν τὰς πλευράς, αὐτῷ μὲν οὐδὲν πλέον ἐγένετο. τὸν γὰρ ἐναποκείμενον θησαυρὸν οὐκ ἐσύλησεν, ἡμῖν δὲ φανερώτερον αὐτὸν ἐποίησε, καὶ διὰ τῆς διορυγῆς ἐκείνης ἔδωκεν ἅπασιν, εἰς τὸ ἔνδον βλέπειν, καὶ καταμανθάνειν αὐτοῦ τὸν πλοῦτον ἅπαντα. καὶ ὅτε κρατεῖν προσεδόκησε, τότε μετ᾽ αἰσχύνης πολλῆς ἀνεχώρησε, καὶ οὐδὲ μίαν οὐκ ἔτι φωνὴν ἀφῆκε. τί γέγονεν ὦ διάβολε; τίνος ἕνεκεν ἀναχωρεῖς; οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; οὐκ ἀνεῖλες αὐτοῦ τὰ ποίμνια, τὰ βουκόλια, τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα κατέκοψας ἅπασαν; τίνος ἕνεκεν ἀναχωρεῖς; ὅτι ἐγένετο μὲν πάντα ὅσα ἠθέλησα, φησίν. ὃ δὲ γενέσθαι μάλιστα ἠβουλόμην, καὶ δι᾽ ὃ πάντα ἐποίησα, τοῦτο οὐκ ἐγένετο. οὐδὲ γὰρ ἐβλασφήμησε, διὰ γὰρ τοῦτο πάντα ἐκεῖνα ἐποίουν, φησίν, ἵνα τοῦτο ἐξέλθῃ. τούτου δὲ μὴ γενομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων, ἐγένετο, καὶ τῆς τῶν παίδων ἀπωλείας, καὶ τῆς τοῦ σώματος πληγῆς, ἀλλὰ τοὐναντίον ἤπερ ἠβουλόμην ἐξέβη, λαμπρότερον ἐποίησα τὸν ἐχθρόν, καὶ φαιδρότερον εἰργασάμην. ἔγνως ὅσον τῆς θλίψεως τὸ κέρδος; καλὸν μὲν γὰρ τὸ σῶμα καὶ ὑγιαῖνον ἦν. πολλῷ δὲ σεμνότερον γέγονε, κατατμηθὲν ἀπὸ τῶν τραυμάτων ἐκείνων. ἐπεὶ καὶ ἔρια, καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς, ἐπειδὰν δὲ ἁλουργὰ γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος, καὶ πολλὴν τὴν εὐπρέπειαν, εἰ μὴ ἀπέδυσεν αὐτόν, οὐκ ἂν ἔγνωμεν τὸ στεφανίτου τὴν ἀξίαν. εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀντέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες, εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ οὕτω λαμπρός. ἐπὶ θρόνου καθήμενος βασιλεύς, ὡς ἐκεῖνος, ἐπὶ τῆς κοπρίας τότε καθήμενος, ἐπίσημος ἦν καὶ περιφανής. μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον, θάνατος μετὰ δὲ τὴν κοπρίαν, ἐκείνην, οὐρανῶν βασιλεία. ταύτην παρέθηκα τὴν ἱστορίαν, οὐχ ἵνα ἐπαινῆτε τὰ λεγόμενα, ἀλλ᾽ ἵνα τὴν ἀρετὴν τοῦ ἀνδρός, καὶ τὴν ὑπομονὴν μιμήσησθε. ἵνα διὰ τῶν ἔργων αὐτοῦ μάθητε, ὅτι οὐδὲν δεινὸν τῶν ἀνθρωπίνων, ἀλλ᾽ ἡ ἁμαρτία μόνη οὐ πενία, οὐ νόσος, οὐχ ὕβρεις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία, οὐ τὸ πάντων δοκοῦν ἔσχατον εἶναι τῶν κακῶν ὁ θάνατος. ὀνόματα γὰρ ταῦτα μόνον ἐστί, τοῖς φιλοσοφοῦσι, συμφορῶν ὀνόματα, πραγμάτων ἔρημα. ἡ δὲ ἀληθὴς συμφορά, τὸ προσκροῦσαι Θεῷ, καὶ ποιῆσαί τι τῶν μὴ δοκούντων αὐτῷ.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Λείπεται δὲ κατορθωμάτων, καὶ παθημάτων ποιήσασθαι σύγκρισιν, ἵνα μάθῃς σαφῶς, ὅτι οὐ κατορθώμασι μόνον, ἀλλὰ καὶ παθήμασιν ἀμοιβαὶ κεῖνται. καὶ ἀμοιβαὶ σφόδρα μεγάλαι, καὶ παθήμασιν οὐκ ἔλαττον ἢ κατορθώμασι, μᾶλλον δὲ ἔστιν ὅπου πλέον, ἢ κατορθώμασι. καὶ εἰσαγάγωμεν, εἰ δοκεῖ τὸν μέγαν τῆς ὑπομονῆς ἀθλητήν, τὸν ἐν ἑκατέροις διαλάμψαντα τούτοις, ἵνα εἴδῃς πόθεν μειζόνως διέλαμψεν. ἴδωμεν οὖν συγκρίναντες, πότε λαμπρότερος ἦν; ὅτε κοινὸς ἦν, λιμὴν τοῖς χρῄζουσιν; ἢ ὅτε ἔπασχε τὰ ὀδυνηρά, καὶ πολλὴν ἐντιθέντα αὐτῷ τὴν ἀτιμίαν; ὅτε τὴν οἰκίαν αὐτοῦ πᾶσι τοῖς περιοῦσιν, ἀνέῳ-

ξεν; ἢ ὅτε κατενεχθείσης αὐτῆς οὐδὲν ἐφθέγξατο ῥῆμα πικρὸν, ἀλλ' εὐφήμησε τὸν Θεόν; καίτοι τὸ μὲν κατόρθωμα ἦν, τὸ δὲ πάθημα, πότε φαιδρότερος ἦν εἰπέ μοι; ὅτε ἔθυεν ὑπὲρ τῶν παίδων, καὶ πρὸς ὁμόνοιαν αὐτοὺς συνῆγεν; ἢ ὅτε καταχωσθέντων αὐτῶν, καὶ τῷ πικροτάτῳ τρόπῳ τῆς τελευτῆς καταλυσάντων τὸν βίον, μετὰ πολλῆς τῆς φιλοσοφίας ἤνεγκε τὸ συμβάν; πότε μᾶλλον ἐξέλαμψεν; ὅτε ἀπὸ τῆς κουρᾶς αὐτοῦ τῶν ἀρνῶν ἐθερμάνθησαν τῶν γυμνῶν οἱ ὦμοι; ἢ ὅτε ἀκούσας πῦρ ἐξ οὐρανοῦ ἔπεσε, καὶ κατέφαγε τὴν ἀγέλην, μετὰ τῶν ποιμένων, οὐ διεταράχθη, οὐδὲ ἐθορυβήθη, ἀλλὰ πράως ἤνεγκε τὴν συμφοράν; πότε μείζων ἦν; ὅτε τῇ ὑγείᾳ τοῦ σώματος, εἰς τὴν τῶν ἀδικουμένων ἐκέχρητο προστασίαν, συντρίβων τὰς μύλας τῶν ἀδίκων, καὶ ἐκ μέσου τῶν ὀδόντων ἐξαρπάζων ἁρπάγματα, καὶ λιμὴν αὐτοῖς γινόμενος; ἢ ὅτε τὸ σῶμα τοῦτο αὐτοῦ, τὸ τῶν ἀδικουμένων ὅπλον, ἑώρα κατεσθιόμενον ὑπὸ σκωλήκων, καὶ καθήμενος ἐπὶ τῆς κοπρίας, αὐτὸς αὐτὸ κατέξαινε λαβὼν ὄστρακον; τήκω γὰρ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων, φησί. καίτοι ἐκεῖνα μὲν πάντα κατορθώματα, ταῦτα δὲ πάντα παθήματα ἦν. ἀλλ' ὅμως ταῦτα αὐτὸν λαμπρότερον ἐκείνων ἀπέφηνε. τοῦτο γὰρ μάλιστα τὸ πικρότατον αὐτῷ τῆς παρατάξεως μέρος ἦν, καὶ μείζονος δεόμενον τῆς ἀνδρείας, καὶ εὐτονωτέρας ψυχῆς, καὶ ὑψηλοτέρας διανοίας, καὶ πλείονα περὶ τὸν Θεὸν ἐχούσης ἀγάπην. διάτοι τοῦτο ἐκείνων μὲν γινομένων, εἰ καὶ ἀναισχύντως, καὶ σφόδρα ἰταμῶς, ἀλλ' ὅμως ἀντεῖπεν ὁ διάβολος λέγων, μὴ δωρεὰν ὁ Ἰὼβ σέβεται τὸν κύριον; τούτων δὲ συμβάντων, ἐγκαλυψάμενος ἀνεχώρησε, νῶτα δοὺς, καὶ οὐδὲ ἀναισχύντου τινὸς ἀντιλογίας σκιὰν γοῦν ἔχων προβαλέσθαι.

ΝΙΚΗ'ΤΑ. Ἀλλὰ γὰρ ἔοικα, ὑπὸ τοῦ ἔρωτος τοῦ ἀνδρὸς κατεχόμενος, πορρωτέρω τῆς προκειμένης ἐληλακέναι ὑποθέσεως. διὸ δὴ πάλιν τῶν εἰρημένων ἅψομαι, τίνα δὲ ταῦτα ἦν;

ΠΟΛΥΧΡΟΝ. Ἐλέγομεν ὅτι, τὸ, ἐπὶ κοπρίας ἔξω καθῆσθαι τῆς πόλεως, πολλὴν τῶν παθῶν ἐμήνυε τὴν βαρύτητα. ὡς γὰρ μηκέτι τῶν πολιτῶν, ἤτοι τῶν συγγενῶν, φερόντων τοῦ πάθους τὴν θέαν, ἐξῆλθε τῆς πόλεως, ὁ τοῦ Κόσμου ἀλλότριος. τὸ δὲ ἐπὶ κοπρίας καθῆσθαι, ἐξιλεουμένου ἦν τὸν Θεὸν, μήτε ἄκων ἥμαρτε. κατὰ μὲν οὖν τὸ ῥητὸν, οὐδὲ μίαν κοινωνίαν ἀνθρώπων, καὶ ταῦτα τοῦ πάθους καταναγκάζοντος, προελόμενος χωρίζεται τοῦ κόσμου, καὶ ἀπαλλάττεται τῶν ἐνοχλούντων, ἡνίκα καὶ δεῖσθαι τῶν πολλῶν ἡ τοῦ σώματος χρεία κατηπείγει. καὶ τοσοῦτον ἐφρόντισε τοῦ δυσμενοῦς, ὅτι καὶ αὐθαιρέτῳ γνώμῃ τὸ ἔσχατον τῆς πτωχείας μέτρον ἠσπάσατο, καὶ ὀστράκῳ τὸν ἰχῶρα τοῦ ἕλκους ἀποκαθαίρων τὴν ὑπομονὴν ἐγγυμνάζει, προσεπιτείνων ἑαυτῷ τὰς τιμωρίας, καὶ ἀπόγνωσιν ἐμποιῶν τῷ βασκάνῳ, μηδὲ ἐπ' αὐτῷ τοῦ πάθους τιμήσας τὸ ἀνειμένον. πρὸς δὲ νοῦν τυποῖ μυστήριον, καὶ τῷ συγγενεῖ τὸ συγγενὲς θεραπεύει. καθὰ καὶ ὁ Χριστὸς τοῖς ἡμετέροις ἐπανορθοῦται τὰ καθ' ἡμᾶς. ὄστρακον γὰρ ἐκ γῆς ἐστὶν, καὶ πυρὸς, διὸ καὶ ἡ σὰρξ τοῦ κυρίου, ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας ὁμολογεῖται τῆς Παρθένου, καὶ Θεοτόκου, τῇ οὖν εἰκόνι, θεραπεύε-

ται οὐ τοσοῦτον τὰ ἕλκη, ὅσον ἡ ψυχή. ἀπὸ γὰρ ὀστράκου, τίς ἂν γένοιτο ἰατρεία σώματος, εἰ μὴ πρὸς θεωρίαν βλέποι τὸ γινόμενον; πῶς δ' ἂν καὶ ἐπὶ τοσοῦτον ἐπτώχευσε, καὶ ταῦτα βασιλεὺς ὤν, ὡς καὶ στέγης ἀπορεῖν, καὶ ἔξω καθῆσθαι τῆς πόλεως, ἀλλὰ προφητικῶς, τὸν ἔξω τῆς πύλης παθόντα Χριστὸν, ἡμῖν προμηνύει; καθὼς γέγραπται. διὸ καὶ ὁ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε.

ΚΕΙΜ. Χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ, μέχρι τίνος καρτερήσεις, λέγων, ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου.

ΔΙΔΥΜ. Ἀπονήσας δὲ ἐκ τῶν τοσούτων προσβολῶν ὁ διάβολος, καὶ οὐκ ἔχων ὅ,τι ποιήσει λοιπὸν, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην, καὶ τοῦ γυναικὸς διάνοιαν ὑποσύρας, δι' ἐκείνης σαλεύειν, ἐπειρᾶτο τὸν ἀθλητήν. καὶ τρίτον αὐτῷ πλέκει πάλαισμα, τὴν αὐτῆς ὁμιλίαν, ἴσως διὰ ταύτης τὸν Ἰώβ, ὡς καὶ διὰ τῆς Εὔας τὸν Ἀδὰμ ἀπατήσειε. χρόνου γὰρ πολλοῦ προβεβηκότος, ὡς οὐδὲ αὐτὸς δεδύνηται σεῖσαι τὸν τῆς εὐσεβείας πύργον, τὰ τῆς ὀλιγωρίας προφέρειν, πείθει τὴν γυναῖκα ῥήματα.

ΟΛΥΜΠ. Ὁ μὲν γὰρ ἐνεκαρτέρει τῇ πενίᾳ, καὶ τοῖς πάθεσι χρόνον οὐκ ὀλίγον, καὶ πρὸς ἑαυτὸν παραμυθούμενος ἔλεγεν. δεῖ φέρειν ἀνδρείως, δεῖ καρτερεῖν, δεῖ τὴν τοῦ Θεοῦ προσμένειν βοήθειαν. οὐ βραδυνεῖ ὁ Θεὸς ἐπαμῦναι, καὶ τῶν παρόντων ἀπαλλάξαι δεινῶν. ἐξησθένει δὲ ἡ γυνὴ πρὸς τὰς συμφορὰς, ὑπὸ τοῦ διαβόλου τηρηθεῖσα, ὥσπερ ὕστερον μηχάνημα κατά τινος ἀσείστου τείχους. ὁ γὰρ πανοῦργος διάβολος, ὡς ἱκανῷ χρόνῳ κατειργάσατο τὸν δίκαιον, τότε τῇ τῆς γυναικὸς ἀσθενείᾳ συγχρῆται, καὶ ὁπλίζει ταύτην κατ' αὐτοῦ, ὥσπερ ποτὲ τὴν Εὔαν κατὰ τοῦ προπάτορος. ἡ δὲ καὶ πρὸς τὰς συμφορὰς ἀπειποῦσα, καὶ τοῦ διαβολικοῦ πληρωθεῖσα πνεύματος, ἐπὶ τοὺς παρόντας προήχθη λόγους. καὶ πρῶτον μὲν αὐτῷ τὰς εἰς Θεὸν ἐλπίδας ἀνονήτους πειρᾶται δεικνύναι, τῷ πολλῷ παρεληλυθότι χρόνῳ, πιστουμένη τὸ μέλλον, εἶτα καὶ τὰ ἑξῆς ἐπάγει. ὅρα δὲ τὸν κακοῦργον. ὅτε πολὺς διῆλθε χρόνος, τότε ἐπιτίθεται· τότε γὰρ μάλιστα τὰ τῆς ἐλπίδος ἐλέγχεται, τότε τὰ τῆς δυνάμεως ἐξασθενεῖ, διπλᾶ δὲ καὶ τῷ Ἰὼβ τότε τὰ τῆς ἀσθενείας ἦν. αὐτός τε γὰρ ἀσθενέστερος γέγονε τῷ μήκει τοῦ χρόνου, καὶ ἡ ἐλπὶς μᾶλλον ἀπέγνωστο. μὴ τοίνυν τοῦτο ἴδωμεν, ὅτι γυνή. ἀλλὰ τί συμβουλεύει. τοῦτο καὶ πᾶσι παραινῶ, μὴ πρὸς τὰ τῶν ἀνθρώπων ἀξιώματα, καὶ πρόσωπα βλέπειν. ἀλλὰ πρὸς τὸν τρόπον τῆς συμβουλῆς. γυνὴ γὰρ ἐδόθη, οὐχ ἵνα ὑποσκελίζῃ, ἀλλ' ἵνα βοηθῇ.

ΤΟΥ ΘΕΟΛΟΓ. Ταύτην καὶ τότε κατὰ τοῦ γυναικὸς ὁ δυσμενὴς ἐκίνησε, καὶ ὡς δολερὸν ὄργανον, πρὸς τὸν ἄνδρα ἤρχετο δολερὰ προσφέρουσα ῥήματα.

ΧΡΙΣΟΣΤ. Ὁ δὲ περαιτέρω προϊόντος αὐτῷ τοῦ ἀγῶνος, πάλιν ἑτέρους ἀναδεῖται στεφάνους, ἐκ τῶν πρὸς τὴν

γυ-

γυναῖκα ῥημάτων, καὶ γὰρ ἡ γυνὴ μᾶλλον λοιπὸν ὑπελείφθη, πάντων ἀφανισθέντων αὐτῷ, καὶ τῶν παίδων, καὶ τῶν κτημάτων, καὶ αὐτοῦ τοῦ σώματος, καὶ αὕτη πρὸς πεῖραν καὶ ἐπιβουλήν. διὰ τοῦτο αὐτὴν μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος οὐδὲ ᾔτησεν αὐτῆς τὴν σφαγήν, ἐπειδὴ προσεδόκει μεγάλως αὐτῷ συντελεῖν, πρὸς τὴν ἐπιβουλὴν τοῦ ἁγίου τούτου. διὰ τοῦτο ὥσπερ τι μέγιστον ὅπλον, αὐτὴν αὐτῷ κατέλιπεν. εἰ γὰρ παραδείσου, φησί, δι' αὐτῆς ἐξέβαλον τὸν Ἀδάμ, πολλῷ μᾶλλον ἀπὸ κοπρίας ὑποσκελίσαι δυνήσομαι τὸν Ἰώβ, καὶ θέα τὴν κακουργίαν. οὐδὲ γὰρ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὶ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, ἀλλ' οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων, ἀλλὰ σιγᾷ τέως καὶ ἡσυχάζει, πρὸς τὸν ἀθλητὴν ὁρῶν. ὅτε δὲ τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγή, καὶ σηπόμενον τὸ δέρμα κατέρρει, καὶ δαπανώμεναι αἱ σάρκες, ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν, καὶ τηγάνων, καὶ καμίνων καὶ πάσης φλογὸς ὀδυνηρότερον, αὐτὸν ἡ τοῦ διαβόλου κατανήλισκε χείρ, θηρίου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν, καὶ κατεσθίουσα τὸ σῶμα. καὶ ἐν ταύτῃ τῇ συμφορᾷ πολὺς προῆλθε χρόνος, τότε αὐτὸν προσάγει, ἤδη τεταριχευμένῳ καὶ κατεργασθέντι. Εἰ γὰρ παρὰ τὰ προοίμια προσῆλθε τῆς συμφορᾶς, οὐδ' ἂν ἐκεῖνον εὗρεν οὕτως ἐκνενευρισμένον, οὐδ' ἂν αὕτη τὴν συμφορὰν εἶχεν ἐξογκῶσαι, οὕτω καὶ ἐπᾶραι τῷ λόγῳ. Νυνὶ δὲ ὅτε αὐτὸν εἶδε, διὰ τὸ μῆκος τοῦ χρόνου διψῶντα ἀπαλλαγῆς, καὶ ἐπιθυμοῦντα τῆς τῶν ἐπικειμένων λύσεως σφοδρῶς, τότε προσέρχεται. ὅτε γὰρ σφόδρα κατειργασμένος ἦν, καὶ οὐδὲ ἀναπνεῖν λοιπὸν εἶχεν, ἀλλὰ καὶ ἀποθανεῖν ἐπεθύμει, ἄκουσον τί φησιν. εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς τε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο. καὶ θέα μοι τὴν κακουργίαν τῆς γυναικός. Πόθεν εὐθέως προοιμιάζεται ἀπὸ τοῦ πλήθους τοῦ χρόνου, μέχρι τίνος καρτερήσεις; λέγουσα. εἰ δὲ πολλάκις, καὶ πραγμάτων οὐκ ὄντων, λόγοι μόνον ἴσχυσαν μαλάξαι, ἐννόησον τί τότε πάσχειν αὐτὸν εἰκὸς ἦν, μετὰ τῶν ῥημάτων τούτων, καὶ τῶν πραγμάτων ὀδυνόντων αὐτόν. καὶ τὸ δὲ πάντων χεῖρον. ὅτι καὶ γυνὴ ταῦτα λέγουσα ἦν, καὶ γυνὴ ἀναπεσοῦσα, καὶ ἀπαγορεύσασα. καὶ διὰ τοῦτο σπουδάζουσα καὶ αὐτὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν. Πλὴν ἀλλ' ἵνα σαφέστερον ἴδωμεν τὸ μηχάνημα, τῷ ἀδαμαντίνῳ τούτῳ προσαγόμενον τείχει, καὶ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων. τίνα οὖν ἐστι ταῦτα; μέχρι τίνος καρτερήσεις λέγων, ἰδοὺ ἀναμενῶ χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου. Ἤλεγξε γάρ σου, φησί, τὰ ῥήματα ὁ χρόνος, μακρότερος μὲν γενόμενος, λύσιν δὲ οὐδὲ μίαν ἐμφαίνων. Ταῦτα δὲ ἔλεγεν οὐκ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλουσα μόνον, ἀλλὰ καὶ ὀνειδίζουσα καὶ κωμῳδοῦσα. καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ προθυμούμενος, καὶ διακρουόμενος, τοιαῦτα ἐφθέγγετο, ἀνάμεινον ἔτι μικρόν, καὶ ταχέως ἔσεται τούτων τὸ τέλος. Ὀνειδίζουσα τοίνυν αὐτῷ, φησί, μὴ καὶ νῦν τὸ αὐτὸ ἐρεῖς; πολὺς γὰρ χρόνος ἤδη παρέδραμε, καὶ τέλος τούτων οὐδὲν ἀνεφάνη. τί τὸν ἀθλητὴν ὦ γύναι, ἐκλύεις; τί καταστέλλεις τὰς χεῖρας (δέον εἰπεῖν, ἔτι μικρόν, καὶ θέα τὴν κακουργίαν. οὐδὲ γὰρ μέμνη-

ται

ται τῶν βοῶν, οὐ τῶν προβάτων, οὐδὲ τῶν καμήλων. ἤδει γὰρ οὐ σφόδρα αὐτὸν τούτοις διακνόμενον, ἀλλ' ἐπὶ τὴν φύσιν εὐθέως ἔρχεται, καὶ τῶν παίδων ἀναμιμνήσκει. Ἐπ' αὐτοῖς γὰρ εἶδεν αὐτὸν, καὶ τὴν ἐσθῆτα διαῤῥήξαντα, καὶ τὴν κόμην ἀποκειράμενον. καὶ οὐκ εἶπεν, ἀπώλετό σου τὰ παιδία, ἀλλὰ σφόδρα περιπαθῶς.

ΚΕΙΜ. Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς. Υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων.

ΤΟΥ ΑΥΤΟΥ. Παρὰ μὲν τὴν ἀρχὴν, ποθεινὸν τὸ τῶν παίδων ἦν, διὰ τὸ καταλιμπάνειν ἕκαστον μνημόσυνον, καὶ λείψανα τῆς ἑαυτοῦ ζωῆς. Ἐπειδὴ γὰρ ἀναστάσεως οὐδέπω ἦσαν ἐλπίδες, ἀλλ' ὁ θάνατος ἐκράτει, καὶ μετὰ τὴν ἐντεῦθεν ζωὴν, ἀπόλλυσθαι ἐνομίζοντο οἱ τελευτῶντες. Ἔδωκεν ὁ Θεὸς τὴν ἐκ τῶν παίδων παραμυθίαν, ὥστε τῶν ἀπελθόντων ἐμψύχους εἰκόνας μένειν, καὶ τὸ γένος ἡμῶν διατηρεῖσθαι, καὶ τοῖς μέλλουσι τελευτᾶν, καὶ τοῖς ἐπιτηδείοις τῶν ἐκείνων, μεγίστην εἶναι παραμυθίαν, τὰ ἐκείνων ἔκγονα. καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο μάλιστα ποθεινὰ τὰ τέκνα ἦν, ἄκουσον τί πρὸς τὸν Ἰὼβ ἀποδύρεται, μετὰ τὰς πολλὰς καὶ ἀφάτους πληγὰς, ἡ γυνὴ, ἰδοὺ, φησὶν, ἀπώλετό σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, καὶ πάλιν ὁ Σαοὺλ πρὸς τὸν Δαβὶδ, ὄμοσόν μοι, ἵνα μὴ ἀφανίσῃς τὸ σπέρμα μου καὶ τὸ ὄνομά μου μετ' ἐμέ. εἰ γὰρ καὶ νῦν, ἀναστάσεως φανείσης, ἐντεῦθεν ἐστὶ τὰ παιδία ἐπέραστα, ἀπὸ τοῦ τὴν μνήμην τῶν ἀπελθόντων διατηρεῖν, πολλῷ μᾶλλον τότε. διὰ τοῦτο καὶ ἡ ἀρὰ ἐντεῦθεν γίνεται πικροτέρα. οὐδὲ γὰρ ἐκεῖ, τὰ παιδία, ὁ ἐπαρώμενος εἶπεν, ἐξολοθρευθείη, ἀλλὰ, τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς υἱοὶ καὶ θυγατέρες. Εἰποῦσα δὲ, τὸ μνημόσυνον, μετὰ ἀκριβείας πάλιν, ἑκατέρας τῆς φύσεως μέμνηται. οὐχ υἱὸς, φησὶν, οὐ θυγάτηρ περιλέλειπται, οἳ τὴν μνήμην τῇ διαδοχῇ φυλάξουσι. μονονουχὶ λέγουσα, ὅτι εἰ καὶ ὑγιαίνειν συμβαίη, ἀνόνητος ἡ τῆς ὑγείας ἀπόλαυσις, παίδων οὐκ ὄντων. ἐπὶ παισὶ γὰρ εἶχον τὴν ἐλπίδα τῆς διαμονῆς οἱ πάλαι, καὶ τὴν μέλλουσαν ἐπαγγελίαν, ἀναστάσει ἐμιμοῦντο θνητῇ. οὐ μέμνηται τῶν χρημάτων, οὐδὲ τῶν θρεμμάτων. ἤδει γὰρ μεγαλόψυχον, ἀλλ' ὃ μάλιστα καθάψασθαι αὐτοῦ ἴσχυσε. ποίαν φησὶ, προσδοκᾷς ἔσεσθαι μεταβολήν; μὴ τοὺς ἀφανισθέντας ἐπανελθεῖν εἰς λοιπόν; ἄγονος, ἄπαις, πρόῤῥιζος ἀνεσπάσθης, οὐ καταλειφθέντος τινὸς, δι' οὗ μνημονευθείσῃ. εἰ δὲ σοὶ, φησὶν, οὐ μέλει τούτων, κἂν τὸ ἐμὸν σκόπει. καὶ ὅρα τὸ περιπαθὲς, τῆς ἐμῆς κοιλίας ὠδῖνες, καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων. Ὠδῖνες μὲν τοῦ τόκου. Πόνοι δὲ, τῆς ἀνατροφῆς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἡ τὸ πλέον ἐνεγκοῦσα, ἠδίκημαι διὰ σὲ, καὶ τοὺς μὲν πόνους ὑπέστην, τῶν δὲ καρπῶν ἀπεστέρημαι. ταῦτα δὲ φησὶν, ἵνα δείξῃ, καὶ ἑαυτὴν κοινωνοῦσαν τῆς συμφορᾶς. Ἀπίθανος γὰρ δοκεῖ σύμβουλος, ὁ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς. διὰ πάντων οὖν τῶν ῥημάτων βέλος ὀλιγωρίας ἐξαποστέλλουσα, συμμίγνυσι καὶ τὸ ἑαυτῆς πρόσωπον, ἵνα τῇ τε τῶν παίδων μνήμῃ, τῷ τε ἑαυτῆς

πά-

πάθει, μειζόνως ἐκκαλέσηται εἰς ἀποδυσπέτησιν τὸν δίκαιον, τί, φησί, τὸ παρὸν ἀεὶ διωθούμενος, ἀπὸ τῶν μελλόντων σαυτὸν παραθαρσύνεις εἰκῆ, ἄπαις, ἄοικος, γυμνός, διεφθαρμένος;

ΚΕΙΜ. Σὺ δὲ αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι, διανυκτερεύων αἴθριος.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Μεγάλη ἔμφασις, αὐτός, ἐκεῖνος ὁ δίκαιος, ὁ θαυμάσιος, τὸ κεφάλαιον ἡμῖν τῶν ἀγαθῶν. Καὶ ὅρα, πῶς οὔτε τίθησι τὴν ζημίαν τῶν χρημάτων, οὔτε σιγᾷ αὐτὴν καὶ παρατρέχει ἀλλ' ὡς ἐν λύπῃ, καὶ περιπαθῶς αὐτὴν ἀπαγγεῖλαι, οὕτως αἰνίττεται, ὅταν γὰρ εἴπῃ.

ΚΕΙΜ. Κἀγὼ πλανωμένη καὶ λάτρις, τόπον ἐκ τόπου κατ' οἰκίαν ἐξ οἰκίας.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Καὶ τὴν ζημίαν αἰνίττεται, καὶ πολλὴν τὴν προσπάθειαν δείκνυσι. καὶ γὰρ καὶ αἱ λέξεις αὗται, ἱκαναὶ ἐπᾶραι τὴν συμφοράν, ἐπὶ γὰρ τὰς ἑτέρων ἔρχομαι θύρας, φησί.

ΒΑΣΙΛ. Πλανῆτις καὶ λάτρις ἡ βασιλὶς δουλεύω, καὶ πρὸς τὰς τῶν ἐμῶν οἰκετῶν χεῖρας ἠνάγκασμαι βλέπειν, καὶ τρέφουσα πάλαι πολλοὺς ἀγαπητῶς, ἐκ τῶν ἀλλοτρίων παρατρέφομαι νῦν.

ΧΡΥΣΟΣΤ. Οὐ προσαιτῶ δὲ μόνον, ἀλλὰ καὶ πλανῶμαι, καὶ δουλεύω δουλείαν ξένην καὶ καινήν, πανταχοῦ περιοῦσα, καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πάντας διδάσκουσα τὰ ἐμὰ κακά, ἄλλοτε ἄλλον τόπον ἀμείβουσα, καὶ θυροκοποῦσα τῆς ἐφημέρου εἵνεκεν τροφῆς, ἡ τοσαύτην χορηγίαν τῶν ἀγαθῶν κεκτημένη. ἵνα εἴπῃ, οὐ μόνον τοὺς παῖδας ἀπολωλέκαμεν, τῆς ἡμετέρας μνήμης τὴν ὑπόθεσιν, καὶ αὐτὸς δὲ σὺ ὑπὸ τοσούτων κατέχῃ δεινῶν, ἀλλὰ καὶ τὴν ἐσχάτην πενίαν ὑπέστημεν, μισθωτῶν δίκην τὴν τροφὴν ἑαυτοῖς ἐκλέγοντες, οἱ ἄφθονον τοῖς δεομένοις τὴν χορηγίαν παρέχοντες. ἐγὼ γοῦν οὐδὲ δουλείας ἠπόρησα, οὐδὲ ἐν οἰκίᾳ μιᾷ καταστεῖλαι τῆς πενίας τὴν ἀσχημοσύνην ἐστίν, ἀλλὰ περίειμι δουλεύουσα καὶ προσαιτοῦσα ἀθλίως, ἡ πρὶν ἐλευθερίως τραφεῖσα, ὅρα, πῶς πλέκει τοῖς ἐκείνου τὰ ἑαυτῆς, οὐκ ἰσχύει, φησί, τὰ σά, κρατείτω τὰ ἐμά.

ΟΛΥΜΠ. Ὅλον δὲ τοῦτο Θεοῦ ἦν συγχώρησις, καὶ διαβόλου προσβολή, μετ' ἐξουσίας πράττοντος διὰ τὸν συγκεχωρηκότα Θεόν, ἐφ' ᾧ διὰ πάντων ἀγωνισάμενον τὸν Ἰὼβ στεφανίτην ἀναδειχθῆναι. Διὸ καὶ τὴν γυναῖκα οὐδεὶς ἠλέει, οὐδὲ τῆς παλαιᾶς αὐτῆς εὐδαιμονίας μεμνημένος παρεμυθεῖτο τὴν ἔνδειαν. οὐ γὰρ συνεχώρει αὐτὴν ὁ ἐχθρὸς ἐλεεῖσθαι πρός τινος, ἀλλ' ἐθήτευεν ἐπὶ μισθῷ. τοῦτο γὰρ σημαίνει, τό, λάτρις, τοῖς ἑκάστοτε δεομένοις ὑπηρετοῦσα, ἐφ' ᾧ ἑαυτῇ, καὶ τῷ συνεύνῳ ἐπαρκέσαι, πρὸς τὸ ἀποζῆν.

ΧΡΥΣΟΣΤ. Εἰποῦσα δὲ ὃ πάντων ἐστὶν ἐλεεινότερον, τό, οἰκίαν ἐξ οἰκίας ἀμείβειν, οὐδὲ ἐνταῦθα ἔστη τῶν θρήνων, ἀλλ' ἐπήγαγε λέγουσα.

ΚΕΙΜ. Προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου, καὶ τῶν ὀδυνῶν αἳ μὲ συνέχουσι.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Ὃ γὰρ τοῖς ἄλλοις ἐστὶν ἡδύ, φησι, τὸ τὴν ἀκτῖνα ὁρᾶν, τοῦτο ἐμοὶ βαρύ. Ποθεινὸν δὲ τὸ σκότος, καὶ ἡ νύξ, αὕτη γάρ με ἀναπαύει τῶν ἱδρώτων μόνη, αὕτη μοι παραμύθιον γίνεται τῶν κακῶν. Παρακαλεῖ με, καὶ ἵστησι τῶν πόνων, ἡμέρα, τὸν ἥλιον πρὸς τὰς δυσμὰς παραπέμπουσα. νὺξ γὰρ θεραπεύειν οἶδε τὴν κακίαν, τὸ σκότος ἔχουσα ἐνδιαίτημα. Ἀπειποῦσα μέν τοι πρὸς τὰς συμφορὰς, καὶ διαβολικῆς ἐνεργείας πεπληρωμένη, ὑποτίθεται τῷ δικαίῳ, ταύτην αὐτῷ τῶν κακῶν λύσιν ἀπολελεῖφθαι τὴν τοῦ σώματος ἀπαλλαγήν. Δυνατὸν δὲ ταύτην αὐτῷ προσγενέσθαι, εἰ παροργίσοι διὰ τῆς βλασφημίας τὸν Θεὸν, καὶ πρὸς τὴν ἀναίρεσιν ὑπερεθίσοι καθ᾽ ἑαυτοῦ. κακοτέχνως δὲ τὴν τοιαύτην εἰσηγεῖται βουλήν, ἔκ τε τῶν τοῦ ἀνδρὸς, καὶ τῶν ἑαυτῆς συμφορῶν, τὸν λόγον κατασκευάζουσα, τὰς τῶν ὠδίνων, φησὶ, ἀλγηδόνας ὑπέμεινα, ἐμόχθησα παιδοτροφοῦσα, ἵνα μετὰ σὲ τὸ μνημόσυνόν σου, τοὺς παῖδας καταλίπῃς, ἐξεκόπη τούτων ἡ ἐλπὶς, πάντες ἀπώλοντο, ἄῤῥενες ὁμοῦ, καὶ θήλειαι. εἰς τίνα λοιπὸν ἀναβλέψω; εἰς σὲ τὸν τούτων πατέρα, τὸν σκωλήκων πλήρη, τὸν πένητα, τὸν ἀπεῤῥιμμένον; ἢ εἰς ἐμὲ τὴν ἀθλίαν, τὴν πλανῆτιν, τὴν ἐκ τῆς πολλῆς εὐδαιμονίας ἐπὶ μισθῷ θητεύουσαν, καὶ μέχρις ἑσπέρας ἐν ὀδύναις καὶ μόχθοις ἐξεταζομένην; ἀλλ᾽ εἴ τι μοι πείθῃ, φθέγξαι τὶ ῥῆμα πρὸς Θεὸν, παροργίζων αὐτὸν, ἵνα σὲ ἀνέλῃ. αὕτη γάρ σοι μόνη τῶν κακῶν ὑπολέλειπται λύσις, διὸ ἐπάγει.

ΚΕΙΜ. Ἀλλὰ εἰπόν τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Εἶδες κἀνταῦθα τὴν κακουργίαν, πῶς οὐδὲ ἐν αὐτῇ τῇ συμβουλῇ εὐθέως εἰσήγαγε. τὴν ὀλεθρίαν παραίνεσιν, ἀλλὰ διηγησαμένη πρῶτον ἐλεεινῶς τὰς συμφορὰς καὶ ἐκτείνασα τὴν τραγῳδίαν, ἐν βραχεῖ τίθησι τὴν παραίνεσιν. καὶ οὐδὲ ἐμφαίνει σαφῶς αὐτὴν, ἀλλὰ συσκιάσασα ἐκείνην, τὴν ἀπαλλαγὴν αὐτῷ προτείνει, τὴν μάλιστα ποθεινὴν, καὶ ἐπαγγέλλεται τελευτὴν, ὃ μάλιστα ἐπεθύμει. καὶ σκόπει κἀντεῦθεν τοῦ διαβόλου τὴν κακουργίαν. Ἐπειδὴ γὰρ ᾔδει τὸν πόθον τοῦ Ἰὼβ περὶ τὸν Θεὸν, οὐκ ἀφίησι τὴν γυναῖκα κατηγορῆσαι τοῦ Θεοῦ, ἵνα μὴ ὡς ἐχθρὰν εὐθέως ἀποστραφῇ· διὰ τοῦτο αὐτοῦ μὲν οὐδαμοῦ μέμνηται, τὰ δὲ συμβάντα ἄνω καὶ κάτω στρέφει. σὺ δὲ μετὰ τῶν εἰρημένων, ὅτι καὶ γυνὴ ἦν ἡ ταῦτα συμβουλεύουσα, προστίθει, δεινὸς καταγοητεῦσαι ῥήτωρ τοὺς μὴ προσέχοντας. Πολλοὶ γοῦν καὶ χωρὶς συμφορῶν, ἀπὸ γυναικῶν συμβουλῆς κατηνέχθησαν μόνης. κἀνταῦθα δὲ ὡς ἰσχυρότερον τῶν προλαβόντων μηχανημάτων, ὕστερον τὴν γυναῖκα τῷ δικαίῳ προσάγει. ὡς εἴθε καὶ ταύτην ἔβλαβες, ὦ πονηρὲ, εἴθε μετὰ τῶν παίδων κατέχωσας. τινὲς δὲ, φασὶν, οὐδὲ τῆς γυναικὸς εἶναι τὰ ῥήματα, ἀλλ᾽ αὐτὸν εἰς αὐτὴν τυπωθέντα, ταῦτα φθέγγεσθαι. οὐδὲ γὰρ ἦν εἰκὸς τὴν γυναῖκα τοῦ Ἰὼβ τοιαύτην εἶναι. Πλὴν

εἰ μή τις εἴποι, τῇ συμφορᾷ περιτραπεῖσαν τοιαύτην γεγενῆσθαι. εἰκὸς δὲ μὴ ταύτην πρώτην γεγενῆσθαι τὴν συμβουλήν, ἀλλὰ πολλάκις πολλῷ τούτων χαλεπώτερα παρὰ τῆς γυναικὸς ἀκοῦσαι τὸν δίκαιον. καὶ ὅρα διαβόλου πονηρίαν, ἐνενόησε τὴν Εὔαν. γυνὴ γάρ, φησι, κατήνεγκε τὸν πρῶτον ἄνθρωπον, αὕτη καὶ τούτου περιγενέσθαι δυνήσεται. ἀλλ' ὦ ἀνόητε, ἐκεῖνον ἥττονα γαστρὸς εὑροῦσα, Ἰὸν ἐνέσπειρε τὸν ἑαυτῆς, τοῦτον δὲ ὁρᾷς φιλοσοφοῦντα, καὶ αὐτῆς περιγενόμενον τῆς φύσεως, οὐκ ἐπέκαμψεν αὐτὸν χρημάτων ἀπώλεια, οὐ παίδων θάνατος ἄωρος, οὐ βάσανος σώματος ἀπαραμύθητος, οὐ μῆκος χρόνου τοσούτου, καὶ τὸν ὑπὸ πραγμάτων οὐχ ἁλόντα, τοῦτον ὑπὸ λόγων προσδοκᾷς χειρώσασθαι; πλὴν ἡ γυνὴ μετὰ τὸ τὴν τραγῳδίαν ἀκριβῶς διηγήσασθαι, τότε τὴν ἀναίσχυντον ἐπιφέρει συμβουλήν, καὶ οὐδὲ τότε λέγει φανερῶς, βλασφήμησον. οἱ γὰρ πονηρὰ συμβουλεύοντες, οὐ τολμῶσιν ἀνακεκαλυμμένην εἰσάγειν τὴν παραίνεσιν. τί λέγεις ὦ γύναι; δέον ἐξιλεώσασθαι, δέον καταλλάξαι, παροξῦναι μᾶλλον παραινεῖς; εἰ γὰρ ὁ Θεὸς ταῦτα ἐποίησε, παρακαλέσαι αὐτόν, οὐ βλασφημῆσαι δεῖ.

ἈΠΟΛΙΝ. Ἐγγὺς αὕτη τοῦ διαβόλου, ἡ καὶ μελλούσης ἐλπίδος στερῆσαι ἐθέλουσα τὸν ἄνδρα διὰ τῆς φαύλης εἰσηγήσεως, λέγουσα, διὰ τῆς βλασφημίας ἐπίσπασαι τὸν θάνατον. ὡς δὲ τῆς περὶ τὰ καλὰ ἐμμελείας παρεχούσης αὐτῷ ζωήν, καὶ τοῦ Θεοῦ πάντως τιμωρησαμένου αὐτόν, εἰ βλασφημήσει, ταύτην προσάγει τὴν συμβουλήν, ἄμεινον τὸ ἀποθανεῖν, τοῦ ζῆν μετ' ὀδύνης, τιθεμένη. σὺ δὲ ὅρα, πῶς περὶ τῆς βλασφημίας εἶχεν ἡ γυνή, ὅτι καὶ παραχρῆμα αὐτὸν θάνατον ἐπάγειν ἱκανὴν ἡγεῖτο.

ἸΟΥΛΙΑΝΟΥ. Τινὲς δὲ ὑπὲρ τῆς γυναικὸς ἀπολογούμενοι, φασίν, ὅτι ὡς εὐσεβής, καὶ ὑπ' αὐτοῦ πάλαι παιδευθεῖσα, συμβουλεύει δι' εὐχῆς αὐτὸν λοιπὸν ἐπισπάσασθαι θάνατον, ἵνα μή τινες ἐπ' αὐτῷ σκανδαλιζόμενοι, βλασφημῶσιν. Ὅθεν καὶ ὁ Ἰὼβ ἄνοιαν αὐτῆς γυναικώδη καταγινώσκει, οὐ μὴν δὲ ἀσέβειαν. Ἐμοὶ δὲ τοῦτο οὐκ ἀρέσκει, ἀλλ' ἀποδοκιμάζω τὴν τοιαύτην ἐξήγησιν.

ΒΑΣΙΛΕΙΟΥ. Ἡ γυνὴ πρὸς τὸν μακρὸν χρόνον ἀπαγορεύσασα, τῷ δικαίῳ παρίσταται, κάτω νενευκεῖα, καὶ τὰς χεῖρας ἐπὶ τοῖς ὁρωμένοις συγκρούουσα, καὶ τοὺς τῆς εὐσεβείας αὐτοῦ καρποὺς ὀνειδίζουσα, καὶ καταλέγουσα τὴν παλαιὰν εὐθηνίαν τῶν οἰκείων, ὑποδεικνῦσα δὲ τὰ παρόντα κακά, καὶ οἷον ἐξ οἵων ἔλαχε βίον, καὶ τίνα τῶν πολλῶν θυσιῶν ἐδέξατο παρὰ τοῦ δεσπότου μισθόν. Ἔλεγέ τε ἀεὶ τῆς μὲν γυναικῶν ὀλιγοψυχίας ἄξια ῥήματα, ταράξαι δὲ πάντα ἄνδρα δυνάμενα, καὶ περιτρέψαι καὶ γενναίαν διάνοιαν. καὶ συνεβούλευεν ἄντικρυς τῷ ἀνδρί, ὅτι καλὸν εἴη καὶ χρήσιμον, ἀσεβέσι χρησάμενον ῥήμασιν, ἑαυτὸν τῆς γῆς ἐκτεμεῖν, τὸ τῆς τοῦ κτίσαντος ὀργῆς ἀκονίσαντα ξίφος, ἢ διακαρτεροῦντα πρὸς τὰ δεινά, τὸν ἐν τοῖς ἀγῶσι μόχθον, ἑαυτῷ καὶ τῇ συνοικούσῃ μηκύνειν.

ΚΕΙΜ. Ὁ δὲ ἐμβλέψας, εἶπεν αὐτῇ ἵνα τί οὕτως, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας;

ΒΑΣΙΛ. καὶ ΧΡΥΣΟΣΤ. Ἀχθεὶς ἐπὶ τούτοις τοῖς ῥήμασιν ὁ Ἰὼβ, ὡς ἐπ' οὐδενὶ τῶν προτέρων κακῶν, καὶ θυμοῦ τὸ βλέμμα πληρώσας, καὶ πρὸς τὴν γυναῖκα, καθάπερ πρὸς πολεμίαν, ἀποστραφεὶς, καὶ βλέψας πρὸς αὐτὴν πικρὸν, καὶ πρὸ τῆς φωνῆς, ἀπὸ τῆς ὄψεως διεκρούσατο τὰ μηχανήματα. ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινήσειν πηγάς. οὗτος δὲ Λέοντος σφοδρότερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως, οὐχ ὑπὲρ ὧν ἔπαχεν, ἀλλ' ὑπὲρ ὧν ἐκείνη διαβολικῶς συνεβούλευσε. καὶ τῷ βλέμματι τὸν θυμὸν ἐνδειξάμενος, μεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. καὶ γὰρ ἐν συμφοραῖς σώφρων ἦν. καὶ τί φησίν; ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας· οὐχ οὕτω σὲ ἐπαίδευσα, φησὶν, οὐχ οὕτω σὲ ἔθρεψα. ὅθεν οὐδὲ ἐπιγινώσκω τὴν σύνοικον τὴν ἐμήν. τὰ γὰρ ῥήματα ταῦτα ἀνοήτου γυναικὸς, καὶ παραπαιούσης ἡ συμβουλή. κατάθου, φησὶν, ὦ γύναι τὴν συμβουλὴν, μέχρι τίνος τὴν κοινὴν, ἐν οἷς λέγεις, ὑβρίζεις ζωήν; ἐψεύσω, καὶ τὴν ἐμὴν, ὡς οὐκ ηὐχόμην, ἀνατροφὴν διέβαλες, ἐν οἷς ἐλάλησας. καὶ τὸν ἐμὸν βίον ἐξ ἡμισείας, ἠτεβηκέναι νενόμικα νῦν, ἐπειδήπερ ἓν μὲν σῶμα ἀμφοτέρους ἡμᾶς ὁ γάμος ἐποίησε, σὺ δὲ εἰς βλασφημίαν κατέπεσες. εἶδες τομὴν σύμμετρον, καὶ πληγὴν ἱκανὴν διορθῶσαι τὸ νόσημα. οὐκ εἶπεν ἄφρων εἶ, καὶ ἀνόητος, ἀλλὰ τί; ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. τουτέστιν, οὐδὲν ἄξιον σεαυτῆς, οὐδὲ τῆς ἐμῆς ἐφθέγξω παιδεύσεως. εἶτα μετὰ τὴν ἐπίπληξιν, καὶ συμβουλὴν εἰσάγει πάλιν, ἀρκοῦσαν αὐτὴν παραμυθήσασθαι, καὶ πολὺ τὸ εὔλογον ἔχουσαν, λέγων.

ΚΕΙΜ. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;

ΧΡΥΣΟΣΤ. Ἀναμνήσθητι, φησι, τῶν προτέρων ἐκείνων, καὶ λογίζου τὸν αἴτιον, καὶ οἴσεις καὶ ταῦτα γενναίως. εἶδες μεγαλοφροσύνην ἀνδρός; οὐδὲ γὰρ τῇ ἀνδρείᾳ αὐτοῦ λογίζεται τὴν ὑπομονὴν, ἀλλὰ τῆς τῶν πραγμάτων ἀκολουθίας αὐτὴν εἶναι, φησι, ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ Θεός; ποίαν ἐκτιννὺς ἀμοιβήν; οὐδὲ μίαν, ἀλλ' ἐξ ἀγαθότητος μόνης. δωρεὰ γὰρ ἦν, οὐκ ἀμοιβὴ, καὶ χάρις, οὐκ ἀντίδοσις. οὐκοῦν καὶ ταῦτα φέρωμεν γενναίως, ἀνάμνησον τῶν φθασάντων σεαυτὴν ἀγαθῶν, ἀντίστησον τὰ κρείττω τοῖς χείροσιν. οὐδενὸς ἀνθρώπων ὁ βίος δι' ὅλου μακάριος. τὸ διὰ παντὸς εὐπράττειν, μόνου Θεοῦ. σὺ δὲ εἰ τοῖς παροῦσιν ἀλγεῖς, ἀπὸ τῶν προλαβόντων σεαυτὴν παραμύθησον. νῦν δακρύεις, ἀλλ' ἐγέλασας πρότερον. νῦν πτωχεύεις, ἀλλ' ἐπλούτησας πρότερον. ἔπιες τὸ διειδὲς νᾶμα τοῦ βίου, καὶ τοῦ θολεροῦ τούτου πίνουσα, καρτέρησον. οὐδὲ τὰ τῶν ποταμῶν ῥεύματα δι' ὅλου φαίνεται καθαρά. ποταμὸς δὲ, ὡς οἶσθα, ὁ βίος ἡμῶν, ῥέων ἐνδελεχῶς, καὶ κύμασιν ἀλλεπαλλήλοις πληρούμενος. τὸ μὲν γὰρ αὐτοῦ προεῤῥευσεν ἤδη, τὸ δὲ ἔτι πορεύεται, τὸ δὲ ἄρτι προέκυψε τῶν πηγῶν, τὸ δὲ μέλλει, καὶ πρὸς τὴν κοινὴν ἅπαντες τοῦ θανάτου σπεύδομεν θάλασσαν. εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσωμεν; ἀναγκάσωμεν τὸν κριτὴν ὅμοια χορηγεῖν πράγματα δι' αἰῶνος ἡμῖν; διδάξωμεν τὸν δεσπότην ὅπως χρὴ διεξάγειν τὸν ἡμέτερον βίον; αὐ-

τὸς τῶν οἰκείων ψήφων ἔχει τὴν ἐξουσίαν, ὅπως βούλεται τάττει τὰ καθ' ἡμᾶς. σοφὸς δὲ ἐστὶ καὶ τὸ λυσιτελοῦν ἐπιμετρεῖ τοῖς οἰκέταις. μὴ περιεργάζου δεσπότου τὴν κρίσιν, ἀγάπα μόνον τὰ παρὰ τῆς αὐτοῦ σοφίας οἰκονομούμενα. ὅπερ ἂν δῷ σοι, τοῦτο δέχου μεθ' ἡδονῆς, δεῖξον ἐν τοῖς ἀλγεινοῖς ὡς καὶ τῆς εὐφροσύνης ἄξια τῆς πρόσθεν ἐτύγχανες. ταῦτα ὁ Ἰὼβ λέγων, ἀπεκρούσατο, καὶ ταύτην τοῦ διαβόλου τὴν προσβολὴν, καὶ τελείαν αὐτῷ τὴν τῆς ἥττης αἰσχύνην ἐπήγαγεν. ἔδειξε διὰ τοῦ βλέμματος, τὸν κατὰ τῆς ἁμαρτίας μέγιστον ζῆλον, (ὀφθαλμὸν γὰρ κατήγορον τῶν κρυπτομένων ἡ φύσις ἐγνώρισε.) καὶ ὁ τὴν τοιαύτην ἔφοδον τοῦ πονηροῦ πρᾴως καὶ φιλοσόφως διενεγκὼν τὴν πρὸς κακίαν παράκλησιν οὐχ ὑπέμεινε, μείζονα τῶν τοῦ σώματος βελῶν τὴν πονηρὰν ἀκοὴν ἡγησάμενος, καὶ τῇ γυναικὶ ἐπετίμησεν, ὥσπερ γάρ, φησι, τὴν θεραπείαν εὐθύμως προσηκάμεθα, οὕτω καὶ τὴν παιδείαν σωφρόνως ἐνέγκωμεν. ἀγαθὰ γὰρ λέγει, τὰ εὐφραίνοντα, κακὰ δὲ, τοὺς πειρασμούς. τὸ δὲ ὥσπερ μία τῶν ἀφρόνων ἐλάλησας, τινὲς εἰς τὴν Εὔαν ἐξέλαβον, ἐκείνην, φησὶν, ἐμιμήσω τὴν πρώτην δεξαμένην τῆς ἁμαρτίας τὸ νέφος, καὶ συμβουλαῖς ὁμοίαις παρακρουσαμένην, τὸν εἰκόνι Θεοῦ τετιμημένον ἐκεῖνον, καὶ πάσης κακίας ἐλεύθερον.

ΔΙΟΝΥΣ. Ἠγνόησε γὰρ τοῦ ὄφεως τὰ πολύπλοκα ἐκεῖνα καὶ σκολιὰ νοήματα, καὶ τὴν ἀγρίαν, καὶ ἀτίθασσον φρόνησιν, δι' ἣν οὐκ ἀνθρώπων φρονιμώτερος λέλεκται. οὐδὲ γὰρ ἂν δύναιτο τῶν ἁγίων τῶν δικαίων, ὁ ἄδικος, τῶν τοῦ Θεοῦ παρέδρων ὁ ἀποστάτης. εἰ δὲ τοὺς ἄφρονας καὶ ἀνοήτους κατασοφίζεται, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ γοητεύων, καὶ ἐπιβουλαῖς αὐτοῦ συνηθίζεται, εἰκότως ἐν τοῖς θηρίοις ἐκεῖνοι λογισθεῖεν, ὧν μόνον φρονιμώτερος εἶναι λέλεκται. ἀτελὴς γὰρ ἦν ἔτι, καὶ ὁ ὑπ' αὐτοῦ πρῶτος ἀπατηθεὶς ὁ Ἀδὰμ, εἰς ψυχὴν ζῶσαν μόνον, μηδέπω δὲ καὶ εἰς πνεῦμα ζωοποιοῦν γενόμενος, καὶ ἔτι γε ἡ πλευρὰ πρὸ αὐτοῦ οἰκοδομηθεῖσα εἰς γυναῖκα. οὔτω μὲν οὖν οὐ φρονιμώτερος ἀνθρώπων, ἀλλ' οὐδὲ Ἀγγέλων. πῶς γὰρ ὁ εἰς τὸ καταπαίζεσθαι ἐπ' αὐτῶν γενόμενος, οὐκ αὐτῶν δὲ μόνων, ἀλλὰ καὶ εἴτις τῶν ἐνταῦθα εὐάγγελος, ὥσπερ ὁ Ἰὼβ, ὃς περιγενόμενος αὐτοῦ, καὶ κατακρατήσας ἑκατέρωθεν, καὶ μήτε διὰ τὴν εὐθηνίαν, καὶ τὴν εὐπραγίαν ἁλοὺς, ἢ παρακρουσθεὶς ὑπ' αὐτοῦ. ἀλλὰ διαμείνας, ὡς μαρτυρεῖται ὑπὸ τοῦ Θεοῦ, ἄμεμπτος, μήτε διὰ τὴν ἀνύποιστον νόσον, καὶ τὸ ἀνήκεστον, καὶ ὁλοσχερὲς, ἕλκος, ἐνδοὺς, ἀλλὰ πάντα ὑποστὰς, ἵνα ἡ περὶ αὐτὸν τελειωθῇ τοῦ Κυρίου πρόνοια, καὶ δίκαιος ἀναφανῇ, οὕτω γέρας τοῦτο καὶ ἆθλον λαμβάνει, λήψῃ, φησὶν, αὐτὸν δοῦλον αἰώνιον. παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ. βούλει καὶ σὺ λαμπρὸς ἐν τοῖς ἀγῶσιν εἶναι; ἐν τῇ παλαίστρᾳ γυμνάσθητι, φέρε γενναίως τὰς κατὰ διάνοιαν ὀδύνας, ἵνα καὶ τὰς τοῦ σώματος ἐνέγκῃς. καὶ γὰρ ὁ μακάριος Ἰὼβ, εἰ μὴ καλῶς γυμνασάμενος πρὸ τῶν ἀγώνων, οὐκ ἂν οὕτως ἔλαμψεν. εἰ μὴ μεμελέτηκε πάσης ἀθυμίας ἐκτὸς εἶναι, εἶπεν ἄν τι τολμηρὸν, τῶν παίδων ἀποθανόντων. νυνὶ δὲ γενναίως ἔστη πρὸς πάντα, καὶ τὰ παλαίσματα, πρὸς χρημάτων ἀπώλειαν, καὶ περιουσίας τοσαύτης ἀφανισμὸν, πρὸς παίδων ἀποβο-

ἣν, πρὸς γυναικὸς συμπάθειαν, πρὸς σώματος μάςιγας, πρὸς ὀνείδη φίλων, πρὸς λοιδορίας οἰκετῶν. εἰδὲ θέλεις καὶ τὰς γυμνασίας αὐτοῦ ἰδεῖν, ἄκουσον αὐτοῦ λέγοντος, πῶς κατεφρόνει χρημάτων, εἰ ἔταξα χρυσίον εἰς χοῦν μου, εἰδὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα, εἰδὲ, καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου. διὰ τοῦτο οὐδὲ ἁρπαγέντων ἐθορυβεῖτο, ἐπειδὴ καὶ παρόντων οὐκ ἐπεθύμει. ἄκουσον πῶς καὶ τὰ κατὰ τοὺς παῖδας διῴκει, οὐ καταμαλακιζόμενος παρὰ τὸ δέον, ὥσπερ ἡμεῖς, ἀλλὰ πᾶσαν ἀκρίβειαν παρ' αὐτῶν ἀπαιτῶν. ὁ γὰρ καὶ ὑπὲρ τῶν ἀδήλων θυσίαν ἀναφέρων, ἐννόησον πῶς ἦν ἀκριβὴς τῶν φανερῶν δικαςής. εἰδὲ καὶ τοὺς περὶ σωφροσύνης ἀγῶνας, ἀκοῦσαι βούλει, ἄκουσον αὐτοῦ λέγοντος. διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον. διὰ τοῦτο αὐτὸν οὐ κατέκλασεν ἡ γυνή. ἐφίλει μὲν γὰρ αὐτὴν καὶ πρὸ τούτου, ἀλλ' οὐχ ὑπὲρ τὸ μέτρον, ἀλλ' ὡς εἰκὸς γυναῖκα. ὅθεν μοι καὶ θαυμάσαι ἔπεισι. πόθεν ἐπῆλθε τῷ διαβόλῳ εἰδότι αὐτοῦ τὰς γυμνασίας, κινῆσαι τοὺς ἀγῶνας. πόθεν οὖν ἐπῆλθε; πονηρὸν ἐςὶ τὸ θηρίον, καὶ οὐδέποτε ἐπιγινώσκει, ὃ μέγιςον ἡμῖν κατάκριμα γίνεται, ὅτι ἐκεῖνος μὲν οὐδέποτε ἡμῶν ἀπελπίζει τὴν ἀπώλειαν, ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀπογινώσκομεν σωτηρίαν. ἀλλὰ σώματος πήρωσιν καὶ λώβην. σκόπει πῶς ἐμελέτα. ἐπειδὴ γὰρ αὐτὸς οὐδέποτέ τι τοιοῦτον ὑπέμεινεν, ἀλλ' ἐν πλούτῳ καὶ τρυφῇ, καὶ τῇ ἄλλῃ περιφανείᾳ διετέλεσε ζῶν, τὰς ἀλλοτρίας καθ' ἑκάςην ὀνειροπόλει συμφοράς, καὶ τοῦτο δηλῶν, ἔλεγε, φόβος γὰρ ὃν ἐφοβούμην, ἦλθέ μοι. καὶ πάλιν, ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, καὶ ἐςέναξα, ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. διὰ δὲ τοῦτο οὐδὲν ἐθορύβει τῶν προσπιπτόντων, τῶν μεγάλων ἐκείνων καὶ ἀφορήτων. μὴ γάρ μοι τὴν ἀπώλειαν ἴδῃς τῶν χρημάτων, μηδὲ τὴν τῶν παίδων ἀφαίρεσιν, μηδὲ τὴν πληγὴν ἐκείνην τὴν ἀνίατον. μηδὲ τὴν τῆς γυναικὸς ἐπιβουλὴν, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα. καὶ τί τούτων χαλεπώτερον, φησὶν, ἔπαθεν ὁ Ἰώβ; παρὰ γὰρ τῆς ἱςορίας οὐδὲν πλέον τούτων μανθάνομεν. ἐπειδὴ καθεύδομεν, οὐ μανθάνομεν. ὡς ὅ γε μεριμνῶν, καὶ τὸν μαργαρίτην καλῶς διερευνώμενος, πολλῷ πλείονα τούτων εἴσεται. τὰ γὰρ χαλεπώτερα καὶ ἱκανὰ μείζονα ἐμβαλεῖν θόρυβον, ἕτερα ἦν. καὶ πρῶτον, τὸ, μηδὲν εἰδέναι περὶ βασιλείας οὐρανῶν, καὶ ἀναςάσεως σαφές· ὅπερ οὖν καὶ θρηνῶν ἔλεγεν, οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. δεύτερον, τὸ πολλὰ ἑαυτῷ συνειδέναι καλά. τρίτον, τὸ, μηδὲν συνειδέναι πονηρόν. τέταρτον, τὸ, παρὰ Θεοῦ νομίζειν ταῦτα ὑπομένειν. εἰδὲ καὶ παρὰ διαβόλου, καὶ τοῦτο ἱκανὸν ἦν αὐτὸν σκανδαλίσαι. πέμπτον, τὸ, ἀκούειν τῶν φίλων, ἐπὶ κακίᾳ διαβαλλόντων αὐτόν. οὐκ ἄξια γὰρ ὧν ἥμαρτες μεμαςίγωσαι. ἕκτον, τὸ, τοὺς ἐν πονηρίᾳ ζῶντας, εὖ πάσχοντας ὁρᾶν, καὶ ἐπαγγέλλοντας αὐτὸν, τὸ, μὴ ἔχειν εἰς ἕτερον ἰδεῖν τοιαῦτα πεπονθότα ποτέ. καὶ εἰ βούλει μαθεῖν ἡλίκα ταῦτά ἐςιν, ἐννόησον τὰ παρόντα. εἰ γὰρ νῦν, βασιλείας προσδοκωμένης, καὶ ἀναςάσεως ἐλπιζομένης, καὶ τῶν ἀπορρήτων ἀγαθῶν, καὶ μυρία συνειδότων ἑαυτοῖς κακὰ, καὶ τοσαῦτα ἐχόντων παραδείγματα, καὶ τοσαύτης μετεχόντων φιλοσοφίας, ἂν ὀλίγον χρυσίον ἀπολέσωσί τινες, καὶ τοῦτο πολλάκις ἁρπάσαν-

τες, ἀβίωτον τὸν βίον εἶναι νομίζουσιν, οὐ γυναικὸς ἐπικειμένης, οὐ παίδων ἀφαιρεθέντων, οὐ φίλων ὀνειδιζόντων, οὐκ οἰκετῶν ἐπεμβαινόντων, ἀλλὰ καὶ πολλῶν ὄντων τῶν παρακαλούντων, τῶν μὲν διὰ ῥημάτων, τῶν δὲ διὰ πραγμάτων, πόσων οὐκ ἄξιος ἐκεῖνος ἂν εἴη στεφάνων, τὰ ἐκ δικαίων πόνων συλλεγέντα ὁρῶν, ἁπλῶς καὶ ὡς ἔτυχεν ἁρπαζόμενα, καὶ μετὰ πάντα ἐκεῖνα μυρίας ὑπομένων πειρασμῶν νιφάδας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν προσήκουσαν ἀναφέρων τῷ δεσπότῃ περὶ τούτων εὐχαριστίαν. ἂν γὰρ μηδεὶς τῶν ἄλλων μηδὲν εἴπῃ, τὰ τῆς γυναικὸς μόνον ῥήματα, καὶ πέτραν στερροτάτην κατασεῖσαι ἱκανὰ ἦν. ὅρα δὲ τὴν κακουργίαν. οὐ μέμνηται χρημάτων, καὶ ποιμνίων, καὶ βουκολίων ἀπωλείας. συνῄδει γὰρ τῷ ἀνδρὶ τὴν ἐπὶ τούτων φιλοσοφίαν, ἀλλὰ καὶ τοῦ πάντων τούτων φορτικωτέρου, τῶν παίδων, λέγω, καὶ πλατύνει τὴν τραγῳδίαν, καὶ τὰ παρ' ἑαυτῆς προστίθησιν. εἰ δὲ ἐν εὐθηνίᾳ ὄντας, καὶ οὐδὲν πάσχοντας ἀηδές, πολλοὺς πολλάκις ἔπεισαν γυναῖκες, ἐννόησον, πῶς ἦν ἐκείνη νεανικὴ ἡ ψυχή, μετὰ τοσούτων ὅπλων ἑαυτὴν ἐπελθοῦσαν ἀποκρουσαμένη, καὶ δύο τυραννικώτατα πάθη καταπατήσασα, ἐπιθυμίαν, καὶ ἔλεον. καίτοι πολλοὶ τῶν κρατησάντων ἐπιθυμίας, ἐπ' ἐλέου ἐκάμφθησαν. ὁ γοῦν γενναῖος ἐκεῖνος Ἰωσήφ, τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε, καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα διεκρούσατο, μυρία προσάγουσαν μηχανήματα. δακρύων δὲ οὐ κατέσχεν, ἀλλ' ἰδὼν τοὺς ἀδελφούς, τοὺς ἠδικηκότας, ἐνεπυρίσθη τῷ πάθει, καὶ τὸ πρόσωπον ταχέως νίψας, τὸ δρᾶμα ἀπεκάλυψεν. ὅταν δὲ καὶ γυνὴ ᾖ καὶ ἐλεεινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα, καὶ τὰ τραύματα, καὶ τοὺς μώλωπας, καὶ τὰ μυρία κύματα τῶν συμφορῶν, πῶς οὐκ αὐτῆς δικαίως ἀδάμαντος παντὸς στερροτέραν, τὴν οὐδὲ ὑπὸ τοῦ χειμῶνος παθοῦσαν ψυχήν, εἶναι ἀποφήναιτο.

ΧΡΥΣΟΣΤ. Ὁ γὰρ μακάριος οὗτος πανταχόθεν βαλλόμενος ἀσφαλέστερον ἵστατο, καὶ μυρία βέλη δεχόμενος οὐκ ἐνεδίδου. ἀλλ' ἐκένωσε μὲν τοῦ διαβόλου τὴν βελοθήκην, αὐτὸς δὲ οὐ κατέπεσεν, οὐδὲ ὑπεσκελίσθη. ἀλλ' ὥσπερ ἄριστος κυβερνήτης, οὔτε μαινομένης τῆς θαλάσσης, καὶ τῶν κυμάτων διεγειρομένων, κατεποντίζετο, οὔτε γαλήνης οὔσης ῥαθυμότερος ἐγίνετο. ἀλλ' ἐν ἑκατέρᾳ τῇ τῶν καιρῶν διαφορᾷ, ἴσην τὴν ἑαυτοῦ τέχνην διετήρησε. καὶ οὔτε πλοῦτος αὐτὸν ἐφύσησεν, οὔτε πενία ἐταπείνωσεν. οὔτε καταρρέων τῶν πραγμάτων φερομένων ὕπτιος ἦν, καὶ ἀναπεπτωκώς, οὔτε ὅλης σχεδὸν τῆς οἰκίας ἀνατραπείσης καὶ πανωλεθρίας γενομένης διεταράχθη, καὶ τὴν ἀνδρείαν ἤλεγξε τὴν ἑαυτοῦ, ἀκουέτωσαν πλούσιοι, ἀκουέτωσαν πένητες. ἑκατέροις, γὰρ τὸ διήγημα χρήσιμον, καὶ πᾶσιν ἀνθρώποις ἐπίσης λυσιτελής, καὶ τοῖς ἐν εὐημερίᾳ, καὶ τοῖς ἐν συμφοραῖς. ἑκάτερα γὰρ τὰ ὅπλα μεταχειρίσας, ὁ τῆς εὐσεβείας ἀγωνιστής, ὁ τῆς οἰκουμένης στεφανίτης, ἐν ἑκατέροις τὸ τρόπαιον ἔστησε. καὶ πρὸς πᾶν εἶδος πολέμου, τοῦ δαίμονος ἐπελθόντος ἐκείνου, πρὸς ἅπαντα παρετάξατο, καὶ ἐν πᾶσιν ἀνεκηρύττετο, καὶ καθάπερ στρατιώτης γενναῖος, καὶ εἰδὼς νυκτομαχεῖν, τειχομαχεῖν, πεζομαχεῖν, ναυμαχεῖν, καὶ τοξεύειν καὶ δόρυ σείειν, καὶ σφενδόναις, καὶ ἀκοντίοις, καὶ παντὶ τρόπῳ μάχης περιγίνεσθαι τῶν ἐναντίων, καὶ πανταχοῦ κρατεῖν.

οὕτω δὴ καὶ ὁ γενναῖος ἐκεῖνος, ἅπαντα πειρασμὸν μετὰ πολλῆς ἤνεγκε τῆς ἀνδρείας, τὸν ἀπὸ πενίας, τὸν ἀπὸ λιμοῦ, τὸν ἀπὸ νόσου, τὸν ἐξ ὀδύνης, τὸν ἀπὸ τῆς τῶν παίδων ἀπωλείας, τὸν ἀπὸ τῶν φίλων, τὸν ἀπὸ τῶν ἐχθρῶν, τὸν ἀπὸ τῆς γυναικὸς, τὸν ἀπὸ τῶν οἰκετῶν. οὐδὲ γὰρ ἦν ἀνθρωπίνη συμφορὰ, ἣ μὴ εἰς τὸ σῶμα ἐξεκενώθη ἐκείνου, ἀλλ' ὅμως ἁπάντων ὑπερηνέχθη τῶν δικτύων, καὶ ὑψηλότερος γέγονε τῶν τοῦ διαβόλου καλάμων. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι καὶ πάντα αὐτῷ, καὶ πάντα μεθ' ὑπερβολῆς, καὶ πάντα ὑφ' ἕν. μὴ γὰρ δὴ τοῦτο ἴδης, ὅτι τοσαῦτα ἔπαθεν, ἀλλὰ πρόσθες, ὅτι οὐδὲ κατὰ μικρὸν, οὐδὲ ἐκ διαστήματος, ἀλλ' ὑφ' ἓν καὶ ὁμοῦ. οὐ μικρὰ δὲ αὕτη πειρασμῶν προσθήκη. τῶν μὲν γὰρ ἄλλων ἕκαστος ἀνθρώπων, πρῶτον μὲν οὐδεὶς ἂν εὑρεθείη πάντα ὑπομείνας ὁμοῦ, ἀλλ' εἰ καὶ πενίᾳ παλαίει, ὅμως ὑγιείας ἀπολαύει. εἰ δὲ καὶ πενίᾳ καὶ νόσῳ περιεπάρη, ἀλλὰ γυναικὸς πολλάκις ἀπήλαυσε παραμυθουμένης τὰ δεινὰ, καὶ ἀντὶ λιμένος αὐτῷ γινομένης. εἰ δὲ μὴ γυναικὸς ἀπήλαυσε τοιαύτης, ἀλλ' οὐχ οὕτω συμβουλευούσης ὀλέθρια. εἰ δὲ καὶ οὕτω συμβουλευούσης ὀλέθρια, ἀλλ' οὐχὶ καὶ τοὺς παῖδας ἀθρόον ἀπώλεσεν ἅπαντας, εἰ καὶ ἀθρόον, ἀλλ' οὐ τοιούτῳ τρόπῳ τελευτῆς. ἀλλὰ φίλους εἶχε παρακαλοῦντας. εἰ δὲ οὐκ εἶχε παρακαλοῦντας, ἀλλ' οὐχὶ καὶ οὕτως ἐπεμβαίνοντας, εἰ δὲ καὶ ἐπεμβαίνοντας, ἀλλ' οὐχὶ καὶ οἰκέτας ὀνειδίζοντας. εἰ δὲ καὶ ὀνειδίζοντας, ἀλλ' οὐχὶ καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἐμπτύοντας. εἰ δὲ καὶ εἰς τὸ πρόσωπον ἐμπτύοντας, ἀλλ' οὐχὶ καὶ νόσῳ τοιαύτῃ περιεπάρη, εἰ δὲ καὶ νόσῳ τοιαύτῃ περιεπάρη. ἀλλὰ δοματίου καὶ σκέπης ἀπήλαυσε, καὶ οὐκ ἐπὶ τῆς κοπρίας ἐκάθητο. εἰ δὲ καὶ ἐπὶ τῆς κοπρίας ἐκάθητο, ἀλλ' εἶχε τοὺς χεῖρα ὀρέγοντας. εἰ δὲ μὴ εἶχε τοὺς χεῖρα ὀρέγοντας, ἀλλ' οὐχὶ καὶ ἐπεμβαίνοντας. οὗτος δὲ ἅπαντα ταῦτα ὑπήνεγκε.

ΓΡΗΓΟΡ. τοῦ ΘΕΟΛΟΓ. Ἦν μὲν γὰρ ἄκακος, δίκαιος, ἀληθινὸς, καὶ ὅσον μεμαρτύρηται. τοσαύταις δὲ πλήττεται παρὰ τοῦ ἐξῃτηκότος ταῖς προσβολαῖς. καὶ οὕτω ἀλλεπαλλήλοις καὶ φιλοτίμοις, ὥστε πολλῶν πολλάκις ἐκ τοῦ παντὸς αἰῶνος κακοπαθησάντων, τῶν δὲ, ὡς εἰκὸς, καὶ ταλαιπωρησάντων, μηδένα εἶναι ταῖς ἐκείνου παραβαλεῖν συμφοραῖς. οὐ γὰρ μόνον χρήματα, κτήματα, εὐτεκνίαν, καὶ πολυτεκνίαν, ἃ πᾶσιν ἀνθρώποις ἐστὶν περισπούδαστα. οὐ ταῦτα ζημιοῦται μόνον, ὡς μηδὲ θρήνοις γενέσθαι χώραν, διὰ τὸ συνεχὲς τῶν κακῶν. ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα τελευταῖον πληγεὶς πληγὴν ἀνίατον, καὶ δυσθεώρητον, εἶχε μὲν προσθήκην τῆς συμφορᾶς τὴν γυναῖκα παραμυθουμένην τοῖς χείροσι. πληγῆναι γὰρ ἐφιλονείκει καὶ τὴν ψυχὴν πρὸς τῷ σώματι.

ΧΡΥΣΟΣΤ. Ἐν τούτοις γὰρ ὄντος αὐτοῦ, καὶ ἀποτηγανιζομένου, πάντοθεν, ἔνδοθεν, ἔξωθεν, ἐποίει τῆς γυναικὸς τὰ μηχανήματα, καὶ γίνεται τοῦ δαίμονος ὅπλον ἡ σύνοικος, καὶ τοξεύει τὸν ἄνδρα, τὴν γλῶτταν δανείσασα τῷ διαβόλῳ, καὶ βάλλει τῶν εἰρημένων πικρότερα καὶ ὀλεθριώτερα. καὶ οὐδὲ ἐνταῦθα τέλος ἐλάμβανε τὰ παλαίσματα, ἀλλ' ἀρχὴν πάλιν καὶ προοίμια τῆς παρατάξεως ἦν, καὶ ὑπὸ τῶν φίλων μυρίως ἐβάλλετο τοῖς ὀνείδεσιν. ἆρα οὐκ ἐκάμετε ἀκούοντες τὰς ἐπαλλήλους ταύτας συμφοράς; ἀλλ' ἐκεῖνος

οὐκ

οὐκ ἔκαμνε πάσχων. διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ἀναμεῖναι πάλιν. οὐδέπω γὰρ τὸ πᾶν εἰρήκαμεν, οὐδὲ τὴν ἑτέραν προσεθήκαμεν ὑπερβολήν, μίαν μὲν γὰρ ἦν, ὅτι πάντα τὰ ἐν ἀνθρώποις κακὰ, ἓν σῶμα ὑπέμεινε. ἑτέραν δὲ, ὅτι πάντα ὁμοῦ, καὶ οὐδὲ τὴν τοῦ πάθους ἔχεν ἀνακωχήν. βούλομαι δὲ καὶ τρίτην εἰπεῖν. τίς δὲ ἐστὶν αὕτη; ὅτι τῶν εἰρημένων ἕκαστον, οὐχ ὁμοῦ μόνον ἐπῆλθεν, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ τῆς χαλεπότητος. εἴτε πενία, πενίας ἁπάσης χαλεπωτέρα, εἴτε νόσος, εἴτε καθέδρα, εἴτε τῶν παίδων ἀπώλεια, εἴτε τῶν ὄντων ἁπάντων ἀποβολή. σκόπει δὲ, ἀπώλεσέ τις τὰ ὄντα, ἀλλ' οὐχ οὕτως ὁλοχερῶς, οὐδὲ τρόπῳ τοιῷδε. ἀπέβαλε παῖδας, ἀλλ' οὐδέποτε ὑφ' ἓν ἅπαντας, οὐδὲ τοσούτους, οὐδὲ τοιούτους. νόσῳ περιέπεσεν, ἀλλ' οὐ τοιαύτῃ, ἀλλ' ἢ πυρετοῖς, ἢ λώβῃ, ἢ ἑτέρῳ τινὶ πάθει συνήθει. ἐκείνη δὲ ἡ πληγὴ, ξένη τίς ἦν, καὶ τῷ πάσχοντι μόνῳ σαφής. λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνατ' ἂν τὸ πικρὸν τῶν ἑλκῶν ἐκείνων, καὶ τὸ τῶν τραυμάτων ὀδυνηρόν. ἀλλ' ἀρκεῖ μόνον τὸν ἐργασάμενον εἰπόντα, καὶ τὸν ἀκόλαστον αὐτοῦ θυμὸν, ἐνδείξασθαι τῆς πληγῆς τὸ μέγεθος. καινὴ δὲ καὶ ἡ καθέδρα ἦν καὶ ξένη. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς πένης οὕτω ποτὲ καθεσθεὶς αἴθριος διὰ παντὸς τοῦ χρόνου, ὥσπερ ἐκεῖνος ὑπέμεινε. γυμνὸς ἱματίων, στέγης ἀπεστερημένος ἁπάσης, ἐπὶ τῆς κοπρίας καθήμενος, ἔχε τὶς γυναῖκα πονηρὰν πολλάκις, ἀλλ' οὐδὲ μία οὐδέποτε ἐγένετο οὕτω πονηρὰ, ὡς ἐν τοιαύτῃ συμφορᾷ ἐπιτίθεσθαι τῷ ἀνδρὶ, καὶ ξίφος ἀκονῆσαι κατὰ τῆς ἐκείνου ψυχῆς, καὶ συμβουλεῦσαι τοιαύτας συμβουλάς. καὶ τὸ τῶν φίλων δὲ ξένον, καὶ τὸ τῶν οἰκετῶν. καὶ τὸ τοῦ λιμοῦ χαλεπώτερον δὲ πάλιν, ὅτε παρακειμένης, οὐκ ἀπεγεύσατο τῆς τραπέζης. εἴπω καὶ τετάρτην ὑπερβολὴν, τὸν πλοῦτον, λέγω, τὸν ἔμπροσθεν καὶ τὴν εὐημερίαν. ὁ μὲν γὰρ ἐξ ἀρχῆς ἐν πενίᾳ ζήσας εὐκολώτερον ἂν ταύτην ἤνεγκεν, ἅτε μελετήσας τὸ πάθος. ὁ δὲ ἐξ εὐημερίας τοσαύτης κατενεχθεὶς, διὰ τὸ ἀγύμναστον καὶ ἀμελέτητον, χαλεπωτέραν ὑπομένει τὴν ἄσκησιν καὶ πικροτέραν τὴν ὀδύνην, καὶ μείζονα τὴν ταραχήν. εἴπω καὶ ἑτέραν ὑπερβολὴν, μάλιστα στεφανοῦσαν, καὶ ἀνακηρύττουσαν τὸν ἀθλητὴν ἐκεῖνον, καὶ δεικνύουσαν αὐτοῦ ὑψηλὴν, καὶ τῶν οὐρανῶν ἁπτομένην τὴν ψυχήν. τίς οὖν ἐστὶν αὕτη; ἡ ἀπὸ τοῦ χρόνου διαφορά. πρὸ γὰρ τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου γενόμενος, τοιαῦτα ἐφιλοσόφησεν, οὐ διδασκαλίας ἀπολαύσας, οὐ γράμμασιν ἐντυχὼν, οὐ βιβλίοις, οὐχ ἑτέρους τοιούτους θεασάμενος, οὐκ εἰς τὸν ἔμπροσθεν χρόνον ἀναδραμεῖν ἔχων, καὶ τοὺς κατορθωκότας ἐννοῆσαι. οὐδέπω γὰρ ἦν ἡ γραφὴ, ἡ ἱστορία τὰ γεγενημένα παραδιδοῦσα, ἀλλ' ἐν ἀτριβεῖ τῇ ὁδῷ, ἐν ἀπλώτῳ τῇ θαλάττῃ, ἐν ζόφῳ τοσούτῳ κακίας, μόνος καὶ πρῶτος ἐκεῖνος τότε ταύτης τῆς φιλοσοφίας ἔτεμε τὴν ὁδὸν, τῷ κεφαλαίῳ τῶν ἀγαθῶν μεθ' ὑπερβολῆς ἄκρος ἀποδειχθείς. μέγιστον γὰρ καὶ τὸ, τὰ ἐλάττονα μέρη τῆς ἀρετῆς κατορθοῦν, πολλῷ δὲ μεῖζον τὸ ἐν τῷ ἀκροτάτῳ πάντων ἀκρότατον εἶναι. ὅτι δὲ τὸ πάντων ἀκρότατον ὑπομονὴ, οὐδεὶς ἀντερεῖ. ταῦτα γοῦν καὶ αὐτὸς ὁ διάβολος εἰδὼς, ἔλεγε, δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει. οὐ μὴν δὲ ἀλλ' ἀποστείλας τὴν χεῖρά σου, ἅψαι τῶν

ὀστῶν αὐτοῦ, καὶ τῶν σαρκῶν αὐτοῦ. ὅθεν δῆλον, ὅτι πάντων ἀκρότατον τοῦτο κατόρθωμα, καὶ νεανικῆς τινὸς καὶ σιδηρᾶς δεόμενον ψυχῆς.

ἈΘΑΝΑΣ. Ἠγωνίζετο μὲν οὖν ὁ Ἰὼβ, καὶ μέγας ἦν ὁ πειρασμὸς, μείζων δὲ ἐφαίνετο ὁ ἀθλητὴς τοῦ πειρασμοῦ, καὶ πολὺς μὲν ἔῤῥεεν ὁ πειράζων, καὶ χαλεπὸς ἦν ὁ μαχόμενος, ἀνδρειότερος δὲ ἐφαίνετο ὁ πειραζόμενος, νικῶν τὰς ἐπιχειρήσεις καὶ προσβολὰς τοῦ πονηροῦ, τῷ μεγέθει τῆς διανοίας. γνώρισμα τῆς ἀνδρείας ἐστὶν ἡ ὑπομονή. ταύτῃ γὰρ ἕκαστος τῶν ἁγίων φέρων τὰ συμβαίνοντα ἐν τῷ βίῳ ἐπίπονα, καὶ λυπηρὰ, ἴσχυε κατὰ τοῦ διαβόλου, ἅπερ τὸ πνεῦμα θέλον ἡμᾶς ἀμφότερα κτᾶσθαι, προστάττει λέγων ἐν τῷ ψαλμῷ, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. ὁ γὰρ ὑπομένων ἀνδρεῖός ἐστι. καὶ ὁ ἀνδρεῖος ὑπομονητικὸς ἂν εἴη. διὸ καὶ ὁ μακάριος Ἰὼβ διὰ τοῦτο ὑπομένων ἐκραταιοῦτο, καὶ διὰ τοῦτο ἀνδρείως φέρειν τοὺς πόνους ὑπέμενε, καὶ τὴν γυναῖκα διωθεῖτο, ἐξαπατηθεῖσαν ὑπὸ τοῦ ὄφεως, καὶ φθαρεῖσαν τὰ νοήματα. ἐπειδὴ γὰρ ὅλως ἐστὶ μισητὴς ὁ τῆς κακίας ἀρετῆς, καὶ μόνον φαινόμενος ζητῶν τινα ἁρπάσει, καὶ καταπιεῖ, διὰ τοῦτο ὃ μέν ἐστιν αὐτὸς ὑποκρύπτει καὶ σκέπει. ὑποκρινόμενος δὲ τῇ φαντασίᾳ, τὴν πᾶσι ποθουμένην ἀλήθειαν, τὸν ἴδιον ἰὸν ἐμβάλλει τοῖς ἀκολουθήσασιν αὐτῷ. οὕτω καὶ τὴν Εὔαν ἠπάτησεν οὐ τὰ ἴδια λαλῶν, ἀλλ' ὑποκρινόμενος τὰ τοῦ Θεοῦ ῥήματα, καὶ τὴν διάνοιαν αὐτῆς παραποιῶν. οὕτω καὶ τὴν γυναῖκα τοῦ Ἰὼβ ὑπέβαλε, πείσας αὐτὴν ὑποκρίνεσθαι φιλανδρίαν, διδάξας δὲ βλασφημεῖν εἰς τὸν Θεόν. ὅτι τοὺς ἀνθρώπους ὁ δόλιος παίζει ταῖς φαντασίαις, ὑποκλέπτων καὶ σύρων ἕκαστον, εἰς τὸν ἴδιον τῆς κακίας βόθρον.

ΧΡΥΣΟΣΤ. Ἐγὼ δὲ οὐχ οὕτω θαυμάζω τὸν Ἰὼβ πρὸ τῆς παραινέσεως τῆς γυναικὸς, ὡς μετὰ τὴν ὀλεθρίαν συμβουλὴν ἐκείνην. καὶ μήτις παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον. πολλάκις γὰρ οὓς ἡ τῶν πραγμάτων φύσις οὐχ ὑπεσκέλισε, ῥῆμα καὶ παραίνεσις διεφθαρμένη κατέλυσεν. ὅπερ οὖν καὶ ὁ διάβολος συνειδὼς, μετὰ τὴν ἀπὸ τῆς πείρας πληγὴν, καὶ τὴν διὰ τῶν ῥημάτων ἐπάγει προσβολὴν, ὅπερ ἐποίησε καὶ ἐπὶ τοῦ Δαβίδ. Ἐπειδὴ γὰρ οἶδεν αὐτὸν γενναίως ἐνεγκόντα τὴν ἐπανάστασιν τοῦ παιδὸς, καὶ τὴν παράνομον ἐκείνην τυραννίδα, βουλόμενος ὑποσκελίσαι τὴν διάνοιαν, καὶ πεῖσαι εἰς ὀργὴν ἐκπεσεῖν, καθῆκεν ἐκεῖνον τὸν Σεμεῒ, ῥήμασι πικροῖς παρασκευάσας δακεῖν αὐτοῦ τὴν ψυχὴν, τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ ἐκακούργησεν. ὡς γὰρ οἶδεν ἐκεῖνον καταγελάσαντα αὐτοῦ τῶν βελῶν, καὶ ὥσπερ ἀδαμάντινον πύργον πρὸς πάντα στάντα γενναίως, καθώπλισε τὴν γυναῖκα, ἵνα ἀνύποπτος ἡ συμβουλὴ γένηται, καὶ ἀπέκρυψε τὸ δηλητήριον τοῖς ἐκείνης ῥήμασι, καὶ τὴν συμφορὰν ἐτραγῴδησε. τί οὖν ὁ γενναῖος; ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας· εἰ γὰρ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; εἰ γὰρ μὴ δεσπότης ἦν, φησὶ, μηδὲ τοσοῦτον ἡμῖν ὑπερέχων, ἀλλὰ φίλος τὶς ὁμότιμος, ποίαν ἔχομεν ἀπολογίαν, τοσαῦτα εὐεργετηθέντες, καὶ τὰ ἐναντία μὴ φέροντες; εἶδες ἄνδρα φιλόθεον; καὶ πῶς οὐ μεγαλοφρονεῖ, οὐ-

δὲ ἐναβρύνεται, ἐπὶ τῷ γενναίως ἐνεγκεῖν τὰς ὑπὲρ φύσιν ἐκείνας πληγὰς, ὅτι σοφίας εἶναι νομίζει καὶ μεγαλοψυχίας, τοσαύτην ὑπομονὴν, ἀλλ' ὥσπερ ἀναγκαῖον ὄφλημα ἐκτιννὺς, καὶ οὐδὲν ἀπεικὸς παθὼν, οὕτως ἐκ περιουσίας τὸ γυναῖον ἐπεστόμισεν.

ὈΛΥΜΠ. Ὁρᾷς διδασκάλου καὶ ἐν τοῖς πάθεσι γνώμην, καὶ πρόσοψιν. Ἐπειδὴ γὰρ τὴν γυναῖκα τοῖς θεοσεβέσιν παιδεύσας νόμοις, τὰ παρ' ἐλπίδα ἤκουσε, καταπληκτικῷ φοβεῖ τῷ βλέμματι, εἶτα καὶ λόγοις ἐντρίβει. ταῦτα γὰρ, φησὶν, ἄφρονος ἦν εἰπεῖν γυναικός. ἢ γὰρ οὐκ ἀφροσύνη, τὸ νομίζειν ὁμοῦ τῇ βλασφημίᾳ καὶ τὴν τελευτὴν ἀκολουθεῖν, ἢ ὅλως τολμᾷν βλάσφημόν τι ῥῆμα προσφέρειν κατὰ Θεοῦ; τούτοις παιδαγωγήσας τῷ τε λόγῳ καὶ τῷ βλέμματι, νουθετεῖ φέρειν εὐχαρίστως τῶν δυσχερῶν τὴν ἐπαγωγήν. Πολλοὶ μὲν γὰρ, φησὶν, οὐδὲ εὐθηνίας τινὸς ἐπειράθησαν, ἡμεῖς δὲ ταύτης ἀπολελαυκότες ἐκ Θεοῦ, τί πρὸς τἀναντία δυσχεραίνομεν; τί δὲ μὴ μετὰ πολλῆς τῆς εὐχαριστίας, ὡς παρὰ γνησίου δεσπότου, καὶ ταῦτα δεχόμεθα; ἡ μὲν οὖν ταῦτα ἀκούσασα ἐφησύχασε, καὶ τὴν νουθεσίαν ἐδέξατο, μηδὲν ἀντιφθεγξαμένη, διόπερ οἶμαι καὶ τῶν ὕστερον ἀγαθῶν κοινωνὸν αὐτὴν γεγενῆσθαι τῷ Ἰώβ. ὁ δὲ γενναῖος ἀγωνιστὴς τριπλᾶς τῷ διαβόλῳ δέδωκε τὰς πληγὰς, αὐτός τε μὴ καμφθεὶς, καὶ τὴν ὑπ' αὐτοῦ παρατραπεῖσαν γυναῖκα ἐπανορθώσας, καὶ τὰς εὐχαριστηρίους, καὶ παντὸς ἀξίας ἐπαίνου, καὶ ἀλήστου μνήμης φωνὰς, ἀναφθεγξάμενος.

ΚΕΙΜ. Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν αὐτοῦ ἐναντίον τοῦ Θεοῦ.

ΧΡΥΣΟΣΤ. Οὐκ ἔστι, φησὶν, εἰπεῖν, ὅτι πρὸς μὲν τὴν γυναῖκα ταῦτα ἔλεγε, τὰ δὲ ἀπόρρητα αὐτοῦ τῆς διανοίας ἔγεμε θυμοῦ καὶ ἀποδυσπετήσεως, ἀλλ' οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ ἐφθέγξατό τι. ὁ Ἑβραῖος αὐτὸ οὐκ ἔχει, ἀρκούντως τὴν εὔνοιαν προεκφράσαι.

ΠΟΛΥΧΡ. Οὐ μόνον γὰρ ἤνεγκε τὰ πρότερα γενναίως, ἀλλὰ καὶ πρὸς τὴν πληγὴν ἀνδρεῖος ὤφθη, διὰ τῆς ἀποκρίσεως, τὴν εἰς Θεὸν ἀναδειξάμενος εὐσέβειαν, καὶ οὐ μόνον κατὰ διάθεσιν οὐκ εἶπέ τι κατὰ τοῦ Θεοῦ, ἀλλ' οὐδὲ ἐξ ἐπιπολῆς τοῖς χείλεσι. Πάλιν δὲ ἡ ἄνωθεν μαρτυρία στεφανοῖ τὸν δίκαιον, καὶ ἐν τῷ πλήθει τῶν τοσούτων κακῶν, μηδὲ μέχρι ψιλοῦ ῥήματος ἁμαρτεῖν αὐτὸν βεβαιωσαμένη. καὶ τοῦτο γέγονεν αἴτιον, τὸ βλέπειν ἀεὶ πρὸς Θεὸν, ἐναντίον τε αὐτοῦ δοκεῖν ἑστάναι. Μηδαμῶς οὖν συλλαβαῖς προσέχοντες τραχυτέραις κατὰ τὸ πρῶτον φαινόμενον, τὴν γλῶτταν κατὰ τῆς τοῦ δικαίου κινήσωμεν ἀρετῆς. Παραχωρήσωμεν δὲ μᾶλλον τῇ θείᾳ κρίσει, κατὰ πάντων φέρειν τὰ νικητήρια, ἀκούοντες παρὰ Θεοῦ κατωρθωκέναι τὸ ἄμεμπτον τοῖς χείλεσι, καὶ τὸ γενναῖον τοῖς πάθεσιν. εἰ γὰρ ὁ Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων κατὰ τὴν θείαν τοῦ Παύλου φωνήν; ἐπεὶ καὶ διὰ τοῦτο πάλιν ἡμᾶς ἡ γραφὴ ἀσφαλίζεται, καὶ τῇ ἐν τοῖς πειρασμοῖς τοῦ ἀνδρὸς μεγαλοψυχίᾳ προσμαρτυρεῖ,

ὡς

ὡς ἂν ἐπαξίως τῆς τοιαύτης ψυχῆς, καὶ τὰ ἐν παντὶ τῷ βιβλίῳ τοῦ ἀνδρὸς νοήσωμεν ῥήματα. Δειχθείσης οὖν αὐτοῦ πανταχόθεν τῆς μεγαλοψυχίας, καὶ ὡς παρ' ὅλους τοὺς αἰῶνας ἐνίκησε, μηδὲν ταπεινὸν ἐννοήσωμεν περὶ αὐτοῦ, ἐν τῇ τῶν ἐφεξῆς ῥημάτων προφορᾷ.

ΚΕΙ'Μ. Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ, παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν.

Ο'ΛΥΜΠ. Ἐὰν τὶς ζητῇ, διατὶ μετὰ τοσοῦτον χρόνον οἱ φίλοι παραγεγόνασιν, ἐννοείτω, πρῶτον μὲν, ὡς διαφέρους ᾤκουν χώρας, καὶ μετὰ πολὺ μὲν ἴσως ἤκουσαν. τὸ δὲ παράδοξον τῆς συμφορᾶς καὶ ἄπιστον ἐδόκει, εἰ ἐπὶ κοπρίας ἀνεπικούρητος ὁ Ἰὼβ κάθηται· καὶ περιέμενον διὰ πλειόνων πιστώσασθαι τὴν ἀκοὴν, καὶ ἐκπέμψαι, καὶ ἰδεῖν εἰ ἀληθῆ τὰ λεγόμενα. ἐν τούτοις οὖν ὁ χρόνος ἐτρίβετο. πρὸς δὲ τούτοις, ὅτε τὸ ἀληθὲς ἔγνωσαν, βασιλεῖς ὄντες, καὶ ἐκδημεῖν μέλλοντες, ἀνάγκην εἶχον πρότερον εὖ διαθεῖναι τὰ κατὰ τὸν οἶκον, καὶ ἐπιστῆσαι τοῖς ἀρχομένοις τοὺς ἀνθ' ἑαυτῶν. Ταῦτα πάντα αὐτοὺς ἀπησχόλει, καὶ ἐνεβράδυνε. καὶ εἰ μὴ σφόδρα γε ἀγαπητικοί τινες ἦσαν, καὶ δίκαιοι, οὐκ ἂν τὰς οἰκείας καταλιπόντες χώρας, καὶ βασιλείας, ἀφικνοῦντο πρὸς τὴν ἐπίσκεψιν, ἀλλὰ δι' ἑτέρων τὴν χρείαν ἐπλήρουν. ἔστι δὲ ἐννοεῖν, ὡς καὶ οἰκονομία τὶς ἦν θεία, τῆς ἀφίξεως ἡ ἀναβολή. Ἐπειδὴ γὰρ ὁμοῦ τῇ τῶν φίλων διαλέξει, καὶ τὸ πᾶν τοῦ ἀγῶνος ἐλύθη, τοῦ Θεοῦ χρηματίσαντος, καὶ τὸν δίκαιον ἀνακτησαμένου, καὶ στεφανώσαντος, οἰκονομία τὶς γέγονε θεία ἐμβραδῦναι τοὺς φίλους, ἵνα παραταθῇ τὰ τοῦ νοσήματος, καὶ μειζόνως ἀθλήσας ὁ δίκαιος, δικαιότερος ἀναῤῥηθῇ παρὰ τοῦ Θεοῦ.

ΠΟΛΥΧΡ. Τὸ οὖν, ἀκούσαντες, μηνύει, ὡς ἐποίησέ τινα χρόνον καθ' ἑαυτὸν ὤν, μέχρις οὗ διαγγελόμενον τὸ κακὸν, συνελθεῖν παρεσκεύαζε τοὺς ἀκούοντας.

ΣΕΒΗ'ΡΟΥ. Καὶ μία μέν τις ὑπολέλειπται τῷ Ἰὼβ παραμυθία, ἡ τῶν φίλων παρουσία. ἀλλὰ καὶ ταύτην αὐτῷ πρὸς πειρασμὸν ἐπέτρεψεν ὁ διάβολος.

ΧΡΥΣΟΣΤ. Παραγίνονται μὲν γὰρ οἱ τρεῖς φίλοι, ὥστε παραμυθήσασθαι, τὸ δὲ ἐναντίον ποιοῦσι τῆς παραμυθίας. Φιλικὴ μὲν γὰρ ἡ παρουσία, οὐ φιλικὴ δὲ ἡ παραίνεσις. καὶ πρὸ τῶν ῥημάτων δὲ αὐτῶν, ἱκανὴ μόνη ἡ ὄψις τὸν δίκαιον καταβαλεῖν. τὰ γὰρ ἡμέτερα δεινὰ, μάλιστα ἐν τοῖς τῶν ἄλλων ἀγαθοῖς ἀκριβέστερον καθορῶμεν. Ἐννόησον γὰρ ὅσον ἦν, ἑαυτὸν ἐν τούτοις ὁρᾶν, καὶ ἐκείνους τοὺς συνήθεις, καὶ γνωρίμους, ἐπὶ τῆς προτέρας εὐπραγίας μένοντας. καὶ τὸ δὲ δεινὸν, τὸ πανταχοῦ περιενεχθῆναι τὴν συμφοράν. εἰ γὰρ οὗτοι, τοσοῦτον ἀπέχοντες, ἤκουσαν, πολλῷ μᾶλλον οἱ πλησίον ὄντες. Μάλιστα δὲ αὐτὸν ἐλύπει, οὐ τὸ μέγεθος τῶν δεινῶν, ἀλλὰ τὸ δοκεῖν, ὡς ἀσεβῆ καὶ παράνομον πάσχειν, ὡς ἐχθρὸν τοῦ Θεοῦ καὶ πολέμιον, ὡς ἐν ὑποκρίσει τὸν ἔμπροσθεν ζήσαντα χρόνον. οὐκ ἔμελεν αὐτῷ τοῦ σώματος διαφθειρομένου, ἀλλὰ τῆς δόξης καταβαλλομένης· οὐχ ὅτι φιλότιμος ἦν, ἢ πρὸς τὴν τῶν πολ-

λῶν ἔξη δόξαν. ἀλλ' ὅτι πολλὰς ἐπὶ τούτοις σκανδαλιζομένους ἑώρα. τίθησι δὲ ὁ συγγραφεὺς καὶ τὰ τῶν φίλων ὀνόματα, λέγων.

ΚΕΙ'Μ. Ε'λιφὰζ ὁ Θαιμανῶν Βασιλεὺς, Βαλδὰδ ὁ Σαυχέων Τύραννος, καὶ Σωφὰρ ὁ Μιναίων Βασιλεύς.

Ο'ΛΥΜΠ. Ε'στι δὲ ἡ μὲν Θαιμὰν, Πόλις τῆς Ιουδαίας περὶ τὸ Σινά. ἡ δὲ Σαυχὴ, Πόλις Μωαβιτῶν, ὧν Βασιλεὺς ἦν Βαλδάδ. τὸ γὰρ Τύραννος ἐνταῦθα, ἀντὶ, τοῦ, βασιλεὺς κεῖται. Μιναῖοι δὲ οἱ Α'μμανῖται, ἢ ὡς ἐν δευτέρῳ τῶν παραλειπομένων εὑρίσκομεν, ἕτεροι παρὰ τοὺς Α'μμανίτας, ἀνέστησαν γὰρ, φησὶν, υἱοὶ Α'μμὼν καὶ Μωὰβ ἐπὶ τοὺς κατοικοῦντας ὄρος Σηεὶρ, ἐξολοθρεῦσαι καὶ ἐκτρίψαι αὐτούς· καὶ ὡς συνετέλεσαν τούτους, ἀνέστησαν εἰς ἀλλήλους. Ε'πίσκεψαι τοίνυν, εἰ ἄλλοι εἰσὶν οἱ Μιναῖοι παρὰ τοὺς Α'μμανίτας, οἱ καὶ τὸ Σηεὶρ ὄρος οἰκοῦντες. Ε'ρμηνεύεται δὲ Ε'λιφὰζ, Θεός με διέσπειρεν, ἢ, Θεοῦ μου φαυλισμός. Θαιμὰν δὲ, ἔκλειψις αὐτῶν. Βαλδὰδ παλαίωσις, ἢ ἐπίδοξος. Σαυχαίων, ἀδολεσχία αὐτῶν. Σωφὰρ, σκοπὸς, ἢ φαυλισμός. Εὑρίσκομεν δὲ ἐν τῇ γενέσει, τὸν Σωφὰρ υἱὸν ὄντα τοῦ Ε'λιφὰζ, τοῦ υἱοῦ Η'σαῦ ἐκ τῆς Α'δάς· Ο' δὲ Ε'λιφὰζ υἱὸς τοῦ Θαιμὰν, ἀφ' οὗ ἡ χώρα καὶ κώμη Θαιμὰν, ἀπέχουσα πετρῶν δεκαπέντε σημείοις. Φαίνονται οὖν οἱ φίλοι οὗτοι, καὶ τῇ τοῦ σώματος οἰκειότητι παῤῥησίαν ἔχοντες. πρὸς γὰρ τῷ τέλει τῆς Ι'στορίας, ἀκούομεν τὸν Ε'λιζάφ, ἐκ τῶν Η'σαῦ υἱῶν εἶναι, ἐξ ὧν καὶ ὁ θαυμαστὸς οὗτος ἕλκει τὴν γενεάν. Ο'θεν καὶ ὡς ἑτοίμως, διὰ τὴν οἰκειότητα πείσοντες, φιλοσοφίας πολέμιοι πέμπονται.

ΚΕΙ'Μ. Καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν, τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν.

ΤΟΥ' ΑΥ'ΤΟΥ'. Σύμμαχος οὕτως ἐκδέδωκε. Συνετάξαντο γὰρ ὁμοῦ ἐλθόντες, συμπαθῆσαι αὐτῷ, καὶ παραμυθήσασθαι αὐτόν. Ο'ρα δὲ ἐντεῦθεν ὡς καὶ ἕτερος παρῆλθε χρόνος, ἕως ὅτε πρὸς ἀλλήλους διαπεμψάμενοι, τὴν ἐπὶ τὸ αὐτὸ σύνοδόν τε καὶ ἄφιξιν ἐποιήσαντο. τὸ δὲ, ἐπισκέψασθαι, ἀντὶ τοῦ συμπαθῆσαι εἴρηται. Φαίνονται γὰρ ἐπὶ πολὺ προσμείναντες αὐτῷ, οὐκ αὐτὸ τοῦτο πεποιηκότες, εἰ μόνον ἐπισκέψασθαι προῃροῦντο, ἐπεὶ ψιλῆς εὕνεκεν θέας πολλοὶ καὶ ἄλλοι παρεγένοντο.

ΚΕΙ'Μ. Ι'δόντες δὲ αὐτὸν πόῤῥωθεν, οὐκ ἐπέγνωσαν.

Ο'ΛΥΜΠ. Τὸ τοῦ πάθους ἐπαχθὲς κἀντεῦθεν Νόει. οὐκ ἐπέγνωσαν δὲ, τῆς λώβης τοὺς παλαιοὺς αὐτοῦ χαρακτῆρας ἐξαφανισάσης. Η'λλοιώθησαν γὰρ ὡς εἰκὸς, τῶν ἑλκῶν εἰς ἐσχάτην δυσειδείαν μεταβαλλόντων τὴν μορφήν.

ΚΕΙ'Μ. Καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν.

ΠΟΛΥΧΡ. Τοῦτο τῆς φιλίας ἀπόδειξιν ἔχει. τὴν γὰρ τοῦ φίλου συμφορὰν ἰδόντες, καὶ τὴν ἀγχίστροφον

τῶν πραγμάτων μεταβολὴν ἐνθυμηθεύτες, ἔκλαυσαν μετ' οἰμωγῆς, ἔῤῥηξαντε τὴν σολὴν, ὡς νεκρὸν πενθοῦντες, τὸν τῶν τεθνηκότων ἀπεῤῥιμμένον ἐλεεινότερον. Τινὰ δὲ βιβλία ἔχουσι, καὶ ἀναβλέψαντες εἰς οὐρανὸν, τὸν Θεὸν ἐξιλεούμενοι, καὶ μονονουχὶ λέγοντες, ἵλεως ἔσο δέσποτα, καὶ μὴ τοιούτοις ἡμᾶς περιβάλῃς κακοῖς. ὃ δὴ καὶ ποιεῖν εἰώθαμεν. Θαυμάζοντες ὁμοῦ καὶ φοβούμενοι, ὅταν ὁρῶμεν τινὰς ταῖς ἀδοκήτοις περιπεπτωκότας συμφοραῖς.

ΟʼΛΥΜΠ. Τάχα δὲ, τὸ, εἰς τὸν οὐρανὸν ἀναβλέψαι, τοιαύτην ἔχει τὴν ἔννοιαν, ὅτι ὅπως ταῦτα γέγονε, σὺ μόνος ἐπίσασαι δέσποτα. Ἡμᾶς γὰρ ἀμηχανία κατέχει, οὐ δυναμένους ἐφικέσθαι τῆς αἰτίας τῶν γινομένων.

ΚΕΙΜ. Καὶ καταπασάμενοι γῆν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ νύκτας.

ΠΟΛΥΧΡ. Τοῦτο ἐμφαντικώτερον ἔχει ὁ ἑβραῖος, φησὶ γὰρ, καὶ ἐκάθισαν παρ' αὐτὸν ἐπὶ τῆς γῆς, οὐ μόνον τὴν καθέδραν λέγων, ἀλλὰ καὶ τὸν τρόπον μηνύων· τουτέσιν, οὐ μετ' ἀξίας ἐκαθέζοντο, ἀλλὰ συμπάσχοντες, καὶ τὸ σχῆμα τὸ πενθικὸν ἐνδεικνύμενοι.

ΟΛΥΜΠ. Οὐκ εἶπε δὲ ἡ γραφὴ ὅτι παρεκάθηντο ἑπτὰ ἡμέρας πρωΐθεν ἕως ἑσπέρας, οὐδὲ ἑπτὰ νύκτας ἀφ' ἑσπέρας μέχει πρωΐας. Δῆλον γὰρ ὅτι τὸ πλεῖον τῆς ἡμέρας παρακαθεζόμενοι ὑπανεχώρουν τὰς ἀναγκαίας ἐκπληρώσοντες χρείας, καὶ πάλιν ἐπανήκοντες μέχει πολὺ τῆς νυκτὸς παρεκαθέζοντο, καὶ αὖθις ἀπιόντες, πάλιν ὤρθριζον πρὸς αὐτόν. Ὅδη τῶν γνησιωτάτων, καὶ συμπαθεςάτων φίλων ἴδιον. τῇ δὲ κοινῇ συνηθείᾳ χρωμένη ἡ γραφὴ, οὕτως ἀπολύτως εἶπε, παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ νύκτας. Ἐπεὶ καὶ ὅτε λέγει τὸν Ἰακὼβ δεκατέσσαρα ἔτη δουλεῦσαι, καὶ συγκαίεσθαι τῷ καύσωνι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἆρα ὑπὸ σέγην οὐκ εἰσῄει ποτέ; ἆρα οὐδὲ μιᾶς ἀναπαύσεως ἔτυχεν, ἐν ὅλῳ τῷ χρόνῳ; ταῦτα μὲν οὖν καὶ λεπτολογεῖν, φλύαρον. ὡς γὰρ ἔφην, ἡ γραφὴ κοινῇ συνηθείᾳ χρῆται. Ἐπειδὴ δέ τινες, κωμῳδοῦντες τὴν γραφὴν, καὶ ἐντεῦθεν αὐτὴν ὡς ψευδῆ διασύρουσιν· οὐ γὰρ αὖ φησιν, ἄσιτοι διετέλουν, καὶ ἄϋπνοι ἐπὶ τοσαύταις ἡμέραις, ἠναγκάσθημεν αὐτῶν συναπαχθῆναι τῇ ἀκαίρῳ λογολεσχίᾳ.

ΚΕΙΜ. Καὶ οὐδεὶς αὐτῶν ἐλάλησε.

ΧΡΥΣΟΣΤ. Ψυχὴ γὰρ ἅπαξ ὑπὸ ἀθυμίας βληθεῖσα, πρὸς πᾶσαν ἀκρόασιν ἐσὶν ἀνεπιτήδειος. διὰ τοῦτο καὶ οὗτοι τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας καθήμενον καὶ ἡλκωμένον, διέῤῥηξαν τὰ ἱμάτια, καὶ μέγα ἀνῴμωξαν, καὶ σιγῇ παρεκάθηντο. Δηλοῦντες ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις, ὡς ἡ συγχία καὶ σιγή. καὶ γὰρ ἦν μεῖζον τῆς ἀπὸ τοῦ λόγου παραμυθίας τὸ πάθος. Ἦλθον μὲν γὰρ παρακαλέσοντες, οὐκ ἀλείσκοντες δὲ εἰκόνα ἐξ ἧς παραμυθήσονται, ἐσιώπων, καὶ τοῦτο δὲ συνετῶς ἐποίησαν. τοῖς πράγμασιν αὐτὸν παρακαλοῦντες, τῇ προσεδρείᾳ, τῷ

διαῤῥῆξαι τὰ ἱμάτια. ἀλλὰ ταῦτα μὲν πάντα καλὰ, καὶ φίλων ἄξια, καὶ συμπαθούντων τεκμήρια, τὰ μετὰ ταῦτα δὲ οὐκ ἔτι.

ΟΛΥΜΠ. Τέως μέν τοι προσκαρτεροῦντες, τάς τε ἡμέρας καὶ νύκτας, καθ' ὃν ἔφην, τρόπον, καὶ ὁ τῆς ἀγάπης ἀπήτει δεσμὸς, οὐδένα λόγον εὕρισκον παραμυθίας, ὑπερνικώσης τῆς συμφορᾶς τὴν ἐκ τῶν λόγων παραψυχήν.

ΠΟΛΥΧΡ. Οὐδεὶς γάρ φησιν ἐλάλησε πρὸς αὐτὸν λόγον. Εὔδηλον οὖν ὡς μείζονα τῆς προσδοκίας θεασάμενοι, σιγῇ ἐκάθηντο διὰ τὸ τῆς πληγῆς ἐπαχθὲς, οὐκ ἔχοντες εἰκόνα, ἀφ' ἧς τὴν παράκλησιν προσάγειν ἠδύναντο. Ἐπάγει γοῦν τὴν αἰτίαν.

ΚΕΙΜ. Ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν, καὶ μεγάλην σφόδρα.

ΤΟΥ ΑΥΤΟΥ. Λογιζόμενοι γὰρ ὡς καὶ ψιλὴ λαλιὰ φορτικὴ καθέστηκε τοῖς τοσούτοις περιεχομένοις πάθεσιν, ὃ ἐπὶ τῶν ἀῤῥώστων μάλιστα συμβαίνειν φιλεῖ, ᾠήθησαν δεῖν ἡσυχίαν ἄγειν, μόνον δακρύων πηγὰς ἀφιέντες, καὶ ἐλεεινῶς ἀνακαλούμενοι, καθάπερ τινὰ τεθνεῶτα, καὶ τὰς ἐσθῆτας περιῤῥηγνῦντες, ὡς ἐπὶ νεκρῷ.



ΠΡΟ-



ΠΡΟΘΕΩΡΊΑ

ΚΕΦΑΛΑΊΟΥ ΤΡΊΤΟΥ.

ὈΛΥΜΠΙΟΔΏΡΟΥ.

ΑΛΛ' ἐν τούτοις μὲν τὸ δεύτερον λύσαι κεφάλαιον. τοῦ τρίτου δὲ προθεωρίαν ποιούμενοι φαμέν, ὡς ἀλγεῖ μὲν ὁ δίκαιος, καὶ οὐκ ἄν τις ἀρνήσαιτο. οὐ γὰρ τῶν ἀναλγήτων ἡ ἀρετή, ἀλλὰ τῶν ἐν τοῖς πάθεσι φιλοσοφούντων. ὀδυνᾶται κατὰ τὸ φαινόμενον, ὑπὸ τῆς ἐν τῇ σαρκὶ λύπης πληγῆς δριμυτάτως κεντούμενος. Κατὰ δὲ τὸ νοούμενον, οἷα δίκαιος καὶ φιλόθεος ἀνὴρ ὁρῶν τινὰς σκανδαλιζομένους ἐπὶ τοῖς αὐτοῦ πάθεσιν, ὡς τῆς τοῦ Θεοῦ δόξης ἐπ' αὐτῷ διασυρομένης, εἰ ὁ δίκαιος τοιαῦτα ὑπομένει. καὶ γὰρ ὅταν λέγῃ, διατί ἔθου με κατεντευκτήν σου; οὐκ αὐτὸς κατὰ Θεοῦ ἐνετύγχανε, μὴ γένοιτο. Τίνι γὰρ εἶχεν ἐντυγχάνειν; ἀλλὰ τοῦτο ἐστιν, ὅ φησιν, ἵνα τί δι' ἐμέ, δέσποτα, τὸ ὄνομά σου βλασφημεῖται; ἐθορυβεῖτο οὐδὲν ἧττον, καὶ ἠλιγγία σφοδρῶς, τῇ τοῦ Θεοῦ τετρωμένος ἀγάπῃ, μήπως τελείαν ἐγκατάλειψιν ὑπέστη παρὰ Θεοῦ. οὐδὲν γὰρ οὕτω τιμωρεῖται ψυχὴν φιλόθεον, ὡς τὸ ὑποπτεύειν καταλελεῖφθαι παρὰ Θεοῦ. καὶ μυριάκις ᾑρεῖτο τὸν θάνατον, ἢ μετὰ ἀλγηδόνων καὶ τοιαύτης ὑποψίας τοῖς ζῶσιν ἐγκαταλέγεσθαι. ἐπὶ μὲν οὖν τῇ τῶν κτημάτων ἀπωλείᾳ, καὶ τῇ τῶν παίδων ἀθρόᾳ τελευτῇ, οἵας ἀφῆκε χαριστηρίους φωνὰς ἠκούσαμεν· καὶ ὅπως τὴν γυναῖκα ἐξεπαίδευσεν, ἀπρεπές τι περὶ τοῦ δεσπότου λογισαμένην. καὶ ποῖα μετὰ πεῖραν, καὶ ἐξουδένωσιν, καὶ τὸ δριμὺ πάθος ἐφθέγξατο, καὶ ὡς οὐδὲν αὐτὸν τῶν ἀνθρωπίνων συμπτωμάτων διεθορύβησεν, ὡς δὲ οἱ φίλοι παρεγένοντο, ἄνδρες δίκαιοι καὶ συμπαθεῖς, εὔκαιρον ᾠήθη, θεωρῶν αὐτῶν τὴν ὑπομονὴν καὶ τὴν ἀγάπην, ἐπ' αὐτῶν εἰπεῖν καὶ δημοσιεῦσαι, τὰς κατὰ ψυχὴν ἀλγηδόνας. καὶ φθέγγεται μὲν καθ' ἱστορίαν ἐπικίνδυνα. ἓν γὰρ ἦν τοῦ διαβόλου τὸ σπούδασμα, τὸ παρασκευάσαι τὸν δίκαιον βλασφημῆσαι Θεόν· ὁ δὲ οὐδαμῶς φαίνεται τοῦτο διαπραξάμενος, ἀλλὰ μᾶλλον εὐφημήσας, καὶ χαριστηρίους ἀναπέμψας φωνάς. Καταρᾶται δὲ τὴν ἡμέραν τῆς γεννήσεως, καὶ τὸν θάνατον ἐπιποθεῖ, διὰ τὰς ἀνωτέρῳ λεχθείσας αἰτίας, πρὸς δὲ διάνοιαν μυστήριον λαλεῖ. καὶ περὶ τῶν ἤδη προγεγονότων φιλοσοφεῖ, καὶ πληροφορεῖται τὸ μέλλον. Τοιαῦται γὰρ αἱ τῶν Ἁγίων προφητῶν ἀποῤῥήσεις. ἐπὶ δὲ αὐτῶν τῶν λέξεων γενόμενοι, σαφηνίσωμεν τὴν ἔννοιαν, αὐτοῦ ὁδηγοῦντος ἡμᾶς πρὸς τὴν ἑρμηνείαν, τοῦ καὶ τὸν Ἅγιον Ἰὼβ πρὸς τοὺς ἀγῶνας ἐνισχύσαντος·

KEIM-

ΚΕΙΜ. Μετὰ τοῦτο ἤνοιξεν Ἰώβ τὸ στόμα αὐτοῦ.

ΟΛΥΜΠ. Ὅτι δίκαιος ἀνοίγει τὸ στόμα αὐτοῦ. οὐχ ἁπλῶς οὕτωσὶ προσήκει προσέχειν τοῖς λεγομένοις, ἀλλὰ τὴν ἐκ τῶν λόγων ἀναζητεῖν ὠφέλειαν. μεστὰ γὰρ ἀεὶ ὠφελείας τῶν ἁγίων τὰ ῥήματα. καὶ ἀνοίγων τὸ στόμα δίκαιος, κεκρυμμένους δημοσιεύει θησαυρούς. διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Παῦλος ἐπιστέλλων φησὶ, τὸ στόμα μου ἀνέῳγε πρὸς ὑμᾶς Κορίνθιοι. καὶ περὶ τοῦ Κυρίου γέγραπται, ὅτι ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκε. καὶ ἁπλῶς, ἐκεῖνος μαρτυρεῖται στόμα ἀνοίγειν, ὁ σιωπῆς μέτρα πρότερον διδαχθείς. οὐκοῦν καὶ Ἰώβ ἀνοίγει τὸ στόμα μετὰ τοῦτο, τουτέστι, μετὰ τὸ μέγα τρόπαιον, μετὰ ἐκεῖνα τὰ πάθη, οὐκ ἀβασανίστως φθέγγεται, περιαλγῶν τῷ σώματι, τῆς γλώσσης φθανούσης τὸ φρονήσεως εὔθεσμον, ἀλλὰ σωφρονεῖν καὶ ταῖς φωναῖς ἀποδείκνυται, δηλοῖ δὲ καὶ τὴν γαλήνην τῆς ψυχῆς, καὶ τῶν ῥημάτων τὸ ἀπρεπὲς ἡ τοῦ ἀνοῖξαι τὸ στόμα αὐτοῦ μαρτυρία.

ΠΟΛΥΧ. καὶ ΧΡΥΣΟΣΤ. Ἀκριβῶς δὲ κεῖται, τὸ, μετὰ τοῦτο. πολλοὺς μὲν γὰρ ὁρῶν, ὡς αὐτὸν ἀφικνουμένους, καὶ πάλιν ἀπιόντας, ἔμενε καρτερῶν ἐν τοῖς πάθεσιν, ἐπεὶ δὲ τοὺς περὶ Ἐλιφὰζ ἐθεάσατο γνησιότητι παραγενομένους, ἐπὶ πολύ τε προσμένοντες· οἳ καὶ ὅτι δεινὰ τὰ συμβεβηκότα διὰ τῆς σιγῆς ἐμαρτύρουν. οὐ γὰρ ἐτόλμησαν παραμυθήσασθαι, εἰ μὴ πρότερον αὐτὸς ἀρχὴν ἔδωκε. τότε δὴ φορτικὸς αὐτοῖς ἔσεσθαι ἡγησάμενος, διὰ τὴν σιωπὴν, λύει ταύτην. ἴδωμεν οὖν, τί ἀνοίξας τὸ στόμα φθέγγεται.

ΚΕΙΜ. Καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ λέγων, ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη, ἐν ᾗ εἶπαν ἰδοὺ ἄρσεν.

ΟΛΥΜΠ. Ὅτι μὲν ἀθυμοῦσιν ἐν ταῖς περιστάσεσιν οἱ δίκαιοι δῆλον. Ἱερεμίου μὲν ἀκούσῃ λέγοντος, ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην. Μωϋσέως δὲ, ἀπόκτεινόν με εἰ οὕτω μέλλεις μοι ποιεῖν. οὐκ ὀλιγωροῦσι δὲ, οὐδὲ καταπίπτουσιν, οὐδὲ φθέγγονταί τι παλίμφημον κατὰ Θεοῦ· ἀλλ᾽ ἢ καθ᾽ ἑαυτῶν, ἢ κατὰ πραγμάτων οὐδὲν βλαπτομένων, τὰ τῆς ἀθυμίας ἐκφέρουσι ῥήματα. καὶ γοῦν ὁ μέγας Δαβὶδ τὰ ὄρη τὰ γελβουὲ καταρᾶται, διὰ τὸ ἐν αὐτοῖς πεσεῖν τὸν ποθούμενον Ἰωνάθαν, μετὰ τοῦ πατρός. ἠθύμει τοίνυν καὶ Ἰώβ, διὰ τὰς εἰρημένας αἰτίας. τολμηρὸν δὲ εἶναι κρίνας· τὸ κατὰ Θεοῦ ἄδικόν τι λογίζεσθαι, ἐκφέρει ἀθυμίας ῥήματα, οὐχὶ πονηρίας, καὶ βλασφημίας. καὶ καταρᾶται πρᾶγμα οὐχ ὑφεστηκὸς, ἀλλ᾽ ἡμερονύκτιον παρελθὸν, καὶ οὐκ ὂν, ἵνα σημάνῃ τὴν ὑπερβολὴν τῆς ὀδύνης. ὡς μὲν γὰρ ἀσεβὴς περὶ Θεοῦ φθέγξασθαι οὐκ ἐτόλμα, κρείττονα αὐτῶν τῶν ἀνθρωπίνων λογισμῶν τὴν αὐτοῦ οἰκονομίαν λογιζόμενος. καθ᾽ ἑαυτοῦ δὲ ἤνεγκε τὸ τραχὺ τοῦ λόγου, παραμυθίαν τῷ πάθει ποριζόμενος.

ΧΡΥΣΟΣΤ. Μὴ οὖν ἁπλῶς τὰ ῥήματα ἐξετάζωμεν, ἀλλ᾽ ὅτι ἐξ ἀθυμούσης ψυχῆς λέγεται, ἴδωμεν· εἰ γὰρ μηδὲ ταῦτα ἐφθέγξατο, ἔδοξεν ἂν μηδὲ τῆς κοινῆς μετέχειν φύσεως.

ΣΕΒΗΡ. Ἕως μὲν μόνος ἦν μετὰ γυναικὸς, ἐπαιδαγώγει ταύτην καταλιγωρήσασαν, καὶ οὐδὲ ἐπηράσατο ἑαυτῷ θάνατον, δεδοικὼς μὴ ἄρα τοῦτο λυπῇ Θεόν. ἡνίκα δὲ παραγεγόνασιν οἱ φίλοι, καὶ ἑώρα καταπεπτωκότας ἐπὶ ταῖς τοσαύταις αὐτοῦ συμφοραῖς, ἄλλῳ κατετρύχετο πολέμῳ; μὴ ἄρα ἐπ᾽ αὐτῷ οὗτοι κατηγορήσωσιν ἀδικίας τὸν Θεὸν, καὶ διὰ τοῦτο ἐπαρᾶται τὴν ἡμέραν τῆς ἑαυτοῦ γεννήσεως, καὶ ἄμεινον κρίνει, τὸ, μὴ γενέσθαι, τοῦ οὕτως εἶναι, φάσκων, εἴθε μὴ ἐγεννήθην, ἵνα μὴ δι᾽ ἐμὲ κατηγορηθείη Θεός· ἀλλ᾽ ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, τουτέστι, μὴ μνημονευθείη, καὶ ἡ νὺξ ἐν ᾗ συνελήφθην. ταύτην γὰρ τὴν διάνοιαν ὁ ἑβραῖος ἔχει, καὶ ὁ Σύμμαχος, λέγων, ἐν ᾗ ἐκυήθη ἄνθρωπος. καθόλου δὲ εἰπεῖν, οἱ μὲν πρὸ τῆς χάριτος πάσχοντες, ἠθύμουν, οἱ δὲ ἀπόστολοι ἔχαιρον. οὐ χρὴ δὲ τὰ πρὸ τῆς χάριτος, ἐκλαμβάνειν εἰς ἀκολουθίαν τῆς χάριτος. καὶ πρὸς μὲν τὸ πρόχειρον ταῦτα, ἐπικεκρυμμένως δὲ, ὡς Προφήτης ὁ Ἰὼβ μυστήριον λαλεῖ. καὶ ἐπειδὴ γέννησιν οἶδεν ἡ γραφὴ, οὐ τὴν κατὰ σάρκα μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ τρόπου εἰς τρόπον μεταβολὴν, οἷον ἀπὸ ἀρετῆς εἰς κακίαν, ἢ ἔμπαλιν, ἀπολέσθαι εὔχεται τὴν ἡμέραν τῆς ἁμαρτίας, ἐν ᾗ ὁ Ἀδὰμ παρέβη. τὸ γὰρ τῆς ἀνθρωπότητος οἰκειοῦται πρόσωπον, καί φησιν, ἀπόλοιτο ἡ ἡμέρα, καθ᾽ ἣν ἀπὸ τῆς ἀρετῆς εἰς τὴν φαυλότητα ὁ ἄνθρωπος ἐτράπη, πέπτωκεν εἰς πάθη, καὶ θάνατον, τὴν χάριν τῆς ἀφθαρσίας καὶ ἀθανασίας ἀποβαλών. ἄλλως δὲ οὐκ εἶπεν, ἐν ᾗ ἐκτίσθην, ἀλλ᾽ ἐν ᾗ ἐγεννήθην, δηλῶν, ὡς ἐκ τῆς παραβάσεως εἰσελθούσης τῆς φθορᾶς, ἐντεῦθεν ἡμῖν ἐδέησε τῆς ἀναγεννήσεως. οὕτω καὶ Δαβὶδ τὴν ἁμαρτίαν θρηνῶν, ἐπὶ τὴν ἀρχαίαν παράβασιν ἀνατρέχει, λέγων, ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. ἠσθένησε γὰρ τὸ ὤλισθεν ἡ φύσις.

ΟΛΗΜΠ. Πρὸς μὲν οὖν τὸ ῥητὸν, ἡμέραν μίαν οἶδεν ἡ γραφὴ καλεῖν τὸ ἡμερονύκτιον. πρὸς δὲ διάνοιαν τὴν αὐτὴν ἡμέραν καὶ νύκτα καλεῖ, καθ᾽ ἣν εἴληφε τὴν ἀρχὴν ἡ ἁμαρτία, ἡμέραν μὲν ὡς φωτισμοῦ ἔχουσαν ἐπαγγελίαν, ἔσεσθε γὰρ, φησὶν, ὡς θεοί. νύκτα δὲ, ὡς ἐπιζοφώσασαν τὴν ψυχὴν, καὶ εἰσάγουσαν τὸν θάνατον, ὅτι λοιπὸν καὶ ἐναργέστερον ἡ διαφθορὰ ὤφθη, τοῦ ἄρσενος πρὸς τὸ θῆλυ. ὥστε κατὰ ταύτην τὴν ἔννοιαν, οὐδὲ τὴν ἡμέραν ὡς κακὴν, καταρᾶται, καθὰ τοῖς Μανιχαίοις δοκεῖ, ἀλλὰ τὰ ἐν τῇ ἡμέρᾳ γενόμενα αἰτιᾶται. καθ᾽ ὃ σημαινόμενον, καὶ αἱ ἡμέραι πονηραὶ λέγονται, οὐ κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ κατὰ τὰ ἐν αὐταῖς συμβαίνοντα. καταρᾶται δὲ ἑτέρως ὁ δίκαιος, τοὺς ὀνομάσαντας αὐτὸν ἄρσενα, ὡς μόνου Χριστοῦ ὄντος ἄρσενος, καὶ αὐτῷ ἁρμοζούσης τῆς τοιαύτης προσηγορίας, διὰ τὸ ἐκθηλυνθῆναι τὸ τῶν ἀνθρώπων γένος τῇ παρακοῇ, καὶ μηκέτι τοῖς ἡγεμονικωτέροις ὀνόμασι καλεῖσθαι αὐτὸ δύνασθαι. ἡμέραν οὐκ οἶδεν ἐκείνην, ἣν καὶ ἀπολέσθαι προσδέχεται, τὴν γέννησιν τοῦ σαρκικοῦ φρονήματος. διὸ καὶ ἰδίαν αὐτὴν ὀνομάζει, οὕτω καλῶν τὴν τοῦ προπάτορος, ἀπαλλάττων ταύτῃ τὴν δημιουργίαν πάσης κατηγορίας. τῆς πρώτης γὰρ κατακρίσεως ἐλθούσης εἰς ἡμᾶς, ὡς ἰδίαν ταύτην πενθοῦμεν,

ἐπιζητοῦντες τὸν λυτρωτὴν, καὶ ἀρώμεθα τὴν κακίαν, ὡς ἡμέραν φανεῖσαν καὶ παραγαγοῦσαν ἡμᾶς τῆς ἀσεβείας. ὃ γὰρ ἂν ἑκάστῳ φίλον φανείη, τοῦτο καὶ ἡμέρα νενόμισται, καὶ οὕτω κλεπτόμεθα τῆς ἐν ἡμῖν διακρίσεως σφαλλομένης. τὴν τοιαύτην ἡμέραν ὁ δίκαιος ἀπολέσθαι προσεύχεται, μέχρις ὀνόματος γυμνοῦ τῷ φωτὶ προσεγγίζουσαν· νύκτα δὲ λέγει τῆς ἁμαρτίας τὴν ἀθρόαν, καὶ λανθάνουσαν ἔφοδον. τῆς γὰρ τοιαύτης προσηγορίας ὁ μισόκαλος ἄξιος, οὐχ ὁ αὐτὸς τοῖς πράγμασιν ὢν, καὶ τοῖς ἄφροσι νομιζόμενος, ἀλλὰ σκότος ὢν, καὶ φῶς ὑποκρινόμενος, καὶ τοῦτο τοῖς ἀπατωμένοις δοκῶν. διὸ καθ' ἑτέραν φέρει τὴν ἀρὰν, ἵνα μὴ καθάπερ φῶς, τῆς ἀπάτης τῷ ἑτοιμοτάτῳ, μήτε καθὸ νὺξ ἐστὶ λανθάνουσι δόλοις, τοὺς πολλοὺς παρακρούσηται. ὃ δὲ λέγει τοιοῦτον ἐστίν. ἀπόλοιτο ἡ ἄνωθεν ἡμέρα, τουτέστι, ἡ προοιμιαστικὴ, καὶ αἰτία τῆς παραβάσεως, ἡ λύπην, καὶ ἁμαρτίαν, καὶ θάνατον κομίσασα, ἥτις καὶ τοῦ σκότους, καὶ τῆς πλάνης κατὰ μέρος ἐγένετο γεννήτεια. ἀρχὴ γὰρ ὠδίνων, καὶ πρώτη λύπης ἡμέρα, ἡ τῆς Εὔας ἐσχημάτισε σύλληψις, τουτέστι, τὸ γεννητικὸν τῆς κατάρας προοίμιον. ἐν λύπαις γὰρ, φησὶ, τέξεις τέκνα. ἵνα οὖν δείξῃ ὁ Ἰὼβ, πολλὴν τοῦ σώματος αὐτοῦ τὴν ὀδύνην, κατὰ τῆς γεννήσεως αὐτοῦ, καὶ οὐ κατὰ τοῦ Θεοῦ τὴν κατάραν ἐφθέγξατο, οὐ τὴν ἐνεστῶσαν ἡμέραν, ἀλλὰ τὴν παρελθοῦσαν ἀντιλογῶν, τὴν αἰτίαν τῶν θλίψεων, καὶ ἑαυτὸν παραμυθούμενος κάμνοντα, ἐν τῷ τὴν ἡμέραν ἐκείνην λοιδωρεῖν. οἶδε γὰρ ψυχαγωγεῖν τοὺς σωματικοὺς πόνους, ἡ τῶν ἐλεεινῶν φωνῶν ὁμιλία.

ΚΕΙΜ. Ἡ νὺξ ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ Κύριος ἄνωθεν, μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος. Ἐκλάβοι δὲ αὐτὴν σκότος, καὶ σκιὰ θανάτου.

ΧΡΥΣΟΣΤ. Ὁρῶν ὁ δίκαιος, ὡς ἡ βαρύτης τῶν συμβάντων, ἐκάλεσε τοὺς φίλους, καὶ τῆς πληγῆς τὸ φορτικὸν ἐννοῶν, καὶ τὸ παρακαθῆσθαι αὐτοὺς ἐπὶ πολὺ κείνων ἐπαχθὲς, καὶ ὡς οὐκ ἐπὶ τούτοις τὸ πρότερον αὐτοῖς συνεγένετο, καὶ ὡς ἔπος εἰπεῖν πάντα, ὁρῶν εἰς τοὐναντίον αὐτῷ περιστάντα, ὅτε ἀπωθεῖται αὐτοὺς ἐπιπλήκτως, ἄτοπον εἶναι νομίζων τοὺς ἐπὶ τιμῇ ἐληλυθότας, τούτους ὕβρει ἀποπέμψασθαι, οὔτε ἁπλῶς ἀπιέναι παρακαλεῖ, αἰδούμενος αὐτῶν τὴν φιλίαν, ἀλλὰ πάντα ταῦτα ἐννοῶν, καὶ ὑπὸ πάντων δακνόμενος, ἐπὶ τούτοις εἶχε τοὺς λόγους, τρόπον τινὰ τοῖς φίλοις ἀπολογούμενος, ὡς ἐθέλει μὲν διαλέγεσθαι, οὐ δύναται δὲ τῷ πλήθει τῶν δεινῶν βαρυνόμενος. τί δὲ λέγει; ἡ νὺξ ἐκείνη εἴη σκότος, τουτέστιν, ἐν ἀγνωσίᾳ εἴη μὴ μνημονευομένη, μηδ' ἀντιποιήσαιτο αὐτῆς ὁ Κύριος, μηδὲ γένοιτο ἐν καταλόγῳ νυκτῶν. ἐπειδὴ γὰρ οὐ περὶ ὑφεστώσης φύσεως διελέγετο, ἢ τινὸς ζώου, θάνατον, ἢ φθορὰν οὐκ ἐπηύξατο, ἀλλὰ τοῦ ἐναντίου τῆς ἡμέρας παράτασιν ἔχειν· οἱονεὶ μεσολαβηθεῖσα ἡ ἡμέρα, ἑκατέραις ταῖς νυξὶ τῇ παρατάσει τοῦ σκότους, εἰς λήθην ἔλθοι τοῖς ἀριθμεῖν βουλομένοις.

ΟΛΥΜΠ. Πρὸς μὲν οὖν τὸ ῥητὸν, εὔχεται ἀφεγγῆ γενέσθαι τὴν ἡμέραν αὐτοῦ τῆς γεννήσεως, καὶ τὴν νύκτα,

καὶ

καὶ μὴ καταλαμφθῆναι ταύτην, ὑπὸ σελήνης ἢ ἀστέρων, ἀλλὰ βαθεῖ κατασχεθῆναι σκότει, ὃ δὴ καὶ σκιὰν θανάτου καλεῖ. πρὸς δὲ διάνοιαν, ἐξαιτεῖ τὴν ἁμαρτίαν ἐν τῇ ἰδίᾳ κακίᾳ φαίνεσθαι, ὥσπέρ ἐστι, μηδὲ ἔχειν φέγγος, ἵνα μὴ ἰσχύσῃ ὑποκρίνεσθαι ἀρετήν, μηδὲ σχήματι φωτὸς τοὺς ἁπλουστέρους δελεάζῃ, ἀλλὰ γνωριζομένη ὅτι ζοφώδης ἐστί, φευκτὴ γένηται. εἰ δὲ βούλει, μὴ ἀναζητηθῆναι τὴν ἡμέραν ἐκείνην εὔχεται. ἀναζητουμένης γὰρ αὐτῆς, ἀναγκαίως εἰς μέσον τὸ συμβὰν πτῶμα τοῖς ἀνθρώποις ἔρχεται. μὴ ἀναζητουμένης δέ, λήθη τῆς ἐφ' ἡμῖν κατάρας, καὶ τῆς ἐκεῖθεν ἀποφάσεως γίνεται. ὅθεν μηδὲ φέγγος ἐλθεῖν ἐπ' αὐτὴν παρακαλεῖ, ὡς μὴ ὁρᾶσθαι τὰ ἐν αὐτῇ παρὰ τοῦ Ἀδὰμ ἡμαρτημένα. ὡσανεὶ ἔλεγεν, δέξαιτό μου ταύτην τὴν ἱκεσίαν ὁ Θεός, ὥστε μὴ μετὰ τῶν λοιπῶν ἡμερῶν ταγῆναι, ὡς ἂν μὴ ἡ μνήμη τῆς γεννήσεως, ὑπόμνησις τῶν ἐμῶν συμφορῶν γένοιτο. εἰπὼν δέ, ἐκλάβοι αὐτὴν σκότος, καὶ σκιὰ θανάτου, εἰς αὐτὸν τὸν διάβολον ἐλθεῖν εὔχεται τὰ δι' αὐτοῦ ἡμῖν συμβεβηκότα κακά. αὐτὴν γάρ, τὰ ἐν αὐτῇ συμβάντα λέγει, τὴν κατάραν, καὶ τὴν ἀπόφασιν, σκότος, καὶ σκιὰν θανάτου, τὸν διάβολον ὀνομάζων. πρὸς ἐκεῖνο, φησί, φερέσθω τὸ καταγώγιον τῆς οἰκείας πολιτείας ἐπάξιον, δέξαιτο τὸν θάνατον, ὁ τοῦτον ἀράμενος, ἔσω συμπλεκόμενος τοῖς ἑαυτοῦ δικτύοις, μὴ εὕροι παῤῥησίαν ἐπὶ κακίᾳ, διὰ τοὺς πειθομένους ἐξ ἀβουλίας.

ΚΕΙΜ. Ἐπέλθοι ἐπ' αὐτὴν γνόφος.

ΟΛΥΜΠ. Ἀκύλλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων. ὁ μὲν νέφωσιν, ὁ δὲ ἀχλύν, ὁ δὲ συννέφειαν, ἐξέδωκαν. γνόφος δ' ἐστὶ νεφελώδης ἀχλύς. πρὸς μὲν οὖν τὸ ῥητόν, τό, ἀφεγγὲς τῆς ἡμέρας εὔχεται, πρὸς δὲ διάνοιαν τὴν ἁμαρτίαν, ὅπέρ ἐστιν, αὐτὸ τοῦτο, ἐξαιτεῖ φαίνεσθαι· ἵνα μὴ ὁ σατανᾶς εἰς ἄγγελον φωτὸς σχηματιζόμενος, δείξῃ τὰ φαῦλα ὡς ἀγαθά· ἀλλὰ γνωριζόμενα ὅτι εἰσὶ φαῦλα, καὶ σκότους αἰτία, μισῆται. ἐπιβαλεῖς δὲ καὶ ὧδε· ἡ κακία ἀθεώρητος. πῶς γὰρ ἄν τις τὰ μὴ ὄντα καὶ ἱστορήσειεν, συναφανιζομένην ἀρείσκων τοῖς ἀνυπάρκτοις, καὶ τὴν ἐπ' αὐτοῖς αἴσθησιν.

ΚΕΙΜ. Καταραθείη ἡ ἡμέρα, καὶ ἡ νὺξ ἐκείνη, ἀπενέγκοιτο αὐτὴν σκότος.

ΤΟΥ ΑΥΤΟΥ. Τῆς διανοίας, φησί, τῶν ἀνθρώπων ὁ τῆς ἡμέρας ἐκείνης ἀριθμὸς ἐξαρθείη. τοῦτο γὰρ τό, καταραθείη. τὸ δέ, ἀπενέγκοιτο αὐτὴν σκότος, Ἀκύλας σκοτομήνιαν, ἔφη. λέγει δέ, ὅτι ὥσπερ ἐν σκότῳ οἱ ἄνθρωποι ὁρᾷν οὐ δύνανται οὐδέν, οὐδὲ εἰδέναι τί πρὸ τῶν ποδῶν· οὕτως ἐν ἀγνοίᾳ γένοιτο καὶ ἡ τῆς γεννήσεως ἡμέρα. πρὸς δὲ νοῦν, ἡ τῆς παραβάσεως, ἡ καθάπερ τι φῶς κλέψασα τοὺς πρώτους ἀνθρώπους, τοῦτο φαίνεσθαι βουλομένη, διὰ τὸ πρόχειρον τῆς ἀπάτης. ἡ γὰρ νὺξ ἡμέρα γέγονε τῷ δυσμενεῖ, μηδὲν τῆς πονηρᾶς ἐνεργείας ἀραμένῳ κώλυμα. αὖθις δὲ ἡ τοῖς φιλοσάρκοις ἡμέρα λογιζομένη, κατὰ τὸ εἰρημένον, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου, νὺξ ἐστὶ κυκλοῦσα πανταχόθεν τὸν ἄνθρωπον.

ΚΕΙ'Μ. Μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ, μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν.

Ο'ΛΥΜΠ. Ὁ Σύμμαχος, μηδὲ συναφθείη, πρὸς μὲν τὸ ῥητὸν, ἐξαφανισθείη, φησὶ, ἡ ἡμέρα τῆς γεννήσεώς μου, συστελλομένου τοῦ ἐνιαυσιαίου κύκλου. καὶ ἐπειδὴ τῶν μηνῶν, οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους ἔχουσι τὰς ἡμέρας, καὶ ὁ ἐνιαυτὸς κατάτινα περίοδον προσθήκην δέχεται, ὡς ἐπὶ τῆς τετραετηρίδος, φησὶν, ὅτι μήτε εἰς μηνῶν ἀριθμὸν ἔλθοι, μήτε ὡς ἡμέρα τοῦ ἐνιαυτοῦ εἴη ἀριθμουμένη πρὸ τῆς εἰθισμένης περιόδου, μέλλουσα δὲ ἀναφανῆναι, παντελῆ λαβέτω λήθην. πρὸς δὲ διάνοιαν ἐνιαυτὸν καλεῖ, τὸν καιρὸν τῆς παρουσίας τοῦ Κυρίου, κατὰ τὸ εἰρημένον ἐκ προσώπου αὐτοῦ, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν. εὔχεται οὖν, ἐν ἐκείνῳ τῷ χρόνῳ μὴ γενέσθαι αὐτοῦ μνείαν, ἵνα μὴ λογίζηται ἡμῖν τὰ παραπτώματα, ἐπιφανεὶς τῷ Κόσμῳ Χριστὸς, ἀλλὰ πάντων ἀμνηστίαν χαρίζηται.

ΣΕΒΗΡ. Τάχα δὲ προφητικῶς καὶ ἐσχηματισμένως περὶ τοῦ μέλλοντος αἰῶνος ἐπαγγέλλεται, καθ᾽ ὃν ζῶσιν οἱ ἅγιοι μακαρίαν ζωὴν ἐν ἀκαταπαύστῳ φωτὶ ἡμέρας, παυομένου τοῦ νῦν αἰῶνος, τοῦ ἐν μησὶ, καὶ ἐνιαυτοῖς ἀριθμουμένου, ὃν καὶ ἐπαγγέλλεται περανθῆναι.

ΚΕΙ'Μ. Α'λλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη.

ΠΟΛΥΧΡ. Ὁ δὲ Σύμμαχος ἔκβλητος εἶπεν. ὁ δὲ Ἑβραῖος, μεμονωμένη. νὺξ ἐκείνη εἴη, φησὶν, ὀδυνηρὰ, καὶ μὴ μετάσχοι τινὸς εὐθυμίας, ὡς τῆς νυκτὸς ἀνέσεως οὔσης αἰτίας.

ΚΕΙΜ. Καὶ μὴ ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη, μηδὲ χαρμονή.

Ο'ΛΥΜΠ. Οὐδὲν οὖν κατὰ Θεοῦ φθέγγεται, οὐδὲ κατὰ τῶν ἔργων αὐτοῦ, ἀλλὰ τοῖς οὐκ οὖσι καταρᾶται, παρηγορῶν ἑαυτὸν, καὶ τὰς ὀδύνας παραμυθούμενος. καὶ γὰρ καὶ ἡ νὺξ ἐκείνη, καὶ τὸ φῶς τῶν ἀστέρων, καὶ τοῦ ἑωσφόρου τὸ λάμψαι ἐν ἐκείνῃ τῇ νυκτὶ, παρῳχήκει, καὶ ὥσπερ οἱ ὑπὸ τῶν ἰατρῶν καιόμενοι, ἢ τεμνόμενοι τὸ ἱμάτιον ἐνδάκνουσι, καὶ ἐκφαίνουσι τὴν ὀδύνην, οὕτω καὶ ὁ μακάριος οὗτος ταῦτα πάντα σχετλιάζει. πρὸς δὲ, διάνοιαν, τὸ, ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, ἀντὶ τοῦ, γνωσθήτω ὅτι φαύλη ἐστὶν ἡ ἁμαρτία, καὶ διὰ τοῦτο μισείσθω ὡς ὀδύνης αἰτία, καὶ μὴ ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη. εἰ γὰρ ἐλογίσθη ἡμῖν, καὶ μὴ ἀφέθη ἡ ἁμαρτία, ἔμελλεν ἂν σφόδρα εἶναι ἐν χαρᾷ ὁ ἡμέτερος ἐχθρός· ἡ νὺξ ἐκείνη τῶν ἁμαρτιῶν μήτηρ, εἴτουν αὐτὸς ὁ πολέμιος ἔσω διαμαρτανὼν τοῦ πονηροῦ σκοποῦ, καὶ διὰ τοῦτο ὀδυρόμενος διαπιπτέτω τῆς θήρας, ἵνα μειζόνως πενθήσῃ. μὴ γενοίμην αὐτὸς τῷ δυσμενεῖ χαρᾶς πρόξενος, τρωθεὶς τοῖς αὐτοῦ τοξεύμασιν.

ΚΕΙΜ. Α'λλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.

ΠΟΛΥΧΡ. Τὰ τῆς ἐμῆς, φησὶ, κατάρας πληρώσαι Θεὸς, ὁ μόνος τοῦτο ποιῆσαι δυνάμενος.

ΟʼΛΥΜΠΙΟΔ. Ο'μῶ δὲ προσδέχεται, καὶ προφητεύει τὰ μέλλοντα, εἰς Χριςὸν ἀναπέμπων τὴν διάνοιαν, ὅς τὸν ἰχυρὸν δήσας διάβολον, τότε τὰ σκεύη διήρπασε. τίς γὰρ ἕτερος τὴν ἁμαρτίαν κατηράσατο, καὶ ἐξηφάνισεν ἐν ἑαυτῷ; τίς δὲ τὸ νοητὸν ἐχειρώσατο κῆτος; τὸν ἀρχαῖον ὄφιν, τὸν τῆς ἁμαρτίας εἰσηγητὴν, τὸν τῇ ὑγρότητι τῶν ἡμετέρων ἡδονῶν ἐνδυναςεύσαντα λευϊαθὰν, καὶ μετὰ πολλῆς ὅσης ἀδείας ἐννηξάμενον. ὃν πολλαχῶ ἡ θεία γραφὴ δράκοντα ὀνομάζει, μάλιςα δὲ ἐν τοῖς τελευταίοις τῶδε τῷ βιβλίῳ, ἡνίκα καὶ ἰχυρὸν, καὶ πάντα ὑπερφέροντα, διὰ τῶν οἰκείων λόγων δείκνυσιν ὁ Θεός. διὰ τῶτο καὶ νῦν οὐχ ἁπλῶς, κῆτος εἴρηται, ἀλλὰ μέγα. ὁ τοίνυν, φησὶ, μόνος τὸ μέγα κῆτος ἑλεῖν δυνάμενος, ὁ ἄμαχον ἔχων τὴν δύναμιν, αὐτὸς καὶ περὶ τὴν ἡμέραν, καὶ περὶ τὴν νύκτα, εἰργάσαιτο τὰ τῆς αἰτήσεως.

ΔΙΔΥΜ. Καλῶς δὲ, τὸ, ὁ μέλλων χειρώσασθαι, εἴρηται, δηλῶν τὸ κατὰ τὴν ἐνανθρώπησιν μυςήριον, ὡς μήπω τότε γεγονὸς, μέλλον δὲ γενέσθαι. οὐ γὰρ ἥρμοζε γυμνῇ τῇ θεότητι καταργηθῆναι τὸν κράτος ἔχοντα τῶ θανάτω, διάβολον, ἀλλὰ διὰ τῶ λόγου γεγεννημένου ἐκ σπέρματος τοῦ ἡττηθέντος ὑπὸ τῶ διαβόλω. καύχημα γὰρ ἦν τῷ πονηρῷ, εἰ γυμνῇ τῇ θεότητι χειρωσάμενος, αὐτὸν ὑπῆρξε. τὰ διάφορα δὲ ὀνόματα τῶ διαβόλω, ἐνεργείας αὐτῶ διαφόρως, οὐκ ὠσίας, δηλοῖ. διάβολος γὰρ καὶ ἀντικείμενος, καὶ πονηρὸς, καὶ λέων, καὶ δράκων, καὶ ὄφις, καὶ θηρίον, καὶ κῆτος, διὰ τὸν τρόπον λέγεται, διαφόρως αὐτῶ τὴν κακίαν ἐνεργῶντος, ὥσπερ ἀνατρεπτικόν ἐςι τοῦ μοναχικῶ δόγματος.

ΚΕΙΜ. Σκοτωθείη τὰ ἄςρα τῆς νυκτὸς ἐκείνης. ὑπομείναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα.

ΟʼΛΥΜΠΙΟΔ. καὶ ΠΟΛΥΧΡ. Ο δὲ Σύμμαχος προσδοκηθείη φῶς, καὶ μὴ εἴη, ὑπομείναι ἐν σκότῳ. πρὸς μὲν τὸ ῥητὸν, μὴ δοῖεν, φησὶ, τὸ οἰκεῖον φέγγος, ἀντὶ τῶ, μὴ λάμψωσι τὰ ἄςρα τῆς νυκτὸς ἐκείνης, ἀλλ' ἀφανῆ γένοιτο, μηδὲ τὴν τῶν ἄςρων ἐπιδείξαιντο χρείαν. ἄχρηςος ὀφθείη τῆς νυκτὸς ἐκείνης τῶν ἀςέρων ὁ δρόμος, ὑπομείναι, τουτέςι, παύσαιτο τῶ δρόμω, καὶ τῶ φωτίσαι, καὶ μὴ ἐμμένοι φαίνοντα, μηδὲ τὸν οἰκεῖον ἐκπληρῶντα δρόμον. ἀλλὰ μηδὲ διαδέξηται τὴν νύκτα ἐκείνην φῶς, μηδὲ γνωσθείη αὐτὴ ὡς παρερχομένη. τῶτο γὰρ δηλοῖ διὰ τῶ, μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, τουτέςι τὸν ἑωθινὸν ἀςέρα, ἢ καὶ τὸν ἥλιον. πρὸς δὲ διάνοιαν τὴν ἁμαρτίαν, φησὶν, ἣν καὶ νύκτα καλεῖ, αἱ δοκῶσαι τερπνότητες, καὶ τὰ κάλλη ἐξαφανισθείησαν, καὶ μὴ νικήσοι τὰ πονηρὰ τὴν ἀρετὴν ποτέ. τῶτο γὰρ λέγει, τὸ, εἰς φωτισμὸν μὴ ἔλθοι, ἀντὶ τῶ, γνωσθείησαν αἱ τῆς ἁμαρτίας τερπνότητες, ὅτι σκότος εἰσὶ, καὶ μὴ ἰχυσάτωσαν ἀπατῆσαι, μηδὲ πλανῆσαι, ὅτι ἔχωσί τι ἀγαθόν. ἐν αὐτῇ δὲ ταύτῃ, μηδὲ ἑωσφόρος γένοιτο, λόγος δοκῶν εἶναι φωτεινὸς διὰ πιθανότητα. πολλάκις γὰρ ὁ φιλαμαρτήμων ἐμμένει τῷ σφάλματι, ἢ τὴν ἡδονὴν ἀποδεχόμενος, καὶ τῷ λέῳ ταύτης θελγόμενος, ἢ

λογισμὸς πιθανὸς ἀνακινῶν, ἐξ ὧν οἴεται μὴ σφάλλεσθαι.

ΟʼΛΥΜΠΙΟΔ. Ἴσως δὲ τὸ, μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, οὐκ ἀντικῶς φησὶν, ἀλλὰ αὐτὸ τὸ ὂν ἀπαγγέλλει. οὐ γὰρ δύναται ἡ ἁμαρτία ὑπομεῖναι τὸν περὶ τοῦ Κυρίου λόγον, ἑωσφόρον λεγόμενον, καθὼς Ἐπιστέλλει Πέτρος, ταῖς ψυχαῖς ἡμῶν ἀνατέλλοντα. τοῦ γὰρ φωτὸς ἐπιλάμψαντος, τὸ σκότος ὑπαναχωρεῖ.

ΚΕΙΜ. Ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Κατὰ μὲν τὸ ῥητὸν, ὅτι, φησὶν, οὐκ ἐκώλυσέ με γεννηθῆναι· καίτοιγε οὐκ ἐν τῇ νυκτὶ ἐτύγχανε, τὸ κωλῦσαι αὐτὸν ἐκ μήτρας προελθεῖν· ἀλλ' ὁ διὰ πάντων λέγει, τοιοῦτον ἔχει τὸν νοῦν, ὅτι ἄμεινον ἦν μὴ γεννηθῆναι, ἢ γεννηθέντα ταῦτα παθεῖν. πρὸς δὲ διάνοιαν, ἐπαρῶμαι, φησὶ, τῇ ἁμαρτίᾳ, ὅτι μὴ ἐκωλύθησάν μου αἱ τῆς προθέσεως ὁρμαὶ, ἀλλὰ καὶ ὠδίνησα τὴν ἁμαρτίαν, καὶ ἀπέτεκον, τουτέστιν ἔργῳ ἔπραξα, τοῦ ἀπηγορευμένου ξύλου γευσάμενος, καὶ μὴ μέχρι ὁρμῆς στάς.

ΚΕΙΜ. Α'πήλλαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου.

ΠΟΛΥΧΡ. Ἐπειδὴ, φησὶν, εἰς φῶς προῆλθον, ἵνα μὴ τι συναπέθανον ταῖς μητρικαῖς ὠδῖσιν; οὕτω γὰρ ἂν μὴ γενόμενος, οὐδὲ μίαν πεῖραν τῶν παρόντων ἔλαβον δεινῶν. εἰ γὰρ μὴ ἐτέχθην, οὐκ ἂν ταῖς παρούσαις περιέπιπτον συμφοραῖς. πρὸς δὲ διάνοιαν, εἰ μὴ διὰ τὴν ἁμαρτίαν, φησὶ, καὶ τὴν γενομένην παρατροπὴν, οὐκ ἂν αἱ φθοραὶ, καὶ νόσοι τοῖς ἀνθρώποις συνέβαινον.

ΚΕΙΜ. Διατί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην;

ΧΡΥΣΟΣΤ. Ὥσπερ οὖν ὁ Χριστὸς εἰπὼν, καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη, οὐδὲν ἕτερον ἐδήλωσεν, ἢ ὅτι δεινὰ αὐτὸν ἀναμένει, καὶ χαλεπά. οὕτω καὶ ἐν ταῦτα ὁ Ἰὼβ λέγων, εἴθε μὴ ἐγεννήθην, ἢ γεννηθεὶς εὐθὺς ἀπολώμην, ὡς σύνδρομον εἶναι τῇ γεννήσει τὸν θάνατον, οὐ τῆς δημιουργίας τοῦ Θεοῦ κατατρέχει, ἀλλὰ τὸ μέγεθος τῆς συμφορᾶς παρίστησιν. ὅρα δὲ τὴν εὐλάβειαν, ὡς ἅπαντα τὸν θυμὸν εἰς τὴν ἡμέραν ἐκχέει, οὐ τολμῶν ὑπερβῆναι τοῦτον τὸν ὅρον, ἀλλ' ἀεὶ ταῦτα λέγων· ἡ ἡμέρα, καὶ ἡ νὺξ, ἵνα εἴδῃ ὅτι πέως τῶν παρόντων οὐκ ἐπειρώμην κακῶν, κἂν μὴ μισθὸν τῆς εὐσεβείας ἐκομιζόμην.

ΟʼΛΥΜΠΙΟΔ. Κατὰ μὲν οὖν τὸ ῥητὸν, ἡ εὔνοια πρόδηλος, ὅτι ἄμεινον ἦν, ἢ μὴ τεχθῆναι, ἢ τεχθέντα παραχρῆμα ἀποθανεῖν. κατὰ δὲ ἀναγωγὴν, καλὸν ἐστὶ, φησὶν, ἢ μηδὲ ὅλως τινὰ φαῦλον ἡμῖν γεννηθῆναι λογισμὸν, ἢ καὶ εἰ γένοιτο, παραχρῆμα αὐτὸν ἐξαφανισθῆναι.

ΚΕΙΜ. Ἵνα τί δὲ συνήντησάν μοι τὰ γόνατα; ἵνα τί δὲ μαστοὺς ἐθήλασα;

ΑʼΠΟ-

Α'ΠΟΛΙΝΑΡ. Κατὰ αὔξησιν τὰ καθ' ἑαυτὸν λέγει, δεικνὺς, ὅτι αἱρετὸν ἦν αὐτῷ, τὸ τὴν ἀρχὴν μὴ γενέσθαι. τὸ γὰρ, ἵνα τί δὲ συνήντησάν μοι γόνατα; ἀντὶ τῦ, διατί ἐτιθηνήθην ἐπὶ γονάτων, βαςαχθεὶς παρὰ τῆς τρεφέσης; διατί ἀρέθη ἡ τῆς παιδικῆς δυσχερείας ἀνεχομένη, καὶ τοῖς γόνασιν αὐτῆς ἐπικαθίζυσα, καὶ τὴν νηπιώδη χορηγῦσα τροφήν;

Ο'ΛΥΜΠΙΟΔ. Κατὰ μὲν τὸ ῥητὸν ὅτως, ὐκ ὤφελον, φησὶν, ὅτε εἰς γόνατα τεθῆναι τῆς τροφῦ, ὅτε γάλακτος μεταλαβεῖν, ἵνα καὶ ζωοποιηθῶ. κατὰ δὲ τὴν θεωρίαν, ἵνα τί, φησὶν, ὐκ ὤκλασα ἐπὶ τῇ παραβάσει, ἢ ὑπεχελίθην, πορδευόμενος τῦ ἀπηγορευμένυ γεύσασθαι ξύλυ; ἵνα τί δὲ καὶ ἐπίδοσίν τινα ἐποίησα ἐπὶ τὰ φαῦλα; τῦτο γὰρ λέγει, μαςὺς ἐθήλασα, τυτέςι τὺς τρόπυς τῆς κακίας ηὔξησα.

ΚΕΙΜ. νῦν ἂν κοιμηθεὶς ἡσύχασα, ὑπνώσας δὲ ἀνεπαυσάμην μετὰ βασιλέων, βυλευτῶν γῆς, Οἳ ἐγαυριῶντο ἐπὶ ξίφεσιν· ἢ μετ' ἀρχόντων, ὧν πολὺς ὁ χρυσὸς, οἳ ἔπλησαν τὺς οἴκυς αὐτῶν ἀργυρίυ.

Α'ΠΟΛΙΝΑΡ. Κοίμησιν, καὶ ὕπνον, τὸν θάνατον λέγει, ἀπὸ τῦ σχήματος τὴν προσηγορίαν θέμενος· ἢ ὅτως ὀνομάζων, διὰ τὴν ἐλπίδα τῆς ἀναςάσεως. βύλεται δὲ εἰπεῖν, ὅτι ξένον αὖ ἐπεπόνθειν ὐδέν. ὁ γὰρ κοινὸν ἐςὶ τῆς φύσεως τῶν ἀνθρώπων, τῦτο καὶ αὐτὸς ὑπάρξαι ἐζήτησα. ὐ γάρ ἐςιν ὐδεὶς, ὃς διαφεύξεται τὴν τελευτὴν, κοινῶς καὶ βασιλέων, καὶ τῶν ἐπὶ συνέσει μέγα φρονέντων, ὑπεξιόντων τὸν βίον· τί γὰρ τὸ περισσότερον τῆς βασιλείας, καὶ τῆς φρονήσεως;

Ο'ΛΥΜΠΙΟΔ. Ε'κ τύτων παιδευόμεθα, μὴ μέγα φρονεῖν ἐπὶ δυναςείᾳ, ἢ πλύτῳ, ἢ φρονήσει. ὅπυ γε καὶ βασιλεῖς, καὶ οἱ τῆς γῆς βυλευταί. τυτέςιν, οἱ ἐπὶ σοφίᾳ, καὶ βυλῇ μέγα φρονῦντες, καὶ οἱ γαυριῶντες ἐπὶ ξίφεσιν, ἤγουν ταῖς ἀρχαῖς, ταῖς δυναςείαις, τοῖς μετὰ πολεμίων τροπαίοις· πρὸς δὲ τύτοις, καὶ οἱ πολύχρυσοι, τὸν κοινὸν ἅπασιν ὑφίςανται θάνατον, ὐδὲν ὅν ἔπαχον δεινὸν, συνδρομον ὑπομεῖον τῇ γεννήσει τὸν θάνατον, καὶ μηδενὸς τῶν ἐν βίῳ δοκύντων καλῶν ἐν μεθέξει γενόμενος· ὅπυ γε καὶ οἱ ἐπὶ τύτοις μέγα φρονήσαντες, ἴσα τοῖς λοιποῖς ἀνθρώποις πεπόνθασι.

ΧΡΥΣΟΣΤ. Ε'μοὶ δὲ δοκεῖ καὶ τὺς φίλυς καταςέλλειν, καὶ πείθειν, μὴ μέγα τὶ νομίζειν εἶναι τὰ ἀνθρώπινα. ὅρα ὖν καὶ ἐν τῇ συμφορᾷ, τῆς φιλοσοφίας ῥήματα.

Ο'ΛΥΜΠΙΟΔ. Τί θρηνεῖτε ταῦτα, φησὶν, ἃ μὴ παραμένειν πέφυκε; ἆρα τὸν θάνατον ἡγεῖσθε βαρύν; ἀλλὰ γὰρ μᾶλλον ἡσυχία ἐςὶ τῶν εἰς τὸν παρόντα βίον κακῶν, δι' ὃν κἀγὼ ἀπηλλάγην ἂν τῶν κατεχόντων δεινῶν, μηδὲ εἰς φῶς προελθών· ἀλλὰ καὶ νῦν τελευτήσας, ὅμοιος ἔσομαι βασιλεῦσι, καὶ ἄρχυσι. πῦ γὰρ νῦν ἡ ἐκείνων δυναςεία, καὶ ἡ ἐπὶ τῷ πλύτῳ πεποίθησις, ἥτε ἐν βυλῇ, καὶ ἐν συνέσει μεγαλαυχία, πλὴν κατὰ τὸ ῥητὸν, πῶς ὁ μηδόλως τεχθεὶς ἔμελλεν ὑπνῦν καὶ ἀναπαύεσθαι; πρόδηλον οὖν, ὅτι

κατὰ τὸ θεωρηματικὸν νοηθήσεται, ὡς εἰ μὴ τὴν ἁμαρτίαν ὁ προπάτωρ εἰργάσατο, εἰς αἰῶνας ἀνεπαύετο. οἷά τις ὕπνων ἡδέως.

ΚΕΙΜ. Η῎ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, ἢ ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς.

ΠΟΛΥΧΡΟΝ. καὶ Ο'ΛΥΜΠΙΟΔ. Ε'πειδὴ ἔφησεν ἐθέλειν τὴν ἐκ τῆς μητρικῆς γαστρὸς πρόοδον διαδεδέχθαι θάνατον, κατ᾽ αὔξησιν ἐπάγει, ἢ ὥσπερ ἔμβρυον μὴ ἰδὸν φῶς. εἴθε, φησὶ, τὰς μητρικὰς ὠδῖνας διεδέξατο θάνατος, ὥστε μηδὲ τῆς τοῦ γάλακτός με δεηθῆναι τροφῆς, εἰς τάφους ἀπενεχθέντα. οὕτω γὰρ οὐ μόνον οὐδὲν δεινὸν ὑπέμεινα, ἀλλὰ καὶ τῆς τοῦ βίου δυσχερείας ἀπηλλάγην. τί δὲ φημὶ λέγων γεννηθέντα ἀποθανεῖν; εἴθε μηδὲ τὴν ἀρχὴν εἰς διαμόρφωσιν ἦλθον. ἵνα μὴ δόξῃ ἑαυτὸν ἐπαίρειν, καὶ τοῖς ἀμβλωθριδίοις ἑαυτὸν παραβάλλει. ἔκτρωμα γάρ ἐστιν τὸ μηδέπω διαμορφωθὲν τελείως ἐν τῇ γαστρί. νήπιον δὲ λέγει, τὸν μήπω δεξάμενον αἴσθησιν τῶν τοῦ βίου καλῶν, ἢ κακῶν. τὸν δὲ περὶ τούτων λόγον, διατί οἱ μὲν οὐδὲ τελεσφοροῦνται, οἱ δὲ καὶ τελεσφορηθέντες νεκροὶ γεννῶνται, οἱ δὲ ὁμοῦ τῇ γεννήσει τὸν θάνατον ὑπομένουσι, τοῖς ἀνεφίκτοις τοῦ Θεοῦ κρίμασι καταληπτέον. πλὴν, φησὶ, ζηλῶ τὰ ἔμβρυα, ἃ οὐδὲ μιᾶς ἐπειράθη ὀδύνης, οὐδὲ πραγμάτων τινῶν δυσχερείαις περιέπεσεν. ἀλλ᾽ ὥσπερ ἀπόνως εἶχεν, ἀνωδύνως ἀπῆλθεν, οὐδενὸς ἐπαισθόμενα. ζηλῶ δὲ καὶ τοὺς ἐν ἀώρῳ τῇ ἡλικίᾳ θανόντας. καὶ οὗτοι γὰρ πρὸς ὀλίγον παρακύψαντες εἰς τὸν βίον, θᾶττον ἀπεσβέσθησαν. εἶτα, ἵνα μή τις οἴηται πάντα ἴσα εἶναι ἐκεῖ, δείκνυσιν ὡς ἔστι διαφορὰ ἀσεβῶν τε, καὶ εὐσεβῶν, ἐπάγει γάρ.

ΚΕΙΜ. Ε'κεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι.

ΧΡΥΣΟΣΤ. Α'λλὰ τί λέγεις; ἀσεβὴς ἐκεῖ καὶ πονηρός; ἀλλὰ καὶ οὗτοι ταύτης ἔτυχον τῆς παραμυθίας, εἶτα λοιπὸν ἐγκώμιον θανάτου, ὅτι οἱ μὲν τῆς κακίας ἀπέστησαν, οἱ δὲ τῆς ταλαιπωρίας ἀπηλλάγησαν, οἱ μὲν εὗρον λιμένα τῶν δεινῶν, οἱ δὲ κώλυμα τῆς πονηρίας, καὶ τὸ μέγιστον, ὅτι οὐδ᾽ ἔστι πάλιν προσδοκῆσαι τὰ πρότερα, ἀλλ᾽ ἀναπαυσομένους ἀεὶ μένειν ἐπὶ τῆς ἀναπαύσεως, διότι πάντων ἐστὶ λύσις τῶν δεινῶν.

Ο'ΛΥΜΠ. Κάλλιστον οὖν ἡμᾶς διδάσκει μάθημα, καὶ δείκνυσι τὸ τοῦ θανάτου ἐπικερδὲς, ὅτι εἰ καὶ διὰ ἁμαρτίαν ὁ θάνατος, ἀλλ᾽ οὖν χρησίμως καὶ φιλανθρώπως ὁ Θεὸς τοῖς ἀνθρώποις, καὶ τοῦτον ᾠκονομήσατο. οἵτε γὰρ ἀσεβεῖς καὶ ἀλαζόνες ἀνακόπτονται τοῦ κακοῦ, καὶ τῆς ἀνιάτου μανίας, καὶ ἄκοντες παύονται, οἵτε κατάκοποι τῷ σώματι, τουτέστιν, οἱ ἐν ὀδύναις σωματικαῖς ὄντες, καὶ ἐν δυσχερείαις πραγμάτων ἐξεταζόμενοι, τῶν πόνων λήγουσιν.

ΒΑΣΙΛ. Εἶεν δ᾽ ἂν κατάκοποι, οἱ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίσαντες, ἐν τῷ αἰῶνι τούτῳ μυρίοις τοῖς ὑπὲρ τῆς ἀρετῆς ἀγῶσιν ἐνιδρώσαντες, καὶ ὑπὲρ τοῦ ἀναλαβεῖν αὐτὴν ἐν κόποις διαφόρως ἐξεταχθέντες· ὡς ὁ πολλὰ κο-

πιάσας ἐν θλίψεσι Λάζαρος. ὡς ὁ κατάκοπος γενόμενος ἐν τοῖς πρὸς τὸν ἐναντίον ἀγῶσιν Ἰώβ. Διὸ καὶ ὁ Κύριος καλεῖ πρὸς ἀνάπαυσιν, τοὺς ἐν ἔργοις ἀγαθοῖς κοπιῶντας, τοὺς τὴν στενὴν καὶ ἔγκοπον ὁδὸν πρὸ τῆς λείας καὶ ἀνειμένης ἐκλεξαμένους.

ὈΛΥΜΠ. Οὐδὲν οὖν φησὶν, αὐτῷ συμβέβηκέ μοι φαῦλον, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ τοῖς ἀνθρώποις χρησίμως οἰκονομηθὲν, τὸν θάνατον. Ἐπειδὴ δὲ ἕτερα βιβλία ἔχει, ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, οὕτω νοήσεις, ὅτι οἱ μὴ ἐνταῦθα παιδευθέντες, ἀλλ' ἐμμείναντες τῇ ἀσεβείᾳ, τὴν ἐκ τῆς θείας ὀργῆς κόλασιν ἑαυτοῖς ἐπισπῶνται. Ὁ δὲ Θεοδοτίων, ἐκόπασαν ὀργῆς θυμὸν, ἐκδέδωκεν, ἕτερον γοῦν ὑποβάλλει, ὅτι ἐλώφησαν ἐκ τῆς ἰδίας κακίας.

ΚΕΙΜ. Ὁμοθυμαδὸν οἱ αἰώνιοι οὐκ ἤκουσαν φωνὴν φορολόγου.

ΠΟΛΥΧΡ. Φορολόγος ἐστὶν, ὁ τὰς εἰσφορὰς συλλέγων, ὁ ἀπαιτητὴς, ὁ πράκτωρ. φησὶν οὖν, ὅτι μετὰ θάνατον οὐκ ἔστι διαφορὰ βασιλέως, καὶ ἰδιώτου, οὔτε ἀπαιτοῦντος, καὶ ἀπαιτουμένου, οὔτε πλουσίου, καὶ πένητος, ἀλλὰ λύσας ὁ θάνατος τοῦ παρόντος βίου τὸ σχῆμα, ἐν ἴσῃ τιμῇ ὁμοῦ καὶ κοινῶς πάντας κατέχει, τοὺς μὲν ἀνιεὶς τῶν πόνων, τοὺς δὲ παύων τῆς τυραννίδος. Ἐκεῖ γὰρ εἰσὶν οἱ ἐξ αἰῶνος τελευτήσαντες, ἐκ τῆς τῶν πρακτόρων ἐπαχθείας ἀπαλλαγέντες. ἵνα εἴπῃ, ὅτι τῶν τοῦ βίου συμφορῶν ἐκτὸς γενόμενοι. τούτων γὰρ ἀνώτερός ἐστιν ὁ θάνατος. καὶ ἐν ᾅδου οὐ μόνον οὐδὲν ἐστὶν ὑπομεῖναι δεινὸν, ἀλλ' οὐδὲ μέχρις ἀκοῆς τὰ δεινὰ παραδέξασθαι.

ΧΡΥΣΟΣΤ. Πρὸς δὲ διάνοιαν, ὁ Ἱερὸς μακαρίζει λόγος τοὺς μὴ ἀκούσαντας φωνὴν φορολόγου. οἱ γὰρ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν καταξανιστάμενοι, καὶ πατοῦντες ἀρχὰς, καὶ νικῶντες τὰ πνευματικὰ τῆς πονηρίας, κρείττονες γεγόνασι τῆς τοῦ φορολόγου φωνῆς, τουτέστι, τοῦ διαβόλου, ὃς τοὺς ὑπ' αὐτοῦ προαιρετικῶς γεγονότας, ὥσπερ τινὰ δασμὸν ἀπαιτεῖ, τὸ πράττειν τὰ αὐτῷ καταθύμια. ἀλλ' οἱ δίκαιοι ἐπειδήπερ αὐτοῦ οὐκ ἤκουσαν, ὥστε τὰ φαῦλα πράττειν, ταύτῃ τοι ὁμοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀθλοῦνται.

ΚΕΙΜ. Μικρὸς καὶ μέγας ἐκεῖ ἐστὶ, καὶ θεράπων δεδοικὼς τὸν Κύριον αὐτοῦ.

ΧΡΥΣΟΣΤ. Πολλὴ, φησὶ, κατὰ τὸν παρόντα βίον ἡ ἀνωμαλία, πολλὴ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐλευθερία καὶ ἰσοτιμία. οὐκ ἔστιν ἐκεῖ φοβηθῆναι μεταβολὴν, καθάπερ ἐνταῦθα. κακῶν ἐστὶν ὁ θάνατος ἐμπόδιον, ταλαιπωρίας λύσις. τὰ δοκοῦντα εἶναι δεινὰ, λέλυται· καὶ ὁ πάλαι δεδοικὼς τὸν ἑαυτοῦ δεσπότην, ἐκεῖ οὐ φοβεῖται. Πάντες ἐκεῖ τυγχάνουσι, μικρός τε καὶ μέγας, τουτέστι καὶ ὁ ἐν ἀξίᾳ, καὶ ὁ ἐν ταπεινότητι.

ὈΛΥΜΠ. Ταῦτα περὶ τοῦ θανάτου διὰ πολλῶν ἐφιλοσόφησεν ὁ σηπόμενος, καὶ σκώληκας βρύων, καὶ τῷ ἰχῶρι περιῤῥεόμενος, καὶ ὥσπερ τῶν ἀλγηδόνων ἐπιλαθόμενος, καθαρῷ διανοίας ὄμματι τὰ κάλλιστα ἡμῖν τῶν μαθημάτων παραδέδωκεν. ἡμεῖς

δὲ τέτων εἰς ἔννοιαν ἐκ ἐρχόμεθα. εἰ γὰρ τῦ θανάτε τὴν μνήμην εἴχομεν, βελτίυς ἂν ἐγενόμεθα, καὶ πλέτε, καὶ δυναςείας, καὶ τῶν ἐν τῷ βίῳ δοκέντων τερπνῶν, ῥᾳδίως ἂν περιεφρονῦμεν.

ΚΕΙΜ. Ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς; ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς.

Ο'ΛΥΜΠ. Πολλαχῦ ἡ γραφὴ, τὸ, ἵνα τί; ἐπὶ παρακλήσεως τίθησιν, ἐκ ἐπὶ ἀποδυσπετήσεως, ὡς ἐπὶ τῦ, ἵνα τὶ, Κύριε ἀφέςηκας μακρόθεν; καὶ ἵνα τί, ὦ Θεὸς, ἀπώσω εἰς τέλος; ὁ γὰρ μέμφεται, ὐδὲ αἰτιᾶται, ἀλλ' ἱκετεύει μὴ ἐγκαταλειφθῆναι ἐν ταῖς θλίψεσι, μηδὲ ἀπωσθῆναι εἰς τέλος.

ΧΡΥΣΟΣΤ. καὶ ΠΟΛΥΧΡ. Κἀνταῦθα τοίνυν, ἐκ ἐγκαλῦντος ἐςὶ τὰ ῥήματα, μὴ γένοιτο. τὰ γὰρ μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενα, ἐχ ὁμοίως ὑποληπτέον, ἀλλ' ἀλγῦντος, καὶ ζητῦντος, διατὶ οἱ ἐν συμφοραῖς ἐξετάζεσθαι μέλλοντες, εἰς τὸν βίον παρέρχονται; τοῖς μὲν γὰρ λοιποῖς, ἢ κατὰ τὸν βίον λαμπροῖς, ἢ ἐν ὑγείᾳ σώματος ὖσι, φέρει τινὰ παραμυθίαν ἡ εἰς κοινὸν αὐτοῖς διατριβή. οἱ δὲ τέτων μὲν ὐδενὸς μεθέξοντες. ταλαιπωρῦντες δὲ κατὰ τὸν βίον μόνον, ὐκ οἶδ' ὅ, τι, τὸ κέρδος, εἰς ζωὴν παρερχόμενοι ἔχυσι. καὶ οἱ μὲν ἄλλοι ἴσως τὶ καὶ ὠφελῦσι τὸν βίον, ὗτοι δὲ τί;

Ο'ΛΥΜΠ. Ἐπειδὴ τοίνυν φωτὸς καὶ ζωῆς εἶ χορηγὸς, Κύριε, περίελε τὰς ὀδύνας, περίελε τῆς ψυχῆς τὴν πικρίαν. ὡς νῦν γε τῦ ὀδυνηρῦ βίυ ὁ θάνατος αἱρετώτερος.

ΧΡΥΣΟΣΤ. Ἐντεῦθεν μανθάνομεν, ὅτι ὐχὶ ἡ ζωὴ μόνον, ἀλλὰ καὶ ὁ θάνατος χρησίμως γέγονεν, ὁ πότε οὕτως ἐςὶ ποθεινός. Ἐπάγει γοῦν.

ΚΕΙΜ. Οἳ ἱμείρονται τοῦ θανάτε, καὶ ὐ τυγχάνυσιν, ἀνορύσσοντες ὥσπερ θησαυρούς. Περιχαρεῖς δὲ ἐγένοντο ἐὰν κατατύχωσι.

ΠΟΛΥΧΡ. Τὴν ἄκραν ἐπιθυμίαν διὰ τέτων δεῖξαι προῄρηται. Ταύτην γὰρ, φησὶ, τὴν ἡδονὴν ἔχυσιν ἀποθνήσκοντες, οἱ ἐν συμφοραῖς ἐξεταζόμενοι, ἣν ἔχυσιν οἱ φιλόχρυσοι ἐπὶ τῇ εὑρέσει τῦ θησαυρῦ. Ὥσπερ γὰρ οἱ χρυσὸν μεταλλεύοντες, ἢ θησαυρὸν ζητῦντες, ἐὰν εὕρωσι χαίρυσιν· ὕτω καὶ οἱ ἐν πικραῖς ὀδύναις, ἐὰν πλησίον ὄντα τὸν θάνατον αἴσθωνται, λύσιν αὐτὸν τῶν κακῶν ἐλπίζοντες εἶναι, χαίρυσι.

ΧΡΥΣΟΣΤ. Διὰ τῦτο, φησὶ, καιρὸς τῷ παντὶ πράγματι, καὶ πάλιν, ὦ θάνατε, ὡς πικρόν συ τὸ μνημόσυνόν ἐςιν ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχυσιν αὐτῦ, ἀνδρὶ ἀπερισπάςῳ, καὶ εὐοδυμένῳ ἐν πᾶσι, καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν. καὶ αὖθις, ὦ θάνατε, καλόν συ τὸ κρίμά ἐςιν ἀνθρώπῳ ἐπιδεομένῳ, καὶ ἐλασσυμένῳ ἐν ἰσχύϊ, ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων, καὶ ἀπειθῦντι, καὶ ἀπολωλεκότι ὑπομονήν. διὰ τῦτο, καὶ ὁ Ἰὼβ ἐν συμφοραῖς ὢν ἐπιθυμεῖ τοῦ θανάτου, καὶ ταῦτα

λέγει, ἵν' ὅταν ἀκούσῃς τῆς γυναικὸς συμβουλευούσης αὐτῷ, εἰπόν τι ῥῆμα εἰς Κύριον, καὶ τελεύτα, μὴ νομίσῃς διὰ φιλοζωΐαν αὐτὸν μὴ εἰρηκέναι, ἀλλὰ δι' εὐσέβειαν. ὁ γὰρ οὕτω ποθεινὸν ἡγούμενος ἑαυτῷ, καὶ μέγα τι νομίζων ἀγαθὸν, τὸν θάνατον, παρόντα αἱρεῖν οὐκ ἐτόλμησεν.

ΚΕΙΜ. Θάνατος ἀνδρὶ ἀνάπαυμα. Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ.

ΧΡΥΣΟΣΤ. Ἀπόφασίς ἐστιν αὕτη. εἰ τοίνυν ἀνάπαυσις, τίνος ἕνεκεν οὐκ ἐπιτρέχουσιν οἱ πολλοί; διὰ γὰρ τοῦτο ὁ Θεὸς τὴν ζωὴν ἡμῖν ποθεινὴν ἐποίησεν, ἵνα μὴ ἐπιτρέχωμεν τῷ θανάτῳ.

ἸΣΙΔΏΡ. Ὅπερ μέντοι ἐπιχειροῦσι κατασχεδιάζειν τινὲς, εἰς τὸ, θάνατος ἀνδρὶ ἀνάπαυσις, πειρώμενοι δεικνύναι τοῖς ἀνδρείοις μόνοις καὶ γενναίοις ἀνάπαυλαν εἶναι τὸν θάνατον, οὐ τοῖς ἄλλοις τοῖς λεγομένοις ἀνθρώποις, ἕωλόν μοι φαίνεται. εἰ γὰρ καὶ ὄντως ἀνάπαυσίς ἐστι τοῖς γενναίοις ὁ θάνατος, τέλος ὢν τῶν ἄθλων, ἀρχὴ δὲ τῶν ἐπάθλων· ἀλλ' οὖν γε οὐ περὶ γενναίων ἦν τῷ ἀοιδίμῳ Ἰὼβ ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ παντὸς ἀνθρώπου ἁπλῶς, συμφοραῖς ἀφύκτοις περιπαρέντος. εἰδέ τις ἀπιστεῖ ἐκ τῆς συμφράσεως ῥᾳδίως ἂν γνοίη. περιέχει γὰρ, ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, καὶ ζωὴ ταῖς ἐν ὀδύναις ψυχαῖς; ὅταν, φησὶ, πάντοθεν οἱ πειρασμοὶ οὐρανομήκεις ὦσι, καὶ ἄφυκτοι, ὡς καὶ ἀλλαχοῦ ἔφη, ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσε, τότε ὁ θάνατος ἀσπαστὸς, καὶ εὐκταῖός ἐστιν. οὐ μόνον δὲ ἐπὶ ἄρρενος, τὸ τοῦ ἀνδρὸς εἴρηται ὄνομα, ἀλλὰ καὶ ἐπὶ γυναικός. ἀνδροφόνος οὖν καὶ ὁ γυναῖκα ἀποκτείνας. καὶ ἀνδριὰς, οὐ μόνον ὁ τοῦ ἀνδρὸς, ἀλλὰ καὶ ὁ τῆς γυναικός.

ὈΛΥΜΠ. Εἰπὼν γυμνὴν ὁ Ἰὼβ, ὅτι θάνατος ἀνδρὶ ἀνάπαυσις, καὶ τὴν αἰτίαν εὐθὺς ἐπήγαγε. συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ. καθ' ἑκάτερα, φησιν, ὁ θάνατός ἐστιν ἀνάπαυσις. πέρας γὰρ ἐστὶ τοῦ ἐνταῦθα βίου, καὶ συγκλείει τὰς ἐνταῦθα τῶν ἀνθρώπων πράξεις, ὥστε μὴ δύνασθαι ἡμᾶς ἔτι φαῦλόν τι πράττειν, ἀλλὰ καὶ τὰ κατὰ τοὺς πόνους τῆς ἀρετῆς πέρας ἔχει. ἐκεῖ γὰρ οὐκέτι οἱ ἀγῶνες, ἀλλ' οἱ στέφανοι. οὐκέτι οἱ ἱδρῶτες, ἀλλ' ἡ ἀνάπαυσις. τὸ οὖν, συνέκλεισεν ὁ Θεὸς κατ' αὐτοῦ, ἀντὶ τοῦ, καὶ τῶν πόνων τῶν περὶ τὴν ἀρετὴν πέρας ἔχει ὁ θάνατος, καὶ τῆς κακίας ἀποχήν. τάχα δὲ, ἵνα μὴ λέγῃ τις, ὅτι εἴπερ ὁ θάνατός ἐστιν ἀνάπαυσις, τίνος ἕνεκεν οὐχ αἱρῇ αὐτόν; συνέκλεισε, φησὶν, ὁ Κύριος κατ' αὐτοῦ. αἱ πύλαι, φησὶ, κεκλεισμέναι εἰσίν. οὕτω καὶ ὁ Σύμμαχος ἐξέδωκεν, ἀπέφραξεν ὁ Θεὸς κατ' αὐτοῦ, τουτέστιν, ἀνενέργητον αὐτὸν ἐποίησεν. ἄμεινον δὲ οἶμαι τὸ πρῶτον. τινὰ δὲ τῶν βιβλίων ἐν τῷ μεταξὺ, τοῦτο, θάνατος ἀνδρὶ ἀνάπαυσις, καὶ τοῦ, συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ, ἔχουσι καὶ τοῦτον τὸν στίχον, οὗ ἡ ὁδὸς ἀπεκρύβη ἀπ' αὐτοῦ. ὁ δὲ νοῦς οὗτος, τοῦ θανάτου ἡ ὁδὸς ἀπεκρύβη ἀπὸ τοῦ ἀνθρώπου. οὐ γὰρ οἶδεν ὁ ἄνθρωπος, πότε ὁ θάνατος ἐφίσταται, διὰ τὸ αἰφνίδιον, καὶ τὸ ἄδηλον. κατὰ τὸ εἰρημένον, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται. τινὲς, δὲ, τὸ, οὗ ἡ ὁ-

δὸς ἀπεκρύβη, τοῦ ἀνθρώπου φασί· ἐμοὶ δὲ τοῦ θανάτου δοκεῖ λέγειν. καὶ δῆλον ἐκ τῶν προειρημένων, καὶ τοῦ λέγειν, ἀνορύττοντες αὐτὸν ὥσπερ θησαυρὸν, δηλονότι κεκρυμμένον.

ΚΕΙΜ. Πρὸ γὰρ τῶν σίτων μου στεναγμὸς ἥκει. Δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ.

Ο'ΛΥΜ. καὶ ΠΟΛΥ. Αἰτίαν ἀποδίδωσι τοῦ ποθεῖν τὸν θάνατον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. οὐκ ἔχει τις εἰπεῖν, ὡς τρυφῶν ἄλλως ταῦτα φημὶ, οὐδενὸς δεινοῦ παθών. οὐδὲ γοῦν τὴν τροφὴν, φησὶν, ἀπονητὶ λαβεῖν δύναμαι, οὐδὲ ἀναστενακτὶ ταύτης μεταλαμβάνω. ἀεὶ δὲ τοῖς πάθεσι βαρούμενος στένω, καὶ ἑκάστοτε αὔξησιν τῶν δεινῶν ἐλπίζω, καὶ δέδοικα τὸ μέλλον ἀπὸ τῶν παρελθόντων, οὐ μόνον δὲ, ἀλλὰ καὶ δακρύω, φοβούμενος μήτι ἄρα τέλειον ἀπὸ Θεοῦ ἐγκαταλειφθῶ. ὡς ἄμεινον μὴ γενέσθαι ὅλως, ἢ τοῦτο παθεῖν.

ΚΕΙΜ. Φόβος γὰρ, ὃν ἐφρόντισα, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι.

ΧΡΥΣΟΣΤ. Τοῦτο ἄρα τὸ αἴτιον ἦν, τὸ ἐν τοσούτῳ χειμῶνι, καὶ κύμασιν οὕτως ἀπορρήτοις, τὸν δίκαιον στῆναι γενναίως, ὅτι ὅτε ἐπλούτει, προσεδόκα πενίαν, ὅτε ὑγίαινεν, ἤλπιζε νόσον. ὅτε παίδων πατὴρ τοσούτων ἐγένετο, καὶ ἄπαις ἀθρόον ἤλπιζεν ἔσεσθαι. καὶ τοῦτον ἀεὶ τὸν φόβον παρ' ἑαυτῷ, καὶ τὴν ἀγωνίαν ἔτρεφε, τῶν ἀνθρωπίνων πραγμάτων εἰδὼς τὴν φύσιν, καὶ τὸ ἐπίκηρον αὐτῶν ἀναλογιζόμενος. διὸ καὶ ἔλεγε, φόβος ὃν ἐδεδοίκειν, συνήντησέ μοι. καὶ καλῶς εἶπε, συνήντησέ μοι, ὡσανεὶ ἔλεγε, πρὸς ὃν ἀεὶ τοῖς λογισμοῖς ἠρχόμην. ἀεὶ γὰρ τῇ διανοίᾳ πρὸς αὐτὸν ἐβάδιζεν, ἀναμένων αὐτὸν, ἐλπίζων, καὶ προσδοκῶν. εἰ γὰρ ἐν πλούτῳ, καὶ τρυφῇ, καὶ περιφανείᾳ πολλῇ ζῶν διετέλεσεν, ἀλλὰ τὰς ἀλλοτρίας καθ' ἑκάστην ὠνειροπόλει συμφοράς. διὰ τοῦτο οὐδεν αὐτὸν ἐθορύβει προσπιπτόντων μεγάλων, καὶ ἀφορήτων.

Ο'ΛΥΜΠ. Οὐκ εἶπε κατὰ τὸν Δαβὶδ, ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, ἀλλ' ἐξ ὑπερβαλλούσης φιλοσοφίας, ἀεὶ περιδεὴς ἦν, εἰς τὸ ἐναντίον μεταβολὴν ἐννοῶν.

ΚΕΙΜ. Οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή.

ΧΡΥΣΟΣΤ. Οὐκ εἶπεν, οὐκ εἰρηνεύω, οὔτε ἡσυχάζω· ἀλλ' οὐκ εἰρήνευσα, ἐν τῷ παρελθόντι χρόνῳ. εἰ γὰρ καὶ τὰ προγεγονότα τρυφᾶν ἐποίει, ἀλλ' ἡ προσδοκία τῶν λυπηρῶν, οὐκ εἴα ἡσυχάζειν, οὐ δὲ ἐντρυφᾶν τοῖς παροῦσι. διὰ τοῦτο, ἅπερ ἐμελέτησε διὰ τῶν λόγων, ταῦτα ἰδὼν ἐπὶ τῶν πραγμάτων συμβάντα, γενναίως ἤνεγκε τὰ πάλαι μελετηθέντα. καὶ τὰ τῇ προσδοκίᾳ προειλημμένα, ταῦτα παρόντα βλέπων, οὐκ ἐξενίζετο, οὐδὲ ἐθορυβεῖτο· ἀλλ' ἦλθέ μοι, φησὶν, ἡ προσδοκωμένη ὀργὴ, τουτέστιν ἡ πικρὰ καὶ ἀνήκεστος τιμωρία, ἧς ἐπειράθην, ἣν καὶ πρὸ τῆς πείρας ἐμελέτων.

ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΤΕΤΑΡΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

Ὁ μὲν Ἰὼβ ἐν οἷς ἐφιλοσόφησεν, ἔδειξεν, ὡς ἐπαισθάνεται μὲν τῶν ἀλγηδόνων, ἔξω δὲ γίνεται τοῦ σώματος ἐν αὐταῖς μέσαις ταῖς βασάνοις. Εἰσηγήσατο δὲ καὶ τὸ περὶ ἀθανασίας ψυχῆς κάλλιστον μάθημα, δι' οὗ διδάσκει, μὴ συναπόλλυσθαι τοῖς σώμασι τὰς ψυχάς, ἀλλ' οὐδὲ ἐν ᾅδου τυγχάνειν. καὶ ἐπαίδευσε τοὺς πλουσίους, καὶ παρεμυθήσατο τοὺς ἐν ἀνάγκαις, πέρας ἁπάντων λέγων εἶναι, καὶ τῶν ἐν βίῳ φοβερῶν, καὶ τῶν δοκούντων ἡδέων. καὶ ὅτι χρησίμως ὑπὸ Θεοῦ τοῖς ἀνθρώποις τὸ τοῦ θανάτου ᾠκονομήθη μυστήριον, διὰ τὸ καὶ κακίαν ἐπέχειν, καὶ πόνων φέρειν ἀνάπαυλαν, καὶ ὡς οὐ δεῖ παραφρονεῖν ἐν ταῖς ἀθυμίαις, ἀλλ' ἐννοεῖν τοῦ βίου τὸ ἀμετάπτωτον, καὶ δεδοικέναι. καὶ ὅτι τὸ ἀποθανεῖν ἄμεινον, ἢ ἐν προσκρούσει γενέσθαι Θεοῦ. Ταῦτα δὲ οὐ νενοηκότες οἱ περὶ τὸν Ἐλιφάζ, ὑποπτεύσαντες δὲ βλασφημίαν εἶναι κατὰ Θεοῦ, τὸ ποθεῖν τὸν δίκαιον ἀπαλλαγῆναι τοῦ βίου, ἀλόγῳ κινοῦνται ζήλῳ, καὶ ἐκταραχθέντος αὐτοῖς τοῦ θυμικοῦ, πλανῶνται περὶ τοὺς τῆς προνοίας λόγους· καὶ νομίζοντες ὅτι δι' ἁμαρτίας μόνον πάσχουσιν οἱ ἄνθρωποι, τὴν ὑπὲρ τοῦ Θεοῦ δῆθεν ἀναλαβόντες συνηγορίαν, ὅτι δικαίως, καὶ ὡς ἁμαρτωλὸν τιμωρεῖται τὸν Ἰώβ, προσθήκη τῶν ἀλγηδόνων, οἱ ἐπὶ παραμυθίαν ἥκοντες, αὐτῷ γεγόνασι. Ποιοῦσι δὲ τοῦτο, οὐ κακονοίᾳ τινί, ἀλλ' οἰόμενοι τὸν ἑαυτῶν φίλον ἐπιστρέφειν, καλλίονα ποιεῖν, καὶ διὰ τοῦ ἐκφοβεῖν, ἐπὶ μετάνοιαν προτρέπειν. διὸ καὶ ὑπὸ Θεοῦ ἀγανακτοῦνται μέν, ὡς οὐ δίκαια λαλήσαντες· Συγχωροῦνται δὲ ὡς οὐ κακονοίᾳ τινί, εὐνοίᾳ δὲ μᾶλλον τῇ περὶ τὸν δίκαιον, καὶ τῇ πρὸς Θεὸν εὐλαβείᾳ, τοιαῦτα φθεγξάμενοι. Ἔστιν οὖν οὐδὲ ἡ τῶν φίλων ἀντιλογία ἡμῖν ἀλυσιτελής, εἰ καὶ μὴ κατὰ τὸ δέον, μηδὲ ἐν καιρῷ, μηδὲ ἐπὶ προσώπου ταῦτα ὀφείλοντος ἀκούειν, γέγονε. πρῶτα μὲν γὰρ διδασκόμεθα, μὴ ὡς ἔτυχε τὰς παραινέσεις ποιεῖσθαι, ἀλλὰ μετὰ πολλῆς εὐλαβείας, καὶ δεήσεως τῆς πρὸς τὸν Θεόν, ὅπως ἀπλανεῖς ἡμῶν, καὶ ἀδιαστρόφους φυλάξῃ τοὺς λογισμούς· καὶ ὅτι οὐδὲ μία ὠφέλεια, μᾶλλον δὲ καὶ βλάβη, τῷ μὴ κατὰ τὸ δέον κρίνοντι, κἂν ὑπὲρ τοῦ Θεοῦ δοκῇ ποιεῖσθαι τοὺς λόγους. χρὴ τοιγαροῦν μετὰ φόβου Θεοῦ ποιεῖσθαι τοὺς λόγους. Πέφυκε γὰρ ὁ πονηρὸς ἐφεδρεύειν ἡμῶν ταῖς διαλέξεσι, καὶ τὸ θυμικὸν τῆς ψυχῆς ἐκταράττειν μέρος, ὡς ἂν σκοτωθέντες τὸν νοῦν, καὶ τῆς εὐθείας παρατραπέντες, οἱ ἐπὶ ὠφελείᾳ πολλάκις συναχθέντες, βλάβης αἴτιοι ἑαυτοῖς γενώ-

θαι. πιθανῷ δὲ προοιμίῳ χρησάμενος ὁ Ἐλιφὰζ, ἐν μέσοις πλανᾶται τοῖς λόγοις, καὶ πειρᾶται δεικνύναι, ὡς δι' ἁμαρτίας πάσχει ὁ Ἰὼβ, καὶ ἐπιστρέφειν τὸν ἐπεστραμμένον, καὶ πρὸς θεοσέβειαν ἕλκειν τὸν ἄμεμπτον καὶ θεοσεβῆ, καὶ παρ' αὐτὰς μέσας ἀλγηδόνας τοιαῦτα φιλοσοφήσαντα.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει.

ΟΛΥΜΠ. Τὸ, ὑπολαβὼν τουτέστι, τοὺς λόγους τοῦ Ἰὼβ διαδεξάμενος.

ΚΕΙΜ. Μὴ πολλάκις σοὶ λελάληται ἐν κόπῳ, ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;

ΧΡΥΣ. Κόπον, οἶδεν ἡ γραφὴ τὴν ἁμαρτίαν λέγειν. ὡς ὅταν λέγῃ, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος, καὶ πόνος. φησὶν οὖν ὁ Ἐλιφὰζ, ὅρα, ὦ Ἰὼβ, μήποτε ἐλάλησάς τι ἐν ἁμαρτίᾳ, καὶ διὰ τοῦτο νῦν οὕτω πάσχεις. οὐκ εἶπε δὲ μὴ πέπρακταί σοι; ἀλλὰ, μὴ λελάληταί σοι; ἐπειδὴ γὰρ ἔλαμπεν ὁ βίος αὐτοῦ, καὶ πολλὰ τῆς ἀρετῆς ὑπομνήματα πανταχοῦ τῆς γῆς εἶχε. μὴ τοῦτο φησὶν, εἴπῃς, εἰ καὶ πράξεις σου καλαὶ καὶ ἀγαθαί. συμβαίνει γὰρ ἐν τοῖς ῥήμασι γεγενῆσθαι τὴν ἁμαρτίαν.

ΔΙΔΥΜ. Ἢ τὸ, πολλάκις σοι λελάληται ἐν κόπῳ; δηλοῖ, ὅτι καὶ αὐτὸς σὺ πολλάκις ἐχρήσω λόγοις πρός τινας περιπεπτωκότας θλιβεροῖς, καὶ παράκλησιν αὐτοῖς προσήγαγες ἐν κόπῳ, τουτέστιν, ἐν ταῖς συμφοραῖς καὶ ταῖς θλίψεσι. νῦν δὲ τὰ σὰ ῥήματα ὀλιγωρίας πεπληρωμένα, οὐδεὶς οἷός τέ ἐστι φέρειν· ἀλλὰ τὸ τραχὺ σου τῶν λόγων, καὶ τὸν ἄγαν ἡσυχάζειν βουλόμενον, διανίστησι πρὸς ἀντιλογίαν.

ΟΛΥΜ. Ὁ μέντοι Θεοδοτίων, καὶ ὁ Σύμμαχος, ὁ μὲν ἐκδοὺς, εἰ ληψώμεθα λαλῆσαι πρὸς σὲ, κοπιάσεις, ὁ δὲ, ἐὰν ἀναλάβωμεν λόγον, μοχθήσεις. τοῖον δέ τινα νοῦν παριστῶσιν, οἶδα, φησὶν, ὦ Ἰὼβ, ὅτι οὐδέποτέ σοι λελαλήκαμεν λυπηρὰ, ὥστε σὲ κοπιάσαι. νῦν δὲ, ἐπειδὴ μὴ δυνάμεθα σου φέρειν τὴν τραχύτητα τῶν ῥημάτων, εἰς ἀντιλογίαν ἤλθομεν. δέον γὰρ χάριν γινώσκειν τῷ γενεσιουργῷ, ἐφ' οἷς οὐκ ὄντα σε, εἰς τὸ εἶναι παρήγαγε, καὶ μεταμελείᾳ τῶν ἐπταισμένων αὐτὸν ἐξιλεοῦσθαι· μηδὲν δὲ ἀπηχὲς περὶ αὐτοῦ λογίσασθαι τολμήσαντα, καθ' αὐτοῦ, καὶ ἐπὶ τῇ γενέσει ἀποδυσπετῆσαι. ταῦτα μὲν ἔλεγεν Ἐλιφὰζ, ἀγνοῶν τὴν δύναμιν τῶν παρὰ τοῦ δικαίου εἰρημένων.

ΚΕΙΜ. Εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς, καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας, ἀσθενοῦντάς τε ἐξανέστησας, ῥήμασι γόνασί τε ἀδυνατοῦσι θάρσος περιέθηκας. νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος, καὶ ἥψατό σου, σὺ ἐσπούδασας.

ΧΡΙΣΟΣΤ. καὶ ΠΟΛΥΧΡ. Οὐκ εἶπε τὰ ἐν χρήμασιν αὐτῷ κατορθωμένα. ἐνῆν γὰρ ἀναθεῖναι τὴν πενίαν. ἀλλ' εἴ τινας ἀπὸ λόγων ὠφέλησεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, μάχεται, φησὶ, τῇ παλαιᾷ ὑπολήψει τὰ παρόντα. ὁ γὰρ πολλάκις ἄλλους ἀναρρώσας τοῖς λόγοις, καὶ μονονουχὶ πε-

πτωκότας διαναστήσας, ἀγαθὰς ἐλπίδας αὐτοῖς ὑποθέμενος, τί πέπονθας; πῶς τὸν ἐπελθόντα σοὶ πόνον φέρειν οὐδύνῃ; ἀλλὰ ἐσπούδασας, τουτέστι, τεθορύβησαι. εἴρηται δὲ ἡ λέξις ἀπὸ τοῦ τοὺς θορυβουμένους σπεύδειν. καίτοιγε ἐχρῆν σε τῶν οἰκείων ὑπομιμνησκόμενον τῶν λόγων, καὶ τούτους αἰδούμενον, μὴ ἐν ταῖς ἑτέρων μόνον, ἀλλὰ καὶ ἐν ταῖς αὐτοῦ συμφοραῖς φιλοσοφεῖν. ἐπιτήρει δὲ, ὡς, πρὸς ταῖς ἄλλαις ἀρεταῖς, μαρτυρεῖ τῷ Ἰὼβ ὁ Ἐλιφὰζ, ὅτι καὶ διδασκαλικὸν εἶχε χάρισμα, καὶ τὸν παρακλητικὸν μετὰ θείας χάριτος προσέφερε λόγον, ὥστε καὶ ἀθυμεῖν τοὺς ἐν συμφοραῖς παρασκευάζειν, διὰ τῆς παραινέσεως. ταῦτα μὲν οὔπω τραχέα τοῦ Ἐλιφὰζ τὰ ῥήματα, τὰ δὲ ἐφεξῆς οὐκέτι πρὸς τὴν τοῦ παραμυθουμένου προσώπου ποιότητα φθέγγεται. ἄκουε γάρ.

ΚΕΙΜ. Πότερον οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφροσύνῃ; καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου;

ΧΡΥΣΟΣΤ. Ὁ δὲ ἀκύλας, ἡ ὑπομονή σου, καὶ ἡ ἁπλότης τῶν ὁδῶν σου, μάταιον πλέκει συλλογισμόν. ἐπειδὴ γὰρ εἶπε, φόβος ὃν ἐφρόντισα ἦλθέ μοι, φησὶν, ὅτι οὗτος ὁ φόβος ἐν ἀφροσύνῃ ἦν, καὶ ἡ ἐλπίς σου ἀπὸ τῆς κακίας τῆς καρδίας σου ἦν. ἀνόητον γὰρ, ἀγαθὸν ὄντα τοιαῦτα προσδοκᾷν, ὥστε σεαυτὸν ἤλεγξας, ὅτι βίου εἶ πονηροῦ. εἰ γὰρ ἐθάρρεις ἐπὶ καθαρότητι, μάταιος ὁ φόβος.

ΠΟΛΥΧΡ. Νῦν δέδεικται ἐπὶ τῶν πραγμάτων, ὅτι ἐν κακίᾳ ὢν, ἔλεγες, ἐλπίζειν ἐπὶ τὸν Θεὸν, ὅπερ ἀφροσύνης ἐστὶ τεκμήριον. τὸ δὲ συναγόμενον τοιοῦτον, εἰ σὺ τοὺς ὀδυνωμένους παρεμυθήσω, καὶ τοὺς ἐκ τῆς ἀθυμίας καταπεσόντας ἀνέστης, πῶς αὐτὸς περιπεσὼν συμφοραῖς, ἀνυποίστως φέρεις τὴν ἀλγηδόνα; ψιλὴν ἄρα δόξαν ἀνδρείας εἶχες ποτὲ, ψιλὴν δὲ ὑπομονὴν, ὁπότε νῦν τοσοῦτον ἐπὶ τῇ πληγῇ ἐθορυβήθης. ἔτι δὲ εἰ ἀγαθὸς ὢν ἐφοβοῦ, καὶ προσεδόκας μὴ πάθῃς ἀνήκεστον, ἀνόητος, καὶ οὗτος ὁ φόβος, καὶ ἡ ἐλπίς. τὸν γὰρ ἀρεστεύοντα, οὐχὶ καταπτηχέναι, ἀλλὰ θαῤῥεῖν χρὴ, οὐδὲ προσδοκᾷν καὶ ἐλπίζειν τὰ σκυθρωπὰ, ἀλλὰ μᾶλλον τὰ ἀγαθά.

ΚΕΙΜ. Μνήσθητι οὖν, τίς καθαρὸς ὢν ἀπώλετο.

ΠΟΛΥΧΡ. Ἐάσας, φησὶ, τὴν περὶ σεαυτοῦ πρόληψιν, ἀκριβὴς τῶν πραγμάτων ἐξεταστὴς γενοῦ. εὑρήσεις γὰρ, ὡς οὐδεὶς ἀμέμπτως βιώσας δέδωκε ποτὲ δίκην.

ΚΕΙΜ. Ἢ πότε ἀληθινοὶ ὁλόῤῥιζοι ἀπώλοντο.

ΟΛΥΜΠ. Οὐκ ἀφ' ὧν ἔπραξεν, ἀλλ' ἀφ' ὧν ἔπαθε, κατακρίνει τὸν δίκαιον, ἀγνοῶν τοῦ Θεοῦ τὰς οἰκονομίας. τὸ δὲ ὁλόῤῥιζοι, ἔμφασιν ἔχει τοῦ, πάντα αὐτὸν ἀπολέσαι τὸν πλοῦτον, τοὺς παῖδας, τὸ σῶμα αὐτό. ἔσω, φησὶν, ἔχεις εἰπεῖν, ὅτι ἔπαθόν τι δεινὸν ἕτεροι, ἀλλ' οὐμέχρι τῶν ἐγγόνων ἦλθεν αὐτοῖς τὰ δεινὰ, ὡς σὺ πανέστιος ἀπόλωλας. ἀλλ' οὐκ ἀπώλετο, ὦ βέλτιστε, ὁ ἀληθινὸς Ἰώβ.

ΚΕΙΜ. Καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα, οἱ δὲ σπείροντες αὐτὰ, ὀδύνας θεριοῦσιν ἑαυτοῖς. ἀπὸ

προ-

προστάγματος Κυρίου ἀπολοῦνται· ἀπὸ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ὅτι μὲν, ὃ σπείρει τις, τοῦτο καὶ θερίζει κατὰ τὸν ἱερὸν Ἀπόστολον, πρόδηλον. καὶ καλῶς τοῦτο εἶπεν ὁ Ἐλιφὰζ, ὅτι εἰς τιμωρίαν οἱ τὰ παράνομα δρῶντες πρόκεινται. τότε γάρ φησιν, εἶδον ἐγὼ ὑπὸ τὴν τοῦ Θεοῦ πίπτοντας ψῆφον, καὶ εἰκότως. ἀξίως γὰρ τῶν σφετέρων ἔργων τὴν ἐπικαρπίαν δέχονται. οἷς γὰρ οἱ πονηροὶ σπείρουσι κακοῖς, κατάλληλον ἀποίσονται δράγμα, τὴν κόλασιν. ἐπεὶ δὲ δεῖ ἀροτριᾶν, εἶτα σπείρειν, εἶτα θερίζειν, ἀκολούθως ἐχρήσατο τῇ τροπῇ τοῦ λόγου, πρῶτον εἰπών, οἱ ἀροτριῶντες τὰ ἄτοπα· εἶτα οἱ σπείροντες αὐτὰ, καὶ τότε ἀπαγαγὼν τὸ, θερίσουσιν ὀδύνας. ἐκεῖνο δὲ οὐκ ἐνενόησεν, ὅτι οὐ πάντως ἐνταῦθα αἱ ἀνταποδόσεις. πολλοὶ γὰρ τῶν φαῦλα πραξάντων ἀνελέγκτως ἀπῆλθον, μὴ κολασθέντες ἐν τῷ βίῳ τῷδε, ἀλλὰ τηρούμενοι τοῖς ἐκεῖ δικαιωτηρίοις. οὐ καλῶς οὖν ἀπεφήνατο, ὅτι πάντως οἱ ἄδικοι ἐνταῦθα κολάζονται, ἢ ὅτι πάντως οἱ ἀληθινοὶ καὶ δίκαιοι οὐ περιπίπτουσιν ἐνταῦθα συμφοραῖς. οὗτοι γὰρ μάλιστα ὡς ἐπίπαν πάσχουσιν, ἵνα δοκιμασθῶσιν. ἀλλὰ πλανηθεὶς ὁ Ἐλιφὰζ ἀντιφθέγγεται τῇ γραφῇ. τῆς γὰρ γραφῆς εἰπούσης περὶ τοῦ Ἰὼβ, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινὸς, αὐτός φησιν, ὅτι οὐκ εἶ ἀληθινός. εἰ γὰρ ἂν ἦς, οὐδὲ ἐκ ῥιζῶν ἀπώλου, τουτέστιν αὐτοῖς τοῖς τέκνοις, καὶ περιουσίᾳ.

ΧΡΥΣΟΣΤ. Τὸ δὲ, ἀπὸ προστάγματος Κυρίου, μὴ νομίσῃς, φησὶ, δαιμόνων εἶναι πονηρῶν, μηδὲ ἀνθρώπων ἐπιβούλων, τὰ συμβεβηκότα. Θεὸς ἐστὶν ὁ κολάζων, οὐκοῦν ἀναμφισβήτητον δικαίαν εἶναι τὴν κόλασιν.

ΠΟΛΥΧΡ. Ἢ τὸ, ἀπὸ προστάγματος Κυρίου, τουτέστιν, οὐ δεῖται πόνων Θεός. ἀρκεῖται δὲ προστάξας εἰς τιμωρίαν τῶν ὑπαιτίων.

ΟΛΥΜΠ. Τὸ δὲ, ἀπὸ πνεύματος ὀργῆς αὐτοῦ, ἀντὶ τοῦ, διὰ τῆς ἀπειλῆς τοῦ Θεοῦ. εἴρηται δὲ, τὸ, ἀφανισθήσονται ἀπὸ Πνεύματος, ὡς ἐπὶ σπερμάτων γενομένων ἀνεμοφθόρων, ἵνα κἀνταῦθα ἡ τροπὴ τηρηθῇ. ὅτι οἱ τὰ τοιαῦτα σπείροντες, θερίζουσιν ἀκαρπίαν.

ΚΕΙΜ. Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν. Σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους.

ΔΙΔΥΜ. Λαμβάνει φύσιν ἀλόγων, οὐ μόνον πάνυ μὴ χρησίμην τῷ γένει τῷ ἡμετέρῳ, ἀλλὰ καὶ ἐπίβουλον, καὶ κατασκεδάζει, ὅτι πᾶν τὸ ἄδικον, καὶ ὑπερήφανον, ἀπόλλυσιν ὁ Θεός. ἀπόλλυται γοῦν, φησὶν, ὁ ἀνυπόστατος λέων, ὅταν βούληται Θεός. σβέννυται δὲ τὸ ἄγριον φθέγμα τῆς λεαίνης, δι' οὗ ἐκδειματοῖ τῶν θηρίων τὰ ἀσθενέστερα. καὶ οἱ δράκοντες ἐταπεινώθησαν. ἐξέλιπε δὲ ὁ μυρμηκολέων, μὴ χορηγηθείσης αὐτῷ τροφῆς. καὶ οἱ σκύμνοι τῶν λεόντων ἔλιπον ἀλλήλους, οὐκ εἰς διαδοχὰς παραπέμπονται.

ΟΛΥ-

ΟΛΥΜΠ. Τὸν μέντοι μυρμηκολέοντα, οἱ μὲν οὐδὲ ὅλως εἶναι φασὶ ζῶον καθ' ἱστορίαν, ἀλλὰ κατὰ σύνθεσιν οὕτως εἰρῆσθαι· οἱ δὲ ζωΰφιον εἶναι τοῦτο λέγουσιν, ἐκ τοῦ ὠκεανοῦ τὴν γένεσιν ἔχον, ἤτοι ἐκ γῆς φυόμενον. ἀπόλλυσθαι δὲ, διὰ τὸ μὴ ἔχειν τὴν ἀναλογοῦσαν τροφήν· οἱ δὲ καὶ δίχα τροφῆς αὐτὸ φασὶ δύνασθαι ζῆν, οὕτω τοῦ Θεοῦ κατασκευάσαντος. πρὸς μὲν οὖν τὴν ἱστορίαν, πειρᾶται δεικνύναι ὁ Ἐλιφὰζ, ὅτι οὐκ ἔστιν ἀληθινὸς ὁ Ἰὼβ, φυσικοῖς παραδείγμασι χρώμενος, καὶ κατ' ἐρώτησιν τὸν λόγον ποιούμενος. εἰπέ μοι γὰρ, φησὶν, ὦ Ἰὼβ, μὴ οἱ λέοντες τὴν οἰκείαν ἀλκὴν ἀπώλεσαν; οὐ μέχρι νῦν ἰσχυρόν ἐστι τὸ ζῶον ὁ λέων; μὴ τῶν δρακόντων ἐσβέσθη τὸ γαυρίαμα; οὐ μέχρι τοῦ νῦν σώζουσι τὸ γαυρίαμα, καὶ τὸ ἀπτόητον; μὴ ὁ μυρμηκολέων ἀπώλετο, καὶ ταῦτα μὴ τρεφόμενος; μὴ τῶν λεόντων οἱ σκύμνοι ἀγεληδὸν, ὥσπερ τὰ θρέμματα νέμονται; οὐ καθ' ἑαυτοὺς ζῶσι; καὶ ἕκαστος ἐν ἰδιάζοντι τόπῳ, ὡς ἐξ ἀρχῆς ὑπὸ τῆς φύσεως ἐτάγησαν; ὥσπερ οὖν, φησὶ, ταῦτα τηροῦσι τοὺς ὅρους τῆς φύσεως, καὶ τούτοις ἐμμένουσι, μικρά τε καὶ μεγάλα ζῶα, οὕτω καὶ σὺ, εἰ ἦς ἀληθινὸς ὄντως, καὶ μὴ μέχρι λόγων μόνον εἶχες τὸ θεοσεβὲς, οὐδὲν ἂν τούτων συνέπεσέ σοι, οὐδ' ἂν μετετέθης τῶν ὅρων τοῦ Θεοῦ, ὥστε καὶ δικαιοπραγῶν δυστυχῆσαι. κατὰ δὲ θεωρίαν, τὰς ὁρμὰς τῶν παθῶν τοῖς θηρίοις ἀπεικαστέον. τῷ δὲ μυρμηκολέοντι τὸν διάβολον, μύρμηκα μὲν ὄντα τοῖς εὐσεβέσι, λέοντα δὲ τοῖς ἀσεβέσιν. εἰ μὴ εὗρεν οὖν, φησὶ, παρὰ σοὶ τροφὴν ὁ διάβολος, τουτέστιν εἰ μὴ ἦς ἄδικος, ἀπώλετο ἄν, ἀντὶ τοῦ, ἄπρακτος ἔμενε, καὶ αἱ τῶν παθῶν προσβολαὶ ἀπεσβέννυντο, καὶ διελύοντο.

ΝΕΙΛΟΥ. Τὰ γὰρ πάθη ἐν ἀρχῇ μὲν εὐκαταγώνιστα. ἀλκιμώτερα δὲ γεγονότα μετὰ πολλῆς τῆς ῥώμης ἐπιτίθενται, βαρὺν καὶ ἐπικίνδυνον, τοῖς ἐν ἀρχῇ τῆς πρὸς αὐτὰ μάχης ἀμελήσασι, ποιοῦντα τὸν πόλεμον. διὰ τοῦτο καὶ ὁ Προφήτης, ἐξολοθρεῦσαι σπέρμα ἐκ Βαβυλῶνος κελεύει. ἕως ἔτι ἐν ταῖς τῶν αἰσθήσεων ἀποθήκαις εἰσὶν αἱ μορφαὶ, ἀφανίσαι συμβουλεύων αὐτὰς, ἵνα μὴ τῇ τῆς διανοίας ἐμπεσοῦσαι γῇ, βλαστήσωσι, καὶ τοῖς λάβροις, καὶ κατωφερέσιν, ὑετοῖς, ταῖς ἐπαλλήλοις μελέταις ποτισθεῖσαι, πολύχουν τὸν τῆς κακίας ἐνέγκωσι καρπόν. ἕτερος δὲ προφήτης μακαρίζει τοὺς μήπω τὴν ἀκμὴν τῶν παθῶν ἐκδεξαμένους, ἀλλ' αὐτῇ προσπεφυκότα τῇ θηλῇ διαφθείροντας, μακάριος, λέγων, ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. τάχα δὲ καὶ ὁ μέγας Ἰὼβ, τὰ καθ' ἑαυτὸν φιλοσοφῶν, τοιοῦτόν τι αἰνίσσεται, ἐν ὕδατι μὲν θάλλειν πάπυρον, καὶ βούτομον, λέγων, στερηθεῖσαν δὲ τούτου πᾶσαν βοτάνην ξηραίνεσθαι. καὶ τὸ, μυρμηκολέων ὤλετο διὰ τὸ μὴ ἔχειν βορὰν, τοιοῦτόν τι σημαίνειν ἔοικε. τὸ γὰρ ἐνεδρευτικὸν τοῦ πάθους δεῖξαι θελήσας ὁ λόγος, σύνθετον ἐξεῦρεν αὐτῷ τὴν προσηγορίαν, ἐκ τοῦ θρασυτάτου λέοντος, καὶ ἐκ τοῦ πάντων εὐτελεστάτου μύρμηκος, συνθεὶς τὸ ὄνομα. αἱ μὲν γὰρ προσβολαὶ τῶν παθῶν, ἀπὸ εὐτελῶν ἄρχονται φαντασιῶν, μύρμηκος δίκην λανθανόντως προσέρπουσαι. τὰ δὲ τελευταῖα, ἐπὶ μέγαν ἐξαίρεται ὄγκον, ὡς οὐκ ἔλαττον λέοντος ἐπιδρομῆς τῷ παρατυχόντι παρέχειν τὸν κίνδυνον. διὸ χρὴ τὸν

ἀγωνιςὴν, ἢ τότε παλαίειν πρὸς τὰ πάθη, ὅταν ὡς μύρμηξ προσέρχονται, δέλεαρ τὴν ἀτέλειαν προβαλλόμενα. ἐὰν γὰρ ἐπὶ τὴν τοῦ λέοντος ἰσχὺν φθάσωσι προελθεῖν, δυσκαταγώνιστα γίνονται· ἢ βορὰν αὐτοῖς μὴ παρέχειν. βορεῖ δὲ τούτων, αἱ διὰ τῶν αἰσθήσεων εἰσερχόμεναι εἴσω εἰκόνες. αὗται γὰρ τρέφουσι τὰ πάθη, ἕκαστον εἴδωλον ἐκ διαδοχῆς ὁπλίζουσαι κατὰ τῆς ψυχῆς. ταῦτα δὲ, οὐχ ὡς τοῦ Ἐλιφὰζ οὕτω νοήσαντος ἐθεωρήσαμεν, ἀλλ' ὡς δυναμένων τῶν ῥημάτων, καὶ πρὸς ἀλληγορίαν τρέπεσθαι, ὅταν ἡ χρεία καλέσῃ. καὶ γὰρ οἱ παλαιότεροι τῇ θεωρίᾳ ἐχρήσαντο, καὶ μυρμηκολέοντα τὸν διάβολον ἐκάλεσαν. ἐπειδὴ μικρά τινα προπαρασκευάζων ἁμαρτάνειν καὶ λαθραίως ὑπεισιὼν, εἰς μεγάλα τελευτᾷ ἐθίζων καταφρονεῖν.

ΔΙΔΥΜ. Κατὰ μέντοι τὴν ἱστορίαν, ἐπειδὴ εἶπεν Ἐλιφὰζ, ὅτι οἱ σπείροντες τὰ ἄτοπα, ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἐπήγαγεν, ὅτι καὶ λέων, καὶ δράκων τὸ αὐτὸ πείσεται, Θεοῦ βουλομένου. ὁ τοίνυν καὶ ἐν τοῖς ἀλόγοις τὴν ἀταξίαν διατηρῶν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων.

ΠΟΛΥΧΡ. Ἑτέρως δὲ, λέοντι τὸν Ἰὼβ, διὰ τὴν βασιλικὴν συνέκρινε δύναμιν· αἰνιττόμενος ἅμα, ὡς ἁρπακτικὸς τις εἴη, καὶ σοβαρὸς τῷ φρονήματι. τὸ δὲ, φωνὴ λεαίνης, εἰς τὴν γυναῖκα ὁρᾷ· εἰς δὲ τοὺς παῖδας, τὸ τῶν δρακόντων γαυρίαμα, καὶ οἱ σκύμνοι τῶν λεόντων. τὸ δὲ, ἔλιπον ἀλλήλους, δηλοῖ, ὅτι τὴν ὁμόνοιαν αὐτῶν διέλυσεν ὁ θάνατος. πάντα δὲ ταῦτα σβεσθῆναι, φησὶν, ἐπεμβαίνων τοῖς πάθεσιν αὐτοῦ. καὶ διὰ τοῦ μυρμηκολέοντος δὲ τὸν Ἰὼβ αἰνίττεται. ἁμαρτωλὸν μὲν ὄντα, δικαίου δὲ κεκτημένου ὑπόκρισιν. ὅθεν ἐπάγει.

ΚΕΙΜ. Εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου (ὁ δὲ Σύμμαχος πρὸς ἐμὲ δὲ ἐλαλήθη λαθραίως, ἐν κλοπῇ) οὐδὲν ἄν σοι τούτων κακὸν ἀπήντησεν.

ΟΛΥΜΠ. Ἐκ τῶν εἰκότων, φησὶ, συλλογίσαιτο ἄν τις, δίκλυσε πλημμελημάτων τινῶν δεδωκέναι. εἰ μὴ γὰρ μόνον ἐν λόγοις εἶχες τὸ θεοσεβὲς, ἀλλὰ καὶ ἔργοις ὑπῆρχες ἀληθινὸς, καὶ οὐδέν τι τῶν μὴ προσηκόντων παρὰ σοῦ ἐγένετο, οὐκ ἂν τοσούτων πεῖραν ἔλαβες κακῶν, τοῦ Θεοῦ μὴ παρορῶντος τῶν δικαίων τὰς πράξεις.

ΧΡΥΣΟΣ. Τὸ δὲ, εἴ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν τοῖς λόγοις σου, αἰνίττεται, ὅτι πολλάκις σεμνά τινα εἶπεν ὁ Ἰὼβ, ἤτοι εἰς ζῆλόν τινας ἄγων, ἢ καὶ ἑτέρας ἕνεκεν οἰκονομίας.

ΚΕΙΜ. Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ; (ὁ δὲ σύμμαχος, καὶ ἐδέξατο τὸ οὖς μου ψιθυρισμὸν παρ' αὐτοῦ) φόβῳ δὲ καὶ ἤχῳ νυκτερινῷ ἐπιπίπτων φόβος ἐπ' ἀνθρώπους, φρίκη μοι συνήντησε καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ διέσεισε, καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν· Ἔφριξαν δέ μου τρίχες καὶ σάρκες; Ἀνέστην, καὶ

οὐκ ἐπέγνων. Εἶδον, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ᾽ ἢ αὔραν καὶ φωνὴν ἤκουον.

ΟΛΥΜΠ. Βαθὺ τὸ χωρίον καὶ δυσκάτοπτον, καὶ πολλὰς ἐννοιῶν ἀτραποὺς προβαλλόμενον. ἤτοι γὰρ εἰς φόβον ἐνάγων ὁ Ἐλιφὰζ τὸν δίκαιον, φησὶν, ὅτι δεῖ σε φοβεῖσθαι, ὦ Ἰὼβ, καὶ μὴ καταφρονεῖν τοῦ Θεοῦ, ἐπειδήπερ οὐ μεθ᾽ ἡμέραν κολάζει, ἀλλὰ καὶ ἐν ὕπνῳ, διὰ νυκτερινῶν ὄψεων, ὡς καὶ ἑτέρων διηγουμένων τὰ περὶ αὐτῶν θαυμάσια, ἤκουσα, καὶ αὐτὸς ἐπειράθην πολλάκις, ἐν ὕπνῳ φοβηθεὶς, ὡς συντρομόν με γενέσθαι, καὶ φρίξαι μου τὰς τρίχας, καὶ σεισμὸν ὑπομεῖναι τὴν ὀστῶν τὴν ἁρμονίαν, καὶ δοκεῖν τι πνεῦμα ἐπιέναι μοι, μηδὲν μέντοι μεμορφωμένον ὁρῶν· φωνῶν δὲ μόνον ἀκούων ἠρέμα, ἐκπληκτικῶς μοι προσπιπτουσῶν, καὶ τρόμον ἐμβαλλουσῶν· ἢ καὶ τοιοῦτόν τι δοκεῖ λέγειν, φοβήθητι τὸν καὶ δι᾽ ἐνυπνίων κολάζοντα, οὗ καὶ ἡ ἔννοια φοβερά. ἐὰν γάρ ποτε εἰς νοῦν λάβω τὴν περὶ τῆς φύσεως αὐτοῦ μεγαλειότητα, καὶ πῶς πανταχοῦ τέ ἐστι, καὶ ἔξω τοῦ παντὸς τυγχάνει, ταυτὸν ὑπομένω τοῖς ἀωρὶ τῶν νυκτῶν, βαθείας σιγῆς κατεχούσης τὸ πᾶν, ἐν πολλῇ τῇ ἡσυχίᾳ ὑπὸ τοῦ ἤχου τοῦ νυκτερινοῦ καταπτοουμένοις· ὥστε καὶ φρίκην μοι συμβαίνειν, καὶ τρόμον ἐν ταῖς τοιαύταις ἐννοίαις, καὶ γίνομαι μὲν ἐν περινοίᾳ ἀφανοῦς τινος καὶ ἀκαταλήπτου πνεύματος. εἰ δὲ καὶ διαναστείην ἐπὶ πλέον τοῖς λογισμοῖς, οὐδὲν ἐπιγινώσκω, οὐδὲ καταλαμβάνω. τὸ γὰρ ἀνείδεον τοῦ Θεοῦ διαφεύγει τὴν ὀπτικὴν δύναμιν τῆς ψυχῆς· καὶ ὅσον ἄν τις ἀνέλθοι τοῖς λογισμοῖς, τοσοῦτον αὐτὸν ἡ εὕρεσις τοῦ ζητουμένου ἀπολιμπάνει. τὴν γὰρ φύσιν ἐστὶν ἀκατάληπτος, συναισθάνεται δ᾽ οὖν ὅμως τῇ διανοίᾳ, ὡσανεὶ αὔρας λεπτῆς καὶ φωνῆς ἠρεμαίας ἀναψυχούσης τὸν νοῦν, καὶ τῆς μὲν ἐνεργείας τοῦ Θεοῦ ποιούσης συναισθάνεσθαι, τὴν μέντοι θείαν φύσιν οὐκ ἐπιδεικνυούσης. παντελῶς γάρ ἐστιν ἀνέφικτος, καὶ φρίκης γέμουσα, καὶ σκοτοδινιᾶν τοὺς λογισμοὺς παρασκευάζουσα, ἡ τοιαύτη θεωρία. καὶ παραπλήσιόν τι γίνεται τῷ ἐπὶ τοῦ ἀνέμου. ὡς γὰρ ἐκεῖνον λαβεῖν ὀφθαλμοῖς οὐκ ἔνεστιν, οὕτως οὐδὲ Θεὸν ἑλεῖν δυνατὸν λογισμῷ. ἀνέφικτος γὰρ νῷ, ὡς ἄνεμος ὀφθαλμῷ. καὶ καθάπερ ἡ φωνὴ, καὶ ἀνέμιαιον πνεῦμα, διδόασι μὲν ἑαυτῶν τὴν συναίσθησιν, εἰς δὲ θέαν ἀνθρώπου οὐκ ἔρχονται. οὕτω καὶ ἡ θεία φύσις. πολλάκις γοῦν ὑψώσαμεν τὸν λογισμὸν, οὐδὲν δὲ ἧττον τῆς θεοπτίας ἀπωλίσθομεν. καὶ Θεὸν ὅ,τι ποτέ ἐστιν ἰδεῖν θέλων, μόνας εἶδον αὐτοῦ τὰς ἐνεργείας. ἐπιβαλεῖς δὲ καὶ ὧδε· ἀλλὰ μὴ φαυλίσῃς μου τοὺς λόγους, καὶ τὴν παραίνεσιν. καὶ γὰρ θείας ἀποκαλύψεως ἠξιώθην, καὶ δι᾽ ὀνείρων ὀπτασίας ἐθεώρησα, καὶ ἁγίου πνεύματος ἔλλαμψιν ἐδεξάμην, καὶ οἶδα μὲν ὅτι ἀνείδεός ἐστιν ὁ Θεὸς, ἁπλοῦς τε, καὶ ἀκατάληπτος τὴν φύσιν. πλὴν ὡς ἐν αὔρᾳ τινὶ λεπτῇ συναίσθησίς μοι γέγονεν. ταῦτα δέ φησιν ὁ Ἐλιφὰζ, εὐπρόσδεκτον ἑαυτοῦ τὸν λόγον κατασκευάζων, ἵνα ἐν οἷς μέλλει λέγειν, πίστεως εἶναι ἄξιος δόξῃ. τάχα δὲ φοβεῖν πειρᾶται τὸν Ἰὼβ, καὶ καὶ εἰς μετάνοιαν ἐπιστρέφειν. ἆρα γὰρ, φησὶν, οὐκ ἐδέξατό μου τὸ οὖς ἐξαίσια περὶ τοῦ Θεοῦ, ἵνα σοὶ φανείην ἀξιόπιστος; τὸ γὰρ, δέξεται, ἐνταῦθα, ἀντὶ τοῦ, ἐδέξατο, νοήσεις, πολλαχοῦ τῆς γραφῆς χρόνον ἀντὶ χρόνου τιθείσης. καὶ μὴν πολλάκις, καὶ παρ᾽ ἄλλων ἀκηκοὼς, καὶ αὐτὸς περὶ Θεοῦ λογίζεσθαι βουλό-

μενος, εἰς δέος καθίσταμαι, φόβου τε παντὸς πληροῦμαι, καὶ μέντοι καὶ νυκτερινῆς ἤχους (λέγει δὲ τοῦτο, ἀπὸ τοῦ φύσει συμβαίνοντος. καὶ γὰρ ἀεὶ τῶν νυκτῶν, ἡσυχίας ἐπιλαβούσης τὸ πᾶν, οἷά τινος ἤχους περιϊούσης ὑπόληψιν ἔχομεν) καὶ καθάπερ ἀνέμου προσπεσόντος, αἴσθησιν μὲν τῆς ἐνεργείας ἔχω, οὐ μὴν τὸ δι' ὑποψίας λαβεῖν δύναμαι· οὕτω καὶ περὶ Θεοῦ λογιζόμενος, ἐν ὅσῳ εὑρεῖν προσδοκῶ, διαδιδράσκει μου τῶν λογισμῶν τὴν κατανόησιν, καίτοι γε οὐδὲ ἄμοιρός εἰμι τῆς θείας ἐλλάμψεως. πνεῦμα γάρ, φησίν, ἐπὶ πρόσωπόν μου ἐπῆλθε. τί οὖν σύ φησιν, ὦ Ἰώβ, ἀντιφιλοσοφεῖς; καὶ οὐ καταπτήσσεις τὸν Θεόν, τὸν οὕτως ὑπερφυῆ; οὗ ὅσῳ τις ἐφικνεῖσθαι δοκεῖ τοῖς λογισμοῖς, τοσοῦτον αὐτὸν ἡ ἀκριβὴς διαδιδράσκει κατάληψις, καὶ τὴν τε οἰκείαν ἐπιγινώσκει ἀσθένειαν, καὶ τοῦ ζητουμένου τὸ μέγεθος.

ΚΕΙΜ. Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ Κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;

ΠΟΛΥΧΡ. Ἀπὸ τοῦ περὶ Θεὸν ἀνεφίκτου κακίσας τὴν τόλμαν, νῦν καὶ καὶ ἀπὸ τῆς περὶ φύσιν ἀσθενείας αὐτὸν ἐλέγχειν πειρᾶται, καὶ μὴ νόμιζε φησίν, ὅτι ὀνειδιστικῶς σοὶ ταῦτα λέγω, προφέρων σοὶ ἁμαρτίας· καθόλου γὰρ οὐδεὶς ἀνθρώπων ἐστὶν ἄμεμπτος· ἀλλὰ κἂν ἀνθρώπους λάθῃ, Θεὸν οὐ λησθήσεται. τοῦτο γὰρ σημαίνει τό, ἐναντίον τοῦ Κυρίου.

ΟΛΥΜΠ. Ὅρα δὲ αὐτὸν ἀντιφθεγγόμενον τῷ Θεῷ· αὐτοῦ γὰρ εἰπόντος, ἄνθρωπος ἄμεμπτος, οὗτός φησιν, οὐκ ἄμεμπτος, ἀπὸ τῶν οἰκείων ἐπαίρων τὴν ψῆφον.

ΔΙΔΥΜΟΥ. Οὐκ ἄν, φησί, τοῦτο εἴποις, ὡς ἁμαρτημάτων ἐκτὸς ὤν, ταῦτα πέπονθας. ἐπεὶ μηδὲ ἔστιν ἀνθρώπου φύσιν πρὸς τὴν τῶν νόμων ἀκρίβειαν πολιτεύεσθαι. ἔστι γάρ, ὅτε μέν, καὶ ἑκουσίοις, πολλάκις δὲ καὶ ἀκουσίοις περιπίπτομεν, διὰ τὴν τῆς φύσεως ἀσθένειαν. τοῦτο μέντοι πιθανὸν ὑπάρχον, εἰ κατὰ τὴν ἔννοιαν ἐξετάζοιτο, ἔχει τὸν ἔλεγχον. εἰ γὰρ δι' ἁμαρτίας ὁ περιπίπτων ἀνιαροῖς θλίβεται, οὐδεὶς δὲ καθαρός, οὐδεὶς ἐκτὸς ἀνιαρῶν ὑπάρξειεν ἄν.

ΚΕΙΜ. Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ Ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν.

ΟΛΥΜΠ. Ἀπὸ τοῦ μείζονος τὴν ἀπόδειξιν ἐπαγαγεῖν βούλεται, καὶ πιστώσασθαι, ὅτι πᾶς ἄνθρωπος ὑπὸ ἁμαρτίαν ἐστί. τί γὰρ δεῖ λέγειν περὶ ἀνθρώπων, φησίν, ὅταν οἱ Ἄγγελοι μὴ ὦσιν ἄμεμπτοι; τρεπτῆς γὰρ φύσεως καὶ αὐτοί· καὶ ὅσον πρὸς τὴν τοῦ Θεοῦ ἀκρίβειαν, οὐδὲ αὐτοί, οἱ γνήσιοι αὐτοῦ δοῦλοι καὶ λειτουργοὶ ἐν πᾶσι τὸ πιστὸν καὶ βέβαιον ἔχουσι. καὶ τὴν ἔννοιαν ταύτην ὁ σύμμαχος παρέστησεν εἰπών, ἐν δούλοις αὐτοῦ ἀβεβαιότης, καὶ ἐν ἀγγέλοις αὐτοῦ εὑρήσει ματαιότητα. μὴ τοίνυν θαυμάσῃς, φησίν, ὅτι εἶπον, ὡς οὐ καθαρὸς ἔσται βροτὸς ἐναντίον Κυρίου. ὁ ποτε οὐδὲ τοῖς παισὶν αὐτοῦ, καὶ θεράπουσιν ἀγγέλοις ἐμπεπίστευκε, τό, κατὰ φύσιν, καὶ ἑδραίως ἄμεμπτον. τῇ γὰρ αὐτοῦ καὶ αὐτοὶ συνέχονται χάριτι, ἐπείπερ αὐτοῦ μόνου τὸ ἄτρεπτον.

ἈΘΑΝΑΣ. Ἡ δὲ τῶν γεννητῶν καὶ κτιστῶν φύσις τρεπτή ἐστιν, ἅτε δὲ ἔξω οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα, διὸ πᾶς ἄνθρωπος ψεύστης, καὶ πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. ὁ δὲ διάβολος ἐν μέσῳ τῶν χερουβὶμ ὤν, καὶ ἀποσφράγισμα ὁμοιώσεως γενόμενος, ἐξέπεσεν ἐκ τῶν οὐρανῶν ὡς ἀστραπή. καί, Ἀγγέλους κρινοῦμεν, τοὺς μὴ τηρήσαντας δηλαδὴ τὴν ἑαυτῶν ἀρχήν. καὶ ἐνταῦθα, εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει. καὶ ἁπλῶς τὰ κτίσματα τοιαύτην ἔχει τὴν φύσιν, καὶ τρέπεται, μόνη δὲ ἡ θεία φύσις ἀναλλοίωτος.

ὈΛΥΜΠ. Τὸ δὲ σκολιόν τι ἐπενόησεν, ἀντὶ τοῦ, τρεπτὴν αὐτῶν τὴν φύσιν κατεσκεύασεν, ὡς ἐνδέχεσθαι καὶ μέμψεως ἐντὸς γενέσθαι διὰ τοῦτο. Ὅπερ οὖν καὶ πεπόνθασιν αἱ ἀποστατικαὶ δυνάμεις, ἐπεὶ μὴ τὴν φύσιν ἄτρεπτον ἐκληρώσαντο, προαιρετικῶς τῆς οἰκείας στάσεως ἀπολισθήσασαι.

ΧΡΥΣΟΣΤ. Καλῶς δὲ εἶπε, τό, ἐπενόησε. τὴν γὰρ σοφίαν αὐτοῦ διὰ τούτου δείκνυσιν, ἵνα μὴ τὸ τῆς φύσεως αὐτοὺς μεγαλεῖον ἐπάρῃ, ἀλλὰ διὰ παντὸς ὦσιν ὑποτεταγμένοι τῷ Θεῷ. εἴγε καὶ κατ' αὐτῶν σκολιόν τι ἐπενόησε, τουτέστιν, ἐκόλασεν αὐτοὺς ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον.

ΚΕΙΜ. Τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν μέχρι ἑσπέρας, οὐκ ἔτι εἰσί· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι, ἀπώλοντο. Ἐνεφύσησε γὰρ αὐτοῖς, καὶ ἐξηράνθησαν, ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.

ὈΛΥΜΠ. Εἰ Ἀγγέλους, φησίν, ἐκόλασεν ἁμαρτάνοντας, τί θαυμαστὸν εἰ ἡμεῖς, πλεῖστον ὅσον ἐκείνων λειπόμενοι, ἀπό γῆς τε ὄντες, καὶ περὶ γῆν εἰλούμενοι, αὐτῆς ἡμῶν τῆς φύσεως καθελκούσης εἰς πταίσματα εὐκόλως, τοῖς ἁμαρτήμασι περιπίπτοντες, τιμωρούμεθα; καὶ τοῦτο τοῦ Θεοῦ σοφῶς οἰκονομοῦντος, ὥστε μὴ ἀπὸ τῆς ἀδείας, εἰς ἐσχάτην ἀσέβειαν ἐκβακχεύεσθαι. εἰ γὰρ Ἄγγελοι πνεύματά τε ὄντες, καὶ οὐρανὸν οἰκοῦντες, οὐκ ἄμεμπτοι πρὸς τὴν θείαν ἀκρίβειαν, τί ἂν πάθοιμεν ἡμεῖς οἱ γήϊνοι, καὶ γῆν οἰκοῦντες; τοῦτο δηλοῖ καὶ ὁ σύμμαχος, ἐκδούς, πόσῳ μᾶλλον ἐν τοῖς κατασκηνοῦσιν οἰκίας πηλίνας, ὧν γήϊνος ὁ θεμέλιος; εἰ γὰρ πλήξει Θεός, οὕτω ῥᾳδίως δαπανώμεθα, καὶ οὐδὲ ὅλην ἡμέραν ἀντέχομεν, ὥσπερ λάχανα ὑπὸ σκωλήκων βρωθέντα, ἢ ἱμάτια ὑπὸ σητῶν δαπανηθέντα. ἐν τούτοις καὶ τὸ δυνατὸν τοῦ Θεοῦ, καὶ τὸ ἀσθενὲς τὸ ἡμέτερον παρέστησεν. ὥσπερ γὰρ τὰ λάχανα, οὕτω καὶ ἡμεῖς ἐσμὲν ἀσθενεῖς, καὶ ταχὺ ἀναλούμεθα, ὡς ἱμάτιον ὑπὸ σητός. Θεὸς δὲ οὕτω δυνατός, καὶ μετ' εὐκολίας ἀφανίζων, οὓς ἂν θελήσῃ. ὅτι ὥσπερ ἀνθρώπῳ ῥᾴδιον τὸ φυσῆσαι, οὕτω Θεῷ τὸ θελῆσαι μόνον, καὶ ἀποξηρᾶναι.

ΧΡΥΣΟΣΤ. Τὸ οὖν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον. ἀντὶ τοῦ, εὐκόλως,

καὶ

καὶ τὰ ἐνδότατα διέφθειρε. τὸ δὲ ἐνεφύσησε, τουτέστιν, οὐκ ἐδεήθη καμάτου, ἀλλ' ἠβουλήθη μόνον, καὶ τέλος ἔσχε τὰ κατ' αὐτούς. τοῦτο δὲ ἐκ μεταφορᾶς εἴρηται τῶν ὀργιζομένων, οἳ ἔθος ἔχουσιν, ἀντὶ ἐπιτιμήσεως τῷ ἐμφυσήματι κεχρῆσθαι. τὸ δέ, ἀπὸ πρωΐθεν ἕως ἑσπέρας οὐκ ἔτι εἰσίν, εἶπεν, ἢ διὰ τὸ τὸν Ἰὼβ αὐθημερὸν ἅπαντα ὑποστῆναι, ἢ ὥστε δεῖξαι, ὅτι οὐδεῖται χρόνου Θεός, τοὺς ἀσεβεῖς τιμωρούμενος.

ΟʼΛΥΜΠ. Οὗ τὸ κεῖμα, ἐμφύσημα τροπικῶς ὠνόμασεν, εἰπών, ἐνεφύσησεν αὐτοῖς, καὶ ἐξηράνθησαν, ὡς ἐπὶ ἀνέμου φυσῶντος, καὶ ἀνθῶν ξηραινομένων, διὰ τὸ παραστῆσαι αὐτοῦ τὴν ἐξουσίαν. Μόνον γάρ, φησίν, ἀποφαινομένου, ταχεῖαν τὴν τιμωρίαν δέχονται, οὐκ ἀρκοῦντες ἀπώσασθαι τὴν ἐνεχθεῖσαν πληγήν. εἶτα ἵνα μὴ δόξῃ λέγειν, ὅτι ἐπ' ἐξουσίας ἅπαντα πράττων, ἀκρίτως ἐπιφέρει τὴν ὀργήν, φησίν, ὅτι ταῦτα πάσχουσιν οἱ ἄνθρωποι οὐκ ἀκρίτως, ἀλλὰ διὰ τὸ μὴ ἔχειν σοφίαν, τουτέστι, μὴ φοβεῖσθαι τὸν Θεόν. Ἀρχὴ γάρ, φησι, σοφίας φόβος Κυρίου.

ΚΕΙΜ. Ἐπικάλεσαι δέ, εἴ τις ὑπακούσεται, ἢ εἴ τινα Ἀγγέλων Ἁγίων ὄψῃ. καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, πεπλανημένον δὲ θανατοῖ ζῆλος.

ΟʼΛΥΜΠ. Τί φησίν, ὑπὲρ τὴν ἀξίαν φθέγγῃ, ἄνθρωπος ὤν. τοσοῦτον γὰρ ἀπολιμπάνεται Θεοῦ ἄνθρωπος, ὅτι οὐ μόνον ἀόρατός ἐστιν ὁ Θεός, καὶ ἀκατάληπτος, ἀλλ' οὐδ' ἂν μυριάκις αὐτὸν ἐπικαλέσῃ, ἀποκριθήσεταί σοι. τί δὲ λέγω περὶ Θεοῦ, ὅπου γε καὶ οἱ Ἄγγελοι αὐτοῦ ἀόρατοί εἰσιν ἡμῖν.

ΠΟΛΥΧΡ. Εἰ δὲ δοκεῖς ὀρθὰ λελαληκέναι, φέρε μοι τινὰ συμφωνοῦντά σοι. ἀλλὰ μὴν οὕτως ἐχρήσω τῇ τῶν λόγων τραχύτητι, ὅτι μηδὲ ἀγγέλου δύνασαι τυχεῖν παρουσίας, εἰ αὐτὸν ἐπικαλέσῃ. καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργὴ ἡ θεία δηλονότι, πεπλανημένον δὲ θανατοῖ ζῆλος· ζῆλόν, φησι, τὸ μισοπόνηρον τοῦ Θεοῦ.

ΟʼΛΥΜΠ. Ἐμοὶ δὲ δοκεῖ, ἄφρονα, τὸν ἁμαρτωλὸν λέγειν, ὃν καὶ ἡ ὀργὴ ἀναιρεῖ, οὐ μὴν καὶ τὸν φρόνιμον, οὐ γάρ ἐστιν ἐκεῖ ὀργή. νοήσεις δὲ καὶ ὧδε, ἀφρόνως ὀργίζῃ, καὶ ζηλοῖς τοὺς εὐημεροῦντας, κρίνων σεαυτὸν ἀναμάρτητον, καὶ κατὰ τοῦ Θεοῦ θρασυνόμενος. Ὅθεν εἰκότως πειραθήσῃ τῆς δικαίας τοῦ Θεοῦ κινήσεως, ἢ καὶ ὑπὸ τῆς οἰκείας ὀργῆς κατεργασθήσῃ· παντὶ γὰρ ἄφρονι καὶ ὀργίλῳ, ἡ ἰδία ὀργὴ θάνατον κατεργάζεται.

ΚΕΙΜ. Ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα.

ΟʼΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, καὶ κατηρασάμην τὴν εὐπρέπειαν αὐτῶν παραχρῆμα. ἐπειδὴ ἀντέπιπτε τῷ Ἐλιφὰζ, τὸ καὶ ἀδίκους πολλάκις ἐν εὐημερίᾳ γενέσθαι, καὶ μάλιστα τὰ κατ' αὐτὸν τὸν Ἰὼβ πρότερον ἐν εὐπραγίᾳ τυγχάνοντα, ἵνα μὴ εἴπῃ ὁ πολύτλας οὗτος, εἰ οὖν ἄφρων ἦμην, πῶς ἐπλούτουν τὸ πρίν; τὸ ἀντιπίπτον ἐπιλύων ὁ φίλος, ἔφη, ὅτι ἄδι-

κως κἂν γεύηται, ἐν ἀπαθείᾳ τινὶ, καὶ βεβαίως ἔχειν νομίζῃ τὰ ἀγαθὰ καὶ ἀσφαλῶς, τοῦτο γάρ ἐςι τὸ, ῥίζας βάλλειν, ἀλλ' οὐκ ἐπὶ πολὺ διαμένει. ἀλλ' ἡ δίαιτα αὐτοῦ, τουτέςιν, ἡ πᾶσα οἰκία, καὶ ἡ ἐν ἀθηνίᾳ διαγωγὴ διαπίπτει, καὶ διαφθείρεται. ῥίζαν δὲ εἰπὼν, ὡς ἐπὶ φυτοῦ, μεταφορικῶς ἐφύλαξε τὴν τροπὴν, ἐπαγαγὼν, τὸ βρωθῆναι. τὰ γὰρ φυτὰ, ὧν ἡ ῥίζα ἐβρώθη, ξηραίνεται. εἶτα ἐπιφέρει τῶν ἀσεβῶν τὰ ἀποτελέσματα, εὐκτικῶς μὲν λεγόμενα, ἐξειςικῶς δὲ καὶ ἀποτελεσματικῶς, εἴτουν ἐκβατικῶς νοούμενα.

ΚΕΙΜ. Πόῤῥω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας.

ΟΛΥΜΠ. Ταῦτα πολλάκις μὲν συμβαίνει τοῖς ἀσεβέσι. καὶ γὰρ ἐκληρονόμησεν ὁ τῶν ἑβραίων λαὸς τὴν γῆν τῆς ἐπαγγελίας, τῶν προτέρων οἰκητόρων δι' ἀσέβειαν ἀναιρεθέντων· οὐκ ἀεὶ δὲ ταῦτα συμβαίνει ἐν τῷ παρόντι βίῳ. αἱ γὰρ ἀνταποδόσεις οὐκ ἐνταῦθα πάντως, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ὥςε μὴ μετὰ διαιρέσεως τιθέντα, οὐ καλῶς εἴρηται τῷ Ἐλιφάζ. τὸ δὲ, πόῤῥω γένοιντο, οὐκ εὐκτικῶς εἴρηται, ἀλλ' ἀντὶ τοῦ ἐγένοντο, ὡς πάντως συμβαῖνον. οἱ γὰρ χρόνοι ἀδιαφόρως κεῖνται, καὶ μάλιςα ἐν τῇ παρούσῃ γραφῇ.

ΚΕΙΜ. Κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔςαι ὁ ἐξαιρούμενος.

Ο'ΛΥΜΠ. Τουτέςιν, ἐπιτειβείησαν, ἐξαπελιθείησαν. κόλαβρος γὰρ ὁ μικρὸς χοῖρος, ἀφ' οὗ, ὁ μὲν Ἀκύλας, ἐπιτριβήσονται, ὁ δὲ Θεοδοτίων, κατεκλάσθησαν, ὁ δὲ Σύμμαχος τὰ πεινωθήτωσαν, ἐξέδωκεν. ἀπελεῖς, φησὶ, νομισθήσονται, καὶ οὐδενὸς λόγου ἄξιοι, ἀλλοτρίαις θύραις προσεδρευόμενοι, καὶ ταῦτα τῶν ἐλαττόνων, καὶ ἐν ἐσχάτῃ ταλαιπωρίᾳ καταςήσονται, ἐν ἐρημίᾳ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, καὶ οὐδεὶς ἔςαι ὁ τῶν συμφορῶν αὐτοὺς ἐξαιρούμενος.

ΚΕΙΜ. Ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται.

ΠΟΛΥΧΡ. Ὁ δὲ Σύμμαχος, πεινῶντες φάγονται, τουτέςι, τὰ παρὰ τῶν πονηρῶν μετὰ πόνου συναχθέντα, ταῦτα τοῖς ἀσεβέσιν εἰς ἀπόλαυσιν πρόκειται. ἵνα εἴπῃ, ὅτι ὁ ἐξ ἀδικίας πλουτῶν, οὐκ ἀπολαύσει τῶν κτηθέντων.

ΚΕΙΜ. Αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται.

ΠΟΛΥ. Οὐ μόνον, φησὶ, προσαφαιροῦνται τὸν πλοῦτον οἱ ἀσεβεῖς, ἀλλ' οὐδὲ ἐκ τῶν συνεχόντων αὐτοὺς κακῶν ἐξαιρεθήσονται. οὐ γὰρ ἐνδέχεται αὐτοὺς, μὴ τιμωρίαν ὑποσχεῖν, εἰ καὶ πρὸς βραχὺ ἐν εὐθηνίᾳ εἶναι δοκεῖεν.

ΚΕΙΜ. Ἐκσιφωνηθείη αὐτῶν ἡ ἰσχύς.

ΠΟΛΥΧΡ. Τουτέςιν, ἐκροφηθήσεται, δαπανηθήσεται, παντελῶς κενωθήσεται, ἀπὸ μεταφορᾶς τῶν σιφονιζομένων, πρὸς τὸ μηδὲν ἔτι ὑγρὸν ὑπολείπεσθαι, οὕτω καὶ ὁ Σύμμαχος, ἀναῤῥοφῆσαι διψῶν τὴν δύναμιν αὐτῶν.

ΚΕΙΜ. Οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος (ὁ δὲ σύμμαχος, οὐ γὰρ ἐξελεύσεται ἀπὸ κόνεως ὀδύνη) οὐ δὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος· ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ. νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται.

ΟΛΥΜΠ. Ἠρέμα δοκεῖ παραμυθεῖσθαι τὸν Ἰώβ ἐν τούτοις. οὐ γὰρ δεῖ σε, φησὶ, δυσχεραίνειν ἄνθρωπον ὄντα, καὶ πάσχοντα. οὐ γὰρ ἀναισθήτων τὸ τιμωρεῖσθαι· ἀλλὰ καὶ τὰ πτηνὰ, ἀπὸ γὰρ γυπὸς καὶ τὰ ἄλλα λέγει, ἀπονωτέρων ἡμῶν, καὶ ἀμεριμνότερον ἐκληρώσαντο βίον.

ΧΡΥΣΟΣΤ. Τί οὖν; πλείονος ἀπολαύουσι προνοίας; ἄπαγε. ἐπεὶ μηδὲ ἡ γῆ, μηδὲ τὰ ὄρη, ἐπείπερ ἀναίσθητα τυγχάνουσι, φυσικὸν γὰρ, φησὶ, τὸ πρᾶγμα ἐστιν ἀδύνατον διαφυγεῖν δυσπραγίαν. ἵνα γὰρ μὴ λέγῃ τις πάλιν, ὅτι δίκαιός ἐστι, φησὶν, ὅτι ἡ φύσις ἡ ἀνθρωπίνη τοιαύτη ἐστὶν, οὐκ ἀναμάρτητος. ἀπὸ οὖν τῆς φύσεως ὁ Ἐλιφὰζ διισχυρίζεται, καὶ φησὶν, ἀνθρώπου ἴδιον, τὸ ἐν συμφοραῖς ἐξετάζεσθαι. εὐθὺς γοῦν γεννηθεὶς, τὸ κοπιᾶν προσκεκλήρωται, καὶ πᾶσα ἡ ζωὴ αὐτοῦ, μόχθου καὶ ταλαιπωρίας γέμει. καὶ κατὰ τοῦτο τῶν ἐκ γῆς καὶ ὀρέων φυομένων, ἡ ἡμετέρα φύσις ἐλαττοῦται, ἔχουσα τὸ ὀδυνηρὸν ἐν τῇ γενέσει καὶ αὐξήσει. καὶ τοῖς ὀρνέοις δὲ δέδοται, τὸ ἀλύπως ἵπτασθαι, καὶ δίχα πόνων τὴν τροφὴν ἐκλέγειν, οὐ μὴν τι τούτων ὑπάρχει ἀνθρώπῳ ἐκτὸς ταλαιπωρίας.

ΚΕΙΜ. Οὐ μὴν δὲ, ἀλλ' ἐγὼ δεηθήσομαι Κυρίου.

ΟΛΥΜΠ. Ταῦτα μὲν, ὧδε ἐχέτω, ἐγὼ δὲ προσφεύγω Θεῷ, καὶ πρὸς τὴν αὐτοῦ καταφεύγω βοήθειαν. εἶτα ἐκδιηγεῖται τοῦ Θεοῦ τὴν ὑπεροχὴν, πρὸς φόβον ἐνάγων τὸν Ἰώβ, καὶ διὰ τοῦ οἰκείου προσώπου πρὸς μετάνοιαν ἕλκων. τὸ δὲ, ἐγὼ ὑπερηφάνως τε εἴρηται, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ Ἰώβ. ὡσανεὶ ἔλεγεν, ἐγὼ δεηθήσομαι, ἐπειδὴ σὺ τῆς προσευχῆς ἠμέλησας.

ΚΕΙΜ. Κύριον δὲ τὸν πάντων δεσπότην ἐπικαλέσομαι, τὸν ποιοῦντα μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

ΔΙΔΥΜΟΥ. Αἰτιασάμενος τοὺς ἄφρονας, καὶ εἰπὼν ἅπερ εἶπε περὶ αὐτῶν, νῦν προνοητὴν ὁμολογεῖ, καὶ δημιουργὸν τὸν Θεὸν, διὰ τῶν ἐκτιθέντων. οὐκ ἀπεικὸς δὲ, αὐτὸν ταύτας ἔχειν τὰς διαλήψεις, ἄνδρα σοφὸν ὄντα τὰ ἀνθρώπινα. ἔχει δὲ καὶ περὶ ἀοράτων, καὶ ὁρατῶν, διάληψιν, περὶ ἀνεξιχνιάστων λέγων, καὶ μεγάλων, καὶ ἐνδόξων, ὑετοῦ τε καὶ ὕδατος. ὅπερ ὕδωρ εἰ διαστέλλοι τοῦ ὑετοῦ, τὸ ἐκ πηγῶν καὶ χειμάῤῥων, καὶ φλεβῶν, εἴη ἂν λέγων. φησὶ τοίνυν, ὅτι ἐγὼ οὐ δοξάζω, οὐ δὲ φρονῶ, ὡς οἱ ἀσεβεῖς, ἀλλάγε πρόνοιαν ἐπιστάμενος, καὶ εἰδὼς τὸν Θεὸν δεσπότην πάντων, καὶ καιρῶν, καὶ τόπων, καὶ πραγμάτων, ἐπικαλοῦμαι αὐτὸν, πρέπειν τοῦτο ἡγούμενος, ὃς κατὰ καιροὺς θαυμαστὰ ἐργάζεται, καὶ ἐκπλήξεως ἄξια, πρὸς ὠφέλειαν ἀν-

θρώ-

θρώπων, ὧν τὸ πλῆθος, οὐδὲ λόγῳ καταλέξαι οἷόν τε. λέγει δὲ τὴν καθ' ἑκάστην γενεὰν ποικίλην γενομένην πρόνοιαν, κοινῶς τε πρὸς ἅπαντας, καὶ ἰδίᾳ πρὸς ἕκαστον. ὡς γὰρ τῶν ἀνθρώπων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν, οὕτως οὐδὲ τῆς τοῦ Θεοῦ ἐφικέσθαι προνοίας.

ΚΕΙΜ. Τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' Οὐρανόν.

ΧΡΥΣΟΣΤ. Ὁ πρῶτον τῆς εὐεργεσίας αὐτοῦ, καὶ τῆς ζωῆς ἡμῶν συνεκτικὸν, καὶ μεταβολῆς καιροῦ δηλωτικόν.

ΚΕΙΜ. Τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας ἐξεγείροντα.

ΔΙΔΥ'ΜΟΥ. Μεταβαίνει καὶ ἐπὶ τὴν κατ' ἀνθρώπους πρόνοιαν, καὶ τοῦτο δὲ διακείμενος περὶ τοῦ Θεοῦ, ὅτι αὐτοὺς ἐξ ὕψους ταπεινοῖ, ἐκ πενήτων πλουσίους, ἐξ ὑπηκόων ἄρχοντας, ἐκ νοσούντων ὑγιαίνοντας ἀπεργαζόμενος.

ΠΟΛΥΧΡ. Τοῦτον οὖν, φησὶν, ἐπικάλεσαι, ὃς τῇ οἰκείᾳ δυνάμει οἷός τέ ἐστι, τῆς μὲν παρούσης ἀπαλλάξαι σε ταλαιπωρίας, τήν τε ἀρχαίαν ἀποδοῦναι τιμήν. παρέξει δέ σοι καὶ τῶν ἐπικειμένων παθῶν τὴν ἴασιν, ὁ καὶ τοὺς ἀπηλπισμένους ἐξεγείρων. καθόλου δὲ αὐτὸ, ἔφη, εἴς τε ἅπαντας μεγίστην τοῦ Θεοῦ δεικνὺς τὴν πρόνοιαν, καὶ ἴσην, ἐφ' ἁπάντων τὴν δύναμιν.

ΚΕΙΜ. Διαλλάσσοντα βουλὰς πανούργων, καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές.

ΟΛΥΜΠ. Τὸν μεταστρέφοντα βουλὰς τῶν μὴ ποιούντων τὸ ἀληθὲς, τουτέστι, τὸν μὴ συγχωροῦντα κατὰ γνώμην τοῖς πανούργοις ἐκβαίνειν τὰ πράγματα· ἀλλὰ ῥᾳδίως ὅταν θέλῃ, τῶν τοιούτων ἀνατρέποντα τὰς κακοτεχνίας· ἢ ὡς μὲν, Ἀκύλας, ἀκυροῦντα. ὡς δὲ Σύμμαχος, διαλύοντα· ὡς δὲ Θεοδοτίων, διασκεδάζοντα.

ΚΕΙΜ. Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει. βουλὴν δὲ πολυπλόκων ἐξέστησεν.

ΟΛΥΜΠ. Τουτέστιν, ὁ ἐλέγχων ὁ περιγενόμενος, ὁ κρατῶν ἐν τῇ ἑαυτοῦ φρονήσει, δηλονότι· ἢ ὁ τὴν παρὰ ἀνθρώποις σοφίαν, μωρίαν ἀποδεικνύς. ὅμοιον δὲ τῷ, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. πολυπλόκους δὲ καλεῖ τοὺς ἄγαν συνετοὺς, καὶ ὑπούλως κατασκευάζοντας τὰ προκείμενα· οὓς ἀγκυλογνώμονας, διὰ τὸ σκολιὸν τῆς γνώμης, εἰώθασι προσαγορεύειν, οἱ τὰς κυρίας τῶν λέξεων ἐκλέγοντες. τὸ δὲ, ἐξέστησεν, ἀντὶ τοῦ ἀχρήστους πεποίηκεν, ἠκύρωσεν, ἔξω τοῦ σκοποῦ στῆναι παρεσκεύασεν. ὅπερ ὁ Σύμμαχος οὕτως ἡρμήνευσε, βουλὴ δὲ σκολιὰ ταραχθήσεται.

ΚΕΙΜ. Ἡμέρας συναντήσεται αὐτοῖς σκότος, τὸ δὲ μεσημβρινὸν ψηλαφήσαι τ' αὖ ἴσα νυκτί. ἀπόλοιντο δὲ ἐν πολέμῳ, ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου· εἴη δὲ ἀδυνάτῳ ἐλ-

πίς, ἀδίκου δὲ σόμα ἐμφραχθείη.

ΟΛΥΜΠ. Διὰ τῆς ἡμέρας καὶ τῆς μεσημβρίας, τὴν ἀπημερίαν αἰνίττεται, ἵνα εἴπῃ, ὅτι ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἀπραγίας, οἱ πονηροὶ ἀδόκητον ὑπομένουσι τῆς ἀθυμίας τὴν μεταβολήν. σκότος γὰρ καὶ νύκτα, τὸ, δυσπραγεῖν λέγει. τούτοις δὲ συμβαίνει, καὶ τὴν ἐκ πολεμίων σφαγὴν ὑποςῆναι. ὁ δὲ κατὰ Θεὸν ταπεινὸς, καὶ οὐδὲ μίαν δύναμιν περιβεβλημένος, ἔχων τὴν εἰς Θεὸν ἐλπίδα, διαφεύξεται τῶν δυνατῶν τὴν ἐπήρειαν.

ΧΡΥΣΟΣΤ. Ταῦτα δὲ, φησὶ, ποιεῖ ὁ Θεὸς, ἵνα καὶ ὁ ἀδύνατος ἐλπίζῃ τὰ χρηςὰ, καὶ ὁ ἄδικος μὴ ἐπαίρηται, ἀλλ' ἡ μεγαλοῤῥήμων γλῶσσα ἐμφράσσηται, καὶ ἡ ὑψηλὴ ὀφρὺς καταςέλληται.

ΚΕΙΜ. Μακάριος δὲ ἄνθρωπος, ὃν ἤλεγξεν ὁ Κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίςησιν. ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.

ΟΛΥΜΠ. Μακαριςὸν καλεῖ τὴν ἐπὶ τῷ σωφρονισμῷ παιδείαν. παραινεῖ δὲ καὶ τῷ Ἰὼβ, ὡς δι' ἁμάρτημα παιδευομένῳ, μὴ δυσχεραίνειν, ἱκετεύειν δὲ Θεὸν, τὸν καὶ τὴν πληγὴν ἐπαγαγόντα, καὶ τὴν ἴασιν ἐπιθεῖναι δυνάμενον· ὃ δὲ λέγει τοιοῦτον ἐςιν.

ΔΙΔΥ'ΜΟΥ. Ἐλέγχει Θεὸς, καὶ τὴν τῆς μάςιγος ἐπάγει νουθεσίαν, οὐχ ἵνα ἀπολέσῃ, ἀλλ' ἵνα σώσῃ τὸν παιδευόμενον. καὶ σὺ τοίνυν μὴ καθυφεὶς τοῦ φρονήματος, μετ' εὐχαριςίας δέχου τὸν ἔλεγχον.

ΠΟΛΥΧΡ. Ἀλλὰ μηδὲ τὸ τῆς πληγῆς σε εἰς ἀπόγνωσιν τῆς ἐπ' αὐτὸν πεποιθήσεως ἀγάγῃ. καὶ τοῦτο γὰρ προνοίας τεκμήριον, τὸν ἡμαρτηκότα ἐλέγξαι· οὐ δὲ γὰρ ὀργῇ τοῦτο πεποίηκε Θεὸς, ἀλλὰ κηδεμονίᾳ, ὥςε σε ἐκ τῶν συμφορῶν σωφρονισθέντα, καὶ τῶν ἐπταισμένων ἐπιγνώμονα γενόμενον, αὖθις τὴν οἰκείαν ἀπολαβεῖν εὐημερίαν.

ΧΡΥΣΟΣΤ. Εἰ γὰρ αὐτός ἐςιν ὁ λύων τὰ δεινὰ, καὶ πρὸς τὰ ἐναντία μετάγων, καὶ ποιῶν ἀπολαῦσαι βαθείας εἰρήνης, οὐδὲ ταῦτα ἀπὸ γνώμης ἑτέρας ποιεῖ, ἀλλὰ καὶ ἀπὸ τῆς αὐτῆς.

ΣΕΒΗ'ΡΟΥ. Ταῦτα δεῖ ἐπάγειν πρὸς τὰ συμβαίνοντα δυσχερῆ, παιδευτικά.

ΚΕΙΜ. Ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ, οὐ μὴ ἅψεταί σου κακόν.

ΧΡΥΣΟΣΤ. Τουτέςιν, οὐκ ἀεὶ τ' αὐτὰ ποιεῖ, ἀλλ' ἐν μὲν τοῖς πρώτοις ἀφίησι πεῖραν λαβεῖν· μετὰ δὲ ταῦτα, οὐδὲ πεῖραν, ὥςε μηδὲ τοῦ ῥυσθῆναί σε χρείαν εἶναι λοιπόν.

ΟΛΥΜΠ. Ἑξάκις μὲν γὰρ, τουτέςι, πολλάκις συμβήσεταί σοι τὰ δυσχερῆ. μετὰ δὲ τὴν τούτων πεῖραν, ἐὰν

εὐχα-

Ἀχάειςος ὀφθῆς, ἐν τῷ ἑβδόμῳ, ἤγουν μετὰ τοὺς πολλοὺς πειρασμοὺς, τελευταῖον ὁ Θεὸς οὐκ ἔτι συγχωρήσει σε παθεῖν.

ΔΙΔΥ'ΜΟΥ. Κατὰ δέ τινας, ὑποβάλλουσιν οἱ ςίχοι, ὅτι εἰς ὅσον τις ὑπὸ τὸν ἐν ἕξ ἡμέραις γεγενημένον ὑπάρχει Κόσμον, τὰς ἐν αὐτῷ ὑπομενεῖ αἰτίας καὶ θλίψεις· κἂν ἅγιός τις ὑπάρχῃ, ἔχει τὴν ἐκ τοῦ σώματος τῆς χρείας ἀνάγκην. ὑπερβὰς δὲ τὸν Κόσμον, καὶ ἐν τῇ ἑβδοματικῇ ἀναπαύσει γεγενημένος, οὐκ αἰσθήσεται κακώσεως. ἐπεὶ καὶ τοῦ ἀφιλάργυρον ἔχοντος τὸν τρόπον οὐχ ἅπτεται ζημία. ὁ δὲ νοῦς τοιοῦτος, ἐν τῷ νῦν αἰῶνι γυμνάσειε, καὶ ἐν τῷ μέλλοντί σε δοξάσει. οὐκ ἀνάγκη δὲ ταῖς θεωρίαις, τὰς ἱςορίας συνομαλίζειν ἐξῆς.

ΠΟΛΥΧΡ. Ἄλλοι δὲ, διὰ τῶν ἐφεξῆς πειρῶνται ἀπαριθμεῖσθαι τὴν ἑξάκις λύτρωσιν. λέγει γάρ, ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ὅπερ μίαν λογίζονται συμφοράν· δευτέραν τὸ ἐπαγόμενον, ἐκ χειρὸς σιδήρου· τρίτην, τὸ ἀκόλουθον, ἀπὸ μάςιγος γλώσσης· τετάρτην, τὸ, ἀπὸ κακῶν ἐπερχομένων· πέμπτην, τὸ, ἀπὸ ἀδίκων, καὶ ἀνόμων· ἕκτην, τὸ, ἀπὸ θηρίων· ἑβδόμην δὲ ἐπὶ πᾶσι τὸ εἰρηνεύειν αὐτῷ τὸν οἶκον. ἄμεινον δὲ, μὴ εἰς ἀριθμὸν ἄγειν ὡρισμένον, τὸ, ἑξάκις, ἀλλ' ἀντὶ τοῦ, πολλάκις, ἀορίςως νοεῖν. παραινέσας γὰρ τῷ δικαίῳ ἐπὶ τῷ Θεῷ πεποιθέναι, καὶ διὰ πολλῶν τοῦτο κατασκευάσας, ὥςε προνοίᾳ, καὶ μὴ ὀργῇ, νομίζειν τὴν τιμωρίαν γεγενῆσθαι, ἀκολούθως, τοῦτο ἐπήγαγεν· εἰ γὰρ, φησὶ, ταύτην ἔχεις τὴν γνώμην, πολλῶν συμφορῶν ἀπαλλάξει σε ὁ Θεός. ἐπιμένοντι δὲ τῇ ἀρετῇ, οὐδὲ τὴν ἀρχὴν πεῖραν λυπηροῦ συγχωρήσει, γενέσθαι.

ΚΕΙΜ. Ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε.

ΠΟΛΥΧΡ. Ἐνδείας, φησὶ, καταλαβούσης, καὶ πάντων ὑπὸ λιμοῦ διαφθειρομένων, ἐν ἀφθόνοις σοι παρέξει διάγειν. οἷον δὲ καὶ ἐπὶ τοῦ Ἰωσὴφ, καὶ τοῦ Ἰακὼβ γεγένηται. ἀλλ' οὐδὲ πολεμίων ἐπελθόντων, καὶ δῃουμένων τὴν χώραν, καὶ τοὺς ἐνοικοῦντας ἡβηδὸν ἀναιρούντων, πείσῃ τί δεινὸν, οἷον γέγονεν ἐπὶ Δανιὴλ, καὶ Ἱερεμίου· οὐ γὰρ συγχωρήσει σε πεσεῖν ἐν πολέμῳ. χεῖρα δὲ σιδήρου, τὴν δραςήριον δύναμιν τοῦ σιδήρου λέγει.

ΚΕΙΜ. Ἀπὸ μάςιγος γλώσσης σε κρύψει.

Τουτέςι, καὶ Λοιδορίας κρείττονα ἐργάσεται, ὥςε σὲ παρὰ πάντων εὐφημεῖσθαι. μάςιγας γὰρ γλώσσης, τὴν πονηρίαν, καὶ συκοφαντίαν καλεῖ.

ΧΡΥΣΟΣΤ. Οὐ μικρὸν δὲ καὶ τοῦτο, ἀλλὰ καὶ πάνυ μέγα, τὸ ῥυσθῆναι ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν ἀγαθόν. οὐδὲν γὰρ γλώσσης χεῖρον. πάσης ἐπιβουλῆς, παντὸς ξίφους, τοῦτο χαλεπώτερον, καὶ ἀφορητότερον.

ΚΕΙΜ. Καὶ οὐ μὴ φοβηθῆς ἀπὸ κακῶν ἐρχομένων.

ΠΟΛΥΧΡ. Ὁ δὲ ἀκύλας ἀπὸ προνομῆς ἐπερχομένων, τί, φησὶ,

κατὰ μέρος λέγω; καθόλου οὐδενὸς πεῖραν λήψῃ κακοῦ, ἀλλὰ καὶ ἄλλων ἐν ταλαιπωρίαις καὶ συμφοραῖς ἐξεταζομένων, αὐτὸς ἐν εὐθηνίᾳ διάξεις, καὶ ἄφοβος διατελέσεις τοῦ λοιποῦ. Λιμοῦ δὲ, καὶ πολέμου, καὶ λοιδορίας, ἀπὸ τῶν συμβάντων τῷ Ἰὼβ ἐμνημόνευσε. Λιμοῦ μὲν, διὰ τὴν καταλαβοῦσαν αὐτὸν ἔνδειαν, πολέμου δὲ, διὰ τὸ ὑπὸ βαρβάρων δοκεῖν αὐτὸν ταῦτα πεπονθέναι· Λοιδορίας δὲ, διὰ τὸ ξενίζεσθαι ἐπὶ τοῖς κατ' αὐτοῦ λεγομένοις. ἵνα εἴπῃ, ὅτι ταῦτά σοι συνέβη διὰ τὸ εἰς Θεὸν ἀσεβῆσαι. εἰ δὲ ἐκ τούτου μεταβάλῃς, οὐ τὸν ἐν ποσὶ κίνδυνον διαφεύξῃ μόνον, ἀλλὰ καὶ, ἑτέρων πασχόντων, ἐν ἀδείᾳ μέσῃ καταστήσῃ.

ΚΕΙΜ. Ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς. θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι· εἶτα γνώσῃ, ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ δίαιτα τῆς σκηνῆς σου, οὐ μὴ ἁμάρτῃ.

Ο'ΛΥΜΠ. Γνοὺς, φησὶ, τῆς εὐσεβείας τὴν δύναμιν, καὶ τῆς εἰς Θεὸν καταφυγῆς, κατὰ μὲν τῶν ἀδίκων πλατὺ γελάσεις· τοὺς δὲ θηριώδεις ἀνθρώπους οὐ μὴ φοβηθήσῃ. καὶ γὰρ καὶ οὗτοι τὴν σὴν θεοσέβειαν αἰσχυνόμενοι, οὐκ ἔτι σοι πολεμεῖν αἱρήσονται, ἀλλὰ προσέσται σοι μετὰ τῶν λοιπῶν ἀγαθῶν, καὶ ἡ ἐκ τῶν ἐπιβουλευόντων ἀσφάλεια· καὶ τότε τῇ πείρᾳ μαθήσῃ, ὡς εἰρηνεύει μέν σου ὁ οἶκος· ἡ δὲ πᾶσα τοῦ βίου σου διαγωγὴ οὐ μὴ ἁμάρτῃ, ἀντὶ τοῦ, οὐκ ἔξω τῶν χρηστῶν ἐλπίδων γενήσεται, οὐ δυσπραγήσει, οὐ μὴ πάθῃ τι δεινὸν, οὐ δὲ μίαν ἕξει μεταβολὴν, καθάπερ νῦν, ἀλλ' ἐν ἀσφαλεῖ καταστήσεται, τοῦ Θεοῦ διὰ τῆς οἰκείας προνοίας διακρατοῦντος τὴν προσοῦσαν εὐεξίαν.

ΧΡΥΣΟΣΤ. Ἁπλῶς δὲ, οὐ μόνον οἱ ἔξωθεν εἰρηνικῶς πρὸς σὲ διακείσονται, ἀλλὰ καὶ ἡ οἰκία πολλῆς ἀπολαύσεται τῆς εἰρήνης, καὶ οἱ ἐν αὐτῇ ἀστασίαστοι, καὶ πρὸς ἑαυτοὺς, καὶ πρὸς σὲ διαμενοῦσιν. οὐδὲν γὰρ τούτου ἴσον τοῦ κατὰ τὴν οἰκίαν εἰρηνεύειν. τί γὰρ ὄφελος τῶν ἔξωθεν ἀπηλλάχθαι πολέμων, ταραχῆς ἔνδον γέμοντα;

ΚΕΙΜ. Γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου. τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ.

Ο'ΛΥΜΠ. Εἰρηνεύσης, φησὶ, πανταχόθεν κυκλούσης, ἕξεις καὶ τὴν ἐκ τῆς πολυπαιδίας μακαριότητα· ἐν εὐλογίας γὰρ μέρει, καὶ τοῦτο ἦν κατὰ τὸ παλαιὸν, καὶ ὡραίων παίδων πατὴρ ὁ ἄπαις ἀναφανήσῃ, δίκην ἀρούρης κομώσης καὶ βελτιουμένης ἀστάχυσιν. ἔσονται γάρ σου τὰ παιδία, εἴτουν οἱ ἔκγονοι, ὡς τὸ παμβότανον τοῦ ἀγροῦ, τουτέστιν, ὡς ἀγρὸς πάσαις βοτάναις ἀνθηρός.

ΚΕΙΜ. Ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος· ἢ ὥσπερ θημωνία ἅλωνος καθ' ὥραν συγκομισθεῖσα.

ΧΡΙΣΟΣΤ. Τουτέστι, πᾶσι κομῶν τοῖς ἀγαθοῖς, καὶ τοῖς ἐκγόνοις τὰ κατὰ κλῆρον διατάξας, οὕτω μεταλλάξεις τὸν βίον, εἰς γῆρας ἐλάσας λιπαρὸν, καὶ οὐδὲν ἔχων ἐλλεῖπον, οὐ χρόνον, οὐ βίον.

ΔΙΔΥ'ΜΟΥ. Τοῦτο γὰρ δηλοῖ, ἡ συγκομιζομένη θημωνία, τὴν πλήρωσιν, καὶ πλείωσιν, καὶ ὅτι ἐπ' ἀσφαλοῦς λοιπὸν τῷ ὄντι ἐστὶν ὁ τέλειος.

ΚΕΙΜ. Ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν ἃ ἀκηκόαμεν. σὺ δὲ γνῶθι σεαυτῷ, εἴτι ἔπραξας.

ΠΟΛΥΧΡ. καὶ Ο'ΛΥΜΠ. Τουτέστι, ταῦτα οὕτως ἔχει, καὶ οὐκ ἄν τις εἴποι, ἑτέρως διακεῖσθαι τὰ ἀνθρώπεια. Ταῦτα ἡμεῖς ἐν τῷ βίῳ ἐκ πείρας ἔγνωμεν, καὶ παρ' ἑτέρων ἐξ ἀκοῆς παρειλήφαμεν, ὅτι οὐδὲν ἀπρονόητον παρὰ τῷ Θεῷ, ἀλλ' οἱ μὲν παράνομοι τιμωροῦνται, οἱ δὲ ἀσεβεῖς πολλῶν ἀγαθῶν ἀπολαύουσι τῇ τοῦ Θεοῦ προνοίᾳ. τούτων τοιγαροῦν οὕτως ἐχόντων, σκοπεῖν σε προσήκον, ποίων ἁμαρτημάτων δίκην τιννύεις, καὶ ὅπως διὰ ἐπιμελείας ἐξιλεώσῃ τὸν Θεὸν, ἀλλὰ μὴ τηνάλλως, ὡς νῦν, δυσχεραίνῃς.



ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΠΕΜΠΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΕΠΕΙΔΗ παρῄνεσεν ὁ Ἐλιφὰζ τῷ δικαίῳ πρὸς μετάνοιαν ἰδεῖν, ὡς δι' ἁμαρτίαν τιμωρουμένῳ, εἰς ἄπρακτον αὐτῷ κατέληξεν ἡ συμβουλή. οὐ γὰρ εἶχε πείθειν ὡς ἁμαρτωλὸς εἴη, ὁ μηδὲν ἑαυτῷ συνειδὼς ἄτοπον· ὥστε καὶ πρὸς ἀντιλογίαν εἶδεν ὁ δίκαιος, καὶ ἀπολογεῖται μὲν ὑπὲρ ὧν καὶ ὅλως ἐλάλει, καὶ οὐ τῇ σιωπῇ τὴν ἑαυτοῦ καρτερίαν ἐπιδείκνυται. διὰ δὲ φυσικῶν παραδειγμάτων τῶν ἑαυτοῦ λόγων παραστήσας τὸ εὔλογον, καὶ Ἅγιον ἀποκαλεῖ τὸν Θεὸν, καὶ ὅτι ἐπ' αὐτῷ τὴν ἐλπίδα ἔχει, φησὶ, τήν τε κεκρυμμένην αἰτίαν τῆς ἀθυμίας δημοσιεύει, δεδοικέναι λέγων μὴ τελείως αὐτὸν ὁ Θεὸς ἐγκατέλιπεν. εἶτα καὶ τὰς οἰκείας ἐξαριθμεῖται συμφορὰς, καὶ παραινεῖ μὴ πεποιθέναι ἐπὶ πλούτῳ, καὶ δυναστείᾳ· καὶ τοῖς φίλοις μέμφεται, ὡς τὰς ἀνίας αὐτῷ φορτικωτέρας διὰ τῶν λόγων ἐργαζομένοις, καὶ παραινεῖ φοβεῖσθαι, εἰς τὰ τοῖς πλησίον συμβαίνοντα βλέποντας. καὶ κάλλιστον πάντας ἀνθρώπους διδάσκει μάθημα, ὅτι πειρατήριόν ἐστιν ὁ βίος· καὶ πάλιν ἐκτραγῳδεῖ τὰς οἰκείας συμφορὰς, καὶ ἐξαιτεῖ τὸν Θεὸν μνήμην αὐτοῦ, καὶ ἐπισκοπὴν ποιήσασθαι. καὶ αὖθις ὑπὲρ τῶν οἰκείων ἀπολογεῖται λόγων, καὶ τὴν ἀνθρωπίνην οὐδενίαν εἰς ἱκετηρίαν προβάλλεται, καὶ αἰτεῖ τὸν Θεὸν ἀμνηστίαν αὐτῷ χαρίσασθαι, εἴ τι πεπλημμέληκεν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, εἰ γάρ τις ἱστῶν στῆσαι μου τὴν ὀργὴν, τὰς δὲ ὀδύνας μου ἆραι ἐν ζυγῷ ὁμοθυμαδὸν, καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται.

ΟΛΥΜΠ. Τοῦ Ἐλιφὰζ ὀνειδιστικῶς εἰρηκότος τῷ Ἰὼβ, εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς, νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος, καὶ τεθορύβησαι· καὶ ὡς ἀφιλοσόφου, καὶ μὴ δυναμένου ἑαυτὸν παραμυθήσασθαι, κατηγορήσαντος· Ἀπαραμύθητον δεικνὺς τὴν συμφορὰν ὁ δίκαιος, εἴθε, φησὶν, ἐνδεχόμενον ἦν σταθμηθῆναι τὴν ἐκ Θεοῦ ἐπενεχθεῖσάν μοι ὀργὴν ἐν σταθμῷ, καὶ τὰς ὀδύνας ὁμοθυμαδὸν, τάς τε τῆς ψυχῆς, καὶ τὰς τοῦ σώματος, ὥστε φανερὸν γενέσθαι ὡς καὶ αὐτῆς τῆς παραλίας ψάμμου βαρύτερά τέ ἐστι τὰ συναχθέντα μοι, καὶ ἀθυμεῖν παρασκευάζοντα.

ΠΟΛΥΧΡ. καὶ ΧΡΥΣΟΣΤ. Εἰ γὰρ, ἀντὶ τοῦ, εἴθε γάρ. Ὀργὴν δὲ ἐνταῦθα τὴν ἀθυμίαν λέγει, καὶ τὸ πάθος τῆς ψυχῆς, τὸ ἐκ τῶν συμφορῶν γινόμενον· ὀδύνας δὲ τὰς τῷ σώματι ὑπὸ τῶν ἑλκῶν συμβαινούσας. αὔξων δὲ τῇ ποσότητι τὸ πάθος, τὸ, ὁμοθυμαδὸν, ἔφησεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἐν ἀλλοτρίοις ὑμεῖς φιλοσοφεῖτε κακοῖς, καὶ πόῤῥω τῶν ἐμῶν συμφορῶν ἑστακότες, μετὰ πολλῆς μοι παραινεῖτε τῆς ἀδείας· ὡς εἴθε οἷόν τε τὰ ἐμὰ πάθη, καὶ τὰς ὀδύνας κατ' αὐτὰς λαβεῖν, καὶ καθάπερ ἐν τρυτάνῃ τινὶ ἀντιταλαντεῦσαι τῇ παραλίᾳ ψάμμῳ, τούτων ἂν εὗρε μᾶλλον, ἢ παρ' ἐκείνης, βαρυτέραν τὴν πλάστιγγα. παραλαλίαν δὲ ἄμμον παρείληφε, διὰ τὸ ὑγροτέραν εἶναι.

ΚΕΙΜ. Ἀλλ' ὡς ἔοικε, τὰ ῥήματά μου ἐστὶ φαῦλα (ὁ δὲ Σύμμαχος, οἱ λόγοι μου κατάπικροι) βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μου ἐστὶν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με.

ΧΡΥΣΟΣΤ. Ὅρα δυσπραγίαν· ἀφ' ὧν ἐλεεῖσθαί με ἐχρῆν, ἀπὸ τούτων μισητός εἰμι καὶ κατάκριτος.

ὈΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ὑμεῖς γὰρ οἱ εἰς παράκλησιν ἥκοντες, ἐναντία τῇ προθέσει διαπράττεσθε, ὀνειδιστικοῖς κεχρημένοι τοῖς ῥήμασι· καὶ ταῦτα τῶν τραυμάτων ὁρωμένων, καὶ τοὺς ἐχθροὺς εἰς ἔλεον ἐπισπάσασθαι δυναμένων· ἀλλ' ὑμεῖς μὲν, ὅτι οὐ δὲ μίαν πεῖραν ἔχοντες τῶν δεινῶν, ἐν τοῖς ἀλλοτρίοις φιλοσοφεῖτε κακοῖς, καὶ τὰ ἐμὰ ἐκφαυλίζετε ῥήματα, ἐν ἀνέσει τυγχάνοντες, καὶ οὐκ ἐννοοῦντες, ὡς αἱ παρὰ τοῦ Θεοῦ ἐπενεχθεῖσαι τῷ σώματί μου τιμωρίαι μετά τινος σφοδρότητος, ἐκ δαπανῶσι μου τὸ αἷμα, τουτέστι, τὴν ἰχῶ καταναλίσκουσι, καὶ τὴν ζωτικὴν προσαφαιροῦνται δύναμιν, οὐδὲ φθέγγεσθαι ἀνωδύνως συγχωροῦσαι, ἀλλ' ἐκκόπτουσαι, ὅταν λαλῆσαι βουληθῶ. ἐγὼ δὲ εἰκότως ἀπιστοῦμαι, ὅτι τῶν λόγων δυναμένων παραστῆσαι τὸ πάθος, καὶ τῶν ἀκουόντων, ἐκ τῆς ἑαυτῶν ἀνέσεως, ἀλλ' οὐ τῶν ἐμῶν συμφορῶν, κρινόντων τὰ ῥήματα. διὰ τοῦτο οὐ δὲ δύναμαι ἐλέους τυχεῖν, ἀλλ' ἀπειλὴ δοκεῖ ἅσσα ἂν εἴπω· Μόνος δὲ οἶδα τῶν ἐπενεχθέντων τὸ ἀνήκεστον, ὁ ἐν τῷ ἐμῷ σώματι τὰς παρὰ τοῦ Θεοῦ πληγὰς δεξάμενος. βέλη γὰρ τὰς τιμωρίας λέγει. καὶ θυμὸν αὐτῶν, τὴν ἐπίπονον καὶ πικρὰν ἐπιφορὰν, καὶ τὴν ὀδύνην, ὑφ' ἧς κεντούμενος, οὐδὲ λαλεῖν συγχωρεῖται.

ΚΕΙΜ. Τί γὰρ; μὴ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς, ἐπὶ φάτνης ἔχων τὰ βρώματα;

ΟΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, μὴ στένει λιμῷ ὄναγρος, παρεστῆς χλόης; φυσικοῖς κέχρηται παραδείγμασι, καὶ τῶν ἑαυτοῦ λόγων τὸ εὔλογον δείκνυσι, καὶ ὡς δικαίως οὐκ ἐπείσθη τῇ τοῦ Ἐλιφὰζ παραινέσει, ἀλλὰ πρὸς ἀντιλογίαν εἶδε.

ΠΟΛΥΧ. Πῶς γάρ, φησι, κἀκεῖνο οὐ σκοπεῖτε, ὡς οὐδὲ παρὰ τοῖς ἀλόγοις ἐστὶν ἡ εὔδεια φορητή; ὄνος τε γάρ, ἐπιλιπούσης τροφῆς, καὶ βοῦς, μὴ ἀφθόνου τῆς νομῆς προκειμένης, τῇ βοῇ διασημαίνει τὸ πάθος.

ΔΙΔΥΜ. Μήγαρ ματαίως φωνὴν ἀφήσειν ὄνος ἄγριος, ἀλλ' ἐν δεόμενος τροφῆς· ἀλλ' οὐδὲ βοῦς μυκᾶται, ἐπὶ φάτνης βρωμάτων κειμένων· ὥστε μηδὲ ἐμὲ αἰτιῶ, εἰ κράζω, κατὰ τὴν σὴν ὑπόληψιν, διὰ τὰ ἀμαρὰ, τῆς φύσεως ἀσθενοῦς ὑπαρχούσης. ταῦτα δὲ φησὶν ὁ δίκαιος, ὅτι ὡς οὐ μάτην ἀνακράζει ὄνος, ἢ βοῦς, ἀλλ' ὅταν ἐπιλείπῃ τὰ βρώματα. οὕτως οὐδὲ ἐγὼ ἢ θύμου, εἰ μὴ πρὸς ἔσχατον ἐληλάκειν κακοῦ, ἄγων τὸν Ἐλιφὰζ πρὸς τὸ μὴ μέμφεσθαι τὸν ὀδυνώμενον, εἰ κράζει. οὐ γὰρ ἀναίσθητον εἶναι δεῖ τὸν δίκαιον, κἂν καρτερῶς φέρῃ τὰ θλίβοντα. αὕτη γὰρ ἀρετή ἐστιν, ὅταν αἴσθησιν τῶν ἐπιπόνων δεχόμενός τις, ὑπερφρονῇ τῶν ἀλγηδόνων διὰ τὸν Θεόν.

ΚΕΙΜ. Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς.

ΟΛΥΜΠ. Ὁ δὲ σύμμαχος, μήτι βρωθήσεται ἀνάρτυτοι, τὸ μὴ ἔχον ἅλα; πῶς φησὶ πεισθήσομαι τῇ ὑμετέρᾳ παραινέσει, μήτε τὸ ἅλογον ἐχούσῃ, μήτε πρὸς παραμυθίαν ἐξηρτυμένῃ; ὥσπερ γὰρ ἄναλος ἄρτος οὐ βρώσιμος, οὕτω καὶ λόγοι διάκενοι, καὶ οὐκ ἔχοντες τὸ πιθανόν, ἢ τὸ ἅλογον, πείθειν οὐ δύνανται τοὺς ἀκούοντας. γεῦμα γὰρ τὴν πειθὼ λέγει, ἐπιμελείας τῇ τοῦ λόγου τροπῇ. διὰ τοῦτο καὶ ὁ Ἀπόστολος ἔλεγεν, ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, οἱονεὶ ἡδὺς καὶ νόσιμος, ἐπισύφων τε ὁμοῦ, καὶ καταγλυκαίνων τοὺς ἀκούοντας.

ΙΣΙΔΩΡΟΥ. Δύο δὲ οἶμαι μηνύειν τὸ ῥητόν, ἢ ὅτι τὸ ψιλὸν ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται, οὐ γὰρ ἅπτεται τῆς τοῦ ἀκούοντος διανοίας· ἢ ὅτι χρὴ μετρίοις ἅλεσι τὸν λόγον ἠρτύσθαι, ἵνα καὶ ἡδὺς ᾖ τοῖς ἀκούουσι, καὶ τρόφιμος, καὶ καθάπτηται τῆς τῶν ἀκουόντων διανοίας. ἅλες δὲ τῷ παραινετικῷ λόγῳ, ἡ τῶν θείων λογίων μαρτυρία, ὅ,τε τῆς κρίσεως φόβος, καὶ τῆς Βασιλείας ὁ λόγος, ἰσχυροτέραν, καὶ δραστικωτέραν, καὶ τροφιμωτέραν δημιουργοῦντες τὴν παραίνεσιν. καὶ οὐ μόνον τοῖς εὐστομάχοις, ἀλλὰ καὶ τοῖς κακοσίτοις, πρόσφορον καὶ κατάλληλον τροφὴν ὀρέγοντες.

ΔΙΔΥΜΟΥ. Πρὸς δὲ διάνοιαν, ἅπας λόγος κενὸς καὶ μάταιός ἐστιν, ἐστερημένος πράξεως ἐναρέτου. τοῦτο παραστατικόν, τό, οὐ γὰρ ἐν λόγῳ ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει, οὐκ ἐν κεναῖς ὑποσχέσεσιν, ἀλλ' ἐν λόγῳ ἐνεργεῖ, τὰ τῆς σωτηρίας ὑπάρχει.

ΚΕΙΜ. Οὐ δύναται γὰρ παύσασθαί μου ἡ ὀργή. βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου, ὥσπερ ὀσμὴν λέοντος.

ΧΡΥΣΟΣΤ. Ὥσπερ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ἑστὼς ὁ γενναῖος, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται, πάντα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. οὐ γὰρ ἐστίν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πά-

θος,

θος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. ἃ γὰρ ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα ἐνέσκηψε τὸ ἐκείνου. τίς οὖν ἔσται συγγνώμη τῷ μὴ δυναμένῳ τὸ μέρος τῶν ἐπενεχθέντων ἐκείνῳ δεινῶν μετ' εὐχαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ἀλλὰ ὁλόκληρα τὰ πάντων ἀνθρώπων φαίνεται φέρων κακά; τί γὰρ τοῦ Ἰὼβ πενέστερον γέγονεν; ὃς καὶ τῶν ἐν βαλανείῳ ἐρριμμένων καὶ τῶν ἐν τῇ καμιναίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων ἀνθρώπων ἁπλῶς πενέστερος ἦν. οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διεῤῥωγὸς, ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο, καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς φύσεως, τῆς σαρκὸς τὴν περιβολὴν, χαλεπῇ σηπεδόνι καὶ τοῦτο πανταχόθεν διέφθειρεν ὁ διάβολος. καὶ οἱ μὲν κἂν καλύβῃ καλύπτονται, ἐκεῖνος δὲ αἴθριος διενυκτέρευεν, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων. καὶ τὸ δὴ μεῖζον, ὅτι οὗτοι μὲν πολλὰ καὶ αὐτοῖς συνίσασι τὰ δεινὰ, δι' ἃ ἔχοιεν ἂν ἑαυτοὺς αἰτιᾶσθαι, (οὐ μικρὸν τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτῷ δικαίως τιμωρουμένῳ) ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδειξάμενος ἀρετῆς γέμουσαν, τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε. καὶ οἱ μὲν ἐξ ἀρχῆς ἐνεμελέτησαν τῇ συμφορᾷ, ἐκεῖνος δὲ ἀμελέτητον ὑπέμεινε πενίαν, καὶ ταύτην ἐσχάτην, καὶ μεθ' ἣν οὐκ ἔστιν ἑτέραν εὑρεῖν. τί γὰρ ἂν τοῦ γυμνοῦ, καὶ μηδὲ στέγην ἔχοντος, πενέστερον γένοιτ' ἄν; μᾶλλον δὲ οὐδὲ ἐδάφους πάντως ἀπολαύειν κύριος ἦν. οὐ γὰρ ἐπὶ τῆς γῆς, ἀλλ' ἐπὶ τῆς κοπρίας ἐκάθητο. μία μὲν οὖν αὕτη συμφορά, πάντων ὁμοῦ τῶν δεινῶν ὑπόθεσις εἶναι δοκεῖ τοῖς ἀνθρώποις. δευτέρα δὲ μετ' ἐκείνην, μᾶλλον δὲ πρὸ ἐκείνης, ἡ τοῦ σώματος πληγή. τίς γὰρ τοιαύτην ἐδέξατο; κατὰ μικρὸν αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πανταχόθεν ἔβρυεν ἀπὸ τῶν μελῶν, καὶ διηνεκὴς ἦν αὕτη ἡ ἐπιῤῥοὴ, καὶ πολλὴ πανταχόθεν ἡ δυσωδία. καὶ τὸ σῶμα κατὰ μικρὸν διαῤῥεόμενον, καὶ τοιαύτῃ σηπεδόνι σηπόμενον, ἀηδῆ τὰ σιτία ἐποίει, καὶ λιμὸς ἦν αὐτῷ ξένος καὶ παράδοξος. οὐ γὰρ διδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν. βρόμον γάρ, φησίν, ὁρῶ τὰ σῖτά μου, ὥσπερ ὀσμὴν λέοντος. τί ταύτης τῆς τιμωρείας γένοιτο χαλεπώτερον; οὐχ ὕπνος ἀνέπαυεν, οὐ τροφὴ, Ἔτρεφεν ὥσπερ ὀσμὴ λέοντος, φησί. δυσῶδες γὰρ τὸ θηρίον τοῦτο μεθ' ὑπερβολῆς. ἐπειδὴ γὰρ ἔχει τὴν ἀπὸ τῆς φύσεως πλεονεξίαν, ἑτέρως αὐτὸ τῶν ἄλλων φαυλότερον ἐποίησεν ὁ Θεός. φασὶ δὲ ὅτι καὶ τὰ λείψανα τῆς τούτου τροφῆς, ἄβρωτά ἐστι τοῖς ἄλλοις ζώοις, διὰ τὴν ἐπιπνεομένην αὐτοῖς ἐξ αὐτοῦ δυσοσμίαν. τί οὖν αὐτὶς εἴποι, τὸν λιμὸν ἐκεῖνον τὸν καινόν, καὶ μὴ διερμηνευθῆναι δυνάμενον; τὸν ἑκούσιον, τὸν ἀκούσιον· οὐ γὰρ οἶδα πῶς αὐτὸν καλέσω, οὐδὲ εὑρίσκω ὄνομα ἐπιθεῖναι τῷ παραδόξῳ τῆς συμφορᾶς εἴδει. καὶ γὰρ παρακειμένης ἀπείχετο τῆς τραπέζης, καὶ ὁρωμένων οὐχ ἥπτετο τῶν σιτίων. τῶν γὰρ περὶ τὸ σῶμα τραυμάτων ἡ δυσωδία προαπαντῶσα, κατέλυε τὴν ἐπιθυμίαν, καὶ αὐτὴν ἐνεπίμπλα τὴν τράπεζαν τῆς ἀηδίας, καὶ τοῦτο δηλῶν ἔλεγε. Βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου, καὶ ἡ μὲν ἀνάγκη τοῦ λιμοῦ τῶν προκειμένων ἅπτεσθαι ἐβιάζετο, ἡ δὲ ὑπερβολὴ τῆς δυσωδίας, τῆς ἐκ τῶν σαρκῶν γινομένης, ἐνίκα

τοῦ λιμοῦ τὴν βίαν. διὰ δὴ τοῦτο, ὡς εἶπον, οὐκ ἔχω πῶς αὐτὸν καλέσω. ἑκούσιον; ἀλλ᾽ ἐβούλετο ἀπογδύσασθαι τῶν προκειμένων· ἀλλ᾽ ἀκούσιον; ἀλλὰ παρῆν τὰ σιτία, καὶ οὐδεὶς ὁ κωλύων ἦν.

ΙΟΥΛΙΑΝΟΥ. Τοῦτο δὲ οὐ μόνον ἐκ τοῦ πάθους συνέβαινεν, ἀλλὰ καὶ ἐκ τῆς τοῦ πονηροῦ ἐνεργείας. λέγεται γὰρ πολλάκις δυσωδίας τινὰς ἐμποιεῖν ὁ θεομισής.

ΚΕΙΜ. Εἰ γὰρ δῴη, καὶ ἔλθοι μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ Κύριος, ἀρξάμενος ὁ Κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με ἀνελέτω.

ΟΛΥΜΠ. Ἀκύλας δὲ, καὶ Σύμμαχος, ἀντὶ τοῦ ἀρξάμενος, ἐπιβαλὼν τὴν χεῖρα, ἐξέδωκαν. τίς ἡ τοῦ Ἰὼβ αἴτησις καὶ ἡ ἐλπὶς, ἣν καὶ πληρωθῆναι εὔχεται; ἡ τελευτὴ καὶ ὁ θάνατος, καὶ τὸ μὴ ἐπὶ πολὺ παραταθῆναι τὰς βασάνους. τοῦτο γάρ ἐστι τὸ, εἰς τέλος μή με ἀνελέτω. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, μία μοι λύσις τούτων ἐστὶ τῶν δεινῶν, θάνατος, καὶ ἀνάπαυσις. αὐτὸς μὲν οὖν ἐμαυτὸν ἐξαγαγεῖν οὐ δύναμαι, παρακαλῶ δὲ τὸν Κύριον, ἵνα ἐπιβαλὼν τὴν χεῖρα, καὶ μαστιγώσας, ἀπαγάγῃ, καὶ μὴ ἐάσῃ εἰς τέλος ἀναιρεῖσθαι, τουτέστιν ἐπὶ πολὺ βασανίζεσθαι. οὕτως ἐν χάριτος μέρει αἰτεῖ τὸν θάνατον, ὥστε ἀπαλλαγῆναι τῆς ἀθυμίας.

ΚΕΙΜ. Εἴη δέ μου πόλις, τάφος· ἐφ᾽ ἧς ἐπὶ τειχέων ἡλλόμην. ἐπ᾽ αὐτῆς.

ΟΛΥΜΠ. Ἀκύλας δὲ καὶ Θεοδοτίων, καὶ ἔσται ἔτι παράκλησίς μου εἰρήκασιν. ἡ δὲ τοῦ στίχου δύναμις αὕτη, ἀρκεῖ μοι φησὶν, εἰς παράκλησιν, καὶ παραμυθίαν, τὸ ἐν αὐτῇ τῇ πόλει ἀποθανεῖν καὶ ταφῆναι. τὸ δὲ, ἐπὶ τειχέων ἡλλόμην, ἀντὶ τοῦ, ἐφ᾽ ἧς γαῦρος ἤμην, καὶ πεποιθὼς, καὶ μεθ᾽ ἡδονῆς διῆγον.

ΚΕΙΜ. Οὐ φείσομαι, οὐ γὰρ ἐψευσάμην ῥήματα Ἅγια Θεοῦ μου.

ΟΛΥΜΠ. Οὐ φείσομαι, φησὶ, τῆς πρὸς ὑμᾶς ἀντιλογίας, οὐδὲ ὑπεσταλμένως φθέγξομαι, ἀλλὰ πεπαρρησιασμένως, ἐπειδὴ οὐ σύνοιδα ἐμαυτῷ παραβεβηκότι ἐντολὴν τοῦ Θεοῦ, ὥστε καὶ δικαίαν ἡγεῖσθαι τὴν κάκωσιν. οὐ γὰρ ἀνέχομαι ἕτερα μὲν ἔχειν κατὰ διάνοιαν, ἐναντία δὲ τῇ γνώμῃ φέρειν ῥήματα· ἀλλ᾽ ἃ φρονῶ, σὺν ἀληθείᾳ φθέγγομαι. διὰ ταύτην αὐτοῦ τὴν γνώμην, καὶ τὴν σὺν ἀληθείᾳ παῤῥησίαν, ἐπαινοῦσα αὐτὸν ἔφησεν ἡ γραφή, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινὸς, ἄμεμπτος. ὅρα δὲ τὴν Ἀβραμιαίαν συγγένειαν, θεώρει τοῦ Ἰσαὰκ, τοῦ Ἰακὼβ, τοῦτον οὐ μόνον κατὰ σάρκα, ἀλλὰ καὶ κατὰ τὴν εὐσέβειαν διάδοχον· περὶ μὲν γὰρ ἐκείνων ἔλεγεν ὁ Θεὸς, ἐγὼ Θεὸς αὐτῶν εἰμί. τὸ δὲ τούτων γνήσιον γέννημα τί φησιν; οὐ γὰρ ἐψευσάμην ῥήματα Ἅγια Θεοῦ μου. εἶδες ἀγάπην, οἵαν ἔχει εἰς Θεὸν, πῶς ἐπὶ πάντων ἰδιοποιεῖται τὸν Θεὸν, ἐπαίνεσον αὐτοῦ καὶ τὴν διὰ πάντων ἀλήθειαν, καὶ σκόπει μεθ᾽ ὅσης τῆς πρὸς Θεὸν ἀγάπης, τοὺς λόγους προφέρει.

ΚΕΙΜ.

ΚΕΙΜ. Τίς γάρ μου ἡ ἰσχὺς, ὅτι ὑπομένω; τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή; μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου; ἢ αἱ σάρκες μου εἰσὶ χάλκεαι;

ΠΟΛΥΧΡ. καὶ Ο'ΛΥΜΠ. Ο' δὲ Α'κύλας, καὶ τί τὸ τέλος μου, ὅτι μακροθυμήσω; εἴτις, φησὶ, μέμφοιτο βαρυνομένῳ, λογιζέσθω ὡς ἄνθρωπος ὤν, καὶ ὑπὸ τῶν παθῶν συνεχόμενος, ἠναγκάσθην προέσθαι τοιαῦτα ῥήματα, διὰ τὸ μὴ δύνασθαι ἀναλγήτως ἐνεγκεῖν τὰ κακὰ, ἐπειδὴ ἀσθενὲς ὂν τὸ σῶμα, εἴκει πάντως τοῖς πάθεσι. μὴ γὰρ ἀνάλγητος, ἢ λίθινος, ἢ χαλκοῦς εἰμὶ, φησί; οὐκ ἀνθρώπου σάρκα περίκειμαι, καὶ ὀλιγοχρόνιος τυγχάνω; μηδεὶς οὖν μεμφέσθω ἀλγοῦντι καὶ ἀπαλλαγὴν αἰτοῦντι τῶν παρόντων δεινῶν.

ΧΡΥΣΟΣΤ. Ποίαν ἔχω δύναμιν, ὥστε τηλικαῦτα καρτερῆσαι; οὐκοῦν οὐκ ἀπὸ ἰσχύος ὑπέμενε, ἀλλ' ἀπὸ εὐλαβείας, καὶ φόβου Θεοῦ· ἡ γὰρ αὖ ἑαυτὸν διεχλευάσατο· νῦν δὲ ἐλέγχει τὸ πρᾶγμα ἐπιτρέπει, καὶ οὐχὶ τῇ ἑαυτοῦ τόλμῃ.

ΚΕΙΜ. Ἦ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν; βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν, ἀπεῖπατό με ἔλεος, ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέ με.

Ο'ΛΥΜΠ. Τὰ μὲν τοῦ σώματός φησι, τοιαῦτα. ὃ δὲ μάλιστα τὴν ἐμὴν αἰκίζει ψυχὴν, τὸ ἐκ τῶν παρόντων τεκμαίρεσθαι, ὡς ὁ ὑπ' ἐμοῦ ποθούμενος Θεὸς, εἰς ὃν τὴν πᾶσαν μου τῆς ζωῆς ἐλπίδα ἀνήρτησα, ἐγκατέλιπέ με, καὶ τῆς οἰκείας ἐπισκοπῆς, καὶ τῶν οἰκτιρμῶν ἐγύμνωσε· διὰ ταῦτα μάλιστα ὁ δίκαιος ἠθύμει. καὶ σκοπείτω γε ἕκαστος τῶν τῇ θείᾳ τετρωμένων ἀγάπῃ, ὅσην ὀδύνην ἐμποιεῖ λογικῇ ψυχῇ, τὸ ὑποπτεύειν ἐγκαταλελεῖφθαι παρὰ τοῦ ποθουμένου Θεοῦ. εἰ γὰρ οἱ γυναικὸς ἔρωτι τρωθέντες, εἶτα ὑπεροφθέντες, ἀβίωτον ἡγοῦνται τὸν βίον, καὶ ἀφορήτοις αἰτίαις βάλλονται· τί αὖ πάθοι ψυχὴ τῇ εἰς Θεὸν ἀγάπῃ τρωθεῖσα, καὶ ἐγκατάλειψιν ὑπομεμενηκέναι νομίζουσα; εἶτα ἐπιφέρει τὰ αὐτῷ συμβεβηκότα, ἐξ ὧν ὑπόπτευε παρῶφθαι ὑπὸ Θεοῦ.

ΚΕΙΜ. Οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου, ὥσπερ χειμάῤῥος ἐκλείπων, ἢ ὥσπερ κῦμα, παρῆλθόν με.

ΠΟΛΥΧΡ. καὶ Ο'ΛΥΜΠ. Πρῶτα μὲν, φησὶν, ὁ Θεὸς ἐγκατέλιπέ με ἐν τοσαύτῃ καταστάντα συμφορᾷ. ἔπειτα εἰς τοσαύτην κατέστην ταλαιπωρίαν, ὥστε καὶ τῆς παρὰ τῶν φίλων ἐπικουρίας στερηθῆναι, καὶ μηδὲ τῆς παρὰ τῶν συγγενῶν γοῦν τυχεῖν φιλανθρωπίας, οὐ γὰρ προσεῖδόν με, οὐκ ἀφ' ὧν ἥμαρτον, ἀλλ' ἀφ' ὧν πέπονθα, βδελυττόμενοί με. χειμάῤῥῳ δὲ ἑαυτὸν προσομοιοῖ διὰ τὴν προλαβοῦσαν εὐθηνίαν. τοιοῦτος γὰρ καὶ ὁ ἐν χειμῶνι ῥέων ποταμὸς, νῦν μὲν πληροῦται ὑδάτων, νῦν δὲ ξηραίνεται, καὶ ἡ χαράδρα ἄνικμος καταλείπεται. τοιοῦτον δὲ καὶ τὸ κῦμα, μὴ ἐν ταυτότητι μένον, ἀλλὰ ποτὲ μὲν μετεωριζόμενον, καὶ εἰς ὕψος ὀγκούμενον, ποτὲ δὲ

συστελλόμενον, καὶ εἰς ἀφρὸν λυόμενον.

ΔΙΔΥΜΟΥ. Καὶ οἱ δοκοῦντες δὲ φίλοι εἶναι, ἐν αὐτοῖς δὲ θλιβεροῦ καιροῦ ἐλεγχόμενοι, ὅτι ψεύδονται τὴν φιλίαν, καὶ σχηματίζονται, λέγοιντ᾽ ἂν χείμαρρος, καὶ κῦμα, διὰ τὸ ἀβέβαιον, καὶ ἄπιστον. ὡς γὰρ ὁ χείμαρρος δόκησιν παρέχει αὐθιγενοῦς, καὶ ἀεννάου ποταμοῦ, καὶ τὸ κῦμα κορυφούμενον τοῖς ἀπείροις δοκεῖ μὴ ἄν ποτε ταπεινωθῆναι. ἐλέγχει δὲ καὶ τὸν χείμαρρον πρόσκαιρον ὄντα ὁ αὐχμός, καὶ τὸ κῦμα ἡ νηνεμία. οὕτω καὶ τοὺς ὑποκρινομένους τὰ τῆς φιλίας, καιροῦ ζάλη δείκνυσι πολύ τι πρὸς τοὺς ἀληθινοὺς φίλους ἀντικειμένους. οἱ μὲν γὰρ δίκαιοι, ἣν ἔχουσι βεβαιότητα πρὸς τοὺς ἀγαπωμένους, ταύτην φαίνονται, καὶ ἐν ἀνέσει, καὶ ἐν περιστάσει τηροῦντες, τὸν ὅρον τῆς φιλίας μὴ διαστρέφοντες, καὶ τὸ θαῦμα, ὅπου γε καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐκτείνουσι, μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὶ ὄντες· οἱ δὲ φαῦλοι μέχρι μέν τινος κρύπτουσιν, ὅπερ εἰσί, φωρῶνται δὲ ἐν τοῖς περιστατικοῖς, τὸ προσωπεῖον τῆς ἀγάπης ἀποδυσάμενοι. τοῦτο τοίνυν καὶ τῷ Ἰὼβ πρὸς δοκιμασίαν τότε συνέβαινεν. ἴσως δὲ καὶ τοῦτο τοῦ ἐξαιτησαμένου ὑποβάλλοντος, πείθοντός τε καὶ τοὺς φίλους, διὰ τὸ πάθος καταφρονεῖν αὐτοῦ. οὐ μικρὸν δὲ ἀνία ἐν τοῖς θλιβεροῖς ἀπουσία τῶν φίλων. ταύτην ὑπομένων τὴν θλῖψιν, καὶ Δαβὶδ ὁ ἅγιος ἔψαλλε, κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. καὶ πάλιν ἀποδυρόμενος ἔλεγεν, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.

ΧΡΥΣΟΣΤ. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἔργον, τὸ καὶ τοὺς οἰκείους ὑπερορᾶν τοιαῦτα πάσχοντας. ὅταν γὰρ αὐτὸς ἀποστῇ, καὶ γυμνωθῇ τῆς παρὰ τοῦ Θεοῦ βοηθείας ὁ ἄνθρωπος, πάντα ἐχθρὰ, καὶ πολέμια. πῶς οὖν, φησί, καὶ μεγέθει κακῶν περιπεπτωκότι, καὶ τῆς παρὰ πάντων ἐκτὸς καθεστῶτι παραψυχῆς ἐγκαλεῖτε, ἀνιωμένῳ, καὶ δακνομένῳ ἐφ᾽ οἷς ἀδοκήτως πάντα εἰς τοὐναντίον μοι περιέστη.

ΚΕΙΜ. Οἵτινές με διελάβοντο, νῦν ἐπιπεπτώκασί μοι.

ΧΡΥΣΟΣΤ. καὶ ΠΟΛΥΧΡ. Τί λέγω φησίν, ὡς διέπτυον οἱ ἐγγύτατοι; ἐπέτριβον μὲν οὖν τὰς συμφορὰς, καὶ ταῦτα, ὀλίγῳ πρότερον καὶ τὴν ἐμὴν ἐπωνυμίαν τρέμοντες.

ΔΙΔΥΜΟΥ. Ἴσως μὲν οὖν ἠρέμα τοὺς φίλους ἐλέγχει, ὅτι ἀγνοοῦντες τὴν αἰτίαν τῶν ἐπαγωγῶν, ἐπεμβαίνετέ μοι, τολμῶντες τοιαῦτα λέγειν, ἃ μὴ πρότερον εἰρήκατε, διὰ τὴν πρός με εὐλάβειαν. εἰκὸς δὲ ὅτι καὶ πολλοὶ τῶν ἄλλων διὰ τὴν συμφορὰν αὐτῷ ἐνήλλοντο.

ΚΕΙΜ. Ὥσπερ χιὼν, ἢ κρύσταλλος πεπηγὼς, καθὼς τακεῖσα θέρμης γενομένης, οὐκ ἐπεγνώσθη ὅπερ ἦν· οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων. ἀπωλόμην δὲ, καὶ ἔξοικος ἐγενόμην.

ΟΛΥΜΠ. Τουτέστιν, οὐ δὲ μνημόσυνον ὑπολέλειπται, οὐ δὲ λείψανον

τῆς προτέρας ἀπραγίας, ἀλλ᾽ ὥσπερ χιὼν, ἢ κρύσταλλος, ὑπὸ θέρμης διαλυόμενα, ἀδιάκειτον ποιῦσι τὸν τόπον, καὶ ὐδὲ ἴχνος ἐγκαταλιμπάνουσιν, ὅτως ὡς μηδὲν ὄντα με ἐλογίσαντο, καὶ ταῦτα, οἱ διὰ γένυς ἐγγύτητα συμπαθεῖν ὀφείλοντες· καὶ ὅπερ πρὸ τύτυ ἐκρύπτετο, φανερὸν ἡ περίστασις ἔθηκεν, ὅτι ὐκ ἦσαν φίλοι, ἀλλ᾽ ἐδόκυν. ἔςι δὲ καὶ ἄλλο τὶ χαλεπώτερον· οἱ γὰρ πρότερόν με διαλαβόμενοι, νῦν ταῖς ἐμαῖς ἐπεμβαίνυσι συμφοραῖς. τὸ δὲ, ἀπωλόμην, πρὸς τὴν τῶν πολλῶν εἶπε διάληψιν, ἀπώλειαν λογιζομένων, τὴν πάντων ἀφαίρεσιν· τὸ δὲ, ἔξοικος ἐγενόμην, ἀντὶ τῦ, πανέςιος ἀπόλωλα.

ΚΕΙΜ. Ἴδετε ὁδὺς Θαιμανῶν, ἀτραπὺς σαβῶν οἱ διορῶντες, καὶ αἰσχύνην ὀφειλήσυσιν, οἱ ἐπὶ πόλεσι καὶ χρήμασι πεποιθότες.

ὈΛΥΜΠ. Ἔπρος τὴν ἑρμηνείαν τῶν ὅτως ἐκδέδωκεν, ἀποβλέπυσιν εἰς ὁδὺς Θαιμὰν, ὁδοιπορείας σαβὰ προσδοκῶσιν ἑαυτοῖς. τὺς ἐπὶ πλύτῳ καὶ δυναςείᾳ μεγαλοφρονῦντας, ἐκ τῆς καθ᾽ ἑαυτὸν μεταβολῆς νυθετεῖ, μὴ ἐλπίζειν ἐπὶ τῇ τύτων ἀδηλίᾳ. οἱ γὰρ προσέχοντες, φησὶν, εἰς τὰς ὁδὺς τῆς Θαιμὰν, καὶ τὰς ἀτραπὺς τῶν αἰθιόπων (σαβὰ γὰρ οἱ αἰθίοπες) τυτέςιν, οἱ ἐκ τῆς ἐμπορείας τῆς πρὸ τύτυς κέρδη προσδοκῶντες, μὴ πεποίθατε ἐπὶ χρήμασιν. αἰσχύνην γὰρ ὀφειλήσυσιν οἱ ἐπὶ τύτοις ἐλπίζοντες. τὰ δὲ χωρία ἐπιδείκνυσι, πάλαι μὲν εὐδαίμονα, τότε δὲ ἔρημα, ἐρείπια, καὶ εἰς ταῦτα ἀποβλέπειν κελεύει, καὶ μὴ πιςεύειν τῇ τῦ πλύτυ ἀδηλότητι. εἴτε δὲ τῦτο, εἴτε ἐκεῖνο, παραινεῖ μὴ πεποιθέναι ἐπὶ χρήμασι, ἢ δυναςείᾳ, τὺς διορῶντας, τυτέςι, τὺς μετὰ διανοίας ἐξετάζοντας. ταῦτα δὲ ἔλεγεν ὑποχῶν καὶ τοῖς φίλοις, ὅτι ὐ χρὴ ἐπὶ τοῖς προσῦσι μέγα φρονῦντας ὑπερορᾶν αὐτῦ εἰς ἐσχάτην πενίαν ἐλάσαντος. τυτέςι, τὰ οἰκεῖα ἀναμνήσθητε, ὅτι τὸ μέλλον ἄδηλον, καὶ πάντες ὁμοίως ὑποκείμεθα.

ΚΕΙΜ. Ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως.

ΔΙΔΥΜ. Καὶ τὺς ἐπ᾽ αἰτίᾳ ψεκτῇ περιπεσόντας σκυθρωποῖς νυθετῶν τις, ὐκ ἐλέγχει, κατὰ λόγυ κινύμενος. ὐ τῦτο γὰρ πρόκειται, ἀλλὰ μᾶλλον εἰς ἀνδρείαν προτρέψασθαι, τῦ γενναίως ἐνεγκεῖν. τὸ γὰρ λέγειν, διατί γὰρ ἥμαρτες; βαρύναι ἐςὶ μᾶλλον, ἢ πόνων κυφίσαι. καὶ γὰρ τῷ ὄντι ἀνελεημόνως ἐπέςησαν αὐτῷ, ἐκ τῦ πεπλανῆσθαι περὶ τὴν αἰτίαν τῆς ἐπαγωγῆς, καὶ ὅτι τὸν μὴ ὑποκείμενον ἐλέγχῳ, ἐλέγχειν ἐπειρῶντο.

ὈΛΥΜΠ. Ἔςω, φησὶν, ἐκεῖνοι παρεῖδόν με. διατὶ καὶ ὑμεῖς, οἱ ἐμοὶ φίλοι, μετ᾽ ἐκείνων τῶν συγγενῶν μυ, ὡς παράνομόν με ἐκείνατε, διὰ τὴν τῦ σώματος λώβωσιν; καὶ ὕτω πικροῖς τοῖς κατ᾽ ἐμῦ λόγοις κέχρησθε, καὶ ἀνελεημόνως ἐνήλασθε; τυτέςιν ἀσυμπαθῶς, ἐλεγκτικῶς, κατηγορικῶς ἐπιξέοντες τὸ λυπῦν τοῖς ὀνείδεσι, δέον παρακαλεῖν; εἶτα ἡ ἀρίςη τῦ φιλοσόφυ καὶ φιλοθέυ συμβυλὴ, τὸ δεῖν εἰς τὰς ἑτέρων προσέχοντα συμφορὰς, εὐλαβέςερον γίνεσθαι, καὶ περὶ φόβον. ἐπάγει γάρ.

ΚΕΙΜ. Ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα, φοβήθητε.

ΧΡΥΣΟΣΤ. Ὁρᾶτε φησὶν, μὴ δίκας ἐξαιτηθῆτε τῆς ἀγριότητος· εἰ καὶ μηδὲν ἕτερον, μήτε φιλία, μήτε εὐεργεσία, μήτε ἄλλο μηδὲν ὑμᾶς ἐπιεικεστέρους ποιεῖ, αὐτὴ τῶν ἐμῶν τραυμάτων ἡ θεωρία πολλῆς ὑμᾶς ὤφειλεν ἐμπλῆσαι τῆς ἐπιεικείας.

ΔΙΔΥΜ. Κηδεμονικώτατα δὲ ὁ ἅγιος, καὶ πρὸς τοὺς μὴ ὀρθῶς διακειμένους πρὸς αὐτὸν προσφέρεται, ἀπὸ τῶν καθ' ἑαυτὸν κἀκείνους διορθούμενος, καὶ ἐκ τῆς αὐτῶν διαλήψεως δεχόμενος τὴν ἀρχὴν τῆς παραινέσεως. εἰ γὰρ πᾶς ὁ ἁμαρτάνων σκυθρωποῖς περιπίπτει, καὶ ὁ περιπεσὼν ἐξ ἁμαρτιῶν τοῦτ' ἔπαθεν, οὐδεὶς δὲ καθαρὸς ἀπὸ ῥύπου, καὶ ὑμεῖς φοβήθητε, ἐκ τοῦ ἡμετέρου τραύματος τὸν φόβον δεχόμενοι.

ΚΕΙΜ. Τί γάρ; μήτι ὑμᾶς ᾔτησα; ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι, ὥστε σῶσαι με ἐξ ἐχθρῶν, ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με;

ΧΡΥΣΟΣΤ. Μὴ φησὶν, ἔν τινι ἐπαχθὴς ὑμῖν γέγονα, ὅτι μοι ἀνελεημόνως οὕτως ἐχρήσασθε; ἢ πρὸς συμμαχίαν ἐμὴν κατὰ τῶν ἐναντίων ὑμᾶς προετρεψάμην; ἢ δόσει τὴν πενίαν παραμυθήσασθαι ἱκέτευσα; ἀλλὰ μὴν οὔτε πρότερον ὑμῶν ἐδεήθην, οὔτε νῦν, ἀλλ' αὐτόματοι παρεγένεσθε, ὡς δὴ παρακαλέσαντες· τί οὖν τὰ τῶν ἐχθρῶν διαπράττεσθε;

ΚΕΙΜ. Διδάξατέ με, ἐγὼ δὲ κωφεύσω, εἴτι πεπλάνημαι, φράσατέ μοι.

ΠΟΛΥΧΡ. Εἴτι τῶν πρὸς ἐμοῦ ῥηθέντων ψευδές, ἐλέγξατέ με, καὶ ἡσυχάσω, ἐμὰ λογιζόμενος τὰ ὀνείδη, ἀφ' ὧν πέφηνα φορτικός. διδάξατέ με, εἰ πεπλανημένως, καὶ ἐσφαλμένως, αἰτῶ τὸν θάνατον. οὐ βαρεῖαι, καὶ ἀνύποιστοι, αἱ συμφοραί; οὐκ ἐπιθυμητὸν ἀπαλλαγῆναι τῶν ἀλγηδόνων;

ΧΡΥΣΟΣΤ. Εἰ δὲ καὶ ἡμαρτηκέναι τι δοκῶ, καὶ τοῦτό μοι γνωρίσατε, οὐ γὰρ δὲ εἶχον ἐκεῖνοι φανερὰ ἐγκλήματα προβάλλεσθαι, ἀλλ' ἁπλῶς ἀπὸ στοχασμοῦ. καὶ ὅτι βίου μὲν ἐνάρετου ἦν, φανερὸν ἦν· ὅτι δὲ οὐκ ἦν, ἐστοχάζοντο οὗτοι ἀπὸ τῶν τιμωριῶν.

ΔΙΔΥΜ. Καὶ τοῦτο δὲ μετὰ πλείστης ὅσης πρᾳότητος ὁ ἅγιος παιδεύει αὐτοὺς, πῶς χρήσονται λόγοις πρὸς τοὺς ἐν περιστάσει. φησὶ γὰρ, διδάξατέ με, τουτέστι, διδάσκειν ὀφείλετε, οὐκ ἐλέγχειν ἀκαίρως, εἰ μὴ καὶ τοῦτο πρὸς παίδευσιν δεῖ ποιεῖν, κατὰ τὸ λεγόμενον ὑπὸ Παύλου, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

ΚΕΙΜ. Ἀλλ' ὡς ἔοικε φαῦλα ἀληθινοῦ ῥήματα.

ΟΛΥΜΠ. Ὡσανεὶ ἔλεγε, φορτικὸν τοῖς πολλοῖς ἡ ἀλήθεια, οἷς καὶ ὑμεῖς ταυτὸν πεπόνθατε· καὶ διὰ τοῦτο τῆς ἐμῆς ἀληθείας ἐκφαυλίζετε τὰ ῥήματα.

ΙΟΥ-

ΙΟΥΛΙΑΝ. Ἢ γὰρ ἔτω νοητέον, ὅτ᾽ αὖ ἀναβολὴ γένηται τῆς θείας ἐπικυρίας, κἂν ἀληθῆ λέγῃ τις, ἐκ ἀξιόπιστός ἐστι τοῖς ἀκροαταῖς· ἢ, ὅτι ἐ δυνατὸν ἀγωνίσασθαι, τῆς συμφορᾶς μοι ἀντιφθεγγομένης.

ΚΕΙΜ. Οὐ γὰρ παρ᾽ ὑμῶν ἰσχὺν αἰτοῦμαι, ἐδὲ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει· οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι. πλὴν ὅτι ἐπ᾽ ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν.

ΧΡΥΣΟΣ. Οὐ δέομαι, φησὶ, τῆς βοηθείας ὑμῶν, μὴ συγκατάβητέ μοι, μηδὲ, ὡς ἐπιῤῥῶσαι βελόμενοι, τὰ πρὸς χάριν λαλήσητε, ἀλλ᾽ ἐλέγξατέ με μετὰ παῤῥησίας. ἐ γὰρ δέδοικα ὑμῶν τὰς ἐλέγχους, ἐδὲ ἐφησυχάσω τῷ λόγῳ, τῷ συνειδότος με καθαρεύοντος, ἀλλὰ καὶ πρὸς ἕκαστον ἀντιλέγων ῥῆμα, νικήσειν ἐλπίζω. πλὴν ἐκεῖνο οἶδα, ὅτι ἔπω με βάλλετε πικροῖς τοῖς ὀνείδεσι, μὴ τὴν συμφορὰν, μὴ τὴν φιλίαν λογιζόμενοι, ὡς ὄντως ἀπορφανισθέντα τῆς τῷ Θεῷ βοηθείας· καὶ ὅτε ἡ συμφορὰ, ὅτε ἡ φιλία ὑμᾶς κατέκαμψεν, ἀλλ᾽ ἐγὼ, κἂν εἰς τὴν ἐναντίαν μοῖραν ἑαυτὰς τάξητε, ἐ παραιτήσομαι τὸν ἀγῶνα, ἀλλ᾽ αὐτερῶ, καὶ πρὸς ἀπολογίαν χωρήσω. ἐδὲν γὰρ ἐμαυτῷ σύνοιδα.

ΔΙΔΥΜ. Ἀνδρείας δὲ καὶ τῦτο. πολλοὶ γὰρ πολλάκις τῶν ἐν περιστάσει φορτικῶν ἀκούοντες λόγων, ἀποκάμνουσιν· ἀλλ᾽ ὁ ἅγιος ὅτε ὅλως τὸν ἔλεγχον τὸν ὑπὸ φίλων, ὅτε τὰς λόγους πρὸς ὀλιγωρίαν ἐδέξατο, μὴ καταδεχόμενος αὐτὰ τὴν ἀρχὴν, ὡς δυνάμενα αὐτὸν σεῖσαι, ἀλλὰ τὸ ἄλογον τῆς καθ᾽ ἑαυτῷ ἐπιπλήξεως, καὶ τὸ μάταιον τῷ ἐλέγχε δεικνὺς, φησὶν, ὅτι ἐ παύσει με ὁ ἔλεγχος ὑμῶν. λόγος γὰρ χωρὶς ἔργων προφερόμενος, ἀβέβαιός ἐστι, καὶ ἄπιστος. ἄλλως δὲ καὶ μὴ ἀληθῶς προϊὼν, ἔπι τὸ ἀσθενὲς ἔχει· ὥστε καὶ ὑμεῖς τοιέτῳ ἐλέγχῳ, χρώμενοι, ἐ παύσετε τ᾽ ἀληθῆ λέγειν, ἐδὲ πρὸς τὰς παρ᾽ ὑμῶν λόγας ἀρήσετε ἡσυχάζοντα.

ΚΕΙΜ. Νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπα ὑμῶν, ἐ ψεύσομαι.

ΟΛΥΜΠ. Τυτέστι, μετὰ παῤῥησίας ἐρῶ τὴν ἀλήθειαν, ἐδὲ ὑποστειλάμενος, ἐδὲ ἐρυθριάσας. διδακτικὸν δὲ τὸ ῥητὸν, πρὸς τὸ μὴ περὶ ἀπόντων προφέρειν λόγας καταλαλιᾶς, ἀλλ᾽ εἰς πρόσωπον λέγειν ἃ δεῖ. εἴρηται γὰρ μὴ καταλάλει, μηδὲ ἡδέως ἄκουε καταλαλῦντος. ἀπαῤῥησίαστον δὲ καὶ τὸ λέγειν ἐ ψεύσομαι, καθὰ καὶ Παῦλος, ἀλήθειαν λέγω ἐν Χριστῷ ἐ ψεύδομαι.

ΚΕΙΜ. Καθίσατε δὲ, καὶ μὴ εἴη ἄδικον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε. ἐ γάρ ἐστιν ἐν γλώσσῃ με ἄδικον, ἢ ὁ λάρυγξ με ἐχὶ σύνεσιν μελετᾷ;

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Αὐτὸς, φησὶ, ὑμᾶς αἰτῶ καθίσαι μοι κριτὰς, καὶ δικαίας ἐξενεγκεῖν τὰς ψήφας. πιστεύω γὰρ μηδὲν ἄδικον λέξειν, μηδὲ ἀσυνέτας, ἢ φλυάρας προαγαγεῖν λόγας. ταῦτα δὲ φησὶ, προκαλέμενος αὐτὰς εἰς τὴν ἐξέτασιν, καὶ μονονεχὶ λέγων, ὑμεῖς κριταὶ τῶν πρὸς ὑμᾶς

γίνεσθε λόγων, μόνον ἡ τοῦ δικαίου μοῖρα προσίσω τῇ ψήφῳ· ἄρξασθε, χωρήσατε πρὸς ἀντιλογίαν, ἐγχειρήσατε ἐλέγξαι τὴν λόγων τὴν ἀλήθειαν.

ΔΙΔΥ'Μ. Ε'πιτρεπτικὰ δὲ ταῦτα, καὶ ἀλεξίκακα, παιδεύοντα σχολῇ, καὶ προσοχῇ, καὶ ἐξετάσει φθέγγεσθαι· ὃ δηλοῦται διὰ τοῦ, καθίσατε, τοῦτο καὶ ἀλλαχοῦ εἴρηται, πρὶν ἐξετάσῃς μὴ μέμφου. μέγα δὲ καὶ τὸ ἐπίταγμα, τὸ, μὴ εἴη ἄδικον. οὐ γὰρ μικρὸν ἐν λόγῳ μὴ πταίειν. προτρεψάμενος δὲ αὐτοὺς σχολάσαι τῇ περὶ αὐτοῦ ἐξετάσει, ὅπερ διὰ τοῦ, καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον, ἡρμήνευσεν. εἶτα ἐπαῤῥησίασον προφέρει λόγον, φάσκων, οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον, ἠρέμα παρακινῶν αὐτοὺς, ἐξ ἧς εἶχον περὶ αὐτοῦ διαλήψεως, ὡς δι' ἁμαρτίας πεπονθότος. καὶ ἄλλως ὑποσημαίνων αὐτοῖς, ὡς οὐ πρὸς ἀσύνετον πρᾶγμα ἔχουσιν, ἵν' ἐκ τούτου εἰς τὴν περὶ αὐτοῦ σκέψιν αὐτοὺς διεγείρῃ, ὥστε φρονίμως, καὶ συνετῶς ταύτῃ χρήσασθαι.

ΟΛΥ'ΜΠ. Ω'σπερ δὲ ἤδη καθίσας αὐτοὺς δικαστὰς, ἄρχεται συνηγορεῖν τοῖς ἑαυτοῦ λόγοις, καὶ δεικνύναι ὡς οὐ μέμψεως ἄξιός ἐστι ποθῶν μεταλλάξαι τὸν βίον. ἐκ δύο δὲ τούτων αἰτιῶν εὔλογον ἑαυτοῦ κατασκευάζει τὴν ἐπιθυμίαν· μιᾶς μὲν, ὅτι καθόλου κινδύνων μεστὸς ὁ ἐπίκηρος οὗτος βίος· ἑτέρας δὲ, ὅτι πρὸς τὸ καθόλου καὶ τοῖς γενικοῖς φόβοις τε καὶ ἀγωνίαις, αὐτὸς διαφερόντως ταῖς ἀνηκέστοις περιβέβληται συμφοραῖς, γυμνάζει δὲ πως τὸ καθόλου τοῦ βίου μοχθηρὸν, καὶ φησί.

ΚΕΙΜ. Πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς; καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ; ἢ ὥσπερ θεράπων δεδοικὼς τὸν Κύριον αὐτοῦ, καὶ τετυχὼς σκιᾶς; ἢ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ;

ΧΡΥΣΟΣΤ. Α῏ρα, φησὶν, ὑμῖν οὐ δοκεῖ πειρασμῶν ἐμπεπλῆσθαι καὶ περιστάσεων, πάντων ἀνθρώπου ὁ βίος; καὶ ὡς πᾶς ἄνθρωπος ἔοικεν αὐθημερινῷ μισθωτῷ, ὃς δι' ὅλης ἡμέρας κάμνει, ἵνα τι μικρὸν κομίσηται; ἢ θεράποντι δεδοικότι τὸν ἑαυτοῦ δεσπότην, καὶ μόλις ποτὲ μικρᾶς ἀναπαύσεως τυγχάνοντι; ἢ ἁπλῶς μισθωτῷ, εἰ καὶ μὴ αὐθημερινῷ, ἵνα μετὰ τοὺς πολλοὺς καμάτους λάβῃ τινὰ μισθόν;

ΠΟΛΥΧΡ. Η῏ πάντως εὔδηλον, ὡς περιστάσεων μεστὸς ὁ βίος, καὶ δίκην μισθωτοῦ ἅπαντες περὶ τὴν ἑαυτῶν πονοῦνται ζωήν. ἄλλως γὰρ γεωργὸς συλλέγει τροφὴν, καὶ ἄλλως ὁ τὴν βάναυσον μετιὼν τέχνην, καὶ οἱ ἐν ἀξιώμασιν ἑτέρως. ἔστι δὲ ὅλως οὐδεὶς, ὃς οὐ τῶν ἀναγκαίων φροντίζει, ἀλλὰ καὶ διαλλάττομεν οὐδὲν τῶν οἰκετῶν, ἅπαντες μετὰ δέους ἀνύοντες τὸν βίον. ὁ μὲν γὰρ πένης οὐ φωρᾶται τὴν τῶν δυνατωτέρων ἁρπαγὴν, οἱ δὲ ἐντιμότερον βιοῦντες, τῶν μειζόνων τὴν πλεονεξίαν· καὶ οὗτοι, τοὺς παρὰ τῶν κρατούντων δημοσίους, καὶ βασιλεῖς, τῶν μὲν τὴν τυραννίδα, τῶν δὲ τὰς ἐπιβουλάς. ὅνπερ τοίνυν, φησὶν, ὁ θεράπων τρόπον μίαν ἀπαλλαγὴν τῆς τοῦ δεσπότου βαρύτητος ἔχει τὴν νύκ-

τα· ὅτι καὶ ἄνθρωποι τῆς ταλαιπωρίας τοῦ βίου λύσιν ἔχουσι τὸν θάνατον. τὸ γάρ, πτωχῶς σκιᾶς, οἱονεὶ νυκτὸς λέγει, ἀντὶ τοῦ, ἀναπαύλης.

ΧΡΥΣΟΣΤ. Διὰ τούτων οὖν βούλεται δεῖξαι τὸ ἐπίπονον τοῦ βίου, καὶ βραχύ· καὶ φησίν, ἄρ' οὖν πόνων γέμει μόνον, οὐχὶ δὲ καὶ κινδύνων; ἐμοὶ δὲ δοκεῖ περὶ δραπέτου λέγειν οἰκέτου ἐν ἀγωνίᾳ διὰ παντὸς ὄντος διὰ τὴν φυγήν. τοῦτο γὰρ ἐμφαίνει, τό, πτωχῶς σκιᾶς, τουτέστι, τὰ μὴ παρόντα, ὡς παρόντα λογιζόμενος διὰ τὸν φόβον, καὶ ζητῶν σκότος, ὑφ' οὗ καλυφθήσεται. πλὴν εἰ πειρατήριον ὁ βίος, πῶς οἷόν τέ ἐστι τὸν ἐν πειρατηρίῳ ὄντα, πειρασμῷ μὴ περιπεσεῖν; ὥστε συμβαίνει μὴ ἀπὸ ἀδικίας μόνης, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς φύσεως ταῦτα παθεῖν, ἅπερ ἐγὼ πέπονθα.

ΚΕΙΜ. Οὕτω κἀγὼ ὑπέμεινα μῆνας κενούς.

ὈΛΥΜΠ. Οὕτω πῶς, μετὰ ταλαιπωρίας, μετὰ φόβου. τοῦτο δὲ οὐχὶ περὶ πάντων λέγει, ἀλλὰ περὶ ἑαυτοῦ. δείξας γάρ, ὡς καθόλου μοχθηρὸς ὁ βίος, ἐπὶ τὰ ἰδικῶς αὐτῷ συμβεβηκότα μετέρχεται, καὶ φησίν, ὅτι κἀγὼ εἷς γέγονα τῶν τὸν ἀθλιαρὸν τοῦτον ἀνατλώντων βίον, καὶ πολὺν ἤδη χρόνον ἐν ταλαιπωρίαις ἐξετάζομαι. τοῦτο γὰρ σημαίνει, τό, μῆνας κενούς.

ΚΕΙΜ. Νύκτες δὲ ὀδυνῶν δεδομέναι μοι εἰσίν· ἐὰν κοιμηθῶ, λέγω, πότε ἡμέρα; ὡς δ' ἂν ἀναστῶ, πάλιν, πότε ἑσπέρα; πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωΐ.

ὈΛΥΜΠ. Ἀκύλας δέ, καὶ Θεοδοτίων, πότε ἀναστήσομαι; εἰ βούλεσθε, φησί, τὰ ἴδια μοι συμβεβηκότα μαθεῖν, εἰσὶ ταῦτα· αἱ νύκτες εἰς ἀνάπαυσιν τοῖς ἀνθρώποις ᾠκονομήθησαν, ἐγὼ δὲ ὀδυνῶμαι περὶ ταύτας, καὶ τὸν ἥλιον ἰδεῖν ἐπεύχομαι, ἴσως ἐν ἡμέρᾳ παραμυθίας τεύξομαί τινος. ἡμέρας δὲ διαλαμψάσης, ταῖς ὁμοίαις ὀδύναις βαλλόμενος, τὴν ἑσπέραν ποθῶ. καὶ ταύτης ἐλθούσης, ἐπὶ τοῖς ὁμοίοις κατεξετάζομαι, μέχρι τῆς ἑτέρας ἡμέρας.

ΧΡΥΣΟΣΤ. Εἶδες καὶ τῆς νυκτὸς τὸν ἀφόρητον πειρασμόν, τὸν καὶ αὐτὸν καινὸν ὄντα, καὶ παράδοξον. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις, κἂν μυρία πάσχωσι, κἂν δεσμωτήριον οἰκῶσι, κἂν ἅλυσιν περικείωνται, κἂν συμφορὰς θρηνῶσι, κἂν λώβην σώματος ὑπομένωσι, κἂν πενίᾳ πιέζωνται, κἂν νόσῳ, κἂν πόνοις, καὶ ταλαιπωρίαις ἐπελθοῦσα ἡ νὺξ φάρμακον ἐπάγει παραμυθίας, ἀφιεῖσα τῶν πόνων τὸ σῶμα, ἀνιεῖσα τῶν φροντίδων τὴν ψυχήν. ἐπὶ δὲ τοῦ Ἰὼβ τότε, ὁ λιμὴν σκόπελος γέγονε, καὶ τὸ φάρμακον ἕλκος κατέστη, καὶ ἡ παραμυθία προσθήκη τίς τῆς ὀδύνης χαλεπωτέρα, καὶ φοβερώτερος ὁ χειμὼν ἐγίνετο, ἐν τῇ πᾶσιν ἀνθρώποις παρεχούσῃ γαλήνην· καὶ ἔφυγε μέν, ὡς ἀπὸ κυμάτων, τῆς ἡμέρας, διὰ τὰς ἀκαρτερήτους ὀδύνας ἐκείνας, εὕρισκε δὲ τρικυμίας, καὶ στροβίλους, καὶ ὑφάλους, καὶ σπιλάδας, ὡς πάλιν τὰ ἐν τῇ ἡμέρᾳ ζητεῖν κύματα· καὶ βαρὺ τὸ παρὸν ἔχων, τοῦ ἀπόντος ἐπε-

θύμει, ἐπισπεύδων διὰ τὰς ἀλγηδόνας τὰ διαστήματα τοῦ χρόνου παρατρέχειν. διὸ δὴ καὶ αὐτὸς τὸ καινὸν πάθος τοῦτο διηγούμενος, ἐβόα λέγων, ἐὰν κοιμηθῶ, λέγω, πότε ἡμέρα; ἐὰν ἀναστῶ, λέγω, πότε ἑσπέρα; τίνος ἕνεκεν εἰπέ μοι; ἐν μὲν γὰρ τῇ ἡμέρᾳ εἰκότως τὴν νύκτα ἐπιζητεῖς, ἅτε ἀτέλειαν πᾶσι παρέχουσαν τῶν μεθημερινῶν καμάτων· ἐν νυκτὶ δὲ γενόμενος, καὶ γαλήνη, καὶ λήθη τῶν ὀδυνῶν ἐκείνων, καὶ τῶν φροντίδων, τί πάλιν ἐπιζητεῖς τὴν ἡμέραν, εἰπέ μοι; ὅτι μοι τῆς ἡμέρας χαλεπωτέρα ἡ νύξ· οὐ γὰρ ἀτέλειαν μοι παρέχει τῶν πόνων, ἀλλ' ἐπίτασιν, καὶ θορύβους, καὶ ταραχάς. καὶ τοῦτο αὐτὸ διηγούμενος ἔλεγεν, ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασι καταπλήττεις. καὶ γὰρ ἐξεδειματοῦτο, φοβερὰς ὄψεις ὁρῶν ἐπὶ τῆς νυκτὸς, καὶ φόβον ἀφόρητον ὑπομένων, ἔκστασίν τε πολλὴν, καὶ κατάπληξιν· καὶ ἡ τοῖς ἄλλοις δοθεῖσα πρὸς ἀνάπαυσιν, τούτῳ μᾶλλον ἐπίτασις ἦν τῶν συμφορῶν.

ΚΕΙΜ. Φύρεται δέ μου τὸ σῶμα ἐν σαπρείᾳ σκωλήκων· τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων.

Ο'ΛΥΜΠ. Ἔθε, φησὶ, μέχρις ὀδυνῶν εἰσήκει τὸ πρᾶγμα· νῦν δὲ οἱ σκώληκες τίκτονται μὲν ἐξ ἐμοῦ, τὸ δὲ ἐμὸν καταδαπανῶσι σῶμα, καὶ οὕτω δριμεῖς ἰχῶρας ἐκρέω, ὡς ἐὰν ὀστράκῳ διαπορήσω, εἶτα ἐθελήσω βώλοις τούτους ὑποδέξασθαι, αὐτὰς τήκουσι τὰς βώλους οἱ ἰχῶρες τῷ σφοδρῷ τῆς δριμύτητος.

ΧΡΥΣΟΣΤ. Διὰ δὲ τοῦ εἰπεῖν, τήκω βώλακας γῆς, δηλοῖ, ὡς οὐκέτι ὀστράκῳ, ὡς ἐμοὶ δοκεῖ, ταλαιπωρηθεὶς, ἀλλὰ γῇ λοιπὸν τοῦτο ἐποίει. διὰ πάντων μέντοι παιδεύει τοὺς φίλους, καὶ περὶ καρτερίας, καὶ περὶ τοῦ ἀπώσασθαι τὴν διάληψιν, ὅτι δι' ἁμαρτίας πάσχει, ὅπως ἐκ τῆς ὑπερβολῆς τῶν πόνων ἐννοήσωσιν, ὅτι οὐχ οὕτως ἐστὶ φαῦλος, ὥστε τοιαῦτα πάσχειν. ἔδει γὰρ αὐτοὺς ἐννοῆσαι τὰ καθ' ἑαυτοὺς, καὶ οὕτω γνῶναι τὰ περὶ τοῦ Ἰώβ. ἀκατάπαυστοι γὰρ ὀδύναι, καὶ ἰχὼρ καὶ σκώληκες, καρτερίαν ἅμα, καὶ ἀνδρείαν ἐδείκνυον.

ΠΟΛΥΧΡ. Βαρὺ μὲν, καὶ τὸ, ἁπλῶς ἀλγεῖν, τὸ δὲ ἡλκῶσθαι, χεῖρον· τὸ δὲ καὶ σκώληκας ἐν ζῶντι σώματι βρύειν, τροφὴν τοῦ πάσχοντος τὸ σῶμα τιθεμένους, ὥστε νῦν μὲν τοῖς δήγμασι, νῦν δὲ τῇ δυσοσμίᾳ, καὶ πρὸς τὴν ζωὴν ἀπειπεῖν τὸν πάσχοντα, οὐδὲ μίαν ὑπερβολὴν καταλιμπάνει, τὸ δὲ πλέον ὅτι οὐ μόνον ἑώρα κατεσθιόμενον ὑπὸ σκωλήκων τὸ σῶμα, ἀλλὰ καὶ αὐτὸς αὐτὸ κατέξεε λαβὼν ὄστρακον, καὶ δήμιος ἑαυτῷ ἐγένετο, καὶ βώλακας ἔτηκεν. οὐκ ἔφερε γὰρ οὐδὲ γῆ τὸν ἀπορρέοντα ἐκεῖθεν ἰχῶρα, ἀλλ' οὕτω τὸ σῶμα τοῦ δικαίου διέφθαρτο, ὡς τῷ πλήθει τῶν ἰχώρων, καὶ τοὺς βώλακας λύεσθαι, πηλοῦ δίκην, διαβρόχους γινομένους τῇ ἐντεῦθεν ὑγρότητι, καὶ ἀφόρητον τὸ πάθος ἦν, οὐ τῷ πάσχοντι μόνον, ἀλλὰ καὶ τοῖς θεωμένοις.

ΚΕΙΜ. Ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος λαλιᾶς. (οἱ δὲ λοιποὶ δρομέως ἐξέδωκαν) ἀ-

πό-

πόλωλε δὲ ἐν κενῇ ἐλπίδι. (ὁ δὲ Σύμμαχος αἱ ἡμέραι μου ἀνηλώθησαν, μὴ οὔσης ἐλπίδος.)

ΟΛΥΜΠ. Μεταξὺ θεὶς τὰ ἤδη αὐτῷ συμβεβηκότα, τελευταῖον ἐπάγει, ὡς ὁ βίος αὐτῷ δίκην δρομέως, πρὸς τὸ πέρμα ἐπείγεται, οὐδὲν τῶν Χρηστῶν παντάπασιν ὑποφαίνων. τοῦτο γάρ ἐστι, τὸ, ἐν κενῇ ἐλπίδι.

ΧΡΥΣΟΣΤ. Τάχα δὲ, τὸ, ὁ βίος μου ἐλαφρότερος λαλιᾶς, δύναται μὲν τὸ πρόσκαιρον τοῦ βίου σημαίνειν, ὅτι οὐκ ἔστιν ἑστηκὼς, ἀλλὰ λυόμενος, ὥσπερ ἡ λαλιά. δύναται δὲ καὶ τὴν εἰς ὑπερβολὴν ὀδύνην δηλοῦν, καὶ τὸ, ἄχει θανάτου ἥκειν αὐτῷ τὰ τῶν πόνων. τὸ δὲ, ἐλαφρότερος δρομέως, ὅτι ὥσπερ ἐκεῖνοι, πρὶν ἢ στῆναι, μεταπηδῶσιν, οὕτω καὶ ἡ δόξα, πρὶν ἢ παραγενέσθαι, ἀφίπταται. ἀπόλωλε δὲ ἐν κενῇ, φησὶν, ἐλπίδι ὁ βίος μου. διατί; ὅτι ἐταλαιπώρησα, καὶ μισθὸν οὐκ ἔλαβον, ὅτι ἐν συμφοραῖς, καὶ οὐδὲν ἔχω τέλος Χρηστόν. εἶτα ἐάσας τὴν πρὸς τοὺς φίλους διάλεξιν, εἰς εὐχὴν τὸ λοιπὸν διὰ μέσου τρέπεται, καὶ φησί.

ΚΕΙΜ. Μνήσθητι οὖν, ὅτι πνεῦμά μου ἡ ζωὴ, καὶ οὐκ ἔτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. ὅμοια καὶ Δαβὶδ ηὔξατο, λέγων, ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκ ἔτι οὐ μὴ ὑπάρξω. ὅρα δὲ τὸν δίκαιον, οὐδαμοῦ ἀπὸ κατορθωμάτων ἀξιοῦντα σωθῆναι ἑαυτὸν, ἀλλ' ἐπειδὴ ὀλιγοχρόνιος ἦν. πνεῦμα δὲ λέγει νῦν, τὴν πνοὴν τὴν αἰσθητὴν, ὃ ἀναπνέοντες ἐπισπώμεθα· καθὰ καὶ Σολωμὼν ἔφη, ὅτι καπνὸς ἐν ῥισὶν ἡ ζωὴ ἡμῶν. ὁ δὲ λέγει τοιοῦτόν ἐστι, μνήσθητι ὅτι ἀδιάλυτος ἐστιν ἡ ἀνθρωπίνη ζωὴ, καὶ ἐπειδὰν ταύτης ἀπορραγῶμεν διὰ τοῦ θανάτου, οὐκ ἔτι εἰς τὴν τοιαύτην ζωὴν ἐπανερχόμεθα, οὐδὲ τὰ τοῦ βίου ὁρᾷν ἀγαθὰ, καὶ ἀπολαύειν αὐτῶν δυνάμεθα.

ΚΕΙΜ. Οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με. οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ, καὶ οὐκ ἔτι εἰμὶ, ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' Οὐρανοῦ.

ΠΟΛΥΧΡ. καὶ ΟΛΥΜΠ. Τὸ ἀθρόον τοῦ θανάτου ἐνταῦθα δηλοῖ· ἐν ὅσῳ γὰρ, φησὶ, τὶς ἀπνίζει μοι, πολλάκις οἴχομαι καὶ ἀπόλλυμαι· καὶ οὕτω ταχεῖά τις ἐστὶν ἡ τοῦ βίου τελευτὴ, ὅτι οἱ σήμερον ὁρῶντές με, οὐ πάντως αὔριον βλέψουσιν· εἰ γὰρ μόνον θελήσειας, καὶ τοῖς ὀφθαλμοῖς μοι ἐμβλέψειας πρὸς τὸ μὴ εἶναι, ἀπολοίμην. τοῦτο γὰρ σημαίνει, τὸ, οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ, καὶ οὐκ ἔτι εἰμί· καὶ ἔοικα νίφει διαλυθέντι, καὶ τὴν οἰκείαν σύστασιν ἀπωλέσαντι. τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον ἐξέδωκεν, εἰπὼν, καθάπερ ἀναλωθεῖσα νεφέλη ἀπαλλαγήσεται.

ΚΕΙΜ. Ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκ ἔτι μὴ ἀναβῇ, οὐδ' οὐ μὴ ἐπιστρέψῃ

εἰς τὸν ἴδιον οἶκον. οὐδ᾽ οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ.

ΧΡΥΣΟΣΤ. Ἄξιον διὰ τοῦτο μάλιστα θαυμάζειν τὸν δίκαιον, ὅτι περὶ ἀναστάσεως οὐδὲν ἐπιστάμενος, ὠδυνᾶτο μὲν, ἔφερε δὲ γενναίως. ὅτι γὰρ οὐκ ᾔδει τὶ σαφὲς περὶ τοῦ μυστηρίου τῆς ἐκ νεκρῶν παλιγγενεσίας, ἐντεῦθεν δῆλον. τῷ γὰρ ἅπαξ, φησὶ, διὰ θανάτου εἰς τὸν ᾅδην κατελθόντι, οὐκ ἔτι δέδοται πάλιν ἀναβιώσαντι, εἰς τὸν ἴδιον οἶκον ἐπαναστρέφειν, ἀλλ᾽ οὐδὲ μνήμη τούτου περιλειφθήσεται, ἀφανοῦς ἐκ ζώντων γενομένου. τὸν γὰρ ἀποθανόντα ἀναστῆναι οὐχ οἷόν τε.

ΔΙΔΥΜΟΥ. Τινὲς δὲ φασὶν, ὅτι ὁ παραιρούμενος τὴν ἀνάστασιν, τοῦτο λέγει, ἀλλὰ πρῶτον μὲν τὸ τῶν ἀνθρώπων ἐπίκηρον δεικνὺς, ἔπειτα ὅτι ἅπαξ ἀποθανὼν, εἰς τὸν δὲ τὸν φθαρτὸν βίον οὐχ ὑποστρέψει, οὐδὲ τὰ συνήθη πράττων ἐπιγνωσθήσεται. ὥστε, τὸ, οὐκ ἔτι οὐ μὴ ἀναβῇ ἐξ ᾅδου, συναπτέον, τὸ, εἰς τὸν ἴδιον οἶκον οὐκ ἐπιστρέψει. ἵνα εἴπῃ, ὅτι ἀναβιώσεται μὲν, οὐ μὴν εἰς τὸν ἑαυτοῦ οἶκον ἐπιστρέψει. ἀλλ᾽ αὕτη μὲν ἡ ἑρμηνεία πιθανή, ἀληθεστέρα δὲ ἡ προτέρα, ὅτι ἠγνόει τὰ περὶ τῆς ἀναστάσεως ὁ δίκαιος. ὅθεν καὶ πλέον ἐστὶ θαυμαστὸς, ὅτι μηδὲν τοιοῦτον ἐλπίζων, οὕτω τὴν ἄκραν ἀρετὴν κατώρθωσεν.

ΚΕΙΜ. Ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου, λαλήσω ἐν ἀνάγκῃ ὢν τοῦ πνεύματός μου. (ὁ δὲ Σύμμαχος, διαλεχθήσομαι τῷ παραπικρασμῷ τῆς ψυχῆς μου.) ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος. πότερον θάλασσά εἰμι; ἢ δράκων, ὅτι κατέταξας ἐπ᾽ ἐμὲ φυλακήν;

ΟΛΥΜΠ. Τοιγαροῦν οὐκ ἐφησυχάσω, ἀλλὰ εὔξομαι καὶ δεηθήσομαι συνεχόμενος. τὰς δὲ παρούσας ἀνάγκας, καὶ τὴν καταπικρανθεῖσαν ψυχὴν, καὶ τὸ ἀτελὲς τῆς φύσεως, εἰς ἱκετηρίαν προβάλλεται, καὶ φησὶν, ἐννόησον, ὦ δέσποτα, ὅτι οὐκ εἰμὶ μέγα τι καὶ ἐξαίσιον τῶν σῶν κτισμάτων, οἷον θάλασσα, ἢ κῆτος, τοῦτο γὰρ δράκοντα καλεῖ, ἀλλ᾽ ἀτελής καὶ σμικρός τις, καὶ ἐξασθενῶ τοιαύταις περικλειόμενος συμφοραῖς. ὥσπερ δὲ τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτῇ κήτη, ὁρίοις περιέκλεισας, ἃ οὐχ ὑπερβαίνουσιν. οὕτω με ταῖς συμφοραῖς περιεστοίχισας, ἃς ὑπεξελθεῖν οὐχ ἰσχύω. ὁ μέντοι Ἑβραῖος ἀντὶ τοῦ, ἔταξας ἐπ᾽ ἐμὲ φυλακὴν, πόνους, λέγει. ὃ οὖν βούλεται εἰπεῖν τοῦτό ἐστι, ὅτι ὥσπερ τῇ θαλάσσῃ ἐπιρρεῖ τὰ ὕδατα, οὕτως ἐμοὶ οἱ πόνοι. ἀλλ᾽ ἐκείνῃ μὲν ἴδιον τὸ δέχεσθαι καὶ ἀναλίσκειν ἀνεπαισθήτως τὰ ἐπιχεόμενα ῥεύματα. καὶ τῷ ἐν αὐτῇ δὲ κήτει, μὴ ἀποστρέφεσθαι τῶν ὑδάτων τὴν πλημμύραν. ἀνθρώπῳ δὲ οὐκ ἔστι τὸν ὅμοιον τρόπον δυνατὸν φέρειν τὰ δεινά. εἶτα, καὶ οἰκτιρμοὺς ἐκκαλούμενος τὸν Θεὸν ἐπάγει.

ΚΕΙΜ. Εἶπα ὅτι παρακαλέσει με ἡ κλίνη μου (ὁ δὲ Σύμμαχος, παρηγορήσει.) ἀνοίσω-

δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου. (ὁ δὲ Θεοδοτίων, συμβαςάσει με ἐν τῇ ἀδολεσχίᾳ μου ἡ κοίτη μου.) ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις.

ΧΡΥΣΟΣΤ. Ὅπερ ἐπὶ τοῦ δικαίου συνέβη μόνου, τοῦτο ἐν ἑτέρῳ οὐδενί. οὐδὲ γὰρ τὴν ἀπὸ τῆς νυκτὸς εἶχε παραμυθίαν, ἀλλὰ τῶν μεθ' ἡμέραν δεινῶν, προσθήκη μείζων ἦν ἡ τῶν νυκτερινῶν φόβων φαντασία. ὅτι γὰρ χαλεπώτερα ἐν τοῖς ὕπνοις ὑπέμενεν, ἄκουσον τί φησι, διατί ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις; ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας, τοσαῦτα ἂν ὑπέμεινε δεινά; εἰ γὰρ καὶ καθ' ἑαυτὸ τούτων ἕκαςον ἀφόρητον, ὁμοῦ συνόησον συνελθόντα πόσον ἤγειρε θόρυβον· ἀλλ' ὅμως ἐκεῖνος ἅπαντα ταῦτα ὑπήνεγκε, καὶ ἐν ἅπασι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ, καὶ ταῦτα, μηδὲν διάλειμμα ἔχων ἐν ταῖς συμφοραῖς ἀλλὰ καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν ὑπὸ τῶν παθῶν ταραττόμενος. ἐῶ λέγειν τὰ μεθ' ἡμέραν δεινά, ἀλλ' οὐδὲ ἡ νὺξ αὐτῷ παρεῖχεν ἄνεσιν· διὸ ἔλεγεν, ἐν ὁράμασί με καταπλήσσεις, καὶ κατ' αὐτόν, φημί, τῆς ἀνέσεως τὸν καιρόν, ὅτε προσδοκῶ μικρὸν ἀδολεσχῆσαί μου τοῖς λογισμοῖς, καὶ ὕπνου τυχεῖν, καὶ ἀναπαύσεως, φοβερά μοι τὰ ἐνύπνια ἐφίςαται. συμβαίνει δὲ τοῦτο μάλιςα καὶ φυσικῶς τοῖς μεθ' ἡμέραν πειραζομένοις, ὥς που καὶ ὁ σοφὸς ἔφησεν Ἐκκλησιαςής, ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμῶν. εἰκὸς δὲ καὶ τὸν διάβολον φαντάσματά τινα φοβερὰ δεικνύντα, ἐκ δειμάτων αὐτόν, καὶ ἐκταράττειν καθ' ὕπνους. ὁ δὲ μακάριος οὕτος οὔπω πληροφορηθείς, ὡς ἐξῃτήθη ὑπὸ τοῦ διαβόλου, οἴεται τὸν Θεόν, καὶ ταῦτα, καὶ τὰς βασάνους ἐπιφέρειν αὐτῷ. ἦν δὲ ἄρα καὶ τοῦτο τῆς διαβόλου ἐνεργείας· οὐδὲν γὰρ αὐτῷ ὁ Θεὸς ἐπήγαγεν, ἀλλὰ πάντα τῆς τοῦ διαβόλου χειρὸς ἦν.

ΚΕΙΜ. Ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου, (τό, ἀπαλλάξεις, ἀντὶ τοῦ, ἀπάλλαξον, ὁ δὲ Ἀκύλας, καὶ αἱρεῖται, φησίν, ἀγχόνην ἡ ψυχή μου) ἀπὸ δὲ θανάτου τὰ ὀςᾶ μου. (ὁ Σύμμαχος, καὶ θάνατον διὰ τῶν ὀςέων μου.) οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω.

ΟΛΥΜΠ. Ἱκετεύω, λάβε τὴν ψυχήν μου, καὶ ἀπάλλαξόν με τῆς ὀδύνης διὰ τοῦ θανάτου, οὐ γὰρ αἰώνιόν με κατεσκεύασας, ἵνα νῦν μὲν ἐνέγκω τὰς ἀλγηδόνας, τὸν ὕςερον δὲ χρόνον ἐν ἀναπαύσει ζήσωμαι. οὐδὲν οὖν αἰτῶ παρὰ τὸ σὸν δόγμα, δέσποτα· θνητόν με ἔπλασας, καὶ οὐκ ἀθάνατον, ἐπάγαγέ μοι τὸν θάνατον, ἄνελε με. ἰδοὺ τὰ φορτικὰ ῥήματα. τί φορτικὸν ἔχει; εἶπε τὴν συμφοράν, καὶ ἤτησε τὸν θάνατον. οὐκ ἄδικον, φησίν, εἰ θνητὸς ὢν θάνατον ἐρῶ. τὸ ὅμοιον καὶ Μωϋσῆς ἱκέτευε, λέγων, εἰ οὕτω μοι μέλλεις ποιεῖν ἀπόκτεινόν με.

ΠΟΛΥΧΡ. Λέγων μέν τοι ὁ Ἰώβ, ἀπαλλάξεις τὴν ψυχήν μου ἀπὸ τοῦ πνεύματός μου, ἤτοι τὴν ὀδύνην καὶ τὸν πόνον πνεῦμα δοκεῖ λέγειν. ἢ καὶ τὴν

αὐ-

ἀνάπαυσιν οὕτω καλεῖ, ἥτις τῇ ψυχῇ τῆς περὶ τὸ σῶμα λειτουργίας συναπαλλάττεται. τὸ δὲ ὅλον εὔχεται μεταςῆναι τοῦ βίου, καὶ ἀπαλλαγῆναι τῆς μέχρι καὶ ἔσω ὀδύνης διὰ τοῦ θανάτου· τοῦτο γάρ ἐςι, τὸ, ἀπὸ θανάτου.

ΚΕΙΜ. Ἀπόςα ἀπ᾽ ἐμοῦ, κενὸς γάρ μου ὁ βίος.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ὁ δὲ Σύμμαχος, ὅτι ματαιότης αἱ ἡμέραι μου. ἕτερος δὲ, ἀτμὸς γὰρ αἱ ἡμέραι μου. παῦσαι, φησὶ, πλήττων με ἐν ματαιότητι ζῶντα, καὶ οὐδὲν ἀσφαλὲς κεκτημένον, ὅτι ἐκλείπω, καὶ οὐκ ἔτι ἔχω ἰσχύν· τοῦτο γάρ ἐςι, τὸ, κενός μου ὁ βίος· οὕτω καὶ ὁ Δαβὶδ ηὔχετο, ἀπόςησον ἀπ᾽ ἐμοῦ τὰς μάςιγάς σου, ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον. ἔθος δὲ τοῖς ἁγίοις, καὶ τὰς κατὰ συγχώρησιν Θεοῦ γινομένας παρὰ τῶν ἐχθρῶν πληγὰς, ἐπ᾽ αὐτὸν ἀναφέρειν, ὡς δυνάμενον μὲν παῦσαι, συγχωροῦντα δὲ τέως. οὐκ ἴσμεν γὰρ, φασὶ, τινὰ ἄλλον, σὺ πάντων ἔχεις τὴν ἐξουσίαν.

ΚΕΙΜ. Τί γὰρ ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτὸν, ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν; ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωῒ, καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς;

ΟΛΥΜΠ. Τὸ τῆς τοῦ ἀνθρώπου φύσεως εὐτελὲς, καὶ τοῦ Θεοῦ περὶ αὐτὸν τὴν κηδεμονίαν, εἰς ἱκεσίαν προβάλλεται. τί γὰρ ἐςιν ἄνθρωπος, φησίν; εἰς ἰδίαν φύσιν οὐδέν· σὺ δὲ διὰ πλῆθος φιλανθρωπίας οὕτως ἐμεγάλυνας, ὅτι καὶ προσέχειν ἀξιοῖς αὐτῷ, καὶ ἐπισκέπτειν τὰ κατ᾽ αὐτὸν μετὰ σπουδῆς, καὶ καθ᾽ ἡμέραν· τοῦτο γὰρ σημαίνει τὸ πρωΐ. καὶ αὐτὸ δὲ τοῦτο τὸ κολάζεσθαι τὸν ἄνθρωπον, τεκμήριον τίθεται τῆς ὑπὸ Θεοῦ μεγαλωσύνης αὐτοῦ. ὅλως γὰρ φησὶν, ἄξιός ἐςιν ἄνθρωπος τοῦ Κολάζεσθαι παρὰ σοῦ, ἢ τοῦ κἂν ἐν διανοίᾳ σου εἶναι· αὐτὸ γὰρ τὸ δίκας ἀπαιτεῖν, ὡς ὄντος τι τοῦ ἀνθρώπου, τεκμήριόν ἐςιν· ἢ Ἐπισκοπὴν αὐτοῦ ποιήσῃ, τουτέςιν, ἀντιλαμβάνῃ αὐτοῦ. ὅρα δὲ μεμιγμένα τὰ ῥήματα, τὰ μὲν ἐπιεικείας, τὰ δὲ ὀδύνης· καί μοι δοκεῖ, κατὰ τὴν ἐπίτασιν τῶν ἀλγηδόνων ταῦτα λέγειν. τί δὲ ἐςι, τὸ, εἰς ἀνάπαυσιν κρινεῖς; ἀντὶ τοῦ, ἀποθανεῖν κελεύσεις, καὶ ἀναπαύεσθαι. ἐπειδὴ τοίνυν κρίμα καὶ δόγμα σόν ἐςι, τὸ διαναπαύειν τὸν ἄνθρωπον, τουτέςι, τὸ παρασκευάζειν ἡμᾶς τελευτᾷν, μὴ μακρύνῃς μου τὰς ἀλγηδόνας; διὸ καὶ ἐπιφέρει.

ΚΕΙΜ. Ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ προΐημε, ἕως ἂν καταπίω τὸν πτύελόν μου;

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Οὐκ ἀποδυσπετῶν ταῦτα λέγει, ἀλλ᾽ ἱκετεύων μαθεῖν, ἕως τίνος αὐτῷ τὰ τῶν ὀδυνῶν παρατείνεται· ἆρα μέχρις οὗ μηδὲ πτύσαι, μηδὲ φθέγξασθαί τι δυνηθείη; τοιγαροῦν φησὶ, βραχύτατον γοῦν ἴασόν με ἐν ἀνέσει, καὶ τῶν ὀδυνῶν ἐκτός με κατάςησον. τὸ γὰρ, ἕως ἂν καταπίω τὸν πτύελόν μου, ἵνα εἴπῃ, τὸ τυχὸν τοῖς θανοῦσι πάσχω. οἷόν ἐςι καὶ τὸ τοῦ Δαβὶδ, ἄνες μοι ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκ ἔτι οὐ μὴ ὑπάρξω. ὁ δ᾽ αὐτὸς καὶ τὸ, ἕως πότε Κύριε ὀργισθήσῃ; ἐκκαυ-

θήσεται ὡς πῦρ ἡ ὀργή σου; μνήσθητι τίς μου ἡ ὑπόστασις· οὐ μεμφόμενος, ἀλλ' ἱκετεύων ἔλεγε, καὶ τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκετείαν προεβάλλετο· Καθὰ καὶ νῦν Ἰώβ, μὴ μέχρι θανάτου τὰ τῶν ὀδυνῶν ἐκταθῆναι, ἀλλὰ μικρὸν γοῦν ἐασθῆναι, παρακαλεῖ. εἶτα καὶ μειζόνως ἐκμειλισσόμενος τὸν Θεὸν φησίν.

ΚΕΙΜ. Εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶξαι;

Ἀντὶ τοῦ, εἰ δὲ καὶ ἥμαρτον τί δύναμαί σοι ποιῆσαι; μάλιστα μὲν οὐδὲ ἡ ἐμὴ ἁμαρτία εἰς σὲ ἀνατρέχει. τί δὲ καὶ ἔχω πρᾶξαι, εἰ μὴ εἰς τοὺς σοὺς οἰκτιρμοὺς καταφεύγειν; ὅρα δὲ πόσον τὸ ταπεινόν· ὥσπερ ἂν εἴ τις πένης καταφαγὼν ἅπαντα, καὶ οὐδὲν ἔχων, λέγει τῷ δεδανεικότι, τί δύναμαί σοι ποιῆσαι; πῶς ἀποπλήσω; πῶς ἀπολογήσομαι; ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ, δυνήσομαι πρᾶξαι; τί σε ἔβλαψα, φησίν; ὡς τῆς ἡμετέρας ἁμαρτίας μηδέν τι λυμαινομένης τῇ μακαρίᾳ ἐκείνῃ φύσει.

ΚΕΊΜ. Ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, διατί ἔθου με κατεντευκτήν σου; εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον.

ὈΛΥΜΠ. Οἶδα, φησίν, ὦ δέσποτα, οἷα ταῖς ἐννοίαις ἐμβατεύων, ὡς πολλάκις εἰς ἐμὲ τὸν σὸν ὁρῶντες θεράποντα ταῦτα πάσχοντα, καὶ παρορώμενον, βλασφημοῦσι τὸ σὸν ὄνομα, καὶ εἰμί σου τρόπον τινὰ φορτίον, βάρους ῥημάτων, καὶ βλασφημίας αἴτιος γινόμενος. τὸ οὖν κατεντευκτήν σου, αἴτιον καταβοήσεως νοητέον, οὐ μὴν ὅτι αὐτὸς κατεβόα τοῦ Θεοῦ.

ΚΕΙΜ. Διατί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου;

ὈΛΥΜΠ. Ἱκεσίας καὶ ταῦτα τὰ ῥήματα. τὸ γὰρ διατί, ὡς πολλάκις δέδεικται, ἱκετευτικῶς κεῖται, ποθοῦντος τοῦ δικαίου τὴν αἰτίαν μαθεῖν τῶν πειρασμῶν. ὁ δὲ νοῦς οὗτος. οὐκ εἶ φησί, φιλάνθρωπος; οὐχ ἱκανὸς συγχωρεῖν ἁμαρτίας, καὶ καθαρὸν δεικνύναι διὰ πλῆθος οἰκτιρμῶν, τὸν ἁμαρτήσαντα; διατί μὴ κἀγὼ τῆς σῆς χρηστότητος ἀπολαύω; εἰ καὶ μὴ δι' ἐμέ, ἀλλὰ διὰ σαυτόν. διατί μέγας ὤν, οὐ κατεφρόνησάς μου τῆς ἀσθενείας; ὅτου δὲ εἵνεκεν, μὴ παρεὶς τὴν ἐξέτασιν, φιλανθρωπίᾳ ὑπερεῖδες τὰ πταίσματα, ἢ καὶ παντάπασι ταῦτα ἐξήλειψας; ἀλλὰ πρὸς ἴσον ἐξεταζόμενος, εὐθύνας ἐκπράξω τῶν πεπλημμελημένων, καί με πεποίηκας τῷ μεγέθει τῆς παρρησίας, φορτικόν σοι φαίνεσθαι, μείζονα, ἢ κατὰ φύσιν πρὸς τὸν ἐμὸν δεσπότην φθεγγόμενον, καὶ οἱονεὶ κατεντυγχάνοντα, ὅτι μὴ ἐχαρίσω μοι ἀμνηστίαν, εἴ τι καὶ ἥμαρτον, τρεπτῆς ὢν φύσεως, καὶ ὀλισθηρᾶς, καὶ ἀσθενοῦς

ΚΕΙΜ. Νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι· ὀρθρίζων δέ, οὐκ ἔτι εἰμί.

ὈΛΥΜΠ. Καὶ τό, ὀλιγοχρόνιον τῆς ζωῆς ἐνέπλεξε τῇ ἱκετείᾳ, πανταχόθεν εἰς οἶκτον τὸν Θεὸν ἐκκαλούμενος. τὸ δέ, ὀρθρίζων οὐκ ἔτι εἰμί, τοιοῦτον ὑποβάλλει νοεῖν. οὐ γάρ ἐστι, φησίν, ὥσπερ ὕπνος ὁ θάνατος· μετὰ γὰρ τὸν ὕπνον οἱ ἄνθρωποι πάλιν ὀρθρίζοντες, ἐν τῷ βίῳ τυγχάνουσιν·

ὁ δὲ ἅπαξ ἀποθανὼν, οὔτε ὄρθρον προσδοκᾷ, ὥστε διυπνισθῆναι, οὔτε τὴν μετὰ ἀνθρώπων διατριβήν. εἰ οὖν οὕτω πρόσκαιρος ἐγὼ καὶ ὀκύμωρος, καὶ μικρὸν ὕστερον ἀποθανὼν, οὐκ ἔτι ὡς ἐξ ὕπνου ἀναστήσομαι. διατί οὐδὲ τὸ βραχύτατον τοῦ βίου τιμωρίας ἐκτὸς κατέλιπες; ταῦτα δὲ εἰπὼν ὁ Ἰὼβ, οὐδὲν μὲν ἑαυτῷ συνειδὼς ἁμάρτημα, κατὰ δὲ συγχώρησιν λέγων, ὅτι εἰ καὶ ἥμαρτον, μετὰ πάντων ὀφείλω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαῦσαι. δέδεικται τοίνυν διὰ πάντων ἡ εὐσεβὴς, καὶ φιλόθεος, καὶ δικαία, καὶ ἄμεμπτος τοῦ Ἰὼβ γνώμη, εἰ καὶ ἀσαφέστερον τῇ ἐπαγγελίᾳ τῶν λόγων ἐχρήσατο.



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΚΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

Εἰς ἀντιλογίαν τῶν νῦν εἰρημένων ὑπὸ τοῦ Ἰὼβ καθιστάμενος ὁ Βαλδὰδ, μέμφεται μὲν αὐτὸν ὡς πολυρρήμονα· εἰς τοὺς αὐτοὺς δὲ τῷ Ἐλιφὰζ καὶ αὐτὸς ἐξεκυλίσθη λόγους, ταῖς ἁμαρτίαις τὰς κακώσεις ἀκολουθεῖν ὑπολαμβάνων. ἐπεὶ δὲ ᾔδει ἀντιπίπτοντα αὐτῷ, ὅτι εἰ καὶ Ἰὼβ ἥμαρτε, διατί οἱ παῖδες ἐτιμωρήθησαν; προκαταλαμβάνει, καί φησιν, ὅτι καὶ αὐτοὶ δι' ἁμαρτίας πεπόνθασι· καὶ παραινεῖ μὲν τῷ δικαίῳ Θεὸν ἱκετεύειν, Πειρᾶται δὲ διὰ φυσικῶν παραδειγμάτων αὐτὸν πείθειν, ὡς δι' ἁμαρτίας πάντως αἱ κολάσεις προσφέρονται. Πέπονθε δὲ καὶ αὐτὸς τὴν ὁμοίαν πλάνην τῷ Ἐλιφὰζ, τὴν ὑπὲρ Θεοῦ δῆθεν συνηγορείαν, ἀναδεξάμενος. καὶ ἁπλῶς τῶν φίλων ὁ χορὸς παρεγένετο ἐν προσωπείῳ συμπαθείας τὰ τῶν πολεμίων ἐπιδεικνύμενος· καὶ ἐνάλλονται κειμένῳ, καὶ ἀναξαίνουσι τὰ ἕλκη, ἀλλήλους διαδεχόμενοι, καὶ μηδὲ ἀναπνεῖν ἐῶντες, πολλοὺς κύκλους κυκλοῦντες, καὶ χαλεπήν τινα χορείαν χορεύοντες. Ἴδωμεν οὖν τί καὶ οὗτος φθέγγεται.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει, μέχρι τίνος λαλήσεις ταῦτα, πνεῦμα πολυῤῥῆμον τοῦ στόματός σου;

Ο'ΛΥΜΠ. Ὁ δὲ Θεοδοτίων, βαρύτατον, εἶπε, παῦσαι, φησὶ, τῷ πλήθει τῶν λόγων νικήσειν οἰόμενος, ὡς λίαν φορτικὸς ἡμῖν εἶ καὶ βαρὺς, πληθύνων ῥήματα, καὶ φθεγγόμενος ἄκαιρα. εἶτα, ὡς φλυαρήσαντα μέμφεται τὸν Ἰὼβ, καὶ ἵεται αὐτὸν ἐπιστομίζειν, ἐκ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, λέγων.

ΚΕΙΜ. Μὴ ὁ Κύριος ἀδικήσει κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;

ΧΡΥΣ. ΠΟΛΥ. καὶ Ο'ΛΥ. Οὐχ ὁρᾷς φησὶ, πόση δικαιοσύνη ἐν τῇ κτίσει, πόση εὐταξία; μὴ ἐνδέχεται τὸν Θεὸν ἄκριτον τὴν κατά τινος ἐξενεγκεῖν ψῆφον; μὴ ὁ τὰ πάντα ποιήσας εὐκόσμως καὶ ἁρμονίως, καὶ φιλανθρωπίᾳ τὴν ἀρχὴν παραγαγὼν, ἐπὶ σοῦ μόνου τὴν τοῦ δικαίου διετάραξεν ἰσότητα, καὶ σὲ παρὰ τὸ δίκαιον ἐκάκωσεν; ἠρέμα οὖν πλήττει τὸν Ἅγιον, ὡς κατὰ τὸ δίκαιον, καὶ δι' ἁμαρτίας ὑπομένοντα, τῆς αὐτῆς τῷ φθάσαντι διαλήψεως ὑπάρχων καὶ οὗτος, ὅτι δι' ἁμαρτίας τὰ κακωτικὰ πάντως ἐπιπέμπεται. ἔδει δὲ λογίζεσθαι, ὅτι τὰ τοιαῦτα, οὐ μόνον φαύλοις, ἀλλὰ καὶ σπουδαίοις συμβαίνει, ἀδιάφορα γὰρ, καὶ ὅτι θαυμαστότερός ἐστιν ὁ δίκαιος, ὑπομένων θλίψεις καὶ πόνους. ἐπεὶ δὲ μὴ ἔχων αὐτὸν ἐλέγξαι ἡμαρτηκότα εἰς τοὺς υἱοὺς τρέπεται καὶ φησίν.

ΚΕΙΜ. Εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.

Ο'ΛΥΜΠ. Ὁ δὲ νοῦς οὗτος· εἰ τὰ τέκνα σου ἥμαρτον, οὐ δικαίως ἐτιμωρήθησαν; τὸ δὲ, ἐναντίον αὐτοῦ, εἶπε, διὰ τὸ μηδὲν λανθάνειν τὸν Θεόν. ἐν χειρὶ δὲ, ἐν τῇ πράξει. ἵνα εἴπῃ, ὅτι κατὰ τὰς ἑαυτῶν πράξεις ἀπέλαβον, καὶ πάντως πλημμελημάτων δίκην παρὰ τῶν σῶν παίδων εἰσεπράξατο τὸν θάνατον. καὶ ἀπέστειλεν ἐν τῇ ἑαυτοῦ χειρὶ τὰς ἀνομίας αὐτῶν, τουτέστι, τὰς ὑπὲρ τῶν ἀνομιῶν τιμωρίας. αἰνίττεται δὲ τὴν πτῶσιν τῆς οἰκίας, καθ' ἣν τὰ τέκνα ἀπώλοντο. πλὴν συγχεῖ καὶ οὗτος τὸν λόγον, καὶ τοῖς δόγμασι περιφέρεται, λέγων, ὅτι εἰ καὶ μὴ αὐτὸς ἥμαρτες, ἀλλὰ οἱ υἱοί σου, μὴ προσνοήσας, ὅτι ἕτερος ὑπὲρ ἑτέρου οὐκ ἂν κολάζοιτο.

ΚΕΙΜ. Σὺ δὲ ὄρθριζε πρὸς Κύριον παντοκράτορα δεόμενος. εἰ καθαρὸς εἶ καὶ ἀληθινὸς, δεήσεως ἐπακούσεταί σου. Ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης. ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα, τὰ δὲ ἔσχατά σου ἀμύθητα.

Ο'ΛΥΜΠ. Συμβουλεύω σοι, φησὶ, δέεσθαι, τοῦ Θεοῦ μετὰ σπουδῆς, παντὸς προτιμοτέραν τὴν ἱκεσίαν ποιούμενος. τὸ γὰρ, ὄρθριζε, τοῦτο δηλοῖ. καὶ εἰ ὄντως ἀληθινὸς εἶ, καὶ οὐκ ἐπίπλαστος, ἀποκαταστήσει σοι βίον καὶ διαγωγὴν πρέπουσαν δικαίῳ, ἵν', οὕτως εὐπράξῃς, ὡς ὀλίγα σου νομισθῆναι τὰ πρότερον ἀγαθὰ, τοῖς ὕστερον συγκρινόμενα.

ΠΟΛΥΧΡ. Εἰ τοίνυν ἐπὶ ταῖς σεαυτοῦ μὴ δυσχεραίνῃς πληγαῖς, ἐπιμελῶς διαλλάσσαι τὸν Θεόν· καὶ εἰ τὰ τῆς παλαιᾶς σου εὐσεβείας, μὴ μέχρι προσχήματος ἦν, ὀρθῷ δὲ λογισμῷ ταύτην μετίεις, εὐμενὴς γενόμενος ὁ δεσπότης, τάχιστά σε εἰς τὴν προτέραν εὐημερίαν ἄξει, ἰσοστάσιον τοῖς ὑπὲρ ἀρετῆς πόνοις τὴν ἀμοιβὴν δείξων· μᾶλλον δὲ τί λέγω; ὅτι τὸν αὐτὸν τῶν ἀπωλομένων ἀριθμὸν χορηγήσει, ἀποκρύψει μὲν ἐν τοῖς φθάσαντα, ἡ τῶν παρασχεθησομένων περιουσία, τοῦ Θεοῦ σοι δαψιλῶς τῆς παρούσης καρτερίας τοὺς μισθοὺς δωρουμένου. Κατανόει δὲ, ὡς οἴεται ὁ Βαλδὰδ, ἐν μέρει εὐλογίας κεῖσθαι τοῖς δικαίοις, τῶν ἐν τῷδε τῷ βίῳ ἀγαθῶν τὴν ἀπόλαυσιν. ἔοικε δὲ διαπορεῖν, εἰ καθαρὸς ἐστὶ, τίνος ἕνεκεν ταῦτα πάσχει. ἴστε τοίνυν, ὅτι καὶ καθαρὸν ὄντα ταῦτα πάσχειν ἐστὶν, οὐκ εἰς ἔκτισιν κακίας, ἀλλ' εἰς βάσανον ἀρετῆς, καὶ γυμνάσιον. οὐ πάντως δὲ τοῦ καθαροῦ καὶ ἀληθινοῦ τῆς δεήσεως εἰσακούσεται ὁ Θεός· ἔστι γὰρ ὅτε ἀσύμφορα αἰτεῖ.

ΚΕΙΜ. Ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων. Χθιζοὶ γάρ ἐσμεν, καὶ οὐκ οἴδαμεν, Σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος.

ΟΛΥΜΠ. Ζήτησον, φησὶ, τὰ παλαιότερα, καὶ ἀνερεύνησον τὰ ἐπὶ τῶν πατέρων. ἡμεῖς γὰρ χθὲς καὶ πρώην γεγόναμεν, χθιζοί τε ἐσμὲν, καὶ ἐφήμεροι, καὶ ὅλος ὁ βίος ἡμῶν, ὡς σκιὰ παρατρέχει. καὶ διὰ τὸ τοῦ βίου ὀλιγοχρόνιον, οὐδὲ γνῶναι τὸ ἀκριβὲς δυνάμεθα, οὐδὲ φθέγξασθαι. Ὅθεν οὐδ' ἀξιόπιστοι ἴσως δίχα τῆς τῶν ἀρχαίων μνήμης, τὰ τοιαῦτα διηγούμενοι, οἱ μήτε πρὸ πολλοῦ γεγονότες, καὶ μικρὸν ὕστερον οὐκ ἐσόμενοι. τοιοῦτος γὰρ ὁ βίος ἡμῶν, μὴ ὄντες γεγόναμεν, καὶ γεγονότες λυθησόμεθα. Καθάπερ σκιὰ κλινούσης ἡμέρας, οὕτως εὔσειστος ἡμῶν ἡ ζωὴ, καὶ εὐπαράγωγος. ἐκ τῶν παλαιοτέρων δὲ πιστοῦσθαι τὰ καθ' ἑαυτὸν βουλόμενος, ταῦτά φησιν, ὡς τῶν ἐκείνων πλείστοις παρατυχόντων πράγμασιν, οἷς οὐ πάντες ἐν τῷ καιρῷ αὐτοῦ παρέτυχον.

ΧΡΥΣΟΣΤ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ ἡμεῖς ὀλιγοχρόνιοι ἐσμὲν, τοὺς γεγηρακότας ἐρωτήσωμεν, καὶ αὐτοὶ ἀπαγγελοῦσιν, ὅτι ὥσπερ ἀδύνατον ἄνευ νοτίδος χόρτου ἀνελθεῖν· οὕτως ἀδύνατον διηνεκῶς διαμεῖναι ἐν εὐδαιμονίᾳ, καὶ ὡς οὐ δυνατὸν εὐθηνίαν ἀδίκων κρατύνεσθαι· καὶ ὡς δι' ἁμαρτίας αἱ τιμωρίαι.

ΚΕΙΜ. Ἦ οὐχ οὗτοί σε διδάξουσι, καὶ ἀναγγελοῦσι, καὶ ἐκ καρδίας ἐξάξουσι ῥήματα;

ΠΟΛΥΧΡ. Οἱ πρόγονοι φησὶν, ἐν ἀρετῇ βεβιωκότες, καὶ τῆς ἑαυτῶν εὐσεβείας μέγιστα καταλιπόντες μνημεῖα, ἀρκοῦσι πρὸς παίδευσιν τοῖς νυνεχέσιν. οὗτοι καὶ δι' ὧν ἔπραξαν, καὶ δι' ὧν ἐλάλησαν, διδάξουσί σε, οἷα τὰ τέλη τῶν ἀνόμων, καὶ ὡς οὐ παραμόνιμος αὐτοῖς ἡ εὐπραγία. καλῶς δὲ εἴρηται, τὸ, ἐκ καρδίας ἐξάξουσι ῥήματα, ὅτι ἐκ καρδίας οἱ λογισμοὶ τὰ ῥήματα παραπέμπουσι, κἀκεῖθεν οὗτοι ἐξέρχονται.

ΚΕΙΜ. Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος; ἢ ὑψωθήσεται βύτομον ἄνευ ποτοῦ; ἔτι ὂν ἐπὶ ῥίζης, καὶ οὐ μὴ θερισθῇ; πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη, οὐχὶ ξηραίνεται; οὕτως τοίνυν ἔσαι τὰ ἔχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ Κυρίου. Ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται· ἀοίκητος γὰρ αὐτοῦ ἔσαι ὁ οἶκος, ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή.

ΟΛΥΜΠ. Ὥσπερ, φησὶν, οὐκ ἐνδέχεται πάπυρον, ἢ βύτομον, ἢ αὔξεσθαι, ἢ θερίζεσθαι, τῆς τοῦ ὕδατος ἰκμάδος μὴ ἀπολαύσαντα, ἀλλὰ καὶ πᾶσα βοτάνη μὴ ἀρδευομένη ξηραίνεται· οὕτως οὐδὲ ἀσεβείας, ἀμήχανον ἀνθρώπῳ εὐθηνίαν διαμεῖναι. διὸ καὶ ἐπάγει, οὕτως τοίνυν ἔσαι τὰ ἔχατα τῶν ἀσεβῶν, τουτέστιν, οὐ μέχρι τέλους αὐτοῖς ἡ εὐημερία διαμένει, ἀλλὰ δίκην ἀράχνης τῆς μὴ ὑφισαμένης ἀφὴν, διαλύεται, καὶ πανέσιος ὁ τοιοῦτος ἀπόλυται. τοῦτο γὰρ σημαίνει τὸ, ἀοίκητος αὐτοῦ ὁ οἶκος.

ΔΙΔΥΜΟΥ. Εἰ δὲ χρὴ καὶ κομψότερον περὶ τούτων διαλαβεῖν· τῷ ὄντι ἡ τῶν ἀσεβῶν ἐλπὶς οὐ περὶ ὑφεσηκότα γίνεται. ἡ γὰρ ἐλπὶς οὐδὲν ἕτερόν ἐσι κατὰ γένος, ἢ προσδοκία ἀγαθῶν· καὶ ὁ φοβούμενος δὲ προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά· Κακῶν γὰρ προσδοκία ἐσὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. ἐπεὶ οὖν οὐχ ὑφεσηκότα πράγματα οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς. ὡς γὰρ μένουσι τοῖς ἡδέσι χρῶνται, καὶ ἐν τούτοις ματαίαν ἔχουσιν ἐλπίδα. καὶ ὁ μὲν δίκαιος ἐν τῇ αὐτοῦ ἀρετῇ, ὡς ἐν οἰκίᾳ, μένων, οὐδέ ποτε ἕξει τὴν τοιαύτην οἰκίαν ἀοίκητον. ἡ δικαιοσύνη γὰρ αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὁ δὲ φαῦλος ταύτης μὴ ἀντεχόμενος, οὐκ οἰκοδομεῖ αὐτὴν, οὐ δὲ μένει ἐν αὐτῇ. πάλιν ἡ ἀράχνη ποικιλίαν ἐπιδείκνυται, ἐξ ὑφάσματος φυσικοῦ κατεσκευασμένη, ῥᾷσα δὲ διαλύεται. ἐπιψαύσαντός τινος· τὰ τῶν φαύλων οὖν ἔργα, καὶ ἡ κατασκευὴ τῆς πολιτείας, ἀράχνη ἔοικεν οὐχ ὑφισαμένη. ῥᾷσα γὰρ ἡ τῶν φαύλων ἐπίνοια, σκηνὴ ὀνομαζομένη, καταπίπτουσα ἀνάλωτός ἐσιν οὕτως, ὡς μηδὲ δοκεῖν γεγονέναι ποτέ.

ΝΕΙΛΟΥ. Τάχα δὲ καὶ, τῷ, ἐν ὕδατι μὲν θάλλειν πάπυρον καὶ βύτομον, σερηθεῖσαν δὲ ποτοῦ πᾶσαν βοτάνην ξηραίνεσθαι, τοιοῦτόν τι αἰνίττεται, ὅτι τὰ πάθη, τὰ τῆς διανοίας ἐμπεσόντα γῇ, καὶ βλασήσαντα τοῖς λαύροις καὶ κατωφερέσιν ὑετοῖς τῆς ἐπαλλήλου μελέτης ποτισθέντα, πολύχουν τὸν τῆς κακίας καρπὸν ἐκφέρουσι. κωλύει δὲ τὴν τούτων φυὴν, ἡ τῆς τοιαύτης ἀρδείας σέρησις.

ΔΙΔΥΜ. Ὥσπερ οὐδὲ ὕδατος οὐ πληθυνθήσεται ἔλος. οὕτως ἀδύνατον μὴ δεχόμενον ἐν διανοίᾳ ὠφέλειαν τῶν κρειττόνων, καρπὸν προενεγκεῖν ὠφέλιμον. ἁρμόσει δὲ τὸ ῥητὸν, καὶ ἐπὶ ἀνθρωπίνων πραγμάτων, ὅτι καθάπερ ἀπὸ ὕδατος ὑπὸ τῆς προνοίας ταῦτα ἀρδεύεται, ἧς μὴ ἐπιούσης, ῥᾳδίαν ταῦτα καὶ ἀμάραντον ἕξει τὴν διάλυσιν. πᾶν γὰρ κἂν μικρὸν, κἂν μέγα ᾖ τὸ ἐν τῷ βίῳ, ὑπὸ πρόνοιαν ἐσί· ξηραίνεται δὲ, εἰ μὴ αὕτη ἐποπτεύοι.

ΚΕΙΜ. Ἐὰν ὑπεράσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ· Ἐπιλαβομένου δὲ αὐτοῦ, οὐ μὴ ὑπομείνῃ.

ΟΛΥΜΠ. Κἂν γὰρ, ὥς οἴονται, ἀσφαλῶς δόξῃ πράττειν, καὶ ἑδραίως τὰ καθ' ἑαυτὸν διατίθεσθαι, ἐπιλάβηται δὲ αὐτοῦ ὁ Θεὸς, τουτέστι πληκτικῶς περιδράξηται, οὐ μὴ ὑπομείνῃ, ἤγουν οὐ σταθήσεται. ὅπου καὶ ὁ Σύμμαχος, ἐρειοθήσεται ἐπ' οἶκον, καὶ οὐ στήσεται.

ΚΕΙΜ. Ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου, καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται.

ΟΛΥΜΠ. Ὁ δὲ Ἀκύλας, εὐικμός ἐστιν εἰς πρόσωπον ἡλίου. ὥσπερ πάπυρος φησὶ, καὶ βούτομος, κἂν ἰκμάδα ὕδατος ἔχωσιν, ἡλιακοῦ καύσωνος ἐπιπεσόντος, ἀποξηραίνονται, καὶ αἱ παραφυάδες αὐτῶν σήπονται. οὕτω καὶ οἱ ἀσεβεῖς πάσχουσιν τῆς θείας ὀργῆς ἐπιπεσούσης. ἔοικε δὲ διὰ τῶν ῥαδάμνων, οἷ σημαίνουσι τὰς παραφυάδας, ἢ κλάδους, ἢ αὔθη, τὴν ἀπώλειαν τῶν παίδων τοῦ Ἰὼβ αἰνίττεσθαι. νοήσεις δὲ τὸν στίχον καὶ οὕτως, ὅτι ἐν ὅσῳ ὑγρὸς ἐστὶν ὑπὸ ἡλίου ὁ πάπυρος, τουτέστιν, ἐν μέτοχος ἡλίου, αὔξει μὲν ἐκ τῆς ἰλύος, ὑπομεῖναι δὲ ἥλιον οὐ δύναται, ἀλλ' οἱονεὶ σήπεται, καὶ τὸ ἄνθος αὐτῷ ἀποπίπτει, καὶ ἀποῤῥέει· τοῦτο γὰρ, τὸ, ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται, τουτέστιν ἀποῤῥυήσεται διὰ τὸ σαπῆναι.

ΚΕΙΜ. Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν μέσῳ δὲ χαλίκων ζήσεται· ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν.

ΟΛΥΜΠ. Ὡς περὶ φυτοῦ διαλεγόμενος ἐν μέσοις λίθοις φυομένου, καὶ χάλιξι, μὴ διαρκοῦντος δὲ μέχρι παντὸς, ἀλλὰ μαραινομένου· ἐοίκασι φησὶν, οἱ ἀσεβεῖς τοῖς ἐν γῇ φυτευθεῖσι, μὴ ἐχούσῃ βάθος, ἀλλὰ λιθώδει καὶ σκληρᾷ τυγχανούσῃ· ἢ γὰρ οὐδὲ ὅλως ῥιζοῦνται, ἢ κἂν ῥιζωθῶσι, διὰ τὸ μὴ ἔχειν βάθος γῆς, ξηραίνονται, ὡς μηδὲ φαίνεσθαι ἔτι ἐν τῷ τόπῳ ἐκείνῳ. τὸ γὰρ ἐὰν καταπίῃ, ἀντὶ τοῦ, ἐὰν ῥιζωθῇ, καὶ βεβαίως ἑστάναι δοκῇ. τὸ δὲ, ὁ τόπος ψεύσεται αὐτὸν, ἀντὶ τοῦ, ἀφανὴς γίνεται, καὶ ἀνεπίγνωστος ὑπὸ τῆς συμφορᾶς· ἐπεὶ καὶ δένδρον μὲν τεμνόμενον καταλιμπάνει μνήμην, χόρτος δὲ οὐδὲ μίαν. καλῶς δὲ ἔοικε λίθων καὶ χαλίκων μεμνῆσθαι· οἱ γὰρ ἀσεβεῖς, ἐπὶ τῇ τῶν φαύλων τραχύτητι καὶ ἀνωμαλίᾳ, καὶ τοῖς σκανδάλοις ἐπαναπαύονται, περὶ ὧν εἴρηται, τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε. κἂν δόξωσί τινα δέχεσθαι θεοσεβείας λόγον, ἀθέως ἐμοῦσιν αὐτὸν, διὰ τὸ μὴ ἔχειν ἔγγειον καὶ καρποφόρον ψυχήν.

ΔΙΔΥΜΟΥ. Ὑψηλότερον δὲ εἰπεῖν, οἶκός ἐστι λίθων σύνθεσις κατὰ τέχνην, πρὸς ἑτέρους ἕνωσιν ἐχόντων. τοιοῦτον ἡ ἀρετὴ καὶ ἡ ἁγιότης, καὶ αὐτὴ ἡ μετουσία τοῦ πνεύματος· ἐσκορπισμένον δέ τι, ἡ συναγωγὴ τῶν λίθων, καὶ μίξις τῶν χαλίκων παραπλήσιον τῇ κακίᾳ, τῇ μὴ ἐχούσῃ ἕνωσιν, ἀλλ' ἀπαξίαν. ὁ ἀσεβὴς οὖν ἅπασαν τὴν διαγωγὴν ἐν οἴκῳ κακίας ἔχει, διαλελυμένους, κατὰ τοὺς ἔξω τῆς οἰκοδομῆς λίθους, οἳ οὐχ ἁρμόζουσι τῇ οἰκοδομῇ τοῦ πύργου, κατὰ τὸν ποιμένα οὐδὲ τοῦτο ἀκούουσιν, ὑμεῖς δὲ ἐποικοδομεῖσθε ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων τῶν Προφητῶν.

ΚΕΙΜ.

ΚΕΙΜ. Οὐχ ἑώρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη;

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ταῦτα, φησὶ, καὶ ἐκ τῶν ἑτέροις συμβεβηκότων ὀφείλεις θεωρῆσαι. μή τί σοι τῶν εἰρημένων ἀμφίβολον; οὐκ ἀληθῶς ὁ λόγος ὑπέγραψε τῶν ἀσεβῶν τὴν ἀπώλειαν; ἆρα οὖν ταῦτα σὲ λανθάνει, τὰ πᾶσιν εἰς γνῶσιν προκείμενα.

ΚΕΙΜ. Ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· ὁ γὰρ Κύριος οὐ μὴ ἀποποιήσεται τὸν ἄκακον.

ΟΛΥΜΠ. Ἄλλος παρὰ τὸν ἀσεβῆ εἴη αὖ ὁ εὐσεβής. λέγει οὖν ὅτι τὸν εὐσεβῆ, κἂν ἔν τινι δυσπραγίᾳ γένηται, οὐ περιόψεται καθάπαξ ὁ Θεός. ὥσπερ γὰρ τοὺς ἐν εὐημερίᾳ ἀσεβεῖς ὁ Θεὸς ἀφανίζει, οὕτω καὶ τοὺς ἀκάκους, ἐὰν ἀπανθήσωσι πρὸς καιρὸν, παρασκευάζει πάλιν ἀναβλαστῆσαι, καὶ ἐν εὐημερίᾳ καθίστησι· καὶ οὔτε εἰς τέλος ὁ ἄκακος περιορᾶται, οὔτε ὁ ἀσεβὴς εἰς τέλος εὐθηνεῖται.

ΔΙΔΥΜΟΥ. Ἐπιμείνας τῇ τροπῇ τῶν βοτανῶν, τὸ, ἀναβλαστήσειν, τέθηκεν. ἄκακον δὲ ἐνταῦθα λέγει, οὐ τὸν ἀήθη, ἀλλὰ τὸν μὴ ἔχοντα κακίαν· ἀμφότερα γὰρ σημαίνει τὸ ὄνομα· ὅταν μὲν γὰρ λέγῃ περὶ τῶν αἱρετικῶν, ὅτι διὰ τῆς Χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων, ἀκάκους καλεῖ τοὺς ἀήθεις, τοὺς βραδεῖς τὴν νόησιν. ὅταν δὲ λέγῃ ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, τοὺς δικαίους σημαίνει. καθάπερ οὖν καὶ ἐνταῦθα φησὶν, ὅτι ἐκτίλλει μὲν τὸν φαῦλον ὁ Κύριος, φυτεύει δὲ ἀντ' ἐκείνου τὸν ἄκακον, ἐκεῖνον μὲν γὰρ τιμωρεῖται. εἰ δέ τις εἴη εὐσεβὴς, καὶ τῆς καθ' ἑτέρων κακίας ἀπέχεται, εἰ καὶ ἐν ἐσχάτοις ἐξετασθείη, πλείστης γοῦν αὐτῷ τῆς οἰκείας προνοίας μεταδίδωσι.

ΚΕΙΜ. Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Εἰπὼν τοῦ Θεοῦ τὴν περὶ τοὺς εὐσεβεῖς πρόνοιαν, τὴν ἀποστροφὴν αὐτοῦ τὴν πρὸς τοὺς ἀσεβεῖς, καὶ τὰ ὑπ' αὐτῶν προσφερόμενα, διδάσκει· εἶτα τὴν ὑπ' αὐτοῦ παρεχομένην εὐφροσύνην τοῖς δικαίοις, καὶ ὑμνῳδίαν ἐγγράφει, καὶ τῶν ἀσεβῶν τὴν μετ' αἰσχύνης κηρύττει ἀπώλειαν· τὰ μὲν γὰρ δῶρα, φησὶ, τῶν ἀσεβῶν οὐ δεκτὰ παρὰ τῷ Θεῷ, τούτων γὰρ οὐδὲ τὰς τιμὰς προσίεται. τοὺς δὲ γνησίᾳ τῇ διαθέσει αὐτὸν εὐσεβοῦντας, εὐφροσύνης ἐμπίπλησιν, ὡς εὐθυμουμένους ἀγαλλιᾶσθαι καὶ δοξάζειν τὸν Θεόν. ἔοικε δὲ ἐσχηματισμένως λέγειν πρὸς τὸν Ἰὼβ, ὅτι πάλαι ἐσχημάτιζε τὴν ἀρετὴν, διὰ τοῦτο ὁ Θεὸς καταγνοὺς τῆς ὑποκρίσεως, δίκην ἐπράξατο· οὐδὲ τὰς δοκούσας εἶναι τιμὰς προσιέμενος, οὐδὲ τὰ δῶρα, καὶ τὰς θυσίας, ἃς προσέφερες, ἐπεὶ μὴ ἦσθα ἀληθινός.

ΔΙΔΥΜ. Ἀληθινός ἐστιν ἐκεῖνος, ὁ μὴ ὑποκρινόμενος μηδὲ ἐπιμορφιζόμενος τὴν ἀρετὴν, ὁ μὴ σχηματιζόμενος σωφροσύνην, ἀλλὰ σώφρων

ὢν, τὸ δίκαιον δικαίως διώκων· τούτων οὖν τῶν ἀληθινῶν τὸ στόμα ἐμπλήσει ὁ Θεὸς γέλωτος, τουτέστιν, ἀγαλλιάσεως. ἀντὶ δὲ, τῆς ἐξομολογήσεως, ἀλαλαγμοῦ, εἶπον οἱ ἄλλοι.

ΚΕΙΜ. Οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην, δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσαι.

Οἱ μὲν τῶν δικαίων ἐχθροὶ, αἰσχύνην ὀφλήσουσι, τῆς ἐπ' αὐτοῖς ἐλπίδος ἐκπεσόντες· τῶν δὲ ἀσεβῶν πᾶσα διαγωγὴ ἀνατραπήσεται, καὶ τὸ μνημόσυνον αὐτῶν ἀπολεῖται. δι' ὅλων δὲ καὶ οὗτος δεῖξαι ἐπειράθη, ὡς ἡ μεταβολὴ τοῦ Ἰὼβ δι' ἀσέβειαν γέγονε.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ Ε'ΒΔΟ'ΜΟΥ.

Ὀ'ΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

ΤΟΥ͂ Βαλδὰδ εἰρηκότος, μὴ ὁ Κύριος ἀδικήσει κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον; συντρέχει καὶ ὁ Ἰὼβ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, φάσκων, ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν· Ἀποφηνάμενος δὲ μετὰ πολλῆς τῆς πληροφορίας δίκαιον τὸν Θεὸν, φησὶν, ὅτι καὶ σοφός ἐστι, καὶ δυνατὸς, καὶ μέγας, καὶ χαλεπὸν παντὶ πρὸς Θεὸν ἀντιτείνειν. εἶτα κατασκευάζει διὰ πλειόνων τοῦ Θεοῦ τὸ δυνατὸν, καὶ ἀκατάληπτον, καὶ φησὶν, ὅτι οὐδεὶς δίκαιος παρὰ τῷ Θεῷ, εἰ μὴ κατὰ χάριν· καὶ ὅτι οὐδὲν μὲν συνοίδε ἑαυτῷ, πλὴν οὐκ ἐν τούτῳ δεδικαίωται. εἶτα τοῦ βίου τὸ ὀλιγοχρόνιον εἰς ἱκετηρίαν προβάλλεται, καὶ φησὶν, ὅτι εἰ ὡς ἀσεβὴς κολάζομαι, ἄμεινον μοι ἦν τὸ ἀποθανεῖν. ὑπὸ δὲ τῆς πολλῆς πρὸς Θεὸν ἀγάπης τὸν ἐμπαθῆ φόβον ὑπερβὰς, ἐπειδὴ μὴ πείθει τοὺς φίλους, ὅτι οὐ δι' ἁμαρτίας κολάζεται, πρὸς τὸν ἀδέκαστον Θεὸν ἡδέως τὴν ἑαυτοῦ λέγει δίκην, σφόδρα θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, εἰδὼς ὅτι οὐκ ἀνέξεται ὁ Κύριος ἄδικόν τι φθέγξασθαι. ταῦτα οὖν οὐ τραχυνομένου τυγχάνουσι τὰ ῥήματα, ἀλλ' ὡς υἱοῦ πρὸς τὸν πατέρα παῤῥησιαζομένου, καὶ μονονουχὶ λέγοντος· ἡδέως σοι, ὦ πάτερ, δικάζομαι. οἶδα γὰρ ὅτι ψεύσασθαι οὐκ ἀνέχῃ. ὁ δὲ ταῦτα λέγων ὑπερβαλλόντως τιμᾷ τὸν Θεὸν, ὡς δίκαιον καὶ ἀληθῆ, καὶ ἀπροσωπόληπτον· ἐκ τοιαύτης οὖν διαθέσεως τὴν πρὸς Θεὸν αἰτεῖ διαδικασίαν. καὶ πάλιν, ἐπειδὴ ὅλως ἐτόλμησε λαλῆσαι, σύγγνωθι, φησὶν, ὦ δέσποτα· αἱ γὰρ περιστάσαι ὀδύναι, καὶ ὅλως φθέγξασθαί με παρεσκεύασαν, καὶ πάλιν,

τὸ φιλάνθρωπον τοῦ Θεοῦ, καὶ ἀμνησίκακον, καὶ μεγαλόδωρον προΐσχεται, καὶ ἱκετεύει ὡς ποιητὴν φείσασθαι τοῦ ποιήματος. καὶ τὸ δυνατὸν τοῦ Θεοῦ παρίστησι, καὶ αἰτεῖ τινος ἀναψύξεως τυχεῖν πρὸ τελευτῆς, οὐχ οὕτως οἶμαι, διὰ τὸ τῶν βασάνων ἀπαλλαγῆναι, ὡς ἵνα πληροφορηθῇ ζῶν, ὅτι οὐκ ὀργίζεται αὐτῷ ὁ Θεὸς, οὐδὲ ἀποῤῥίψει αὐτὸν εἰς σκότος, ἐκ τοῦ φωτεινοτάτου ἑαυτοῦ προσώπου.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ ὁ Ἰώβ, λέγει, ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν.

Ο'ΛΥΜΠΙΟΔΩ'Ρ. Οἶδα κἀγὼ, φησὶν, ὅτι οὐκ ἄδικος ὁ Θεὸς, ἀλλὰ καὶ κολάζων τοὺς ἀσεβεῖς, κατὰ τὸν τοῦ δικαίου λόγον κολάζει. δεικνὺς δὲ, ὅτι τοῦτο τὸ δόγμα παρ' ἑαυτῷ πάγιον ἔχει, οἱονεὶ μεθ' ὅρκου πιστοῦται τὸν λόγον, φήσας, ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν.

ΧΡΥΣ. Πόσης φιλοσοφίας ταῦτα τὰ ῥήματα; οἶδα, φησὶν, ὅτι οἱ ἀσεβεῖς ἀπόλλυνται, οἱ δὲ δίκαιοι οὐχί. ὁρᾷς πῶς οὐδαμῶς καταγινώσκει τοῦ Θεοῦ ἀδικίαν.

Ο'ΛΥΜΠ. Οὕτω δὲ προοιμιάσατο, τοὺς ἐφεξῆς αὐτοῦ λόγους προασφαλιζόμενος, ἵνα ὅταν λέγῃ, ἡδέως κρίνομαι πρὸς τὸν Θεὸν, μή τις ὑπολάβῃ, ὅτι ὡς ἄδικα πάσχων ταῦτά φησιν, ἀλλ' ὅτι θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, καὶ τῇ ἑαυτοῦ δικαιοσύνῃ, καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ τοὺς λόγους προφέρει. κατὰ τὸ εἰρημένον, ἐὰν μὴ ἡ καρδία ἡμῶν, καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. ὅτι μὲν οὖν οὐδὲν ἑαυτῷ συνοίδεν ἁμάρτημα, πρόδηλον ἐκ τῶν αὐτοῦ λόγων. ἐπιστάμενος δὲ πάλιν, ὡς πρὸς τὴν θείαν ἀκρίβειαν οὐδεὶς ἐστιν ἀναμάρτητος ἐπιφέρει.

ΚΕΙΜ. Πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ Κυρίῳ; ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων. Σοφὸς γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας.

Ο'ΛΥΜΠ. Ἀλλὰ καὶ τοῦτο οἶδα, φησὶν, ὅτι οὐδεὶς πρὸς τὴν θείαν ἀκρίβειαν δίκαιος, οὐδ' οὐ μὴ δικαιωθῇ ἐνώπιον αὐτοῦ πᾶς ζῶν· εἰ μὴ γὰρ μόνον κατὰ χάριν ἐθελήσῃ δικαιῶσαι· εἰ δὲ μὴ, οὐκ ἔστι πρὸς αὐτὸν τὸ στόμα διᾶραι. δύναται μὲν γὰρ γενέσθαι τις δίκαιος συγκρίσει ἀνθρώπων, ὡς δὲ πρὸς τὸν τῶν ὅλων Κύριον, πῶς ἔσται δίκαιος βροτός; (οὐ γὰρ τυραννεῖ κρίνων ὁ Θεὸς, ἀλλὰ πείθει τὸν κρινόμενον, καὶ ποιεῖ αὐτὸν θελῆσαι, παραδέξασθαι αὐτοῦ τὴν ἀπόφασιν.) ἢ πῶς οἱ ἐπὶ γῆς πρὸς Θεὸν ἰσωθήσονται, ὧν πλείστη δήπου διαφορά; ἐὰν γὰρ θελήσῃ ὁ Θεὸς κρίνεσθαι μετὰ ἀνθρώπου, ἀμηχανεῖ ὅλως ὁ ἄνθρωπος, ὑπακοῦσαι, καὶ διᾶραι τὸ στόμα· οὐ γὰρ δύναται, χιλίους λόγους λέγοντος τοῦ Θεοῦ, καὶ πρὸς ἕνα γοῦν μόνον ἀντειπεῖν, ὅτι κακῶς ἐῤῥέθη. τὴν γὰρ αὐτοσοφίαν ἀμήχανον μὴ πάντα εἰδέναι, καὶ τὰ ἡμᾶς διαλανθάνοντα. ἀμήχανον δὲ καὶ ἄσοφόν τι λαλῆσαι, ἢ ἐπιλήψιμον, τὸν σοφὸν, οὐ συνθέσει λόγων, ἀλλὰ τῇ διανοίᾳ. μετὰ δὲ τοῦ σοφοῦ, ἔχει καὶ τὸ παντοδύναμον, καὶ τὸ τῆς φύσεως μεγαλεῖον.

ΠΟ-

ΠΟΛΥΧΡ. Εἴτις οὖν ἐθελήσοι κριθῆναι πρὸς τὸν Θεὸν, οὐδὲ λόγου ἀξιοῦται· ὑπερφρονῶν γὰρ τῆς τῶν ἀνθρώπων ἀπελείας, ἕνα γοῦν πρὸς χιλίους οὐκ ἀποκρίνεται. διπλῆ τοίνυν τοῦ ῥητοῦ ἡ διάνοια, ἡ μὲν τὸν Θεὸν ὑπερφρονοῦντα εἰσάγουσα, καὶ μὴ ἀποκρινόμενον, ἡ δὲ τὸν ἄνθρωπον ποιοῦσα ἀποροῦντα, καὶ μὴ δυνάμενον ἀντειπεῖν.

ΟΛΥΜΠ. Πάλιν δὲ σημειωτέον, ὡς ταῦτα προεῖπεν ὁ δίκαιος, μονονουχὶ λέγων, τὸ τοῦ Μακαρίου Δαβὶδ, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν· ἵνα ἐὰν ἀκούσωμεν αὐτοῦ βουλομένου κρίνεσθαι πρὸς τὸν Θεὸν, μὴ ὑπολάβωμεν, ὅτι φησὶν, ἄδικα πάσχω, καὶ δύναμαι κρινόμενος πρὸς Θεὸν, ἀπελέγξαι αὐτὸν οὐ δίκαια ποιοῦντα· ἄπαγε, πόῤῥω γὰρ ταῦτα τῆς τοῦ μεγάλου καὶ φιλοθέου Ἰὼβ μεγαλονοίας· ἀλλ' ἵνα μάθωμεν, ὅτι τὰς μὲν παρὰ ἀνθρώποις κρίσεις φεύγει, οἷα ἡ κατ' ἄγνοιαν λαλούντων, ἢ πρὸς χάριν τινός· ὁ δὴ πεπόνθασιν οἱ αὐτοῦ φίλοι, πεπλανημένοι περὶ τοὺς τῆς προνοίας λόγους, καὶ οἰόμενοι Θεῷ συνηγορίαν νέμειν, διὰ τοῦ καταψηφίζεσθαι τοῦ δικαίου. ἀξιοῖ δὲ, καὶ ἱκετεύει αὐτὸν αὐτῷ καταστῆναι τὸν ἀψευδῆ Θεὸν εἰς κρίσιν, ὡς ἂν διὰ τῆς τοῦ Θεοῦ ἀληθείας ἀποδειχθῇ μὴ δι' ἁμαρτίας κολαζόμενος.

ΚΕΙΜ. Τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινε;

ΠΟΛΥΧ. Τοῦτο Ἀκύλας, καὶ Σύμμαχος. ὁ μὲν εἰρήνευσεν, ὁ δὲ, διετέλεσεν, ἐξέδωκεν. ἀλλ' οὐδὲ τραχυνόμενός τις, φησὶ, κατὰ τοῦ Θεοῦ ἀτιμώρητος ἀπέρχεται, ἀλλὰ κἂν πρὸς βραχὺ συγχωρηθῇ, ἀλλ' οὐχ ὑπομενεῖ. τίς δὲ ἐτραχύνθη κατὰ τοῦ Θεοῦ; Φαραὼ, αὐτὸς ὁ διάβολος, ἐναντίον γὰρ Κυρίου παντοκράτορος ἐτραχηλίασε· καὶ πάντες δὲ σκληροὶ γεγόνασιν ἐναντίον αὐτοῦ τοῦ Θεοῦ, οἱ τὰς λιθίνας καρδίας ἔχοντες, πρὸς οὓς εἴρηται, οἶδα ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου.

ΟΛΥΜΠ. Πάλιν δὲ καὶ τοῦτο προασφαλιζόμενος τέθεικεν ὁ Ἰὼβ, ἵνα γνῶμεν, ὅτι οὐδαμοῦ τραχυνόμενος, ἀλλ' ἱκετεύων, καὶ θαῤῥῶν τῇ τοῦ Θεοῦ ἀληθείᾳ, τοὺς λόγους προφέρει. ὁ γὰρ εἰδὼς, μὴ συμφέρον εἶναι σκληρὸν φαίνεσθαι κατὰ Θεοῦ, πῶς ἂν αὐτὸς ἐτραχύνετο; καίτοι, μηδὲ πολλοῦ παρελθόντος χρόνου, ἀλλ' ἐν αὐτοῖς τοῖς ἐφεξῆς λόγοις, οὕτω προοιμιασάμενος, καὶ ἱκανῶς ἡμῶν τὴν γνώμην ἀσφαλισάμενος, τὴν τοῦ Θεοῦ δύναμιν ἐξηγεῖται. μονονουχὶ ἑκάστῳ παραινῶν, μηδόλως τολμᾶν ἀντιφθέγγεσθαι τῷ τοσούτῳ μὲν τὴν δύναμιν, τοσούτῳ δὲ τὴν ἰσχὺν, καὶ τὴν μεγαλειότητα, καὶ μὴ ἀνεχομένῳ κατὰ μηδὲν ταράξαι, ἢ σκελίσαι τὸ δίκαιον.

ΚΕΙΜ. Ο' παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ.

ΟΛΥΜΠ. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν, ἐξαίρων ὄρη, καὶ ἀδηλοποιῶν αὐτά. τίς δὲ ἡ τοῦ στίχου δύναμις; πρὸς μὲν τὸ ῥητὸν· ὁ τὰ ὄρη φησὶν, ἐξαφανίζων μετ' εὐκολίας. κατὰ τὸ, ὁ απτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. πρὸς δὲ διάνοιαν, ὁ πα-

ραφέρων τοὺς ὑπερεχούσας τοῦ πονηροῦ, ἐκ τῶν ἀνθρώπων ἐπιβουλὰς, καὶ ἀγνοούντων αὐτῶν.

ΔΙΔΥΜΟΥ. Οἶδα καὶ ἄλλα ὄρη, Μωϋσέα, καὶ τοὺς Προφήτας, ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη. Χριστὸς παλαιοῖ τὴν πρώτην διαθήκην, καὶ οὐκ οἴδασιν Ἰουδαῖοι, πρὸς οὓς εἴρηται, εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί. ὁ αὐτὸς καὶ κατέστρεψε τὰ μέχρι γράμματος ὄρη τῆς Ἱερουσαλὴμ, καὶ τὸ ἁγίασμα· ὁ αὐτὸς δὲ καὶ τὸν ἥλιον ἀμαυροῖ τῇ ἑαυτοῦ λαμπρότητι, καὶ τοὺς ἀστέρας. Βαβαί; οἷα λέγει ἄνθρωπος νοσῶν καὶ ἑλκώμενος, ὄστρακον ἔχων, καὶ τὸν ἰχῶρα ξέων, ἄνθρωπος ἐπὶ κοπρίας καθεζόμενος; ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασι. τίνες οὖν εἰσὶν οἱ λόγοι ἴδωμεν· καὶ περὶ ποίων ὀρέων παλαιουμένων, καὶ ὑπὸ τίνων, καὶ οὐκ οἴδασιν. ἦλθεν Ἰησοῦς ὁ καταστρέφων τὴν κατὰ τὸ γράμμα ἐκδοχὴν, καὶ τοὺς ταύτῃ μετὰ τὴν χάριν ἐμμένοντας, περὶ ὧν φησὶν ὁ Ἀπόστολος, ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργή· τὰ πεπαλαιωμένα κατεστράφη, πεπαλαίωται τὰ τοῦ γράμματος, ἀνακεκαίνωται τὰ τοῦ Πνεύματος, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι Πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. παράδοξον ὁ Ἰησοῦς πεποίηκεν ἐλθὼν, τοὺς αὐτοὺς προφήτας, καὶ πεπαλαίωκε, καὶ ἀνεκαίνισε.

ΚΕΙΜ. Ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται.

ΟΛΥΜΠ. Στύλους τὰ στηρίγματά φησιν· ἐν αὐτῷ γάρ ἐστι τῷ θεμελιώσαντι, καὶ στηρίξαντι, ὡς αὐτὸς οἶδε, καὶ σαλεύσαι. ὅμοιον τὸ ἐν ψαλμοῖς, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.

ΔΙΔΥΜ. Κομψότερον δέ τινες· οἱ στῦλοι ἦσαν τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οἱ Ἀπόστολοι. οὗτοι γὰρ παρὰ τὸν καιρὸν τοῦ πάθους Ἰησοῦ ἐσαλεύθησαν, πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. σεισμοὶ δὲ πολλάκις γεγόνασιν ἐπὶ τῆς γῆς, ἀλλ' οἱ γενόμενοι σεισμοὶ, καὶ πρὸ Χριστοῦ, καὶ μετὰ Χριστὸν, ἐκ μέρους γεγόνασιν· ἐπὶ δὲ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οὐ γέγονε μικρὸς ὁ σεισμὸς, ἀλλ' ὅλη ἡ γῆ ἐσείσθη ἐξ αὐτοῦ τοῦ κέντρου.

ΚΕΙΜ. Ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει.

ΟΛΥΜΠ. Οὐχ ὡς ἀκούοντος τοῦ ἡλίου, φησὶν, ἀλλὰ τὸ μεγαλεῖον τῆς ἐξουσίας ἐμφαίνων.

ΚΕΙΜ. Κατὰ δὲ ἄστρων κατασφραγίζει.

ΤΟΥ ΑΥΤΟΥ. Τουτέστιν, ἀποκλείει· δύναται, φησὶ, καὶ τῷ ἡλίῳ ἐπιτάττειν κατὰ χώραν μένειν, καὶ μὴ ἀνατέλλειν, καὶ τὰ ἄστρα ἀποκλείειν, ὥστε μὴ φωτίζειν τὴν γῆν.

ΔΙΔΥΜ. Φέρεται δὲ, ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους, ἐν ταῖς τρισὶν ὥραις, ἐν αἷς ὁ ἥλιος ἐξέλιπε, τηνικαῦτα καὶ ἀστέρες ἐφάνησαν, ὡς ἐν νυκτί.

ΚΕΙΜ. Ὁ τανύσας τὸν οὐρανὸν μόνος.

ΠΟΛΥΧΡ. Ἀλλὰ καὶ τὸν οὐρανὸν, φησὶ, μετ' εὐκολίας διέτεινε· κατὰ τὸ, ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. ὁ Χριστὸς δὲ καὶ τοῦτον ἐτάνυσεν, ὡς ψάλλει Δαβὶδ, τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. λόγος δὲ ὁ μονογενὴς τοῦ Θεοῦ παῖς.

ΚΕΙΜ. Καὶ περιπατῶν, ὡς ἐπ' ἐδάφους, ἐπὶ θαλάσσης.

ΤΟΥ ΑΥΤΟΥ. Κατὰ μὲν τὴν ἱστορίαν· ὁ καὶ τὴν θάλασσαν φησὶν, ὑπὸ πόδας ἔχων, καὶ διὰ τὸ τῆς φύσεως ἄϋλον, διὰ πάντων ὁδεύων, καὶ πᾶσιν ἐφιστάμενος. ἔοικε δὲ προφητικῶς καὶ τὴν ἐνανθρώπησιν τοῦ λόγου σημαίνειν, ὅτε πρὸς τὴν ἀποστολικὴν ὁλκάδα ὁ Κύριος παρεγένετο, ἐπ' ἄκρων τῶν κυμάτων βαδίζων, κατὰ τὸ, ἐν θαλάσσῃ ἡ ὁδὸς αὐτοῦ· καὶ τοῦτο γὰρ ἐνανθρωπήσας ὁ λόγος πεποίηκεν.

ΚΕΙΜ. Ὁ ποιῶν Πλειάδα, καὶ Ἕσπερον, καὶ Ἀρκτοῦρον, καὶ ταμεῖα Νότου.

ΟΛΥΜΠ. Ἀπὸ μὲν τῶν περιφανεστέρων ἀστέρων τοὺς λοιποὺς περιέλαβε, καὶ οἱονεὶ εἶπεν, ὁ πάντα τὸν οὐρανὸν ποικίλας Κόσμον. ἀπὸ δὲ τοῦ Νότου, καὶ τοὺς ἄλλους, ἀνέμους ἐσήμανε. ταμεῖα δὲ τοὺς θησαυροὺς τῶν ἀνέμων ἐκάλεσεν, ἵνα γνῶμεν, ὅτι ἀνέφικτοί εἰσιν οἱ περὶ τῶν ἀνέμων λόγοι, ὁ δὲ Ἑβραῖος, καὶ πάντα τὰ ἄστρα τὰ κυκλοῦντα Νότον, φησὶν, ὡς δηλοῦσθαι τὸ πλῆθος τῶν αὐτόθι φαινομένων ἄστρων, ἐν τῇ τοῦ ταμείου προσηγορίᾳ, τουτέστι, τὰ ἄστρα ταμιεύομενα ἐν τῷ νοτίῳ μέρει τοῦ οὐρανοῦ. διαφέρει δὲ ἄστρον ἀστέρος, ὅτι τὸ ἄστρον ἐξ ἀστέρων σύγκειται. ὡς ἀνεγκλήτοις μέντοι τούτοις τοῖς ὀνόμασιν ἐχρήσατο. τί οὖν ἀδικοῦσι τὴν γραφὴν ὀνομαζόμενα παρ' αὐτῆς οὕτως, ὡς ἀκούοντες οἱ ἄνθρωποι δύνανται νοεῖν.

ΒΑΣΙΛ. Μέμνηται δὲ καὶ τοῦ Ἀρκτούρου ἡ γραφὴ, ὃν μεταξὺ τῶν μηρῶν τοῦ ὠρίωνος ὁρῶ κείμενον, ἀστέρα ὑπόκιῤῥον. παραπλησίως δὲ καὶ ἡ πλειὰς ὑπὸ τῆς γραφῆς ὀνομάζεται, ὡς καὶ ὑπὸ τῶν ἔξωθεν, τῶν παρ' Ἑβραίων, δηλονότι, πολυπραγμονησάντων τὰ ἀπόῤῥητα. φαίνονται δὲ ἐν τῇ πλειάδι ἑπτὰ ἀστέρες, συνεχεῖς καὶ καταπεπυκνωμένοι πρὸς ἀλλήλους, οὐχὶ δὲ ἕξ, ὥσπερ τινὲς οἴονται. κεῖνται δὲ ἐν τριγωνοειδεῖ σχήματι. Ἕσπερος δὲ λαμπρότατός ἐστιν ἀστὴρ, ὁ αὐτὸς δὲ καὶ ἑῶος ὀνομάζεται, διὰ τὸ, καὶ πρωῒ ἀνατέλλειν, καὶ τὴν ἕω μηνύειν, ἤγουν τὸν ὄρθρον καὶ τὴν ἡμέραν. ὁ οὖν ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, καὶ τὸν ἀριθμὸν ἔχει πάντων αὐτῶν, καὶ τὰς προσηγορίας. ὀλίγαι δὲ εἰσὶν ἐκ φωνηθεῖσαι, ἃς οἱ Ἕλληνες συγχησάμενοι, καὶ τὰ λοιπὰ προσύφαναν παρ' ἑαυτῶν, καὶ μυρίαις ὀνομασίαις προσαγορεύουσιν· τούς τε ἀπλανεῖς ἀστέρας, καὶ τοὺς πλανωμένους. τοὺς μὲν διαιροῦσιν εἰς δώδεκα μέρη, τοὺς δὲ κατὰ τὸν ζωοφόρον κύκλον, δι' οὗ ὁ ἥλιος τὴν πορείαν ποιεῖται, τοὺς δὲ κατὰ τὸ νότιον, καὶ βόρειον μέρος παραπεπηγότας κατωνόμασαν, ὡς ἐβουλήθησαν.

ΠΟΛΥΧΡΟΝ. Ἐνταῦθα μέντοι ὁ Ἰὼβ εἰπεῖν βούλεται, ὅτι ὁ Θεὸς διὰ τῆς κτίσεως, τήν τε ἑαυτοῦ σοφίαν ἐνεδείξατο, καὶ τὴν περὶ ἀνθρώπους

προ-

προνοιαν· τὴν μὲν τῷ ποικίλῳ τῶν φαινομένων, τὴν δὲ τῇ χρήσει, ἧς ἀπολαύειν πεφύκασιν οἱ ἄνθρωποι. πρὸς γὰρ τὰς τῶν ἄστρων ἐπιτολὰς καὶ δύσεις, καὶ τῆς σελήνης τὰς μειώσεις, γεωργοί τε σπείρουσι, καὶ τῆς γῆς τὴν ἐπιμέλειαν ποιοῦνται, ἀδίεινοῦ καὶ χειμερινοῦ ἀέρος σημεῖα λαμβάνοντες, καὶ ναῦται τὴν θάλασσαν πλέουσιν. ἄλλα μὲν οὖν ἔθνη ἄλλοις ἄστροις τὸν πλοῦν ἀνύουσι, Φοίνικες δὲ μάλιστα λέγονται πρὸς τὴν μικρὰν ἄρκτον περαιοῦσθαι τὴν θάλασσαν. τῆς μεγαλουργίας οὖν, φησὶν, αὐτῦ τὰ σημεῖα καθ' ἑκάστην ἔνεστιν ὁρᾷν, ἀέρος τροπὰς, ἐναλλαγὰς καιρῶν, ὡρῶν διαδοχὰς, ἡμέρας καὶ νυκτὸς εὔτακτον κίνησιν· ἀπὸ γὰρ τῶν ἐρανίων ἄστρων, τοῦ ἀέρος ἐμνημόνευσε, τὸ πρὸς τὴν χρείαν ποικίλον καὶ πολυειδὲς παριστῶν, ὅθεν ἐπάγει.

ΚΕΙΜ. Ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

ΠΟΛΥΧΡ. Τουτέστιν, ἃ ἡμεῖς οὐκ ἴσμεν. ταῦτα καὶ ὁ Ἐλιφὰζ προείρηκε, καὶ νῦν οὗτος λέγει. αἰνίττεται δὲ χιόνος γένεσιν, χαλάζης φορὰν, βροντῶν ἤχους, ἀστραπῆς βολὰς, καὶ ἐκπυρώσεις, καὶ ὅσα τοιαῦτα.

ΧΡΥΣΟΣΤ. Ταῦτα, ἃ προείρηκα, φησὶν, οὐ μεγάλα, οὐκ ἀνεξιχνίαστα, καίπερ ὁρατὰ ὄντα, πόσῳ γε μᾶλλον τὰ ἀόρατα; ὅρα δὲ, οὐδαμοῦ τὴν οὐσίαν, ἀλλὰ τὰς ἐνεργείας αὐτοῦ λέγει. καὶ τί φησι, τὸ καθ' ἕκαστον αὐτῶν λέγω; μεγάλα γάρ εἰσι, καὶ ἀκατάληπτα, καὶ ἀναρίθμητα τοῦ Θεοῦ τὰ ἔργα.

ΔΙΟΝΥΣ. Εἶδες οἷα περὶ Θεοῦ λέγει ὁ Μακάριος Ἰώβ· πολλὰ γὰρ κατὰ μέρος ἐπιθειάσας αὐτὸν καὶ δοξολογήσας, πάλιν συγκεφαλαιωσάμενος, ἔφη, ὁ ποιῶν μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. εἰ γὰρ καὶ ἀναρίθμητος ὁ ἀριθμός ἐστι καὶ τέλος οὐδὲν ἴσχει, ἐπαύξησιν ἀεὶ καὶ προσθήκην εἰς ἑαυτὸν δεχόμενος, ἐπ' ἄπειρόν τε καταριθμούμενος, ἀλλ' ὑπερβάλλει, φησὶ, σύμπαντα τὸν ἀδιεξόδευτον ἀριθμὸν τὰ ἔργα τοῦ Θεοῦ· εἰ δὲ τὰ ἔργα, πόσῳ μᾶλλον αὐτός; ὃ γὰρ ἐστὶν ἀνέφικτον παντὶ, καὶ ἀπερίληπτον, τοῦτ' ἐλάχιστόν ἐστι παρὰ τῷ Θεῷ, κατά τε ποσότητα ὡς ἐνταῦθα εἴρηται, καὶ κατὰ μέγεθος, ὡς ὁ ψαλμὸς ὑπερμεγέθη φησὶν αὐτὸν εἶναι, λέγων, μέγας ὁ Κύριος, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλοσύνης αὐτοῦ οὐκ ἔστι πέρας. πάσης γὰρ αἰνέσεως ἐστὶν αἰνετώτερος, παντὸς θαυμασμοῦ θαυμασιώτερος, καὶ πάσης δόξης ἐνδοξότερος, καὶ παντὸς ὑψώματος ὑψηλότερος· ὡς γέγραπται φοβερὸς Κύριος, καὶ σφόδρα μέγας, καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ. δοξάζοντες Κύριον, ὑψώσατε καθ' ὅσον ἂν δύνησθε· ὑπερέξει γὰρ καὶ ἔτι. καὶ πολὺ ἔργον ἂν εἴη τοὺς ὑπὸ τῶν θείων γραφῶν παμμεγέθεις ὕμνους ἐκλέγοντα παρατίθεσθαι, ὧν πάντων ὑπεραινετὸς, καὶ ὑπερυψούμενός ἐστιν ὁ Θεός. νυνὶ δὲ ἐπὶ τὰ ἐχόμενα τῆς ἑρμηνείας ἴωμεν.

ΚΕΙΜ. Ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω· ἐὰν παρέλθῃ με οὐδ' ὡς ἔγνων.

ΟΛΥΜΠ. Ἀόρατός φησι, καὶ ἀκατάληπτος τὴν φύσιν τυγχάνει, ὥστε

ἄγνωστον ἡμῖν εἶναι, πῶς τε ἐν πᾶσι, καὶ ἔξω πάντων, καὶ ὑπὲρ πάντα τυγχάνει. καὶ τί λέγω περὶ αὐτοῦ; ὅπου καὶ τὰ κρίματα αὐτοῦ πάσῃ γεννητῇ φύσει δι' ἐπιβολῆς καταλαβεῖν ἀμήχανον· πάντα γὰρ ποιεῖ, ἀοράτῳ δυνάμει ταῦτα ἐργαζόμενος, ὡς μὴ μόνον λανθάνειν τὴν αἴσθησιν, ἀλλὰ καὶ αὐτὴν τοῦ νοῦ τὴν κατάληψιν. ἐγὼ γοῦν οὔτε ἀμελῆ ὄντα ἐπιγινώσκω, οὔτε ὀργιζόμενον νοῆσαι δύναμαι, κἂν ὑπερβῇ με, κἂν παρέλθῃ, οὐκ αἰσθάνομαι.

ΚΕΙΜ. Ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει; ἢ τίς ἐρεῖ αὐτῷ, τί ἐποίησας;

ΟΛΥΜΠ. Ἰδού, φησίν, ἀνήρπασεν ἐκ τοῦ Κόσμου, τίς ἀνακομίσει τὸ ἁρπαγέν; τί λέγω, ἀνακομίσει; τίς ὅλως ἐπὶ τοῖς γενομένοις ἀντειπεῖν αὐτῷ δυνήσεται; ἐὰν τελείαν συντέλειαν ποιήσασθαι θελήσῃ, τίς ἀνασκευάσει τὰ αὐτῷ δοκοῦντα;

ΠΟΛΥΧΡ. Ἐὰν κατά τινος ἀποφαίνηται, τίς ἀνακαλέσεται; τίς δὲ αὐτῷ ἐγκαλέσει, ὡς οὐ καλῶς πεποιηκότι; κατ' ἐξουσίαν γὰρ ἁπάντων δεσπόζων, ἀμείνω τί ἐστιν, οἷς ἂν βούληται, καὶ τιμωρεῖται, οὓς ἂν ἐθέλῃ.

ΚΕΙΜ. Αὐτὸς γὰρ ἀπέστραπται ὀργήν.

ΟΛΥΜΠ. Ἓν, φησίν, οἴδαμεν, ὅτι ἀπαθῶς κολάζει, καὶ ἀοργήτως τιμωρεῖται, πάντα συμφερόντως οἰκονομῶν τὰ καθ' ἡμᾶς. συνεκδοχικῶς δὲ διὰ τῆς ὀργῆς πᾶσαν κακίαν δεδήλωκεν. οὐ γὰρ δὴ μόνον ὀργὴν ἀπέστραπται, ἀλλὰ καὶ τὰ ἄλλα πάθη.

κατὰ δὲ τὸν Σύμμαχον εἰπόντα, ὁ Θεὸς οὗ ἀναπόστρεπτος ἡ ὀργὴ, τὸ ἄφυκτον δηλοῦται τῆς θείας κινήσεως. τίς γὰρ ἀποστρέψει χεῖρα Θεοῦ κολάζουσαν;

ΚΕΙΜ. Ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν.

Ὁ δὲ ΣΥΜΜΑΧ. Ὑπὸ κάτω δὲ αὐτοῦ καμφθήσονται οἱ ἐπερειδόμενοι ἀλαζονείᾳ· ἵνα εἴπῃ, ὅτι καὶ τῶν ὑπερηφάνων κατασπᾷ τὴν ὀφρύν. πάλιν δὲ ὁ μὲν Ἑβραῖος, ὑπ' αὐτοῦ, ἔφη, πάντα ἀπόλλυται, τουτέστιν, ἐὰν μὴ τὴν ὀργὴν ἑκὼν καὶ φιλανθρωπευσάμενος μεταβάλλῃ, ἅπαντα ἀφανίζεται. ὁ δὲ ἑλληνικὸς, κήτη, εἶπεν, ἵνα αἰνίξηται τὰ μεγάλην, καὶ ἄμαχον τὴν ἰσχὺν ἔχειν δοκοῦντα.

ΔΙΔΥΜ. Πρὸς μὲν τὸ ῥητὸν· καὶ τὰ κήτη ἀνυπότακτα τοῖς ἀνθρώποις, καὶ τὰ ἄλλα ἰοβόλα θηρία, εἰ μὴ αὐτὸς ταῦτα ἀπέταξε. πρὸς δὲ θεωρίαν τὰ πονηρὰ πνεύματα, τὰ κήτη ἀλληγορικῶς καλούμενα, διὰ τὸ περὶ τοὺς κλύδωνας τῆς ψυχῆς διανήχεσθαι, αὐτὸς ἔκαμψε, καὶ ἐταπείνωσεν. οὐ γὰρ οἷά τέ ἐστιν ἀνθρωπεία φύσις, πρὸς αὐτὰ μὴ καμφθέντα ὑπὸ Θεοῦ ἀντιστῆναι.

ΚΕΙΜ. Ἐὰν δέ μου ὑπακούσηται, ἢ διακρίνῃ τὰ ῥήματά μου. ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου, τοῦ κρίματος αὐτοῦ δεηθήσομαι· ἐάν τε καλέσω, καὶ οὐ μὴ ὑπακούσῃ, οὐ πιστεύω ὅτι εἰσακήκοέ μου τῆς φωνῆς· μὴ γνόφῳ με ἐκτρίψῃ.

ΟΛΥ.

ΟΛΥΜΠ. Τραχὺ τὸ χωρίον τοῦτο καὶ ἀνάντες, καὶ οὐδεὶς ἂν ἀκμητὶ παρέλθοι δι' αὐτοῦ· θαῤῥητέον οὖν ὅμως τὴν ἄνοδον, Θεοῦ ἡμῶν ἡγουμένου, καὶ τοῦ Ἁγίου Ἰὼβ τὸν τόπον ἐξομαλίζοντος τῷ ὀστράκῳ ἐκείνῳ, ᾧ καὶ τοὺς ἰχῶρας ἀπέξεε. τίς οὖν ἡ τῶν στίχων δύναμις; εἶπεν ὁ Βαλδὰδ, ὅτι ὁ Κύριος οὐκ ἀδικήσει κρίνων; καὶ προστέθηκεν, ὅτι ὄρθριζε πρὸς τὸν Θεὸν δεόμενος· καὶ εἰ καθαρὸς εἶ, τῆς δεήσεώς σου ἐπακούσεται, καὶ ἀπονεμεῖ σοι διαγωγὴν κρείττονα τῆς πρώτης. πρὸς ταῦτα ὁ Ἰὼβ ἀποκρίνεται, πόθεν γνώσομαι, ὦ φίλε, ἐὰν ὁ Κύριος ἐπακούσηται, καὶ τὰ τῆς ἐμῆς ἀρχῆς διακρίνῃ ῥήματα; ἐάν τε γὰρ δικαιωθῶ δικαιολογούμενος πρὸς αὐτὸν, οὐκ ἀποκριθήσεταί μοι· τοῦτο γὰρ τὸ, οὐκ εἰσακούσεταί μου. ὡς εἴγε ἀπεκρίνατο, ἡδέως ἂν τὸ κρίμα αὐτοῦ καὶ τὴν ψῆφον ἐπεκαλεσάμην, ἐάν τε καλοῦντός μου εἰσακούσῃ, πληροφοροῦμαι. οὔτε γὰρ ὁρᾶται Θεὸς, οὔτε φωνὴν ἀφίησι. μᾶλλον μὲν οὖν δέδοικα, μὴ ἀοράτως ἐκτρίψῃ με διὰ γνόφου, καὶ καταιγίδος, ὅτι ὅλως δικαιολογηθῆναι αὐτῷ ἐθάῤῥησα. τινὲς δὲ οὕτως ἐνόησαν· ἐὰν ἐμαυτὸν δικαιώσω, ὁ Θεὸς ἀποστραφήσεταί με. ἐπειδὴ μὴ κατὰ τὸν ἡμέτερον νοῦν ὁ Θεὸς κρίνει, ἀνέφικτα γὰρ αὐτοῦ τὰ κρίματα τῆς ἀποφάσεως· διὸ μᾶλλον τοῦ κρίματος αὐτοῦ δέομαι. ἐὰν δὲ καὶ ἐπικαλέσωμαι τὸν Θεὸν, καὶ θελήσῃ ἀκοῦσαί μου τῆς δικαιολογίας, καὶ δικαιῶσαί με, οὐ πιστεύω ὅτι ἐδικαίωσέ με· ἀόρατος γάρ ἐστι, καὶ ἀγνοῶ τὴν κρίσιν· ὥστε δέδοικα μὴ ἐξ ἀφανοῦς ἀνέλῃ με τελείως, ὡς καταιγὶς, ἤτοι γνόφος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὁ γνόφος κυκλοπερὴς πανταχόθεν περιλαμβάνων ἐστί· κἂν δι' ἑνὸς οὖν, φησὶ, μέρους δόξω δίκαιος εἶναι, δι' ἑτέρου ἐλέγξει με. ἀπόδειξις δὲ τῶν εἰρημένων τὰ παρόντα· ποικίλαις γάρ με ταῖς συμφοραῖς ἀθρόον περιέβαλεν, οὐδενὸς ἁμαρτήματος ἀθῴως εἰσπραξάμενος. ὅθεν ἐπάγει.

ΚΕΙΜ. Πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκε διακενῆς.

ΤΟΥ ΑΥΤΟΥ. Ἓν δὲ οἶδα, φησὶν, ὅτι αἰτίαν οὐκ ἐπίσταμαι, δι' ἣν οὕτω συντρίβομαι· τοῦτο γὰρ ἔοικε σημαίνειν, τὸ, διακενῆς, ἢ καὶ τοῦτο, φησὶν, ὅτι οὐκ ἐδεῖτο ὁ Θεὸς δοκιμάσαι με διὰ βασάνων, ᾔδει γὰρ πρὸ τῶν ἐτασμῶν. οἱ δὲ λοιποὶ ἀντὶ τοῦ, διακενῆς, ἀναιτίως, ἐξέδωκαν, καὶ δωρεάν.

ΧΡΥΣΟΣΤ. Τοῦτο καὶ ὁ Θεὸς πρὸς τὸν διάβολον ἔλεγε περὶ αὐτοῦ, σὺ δὲ εἶπας, ἀπολέσαι τὰ ὑπάρχοντα αὐτοῦ διακενῆς. τί οὖν θαυμάζεις, ἢ ὅπερ ὁ Θεὸς εἶπε, τοῦτο καὶ οὗτος λέγει, ὅτι διακενῆς, οὐχ ὅτι ἥμαρτεν, ἀλλ' ὅτι οὐδὲν πλέον ἔσται ἀπὸ τῆς τιμωρίας αὐτοῦ, καὶ τοῦ κολάζεσθαι.

ΚΕΙΜ. Οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, ἐνέπλησε δέ με πικρίας.

ΟΛΥΜΠ. Τουτέστι, πολλῶν πλήρης εἰμὶ δεινῶν, καὶ οὐδὲ ἀνέδην ἀναπνεῦσαι δύναμαι. τοσαύτη τῶν δεινῶν ἡ ἐπίτασις, ὥστε μηδὲ τὴν τυχοῦσαν ἐκεχειρίαν ἔχειν.

ΚΕΙΜ.

ΚΕΙΜ. Ὅτι μὲν γὰρ ἰσχύϊ κρατεῖ. τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;

ΠΟΛΥΧΡ. ὁ δὲ ΣΥΜΜΑΧ. Ἐν τῇ ἰσχύϊ κραταιός ἐστι. πάντα, φησί, μετ' ἐξουσίας ἐργάζεται, ἄμαχον ἔχων τὴν δύναμιν, οὐδενὸς ὄντος τοῦ πρὸς τὸ τυχὸν γοῦν ἀντιλέξοντος. διὸ κἀγὼ λογιζόμενος αὐτοῦ τὴν ἰσχὺν, τολμηρὸν εἶναι ἀποφαίνομαι, τὸ, τοῖς αὐτοῦ κρίμασιν ἀνθίστασθαι, ὥσπερ τῇ ἰσχύϊ, οὕτω καὶ τῇ δικαιοκρισίᾳ κρατοῦντος, οἷς οὐδεὶς ἀντιστήσεται. ταῦτα δὲ πρὸς τοὺς φίλους ἀποτεινόμενος λέγει, τοὺς οἰομένους δι' ἁμαρτίας αὐτὸν κολάζεσθαι.

ΚΕΙΜ. Ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει (τοῦ λοιποῦ, καταδικάσει με) ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι.

ΟΛΥΜΠ. Κἂν δικαιολογήσωμαι, φησί, πρὸς αὐτὸν ἀσεβήσω· κἂν ἐκ τῶν ἔργων ἴσως δικαιωθῶ, ἐκ τῶν λόγων μου κατακριθήσομαι. ἐὰν γὰρ τολμήσω λέγειν, ὅτι δίκαιός εἰμι, αὐτὸ τοῦτο τὸ εἰπεῖν ἀσεβὲς εἶναι ὑπολαμβάνω· ἐὰν δὲ καὶ τολμήσω εἰπεῖν, ὅτι ἄμεμπτός εἰμι, καὶ ἐμαυτὸν ἀποδέξομαι, αὐτὸ τοῦτο σκολιόν με δείκνυσι, καὶ οὐκ εὐθύν. δίκαιος γὰρ ὤν, οὐκ ὤφειλον λέγειν αὐτὸ τοῦτο, ὅτι δίκαιός εἰμι. οὐ γὰρ περὶ ἑαυτοῦ ὁ δίκαιος λέγει. τούτῳ ὅμοιον, τὸ, γέγονα ἄφρων καυχώμενος, ὑμεῖς με ἠναγκάσατε.

ΠΟΛΥΧΡ. Τάχα δὲ καὶ τοιοῦτόν τι λέγει, πῶς τῇ πρὸς αὐτὸν δικαιολογίᾳ χρήσομαι, ἄνθρωπος ἀσθενὴς, πρὸς τὸν τῶν ὅλων Κύριον διαλεγόμενος; ἵνα εἴπῃ, ὅτι διὰ τὴν ἐξουσίαν περιγίνεται, ἀδίκους ἀποφαίνων τοὺς λόγους. εἰ γὰρ καὶ καθαρῶς βεβίωκα, πονηρὸς ὀφθήσομαι, τοῦ Θεοῦ ὑπὸ μέμψιν καὶ τὰ κατορθώματά μου ἄγειν δυναμένου.

ΚΕΙΜ. Εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖταί μου ἡ ζωή.

ΠΟΛΥΧΡ. καὶ ΟΛΥΜΠ. Τὸ τοῦ Ἀποστόλου εἶπεν, οὐδὲν ἐμαυτῷ σύνοιδα, πλὴν οὐκ ἐν τούτῳ δεδικαίωμαι. ἐμαυτῷ γὰρ οὐ συνεπίσταμαι παρανομήσαντι, εὖ δὲ οἶδα, ὅτι κακῶς πάσχω. ὁρῶν δὲ ἐν ἐσχάτοις τὰ κατ' ἐμαυτὸν, εἰς ἀπορίαν καθέστηκα, ἀγνοῶν τίνα τῶν γεγενημένων αἰτίαν λογίσομαι.

ΚΕΙΜ. Διὸ εἶπον, μέγαν καὶ δυνάστην ἀπολλύει ὀργὴ, ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ· ἀλλὰ δίκαιοι καταγελῶνται, παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβοῦς.

ΤΩΝ ΑΥΤΩΝ. Ταῦτα ἀναλογιζόμενος λέγω, ὅτι τὸν οἰόμενον μέγαν ἑαυτὸν εἶναι, καὶ δυνατὸν κατὰ δικαιοσύνην, ἀπόλλυσιν ἡ τοῦ Θεοῦ ὀργὴ, ὅτι καὶ ἁπλῶς τῇ ὀργῇ κατὰ πάντα χρῆται ὁ Θεός, εἴτε ἐν ἀσεβείᾳ εἴη τις μέγας, εἴτε κατὰ βίον λαμπρός. καὶ οἴδαμεν, ὅτι καὶ οἱ φαῦλοι τὰς ἐσχάτας τίσουσι δίκας ἄφνω. καταγελῶνται δὲ ὅμως πρὸς τὸ παρὸν οἱ ἀσεβεῖς ὑπὸ τῶν φαύλων, ἕως δη-

λονότι ἡ χρηςότης τῦ Θεῦ κρύπτεται, καὶ τὰ μεγάλα ταμεῖα τῶν ὕςερον ἑκατέροις ἀποκειμένων. παραδέδονται γὰρ οἱ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, ὀυχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα ὅτοι δοκιμασθῶσι. ταῦτα πειθέτω σε, καὶ λέγων, καὶ πάσχων Ἰώβ, (ἀπόδειξις γὰρ τῶν λεγομένων τὰ πράγματα,) ὃς τῷ ἐξητηκότι παρεδόθη, καὶ τὰ αὐτοῦ οἱ πολέμιοι ἔδοξαν διαρπάσαι, κἂν τὴν αἰτίαν ἐφ' ᾗ ταῦτα ᾠκονομεῖτο, ἠγνόει.

ΚΕΙΜ. Πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει. εἰ δὲ μὴ αὐτός ἐςιν, τίς ἐςί; (Σύμμαχος, καὶ νῦν τίς ἐςίν;)

Ο'ΛΥΜΠ. Ἐπειδὴ ἐμνήσθη διαβόλου, εἰρηκὼς, παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβῶν, ἀκολούθως ἐπάγει λέγων, ὅτι ἡ δὲ ἁμαρτία λανθάνει καὶ τῶν διακριτικῶν τὴν γνῶσιν, ἐν ὑποκρίσει δικαιοσύνης πολλάκις προσερχομένη· διόπερ ὀυδεὶς ἀναμάρτητος. εἰ δὲ μὴ πανουργία ἐχρῆτο, ὁ μέγας ὑπῆρχεν, ἀλλ' ἀκαταγώνιςος, ὁ τῆς ἁμαρτίας αἴτιος διάβολος. ταῦτα δὲ, ὡς Ἅγιος, καὶ Προφήτης, μετ' ἐπικρύψεως ἐν μέσῳ τῆς διαλέξεως τέθεικεν· εἶτα πάλιν τρέπεται εἰς τὸ διηγεῖσθαι τὰ καθ' αὐτὸν, καὶ τὰ ἑξῆς ἐπάγει.

ΠΟΛΥΧ. Ἔπροι δὲ ὅτω νοῦσι τὸν ςίχον. ἐπειδὴ εἶπεν, ὅτι μέγαν, καὶ δυνάςην ἀπολλύει ὀργὴ, νῦν φησὶν, ὅτι τῶν θαῤῥούντων εἰδέναι τὴν δικαιοκρισίαν τῆς ὀργῆς αὐτῦ, συγκαλύπτει τὰ πρόσωπα, τουτέςιν, ἐπισκοτεῖ τὴν ἀκριβῆ γνῶσιν. εἰδὲ μὴ αὐτός ἐςιν ὁ ταῦτα ποιῶν, ὑμεῖς δὲ εἴπατε τίς ἐςίν.

ΚΕΙΜ. Ὁ δὲ βίος μου ἐςὶν ἐλαφρότερος δρομέως· Ἀπέδρασαν, καὶ ὀυκ εἴδοσαν. ἢ καὶ ἔςιν ναυσὶν ἴχνος ὁδοῦ, ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν;

Ο'ΛΥΜΠ. Τουτέςιν, ὀξύτατος, εἴτε καλὸς, εἴτε φαῦλος. ὁ δὲ Σύμμαχος, ἀπῆλθον ὁμοίως ναυσὶ σπευδούσαις, ὡς ἀετὸς ἱπτάμενος ἐπὶ βοράν. θᾶττον, φησὶν, ἀπαλλαττόμενοι τοῦ βίου οἱ ἄνθρωποι, τὰ καθ' ἕκαςον τοῦ βίου ἰδεῖν ὀυδύνανται· καὶ ὥσπερ ὀυκ ἔςι νεὼς, ἢ ἀετοῦ ἴχνη ἀρεῖν, ὅτως ὀυδὲ τῆς ἀθλιότητος τοῦ βίου γνωρίσματα· ὡς οὖν ὀυκ ἔςι νεὼς ἴχνος ἀρεῖν ἐν θαλάττῃ, ὀυδὲ ἀετοῦ ἐν ἀέρι, ὅτως ὀυδὲ τῆς ἀνθρωπίνης ἀτημελείας τεκμήριον καταλιμπάνεται. καὶ τούτου δεῖγμα τὰ κατ' ἐμὲ, ὃς ὀλίγον τι τῶν χρηςῶν ἀπολαύσας, θᾶττον ταῦτα παρέδραμον, ὡς ναῦς ἐπειγομένη ὑπὸ ἀνέμου, ὡς ἀετὸς τοῖς ὠκυπτέροις τὸν ἀέρα τέμνων ὀξέως· τὸ γὰρ, ἐπὶ βορὰν καθίπτασθαι, τουτέςιν, ἐπὶ τροφὴν, τὴν ὀξύτητα σημαίνει. καὶ ἡ τοῦ ἀετοῦ δὲ εἰκὼν, τὴν αὐτὴν εὔνοιαν ἔχει τῇ τῆς νεὼς, μόνον τῇ διαφορᾷ τοῦ παραδείγματος διαλλάττουσα.

ΚΕΙΜ. Ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ ςενάξω, σείομαι πᾶσι τοῖς μέλεσιν· οἶδα γὰρ ὅτι ὀυκ ἀθῷόν με ἐάσεις.

Ο'ΛΥ-

ὈΛΥΜΠ. Τοῦτο διττὴν ἔχει τὴν ἔννοιαν· ἤτοι γὰρ τοῦτο, φησὶν, ὅτι ἐὰν βουληθῶ τοῖς ὑπὲρ ἐμαυτοῦ χρήσασθαι λόγοις, εἰς πολὺ μῆκος ἐκτενῶ τὸν λόγον· μεταξὺ δὲ στενῶ, καὶ σύντρομος γίνομαι, δεδοικὼς, μή ποτε ἐλεγχθείην ἐν ἀγνοίᾳ τι πεπραχώς. ἢ μᾶλλον τοῦτο βούλεται εἰπεῖν, ὅτι ἐὰν ὁρμήσω περὶ τῶν κατ᾽ ἐμὲ λέγειν, καὶ διηγεῖσθαι, τὸ ἀπαλλαγές με τῆς ὀδύνης εἰς λήθην ἄγει· καὶ τὸ τῆς μνήμης μοι διόλωλε, τοσαύτη ὀδύνη ἐστὶν ἐν ἐμοί. κἂν ἀπαλλαγῶ τῶν κατεχόντων, τὰ πάντων ἀνέωξε κατ᾽ ἐμοῦ στόματα ἡ τιμωρία. διὰ τοῦτο συγκαλυψάμενος τὸ πρόσωπον στενάζω, καὶ ὀλοφύρομαι, καὶ κλονοῦμαι τὰ μέλη, εἰδὼς ὅτι πρὸς τὴν σὴν ἀκρίβειαν ἐξεταζόμενος, οὐκ ἀθῶος, φανοῦμαι, οὐδ᾽ ἀναμάρτητος.

ΔΙΔΥΜ. Ἡ μετριότης τοῦ ἁγίου ἐν τούτοις γνωρίζεται, καὶ μεγάλη ἀγνωμοσύνη. εἰ γὰρ καὶ εἶπεν, ὅτι δίκαιος ἀναφανοῦμαι, ἀλλ᾽ οὖν οἶδε, καὶ πέπεισαι, ὅτι ὡς πρὸς Θεὸν δοκιμαστὴν ἄστρα καθαρὰ οὐκ ἔστιν ἐνώπιον αὐτοῦ, οὐ δ᾽ αὐτὸς δηλονότι. διὸ φησὶν, ὅτι ἐξεταστὴς μου γινόμενος ἀκριβὴς, Θεὸς γὰρ εἶ, οὐκ ἀθῶον με ἐάσεις.

ΚΕΙΜ. Ἐπειδὴ δέ εἰμι ἀσεβὴς, διατί οὐκ ἀπέθανον;

ὈΛΥΜΠ. Ὁ δὲ Ἀκύλας, εἰς τί τοῦτο μάτην κοπιῶ; εἰ ὅλως ἐκρίθην εἶναι ἀσεβὴς, βέλτιον ἦν μοι πρὸ τῆς ἀσεβείας τελευτῆσαι. τοιοῦτον καὶ ὁ Σωτὴρ ἔλεγε περὶ τοῦ Ἰούδα, ὅτι καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. καὶ οὗτος δὲ νῦν ὁ φιλόθεος λέγει, ὅτι ἄμεινον ἦν μοι τελευτῆσαι, ἢ ἀσεβείας κρίνεσθαι. αἱροῦμαι, τὸν θάνατον, ἢ τοσούτοις ὀνείδεσιν, ὡς παράνομος, βάλλεσθαι. διατί οὐκ ἀπέθανον; οὐκ οἶδα τὴν οἰκονομίαν, φησίν.

ΚΕΙΜ. Ἐὰν γὰρ ἀπολούσωμαι χιόνι, καὶ ἀποκαθάρωμαι χερσὶ καθαραῖς, ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας, ἐβδελύξατο δέ με ἡ στολή μου.

ΧΡΥΣΟΣΤ. καὶ ὈΛΥΜΠ. Ἔθος ἦν τοῖς παλαιοῖς, λουτροῖς ἀποκαθαίρειν τοὺς μολυσμούς· καὶ τοῦτο δὲ παλαιὸν ἔθος ἦν, ἔνθα ἐβούλοντο δεῖξαι, ὡς οὐκ ἐκοινώνησαν τῇδε τῇ ἁμαρτίᾳ, ἀπενίπτοντο τὰς χεῖρας λέγοντες, ἀθῶος εἰμὶ ἀπὸ τοῦδε τοῦ πράγματος· ὡς καὶ ὁ Πιλάτος ἐπὶ τοῦ Σωτῆρος πεποίηκε· καὶ ὁ Δαβὶδ ἔψαλε, νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου. τοῦτο οὖν λέγει, ὅτι ὅπως ἂν ὦ καθαρὸς, οἱ ἀκριβεῖς οὗτοι ἐλεγμοὶ, καὶ αἱ ἐπαχθεῖσαι τιμωρίαι, ἐκ τῆς προλήψεως, ἐῤῥυπωμένον με καὶ ἀκάθαρτον ἀποδεικνύουσιν· ὡς καὶ τὸν ἁπτόμενον τῶν ἱματίων μου, δοκεῖν μολύνεσθαι, διὰ πλῆθος ἁμαρτιῶν ἑκάστου ταῦτά με πάσχειν ὑπολαμβάνοντος. ταῦτα δὲ φησὶ διὰ τὸ τοὺς αὐτοῦ φίλους, εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν ἁμαρτωλὸν, τὰ συμβάντα αὐτῷ προφέρειν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὑπόδειγμα κεῖμαι πᾶσιν ἀσεβείας, διατί οὖν οὐκ ἀπέθανον; τὸν γὰρ πονηρὸν ἐκ τοῦ μέσου ληφθῆναι ἐχρῆν, ὥστε μὴ εἶναι τοῖς ἄλλοις διδάσκαλον. ἂν τοῦ ἡλίου δὲ καθαρώτερος γένωμαι, ἔχω κηλῖδα, οὐ τὴν τυχοῦσαν. ἀλλὰ καὶ οἱ οὕτως ἐγγύτατοι, ὡς ἡ στολὴ τῷ σώματι, καὶ

αὐτοὶ ἐμίσησαν με, ἐ διὰ τὴν τιμωρίαν, ἀλλ' ὡς ἐναγῆ ἢ μιαρὸν, ὡς ἀκάθαρτον, ὅπως ἀπεστράφησάν με· βδελυκτὸν δέ μοι γέγονε ἢ τὸ σῶμα· τοῦτο γὰρ ἡ στολή. δύναται δὲ ἢ ὅπως νοεῖσθαι, τὸ, ἐβδελύξατό με ἡ στολή μου· ὅτι φεύγει με ἢ ἡ ἐσθής, οἱονεὶ μισήσασά με, αὐτὶ τοῦ, ἐδὲ ἐνδύσασθαι δύναμαι, διὰ τὸ ἄγαν ἡλκῶσθαι.

ΚΕΙΜ. Οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμὲ, ᾧ ἀντικείνεμαι, ἵνα ἔλθωμεν ὁ μοθυμαδὸν εἰς κρίσιν. εἴθε ἦν ὁ μεσίτης ἡμῶν, ἢ ἐλέγχων, ἢ διακούων ἀναμέσον ἀμφοτέρων.

Ο'ΛΤΜΠ. Ἐπειδὴ ἡ πρόληψις ἡ διὰ τῶν βασάνων, ἀσεβῆ τὸν δίκαιον ἀπεδείκνυε· ἢ ἐκ τῶν ἐκ τῶν ὁρωμένων δεῖξαι ψευδῆ τὴν ὑπόνοιαν, πρὸς αὐτὸν βούλεται κριθῆναι τὸν ἀληθῆ ἢ ἀπροσωπολήπτην Θεὸν, σφόδρα πεποιθὼς τῇ αὐτοῦ δικαιοκρισίᾳ, καὶ μονονουχὶ λέγων, ὑμεῖς μὲν, ὦ φίλοι, ἐκ τῶν ἐπαχθεύτων κατ' ἐμοῦ τὰς ψήφους ἐκφέρεται· εἰ δὲ θελήσοι ὁ ἀψευδὴς Θεὸς δικάσασθαι μετ' ἐμοῦ ἀπροσωπολήπτης ὢν, καὶ αὐτοαλήθεια τυγχάνων, αὐτὸς προσμαρτυρήσει, ὅτι ἐδὲ ἁμαρτήματα τὰς βασάνους ἐπήγαγεν· ὅτι δὲ τοιαύτη ἐστὶν ἡ τοῦ δικαίου διάνοια, ἢ ἐκ πολλῆς ἀγάπης, ἢ παῤῥησίας τῆς πρὸς τὸν Θεὸν, ἢ πεποιθήσεως τῆς περὶ τὴν αὐτοῦ ἀλήθειαν, φεύγει μὲν τὴν πρὸς ἀνθρώπους κρίσιν, πρὸς Θεὸν δὲ ἡδέως κρίνεται, τὸν ἀψευδῶς καὶ ἀπλανῶς ἕκαστα λέγοντα. ἄκουσον αὐτοῦ λέγοντος ἐν τοῖς ἐφεξῆς, ὅτε πρὸς τὸν Σωφὰρ διαλέγεται, ὃς ἐάσας τὴν πρὸς τοὺς φίλους διάλεξιν, οἷα ἐσφαλμένην, ἢ ἐ μετὰ τῆς δικαίας προϊοῦσαν κρίσεως, ἐπάγει, ἐ μὴν δὲ, ἀλλ' ἐγὼ πρὸς κύριον λαλήσω, τὸν ἀψευδῆ δηλονότι, ἢ ἀπροσωπολήπτην, ἐλέγξω δὲ ἐναντίον αὐτοῦ, ἐὰν βούληται. ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι, ἢ ἰαταὶ κακῶν πάντες. ὁρᾷς ὡς μὲν τὰς τῶν ἀνθρώπων κρίσεις, ὡς ἀδίκους ἐκκλίνει, εἰς δὲ τὸν τῶν ψυχῶν ἰατρὸν, ἢ δίκαιον κριτὴν καταφεύγει Θεὸν, εἶτα καὶ ἐφεξῆς σφόδρα πεποιθὼς τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ, θαῤῥεῖ, ἢ λέγει, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. ἢ πάλιν, ἰδοὺ, ἐν Οὐρανοῖς ὁ μάρτυς μου, ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις. θεωρεῖς πανταχοῦ, ὡς φεύγων τὰς παρὰ ἀνθρώποις ἐσφαλμένας κρίσεις, αὐτὸν αἰτεῖ τὸν Θεὸν, ἢ ἀντίδικον αὐτῷ γενέσθαι, καὶ Μάρτυρα. ταῦτα πόσης ἀγάπης, πόσης παῤῥησίας, πόσης πεποιθήσεως; διὸ καὶ ὁ Θεὸς ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ἐ παρεσιώπησεν, εἰδὼς ἐκ ποίας διαθέσεως ὁ δίκαιος ἐλάλει, ἀλλὰ δέδωκεν αὐτῷ κατὰ τῶν φίλων τὰ νικητήρια, καὶ ἀπεφήνατο, μὴ δι' ἁμαρτίας αὐτὸν πάσχειν, ἀλλ' ἵνα ἀναφανῇ δίκαιος. ταύτην οὖν ἐγνωκότες τοῦ δικαίου τὴν πρὸς Θεὸν ἀγάπην, ὅπω τῶν ἐφεξῆς ἀναγεγραμμένων ἀκούσωμεν. ἐὰν δὲ λέγῃ ὁ ψαλμῳδὸς, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι ἐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, μὴ τοῦτο ὑμᾶς θορυβείτω. καὶ γὰρ καὶ ὁ μέγας οἶδεν Ἰώβ, ὅτι ὡς πρὸς τὴν θείαν δικαιοσύνην, ἢ ἀκρίβειαν, ἐδεὶς δίκαιος. νῦν δὲ ὁ σκοπὸς αὐτῷ, ἐ δικάσασθαι πρὸς τὴν θείαν ἀκρίβειαν, ἐδὲ δεῖξαι τὸν δίκαιον Θεὸν ἀδίκως αὐτὸν κολάζοντα· ἀλλ' ἀπελέγξαι ψευδομένους τοὺς φίλους, τοὺς

οἰηθεύτας δι' ἁμαρτίας αὐτὸν τιμωρεῖσθαι. ὥστε καὶ ὁ ἀγαθὸς Θεὸς τῇ τοῦ Ἰώβ συνέδραμε γνώμῃ, καὶ σαφῶς εἶπεν, ὡς οὐ δι' ἀσέβειαν πέπονθεν, ἀλλὰ πεῖρα τις ἦν ἡ βάσανος, δοκιμάζουσα τὸν γενναῖον, ἵνα ἀναφανῇ δίκαιος· ἀλλ' ἀκούσωμεν τοῦ ἀοιδίμου λέγοντος· οὐ γὰρ εἰ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀντικεῖνοῦμαι, ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν.

ΠΟΛ. Τοῦτο μοί, φησι, συμβαίνει, οὐχ ὡς τὴν συνείδησιν ἐπὶ τῇ παρανομίᾳ πληττομένῳ, ἀλλ' ἐπειδὴ μὴ πρὸς ὁμοφυῆ καὶ ἰσότιμον τοὺς λόγους ποιοῦμαι. ὡς εἴθε ἦν, ὡς ἐπὶ ἀνθρώπων, πρὸς σὲ τὸν ἀδέκαστον κριθῆναι κριτήν. εἶτα παῤῥησιαστικώτερον μεσίτου τυχεῖν εὔχεται, λέγων, εἴθε ἦν ὁ μεσίτης ἡμῶν, καὶ ἐλέγχων, καὶ διακούων ἀναμέσον ἀμφοτέρων· ὁ λόγος οὗτος ἀκολούθως ἐξομαλιζόμενος· ἐγὼ μέν, φησίν, ἐπίσταμαι τὰ κατ' ἐμαυτόν. ἐπειδὴ δὲ οἱ φίλοι, οὐ λογισμῷ ὀρθῷ κινούμενοι, ἐκ δὲ τῶν περιεστηκότων θλιβερῶν οἴονταί με δι' ἁμαρτίας πεπονθέναι, ἄρχομαι τῇ σῇ δοκιμασίᾳ. ὡς εἴθε ἦν ἐλέσθαι μεσίτην, τὸν ἐν τῷ πράγματι ἀποφαινόμενον. ὥστε ἴσον ἑκατέρων γενέσθαι κρίσιν, καὶ μετὰ παῤῥησίας ἐλέγχειν τὸν ἀδικοῦντα. ταῦτα δέ, ὡς ἔφημεν, θαῤῥῶν τῇ τοῦ Θεοῦ ἀληθείᾳ, φησί, καὶ βουλόμενος τοὺς φίλους διελέγξαι μὴ ἀληθεύοντας. τοῦ γὰρ Ἰὼβ λέγοντος, οὐκ οἶδα τοιαῦτα ἡμαρτηκώς, ὡς τοιαῦτα κολάζεσθαι. καὶ τοῦ Θεοῦ φάσκοντος, ὡς οὐ δι' ἁμαρτίαν κολάζει, τί ἕτερον εἶχεν ὁ μεσίτης ποιεῖν, ἢ συντρέχειν τοῖς ἑκατέρων λόγοις, καὶ καταδικάζειν τοὺς φίλους, ὡς ψευσαμένους; ὃ δὴ καὶ ὕστερον ὁ Θεὸς ἔπραξεν. εἶτα ὥσπερ τινος λέγοντος, καὶ διατί μὴ τὰ σαυτοῦ παρετίθης δίκαια; διδάσκει λέγων, ὅτι εἰ ἐπιτρέπει μοι ὁ Θεὸς παῤῥησιάσασθαι, καὶ ἀφελεῖται τὰς βασάνους, ἐπιτρίψει μοι τὸ μὴ φοβεῖσθαι, ἵνα ὡς ἐξ αὐτοῦ τὴν παῤῥησίαν λαβών, λαλήσω, καὶ ἀπὸ καρδίας εἴπω, καὶ τὰς ἐμὰς δικαιολογίας παραθῶμαι. διὸ ἐπάγει.

ΚΕΙΜ. Α'παλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον, ὁ δὲ φόβος αὐτοῦ μήμε στροβείτω, καὶ οὐ μὴ φοβηθῶ, ἀλλὰ λαλήσω.

ΠΟΛΥ. Τινὲς περὶ τοῦ μεσίτου ταῦτα νοοῦσιν, ὡς εἰ ὁ μεσίτης ἀπήλλαξέ με τῶν νῦν ἐπικειμένων πληγῶν, καὶ περὶ τῶν μετὰ ταῦτα ἐνηγγυήσατό μοι, ὡς οὐδὲν πείσομαι, παῤῥησιασάμενος, ἐλάλησα ἄν, καὶ περὶ τῶν κατ' ἐμὲ δίχα παντὸς διηλέχθην φόβου, καὶ καθαρῷ τῷ συνειδότι τῆς κατ' ἐμαυτοῦ τιμωρίας τὴν αἰτίαν ἀπήτησα. οὐ γὰρ συνεπίσταμαι ἐμαυτῷ ἄδικα. οἱ δέ, πρὸς τὸν Θεὸν εἰρῆσθαι ταῦτα, φασίν.

Ο'ΛΥΜΠ. Α'ποστησάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον αὐτοῦ, τουτέστι, τὸ ἐπαστικόν, καὶ τὰς βασάνους, καὶ ὁ φόβος αὐτοῦ μή με θλιβέτω. τοῦτο γὰρ τό, στροβείτω, ἀγχέτω, περιστρεφέτω, καταπληττέτω. δεῖγμα δὲ ποιεῖται τῆς ἐπιτροπῆς τὴν τῶν βασάνων ἀπαλλαγήν.

ΚΕΙΜ. Οὐ γὰρ οὕτω συνεπίσταμαι, κάμνων τῇ ψυχῇ μου.

Ο'ΛΥΜΠ. καὶ ΕΥ'ΑΓΡ. Οὕτω πῶς, ἢ ὡς οἱ φίλοι ὀνειδίζουσιν, ὡς δι'

ἁμα-

ἁμαρτίας τιμωρουμένῳ, ἢ τοῦτο λέγει ὅτι οὐ συγκάμνει τῷ σώματί μου ἡ ψυχή μου· τὸ μὲν γὰρ ὑπὸ τῆς πληγῆς καταβέβληται, ἡ δὲ ψυχὴ μένει ἀταπείνωτος.

ΚΕΙΜ. Στένων ἐπαφήσω ἐπ' ἐμαυτὸν τὰ ῥήματά μου.

ΠΟΛΥΧΡ. Ἐφ' ἡσυχίας, φησί, στενάζω, πρὸς οὐδένα δυνάμενος ταῖς ἐμαυτοῦ χρήσασθαι δικαιολογίαις. ὅρα δὲ πῶς ἡμᾶς ἀσφαλίζεται μηδὲν ἄτοπον ἐννοεῖν περὶ Θεοῦ. καὶ ταῦτα γάρ φησι, στένων, καὶ τοῖς κακοῖς συνεχόμενος, οὐ κατὰ Θεοῦ βλασφημίαν ἐποίσω τινά, ἀλλὰ κατ' ἐμαυτοῦ τὰ τῆς ὀλιγορίας τρέψω ῥήματα. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἐξ ἀρχῆς ἔλεγεν, ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, δεικνύς, ὅτι οὐδὲν κατὰ Θεοῦ ἐφθέγξατο, ἀλλὰ καθ' ἑαυτοῦ τὰ τῆς ὀλιγωρίας ἔτρεψε ῥήματα· καὶ μονονουχὶ λέγει, ὡς κατὰ Θεοῦ μὲν οὐδὲν οὐδόλως φθέγξομαι, μὴ γένοιτο. εἰ δέ τι ὅλως καὶ λαλῶ ὑπὸ τῆς ἄγαν κακώσεως, καὶ οὐκ ἐμοῦ πολλάκις, ἀλλὰ τῆς νόσου τὰ ῥήματα· δείκνυσιν οὖν, ὡς οὐκ ἂν οὐδὲ τὰ καθ' ἑαυτὸν ἐλάλει ῥήματα, ἀλλ' ἐφιλοσόφει, καὶ ἠγάπα τὴν σιωπήν, εἰ μὴ τὸ μέγεθος αὐτῶν τῶν ὀδυνῶν, εἶτα καὶ ὁ τῶν φίλων παροξυσμός, λαλεῖν ἠνάγκαζε. λαλεῖ δὲ οὐδὲν ἀπηχὲς κατὰ Θεοῦ, ὡς ἡμεῖς τε δι' ὅλων αὐτοῦ τῶν λόγων ἐπεδείξαμεν, καὶ ὁ Θεὸς προσεμαρτύρησε, δίκαιον αὐτὸν ἀποφηνάμενος. ἀπολογεῖται μέντοι ὑπὲρ τοῦ ἀνδρός, ὑπὲρ ὧν ὅλως ὀλίγωρόν τι ἐφθέγξατο, αὐτὸ τοῦτο τό, ἄνθρωπον εἶναι, καὶ μὴ ἀναλγήτως τὰς βασάνους φέρειν, καὶ αἱ τῶν συμφορῶν ὑπερβολαί, καὶ ἡ τῆς ἀρετῆς ἀκρίβεια, καὶ τὸ ἁπλοῦν τοῦ τρόπου καὶ ἄδολον, ὡς υἱοῦ πρὸς πατέρα μετὰ παῤῥησίας φθεγγομένου, καὶ τὸ διὰ πάντων αὐτοῦ τῶν λόγων μηδὲν μὲν δυσχερὲς φθέγξασθαι περὶ Θεοῦ, δεικνύναι δὲ μόνον, ὡς οὐκ ἀπεικότως ποθεῖ τὸν θάνατον, καὶ ὅτι οὐκ ἀληθὴς ἡ περὶ αὐτοῦ τῶν φίλων ὑπόνοια. καὶ τὸ δὴ πάντων κεφάλαιον, αὐτὴ τοῦ Θεοῦ ἡ ἀδέκαστος ψῆφος, δίκαιον αὐτὸν ἀποφηναμένη· εἰ γὰρ Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; ὁ ἱερός που φησὶν Ἀπόστολος.

ΚΕΙΜ. Λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος, καὶ ἐρῶ πρὸς Κύριον, μή με ἀσεβεῖν δίδασκε· καὶ διατί με οὕτως ἔκρινας; ἢ καλόν σοι ἐὰν ἀδικήσω;

ὈΛΥΜ. Μὴ περιόρα με καταπονούμενον, ἵνα μὴ γένωμαι ἄδικος, τῇ περισσοτέρᾳ λύπῃ καταποθείς· ὡσανεὶ ἔλεγε, μή με συγχωρήσῃς πειρασθῆναι, Κύριε, ὑπὲρ ὃ δύναμαι, ἀλλὰ παῦσον τὰ κατ' ἐμοῦ κακά, καὶ μὴ ἐπὶ πολὺ παρατείνῃς τὰς βασάνους, ἵνα μή, ὡς εἰκός, ἐκπλαγεὶς ἀνακόλουθόν τι φθέγξωμαι, ἢ κατολιγωρήσας ὑπὸ τῆς ἀνάγκης ἀσεβείας ἀφήσω λόγον· τὸ γάρ, μή με ἀσεβεῖν δίδασκε, ἀντὶ τοῦ, ἀπόστησον λόγον ἀσεβείας ἀπ' ἐμοῦ· οὐδένα γὰρ ὁ Κύριος ἀσεβεῖν διδάσκει. τὸ δέ, διατί με οὕτως ἔκρινας; ἀντὶ τοῦ, γνώρισόν μοι, ποίων με παρανομημάτων εἰσεπράξω δίκην. τὸ δέ, διατί; οὐκ αἰτιολογικῶς, ἀλλ' ἱκετευτικῶς λέγει. ἢ καλόν σοι ἐὰν ἀδικήσω; ὡσανεὶ ἔλεγεν, οὐ καλόν σοι δέσποτα, οὐδὲ ἀρεστόν, τό, εἰς ἀδικίαν τραπῆναί με· οἰκτείρησον τοίνυν·

πολλοὶ γὰρ τὰς συμφορὰς ὀ φέροντες εἰς ἀδικίαν, εἴτ᾽ οὖν βλασφημίαν ἐτράπησαν. ὡς ἐξ οἰκείου μέντοι, προσώπου, ὑπὲρ ἡμῶν πάντων ὁ Ἅγιος τὸν Θεὸν ἱκετεύει, πεφεισμένως συγχωρεῖν καθ᾽ ἡμῶν τοὺς πειρασμοὺς, ἵνα μὴ περισσοτέρᾳ λύπῃ καταποθῶμεν.

ΚΕΙΜ. Ὅτι ἀπεῖπω ἔργα χειρῶν σου, βουλῇ δὲ ἀσεβῶν προσέχες.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς ὅτι οὐ διὰ τοῦτο βούλεται δικάσασθαι, ὡς καλῶς πράττων, ἀλλὰ τί ὠφελεῖ με, φησὶν, αὕτη ἡ θλίψις; δέδοικα γὰρ μὴ καὶ βλάψῃ· εἰκὸς γάρ τινας λογίσασθαι, ἢ ὅτι οὐ προνοεῖς τῶν ἀνθρώπων, οὓς ἔπλασας, ἢ ὅτι οἱ φαῦλοι μάλιστα παρὰ σοὶ εὐδοκιμοῦσιν, καὶ ἀρέσκουσί σοι μάλιστα τὰ τούτων βουλεύματα.

ΟΛΥΜΠ. Πάλιν μέντοι ὡς ποιητὴν ἱκετεύει, μὴ παριδεῖν ἑαυτοῦ τὸ ποίημα· καὶ ἠρέμα μὲν πληροφορεῖται, ὅτι τῷ διαβόλῳ παραδέδοται· τούτου γὰρ ἴσως, καὶ τοὺς σὺν αὐτῷ δαίμονας, ἀσεβεῖς φησί· τὴν δὲ πρόνοιαν, δι᾽ ἣν ὁ πονηρὸς αὐτοῦ κρατεῖ, οὔπω μαθεῖν δεδύνηται. διό μοι δοκεῖ καὶ ποικίλους περιστρέφειν λόγους, τοῦτο μὲν ἐξαιτῶν, ἀπαλλαγῆναι τῶν δεινῶν, τοῦτο δὲ καὶ μαθεῖν ἐπιζητῶν, δι᾽ ἣν αἰτίαν κολάζεται.

ΚΕΙΜ. Ἢ ὥσπερ βροτὸς ὁρᾷ, καθορᾷς; ἢ καθὼς ὁρᾷ ἄνθρωπος, βλέψῃ; ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν; ἢ τὰ ἔτη σου ἀνδρός; ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας· οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα· ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;

ΟΛΥΜΠ. Μὴ ἀνθρωπίνως, φησὶ, τὰ πράγματα κρίνεις; μὴ δύναταί τι διαλαθεῖν τὴν σὴν ἀκρίβειαν, ὥσπερ τοὺς ἀνθρώπους; μὴ τὰ ἔτη σου ὀλίγα τυγχάνει, καὶ ἀγνοεῖς τὰ πρὸ τῆς σαυτοῦ ἀρχῆς γεγονότα; καὶ χρειά σοί ἐστι ζητεῖν ἢ ἐξετάζειν τὰ πεπραγμένα, ὥστε γνῶναι ὅτι μηδὲν ἠσέβησα;

ΙΟΥΛΙΑΝ. καὶ ΠΟΛΥΧΡ. Ἆρα οὐκ οἶδας τὰ προόντα, καὶ τὰ ἐσόμενα; μὴ πρόσφατον τὴν ἀρχὴν ἔχεις, ἵνα ἐξ ἀνακρίσεως τὰ κατ᾽ ἐμὲ ἐπιγνῷς, δι᾽ ὧν ταῖς αἰκίαις με παραδέδωκας; ἀλλ᾽ οὐδέν σε λέληθεν, ὥσπερ τοὺς ἀνθρώπους λανθάνει, ἐπεὶ μηδὲ κατ᾽ αὐτοὺς ὀλιγοχρόνιος εἶ. πῶς τοίνυν ἀναζητεῖς τὴν ἀνομίαν μου; καὶ τὴν ἁμαρτίαν μου ἐξιχνιάζεις; ἐν οἷς ὅτι οὐκ ἔστιν ἀσέβεια ἡ παρὰ σὲ οἶδας. ταῦτα δὲ λέγει, μάρτυρα τὸν Θεὸν τῆς ἑαυτοῦ δικαιοσύνης παρεχόμενος, ὁμοῦ καὶ ἐξαιτῶν ἀγαθότητος ἀπολαῦσαι Θεοῦ. οὐ γὰρ τὴν ἐν ἀνθρώποις φησὶν, αὐτὸς κακίαν μιμῇ, μνησικακῶν τοῖς ἁμαρτάνουσι, καὶ ἀκριβεῖς τῶν πλημμελημάτων ἀπαιτῶν τὰς εὐθύνας· οἱ μὲν γὰρ ἄνθρωποι τὰ ἴσα ζητοῦσι· σὺ δὲ, Θεὸς, τῇ ἀγαθότητι, ἀπὸ πολλῶν ὀλίγα ἐξετάζεις, εἰς καὶ τὰ μυχαίτατα τῶν λογισμῶν σαφῶς διαγινώσκων, σύνοιδάς μοι οὐδὲν ἐπταικότι.

ΧΡΥΣΟΣΤ. καὶ ΟΛΥΜΠ. Καὶ ἐγὼ οἶδα ὅτι οὐκ ἠσέβησα, ἀλλὰ συμβαίνει ἠσεβηκέναι με, καὶ ἀγνοεῖν·

ὅταν οὖν σὺ κολάσῃς, οὐδεὶς δικαιωθῆναι δύναται· ἀλλ' εἰ καὶ μὴ ἠσέβησα πότε εἰς ἐμὴν γνώμην, οἶδα ὅτι τὴν σὴν βουλὴν οὐκ ἔστιν ἀποφυγεῖν, ἀντὶ τοῦ, κἂν μὴ ἐμαυτῷ συνοίδα, ἀλλ' ἡ σὴ κρατείτω βουλή, ἡ κρεῖττον ἡμῶν τὰ καθ' ἡμᾶς ἐπισταμένη.

ΙΟΥΛΙΑΝ. Ἐπιστῆσαι δὲ δεῖ τῷ ῥητῷ, ὅτι ἄλλο λέγει τὴν ἁμαρτίαν, ἕτερον δὲ τὴν ἀσέβειαν· καὶ τὴν μὲν κοινῶς περί τε τὸν Θεὸν καὶ ἄνθρωπον γίνεσθαι, τὴν δὲ ἰδικῶς περὶ Θεόν, περὶ ὃν καὶ τὸ σέβειν, ἀνθρώπων γὰρ σεπτὸς οὐδείς, τὸ δὲ συναγόμενον ἐν τοῖς στίχοις τοιοῦτον ἐστι· τὸ δύνασθαί σοι πρόσεστι, καὶ τῶν ὄντων γνῶσιν ἔχεις, καὶ τὸ δίκαιόν σοι ὑπάρχει· τίς οὖν ἀντιστῆναί σοι δύναται; ταῦτα δὲ πάντα ὁ Μακάριος Ἰὼβ φθέγγεται, ἡμᾶς διδάσκων ἐν τοῖς πειρασμοῖς μηδὲν ἕτερον ποιεῖν, ἢ ἐπὶ Θεὸν καταφεύγειν, καὶ ἱκετεύειν ὡς ἀγαθόν, φείσασθαι τοῦ ἑαυτοῦ ποιήματος· διὸ εἰπών, ἀλλὰ τίς ἐστιν ὁ ἐκ χειρῶν σου ἐξαιρούμενος; ἐπήγαγεν·

ΚΕΙΜ. Αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με.

ΧΡΥΣΟΣΤ. καὶ ΟΛΥΜΠ. Ἔργον εἰμί, φησί, τῶν χειρῶν σου, κἂν ἁμαρτωλός. ὁρᾷς ὡς καὶ ποιητὴν γινώσκει τὸν Θεόν, καὶ παρακαλεῖ φειδὼ ποιήσασθαι τοῦ ἰδίου δημιουργήματος.

ΔΙΔΥΜΟΥ, Διαφέρει δὲ τό, ἔπλασας, τοῦ, ἐποίησας. πέπλασται μὲν γὰρ τὸ σῶμα ἐξ ὑποκειμένης τῆς γῆς, ἤτοι τῆς γυναικός· πεποίηται δὲ ἡ ψυχὴ μὴ προϋποκειμένου τινός· ὡς γὰρ ἀσώματος, οὕτω καὶ ἀμέριστος.

ΚΕΙΜ. Μετὰ ταῦτα μεταβαλὼν, μὲ ἔπαισας. (Ἀκύλας δὲ καὶ Θεοδοτίων, ἅμα κύκλῳ κατεπόντισάς με)

ΟΛΥΜΠ. Μετὰ τὸ ποιῆσαί με, φησί, καὶ ἐν εὐθηνίᾳ καταστῆσαι, εἰς θλίψεις καὶ μάστιγας μετέβαλες τὰ κατ' ἐμέ. τὸ δὲ ὅλον τοιοῦτον. οὐδεὶς ἕτερος ἀπαλλάξαι με τῶν κακῶν δύναται, πλὴν σοῦ τοῦ πλήξαντος.

ΧΡΥΣΟΣΤ. Ἀκολούθως δὲ καὶ τῆς δημιουργίας, καὶ τῆς προνοίας αὐτὸν ἐπιστάμενος ἀρχηγὸν καὶ Κύριον, εἰς εὐχὴν τρέπει τὸν λόγον, ἱκετεύων μνησθῆναι τοῦ τῆς φύσεως εὐτελοῦς, καὶ ὀλιγοχρονίου, καὶ ὅτι ἐξ ἀρχῆς τῇ ἀγαθότητι τὸν ἄνθρωπον πεποίηκε, καὶ ὀργισθεὶς θανάτῳ ἐζημίωσε, καὶ φησί.

ΚΕΙΜ. Μνήσθητι ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις.

ΟΛΥΜΠ. εἰ καὶ ἐπήγαγες, φησίν, ὡς ἐξουσιάζων, τὰ ὀδυνηρά, ἀλλὰ μνήσθητι, ὅτι ἀσθενής εἰμι, καὶ ἐκ πηλοῦ τὴν σύστασιν ἔχω, κατὰ τὸ σῶμα δηλαδή.

ΙΟΥΛΙΑΝΟΥ. Ἐκ δὲ τούτων καὶ τὸ μεγαλοφυὲς τοῦ Θεοῦ ἀποδείκνυσιν. εἰς τοσοῦτον γάρ, φησίν, ἀγαθὸς εἶ, καὶ σοφός, ὡς καὶ ἐκ τῆς ὕλης ταύτης τῆς ἐπικήρου ζῶον ποιῆσαι, καὶ τούτῳ νοῦν καὶ λόγον χαρίσασθαι.

ΚΕΙΜ.

ΚΕΙΜ. Ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἐτύρωσάς δέ με ἴσα τυρῷ; δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας. ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοὶ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα.

ΧΡΥΣΟΣΤ. Τὸ σπέρμα ἐξ οὗ συνίσταται τὸ ζῶον, γάλα ἀμελχθὲν λέγει. καὶ ὥσπερ τὸ γάλα ἀμελχθὲν τυρὸς γίνεται, οὕτω καὶ τὸ σπέρμα ἀποστάξαν, καὶ συστραφὲν φύσις γίνεται. κατάστασις δὲ αὕτη ἐστὶ πρώτη τοῦ ἐμβρύου· τὸ γὰρ καταβληθὲν εἰς τὰς αὔλακας τῆς ὑστέρας σπέρμα, ὅταν συστραφῇ, οἷα τυρὸς, καὶ παγῇ, γίνεται φύσις, ὅπερ λοιπὸν διαπλάττεται, ἢ ὡς ἡ γραφὴ φησὶν, ἐξεικονίζεται, καὶ δέχεται ὥσπερ χαρακτῆρα, καὶ συμπήγνυται μὲν ἡ ὑγρὰ φύσις, εἰς δὲ δέρμα, καὶ κρέας, ὀστέα τε καὶ νεῦρα μερίζεται τὸ καταβληθέν. ταῦτα μὲν τοιαῦτα καθ' ἑαυτά, παρούσης μὲν ψυχῆς, ζωτικὸν ἔχει κίνημα, ἀναχωρησάσης δὲ, ἀργὰ καταλείπεται. οὐ μόνον δὲ, φησὶ, ζωὴν ἔθου παρ' ἐμοὶ, ὅπερ τὸ τῆς δημιουργίας οἰκεῖον σημαίνει, ἀλλὰ καὶ ἔλαιον ἐποίησας μετ' ἐμοῦ, δι' οὗ ἡ προνοητικὴ χάρις δηλοῦται, καὶ παρὰ πάντα τὸν βίον προνοίας ἀπήλαυσα τῆς σῆς. τοῦτο γὰρ, τὸ, ἡ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα, τουτέστι καὶ μετὰ τὸ γενέσθαι, τῇ σῇ προνοίᾳ τὸ ζῆν κέκτημαι. καὶ ἁπλῶς, ὅλην τὴν ὁδὸν. καὶ ἁρμονίαν τῆς συστάσεως τοῦ σώματος ἀπαγγέλλει, διά τε τῶν πρὸ τούτων καὶ αὐτῶν προκειμένων.

ΟΛΥΜΠ. Ὡς γάλα γάρ με, φησὶν, ἤμελξας, ἤτοι ἀπὸ χοὸς διὰ τὸ λεπτότατον, ἢ διὰ τὸν σπερματικὸν λόγον μᾶλλον. ἐτύρωσας δὲ, τουτέστιν, ἔπηξας ὡς τυρὸν, ἢ διὰ τὴν ἐξ ἀρχῆς τῆς πλάσεως σύμπηξιν, ἢ καὶ διὰ τὴν ἐν τῇ μήτρᾳ σύστασιν. τὸ δὲ, ἐνεῖρας νεύροις, ἀντὶ τοῦ, συνέρραψας, τὸ δὲ, ζωὴν ἔθου παρ' ἐμοὶ καὶ ἔλεος, καὶ ἡ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα, ἀντὶ τοῦ, διὰ μόνην φιλανθρωπίαν καὶ ἔλεον, ἐξ οὐκ ὄντων ἡμᾶς εἰς τὸ εἶναι καὶ ζῆν παρήγαγες. ἡ δὲ σὴ περὶ ἡμᾶς πρόνοια τὴν ἡμετέραν διατηρεῖ σύστασιν.

ΠΟΛΥΧΡ. Τάχα δὲ καὶ ἐκπλήττεται, πῶς ἐν μήτρᾳ τὸ βρέφος ἐν τοσαύτῃ ὑγρότητι συνεχόμενον οὐ διαφθείρεται· τοῦτο οὖν, φησὶν, οὐκ ἂν ἐγένετο, μὴ σοῦ φιλανθρωπίᾳ διακρατοῦντος τὴν φύσιν. εἰ γὰρ μὴ ἠλέησας, οὐκ ἂν ἐν τῇ ὑγρότητι τῆς μήτρας ἔζη τὸ βρέφος. δι' ὅλων δὲ ὃ κατασκευάζει, ἐκεῖνό ἐστιν· ἐποίησας ἡμᾶς ἀγαθότητι, εἶτα θανάτῳ κατεδίκασας, ἀλλ' ὅμως οὐκ ἀφεῖλες τοῦ εἶναι τοὺς ἀνθρώπους, ἀλλ' ἀθανάτους τῇ διαδοχῇ κατέστησας, πλείστην περὶ ἕκαστον ἐνδειξάμενος πρόνοιαν. καθ' ἣν ἐξ ἀτελοῦς ὑποθέσεως τῆς τῶν ἀνθρώπων γονῆς τὸ εἶναι τούτοις δεδώρησαι, οὐκ ἐῶν διαφθείρεσθαι ἐν τῇ μητρῴᾳ νηδύϊ, ἀλλ' ἐκ τοῦ αὐτοῦ σπέρματος, καὶ ὀστέα ἔπηξας, καὶ μυελὸν ἔπηξας, καὶ νεῦρα διέτεινας, καὶ φλέβας ἐφύσησας, καὶ αἷμα ταύταις ἐνέχεας, καὶ σάρκα ἐμάλαξας, καὶ δέρμα περιέτεινας, καὶ οἷον ἔνδυμα περιέβαλες. ὁ τοσαύτην οὖν φιλανθρωπίαν περὶ ἐμὲ ἐπιδειξάμενος, τοσαύτην πρόνοιαν, τοσαύτην σοφίαν, περιορᾷς;

ΚΕΙΜ. Ταῦτα ἔχων ἐν σεαυτῷ, οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐθέν.

ὈΛΥΜΠ. Ταῦτα, φησὶ, τὰ δόγματα παρ' ἐμαυτῷ πάγια κεκτημένος, ὅτι καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν δυνατὸς εἶ, καὶ τὴν ῥαστὴν, καὶ γαλακτώδη οὐσίαν, ὡς σοφὸς καὶ δυνατὸς, εἰς ἀνθρώπου σύστασιν ἐργάζῃ, καὶ ὅτι ἐλεήμων εἶ, καὶ ζωῆς χορηγὸς, καὶ ὅτι πολλὴν τῶν καθ' ἡμᾶς ποιεῖς πρόνοιαν· καὶ ἁπλῶς τὸ δημιουργικὸν, τὸ προνοητικὸν, τὸ κριτικὸν λογιζόμενος, ἃ δηλοῦται διὰ τοῦ, ζωὴ καὶ ἔλεος, καὶ Ἐπισκοπή, οἶδα ὅτι δυνατὸς εἶ, καὶ τῶν παρόντων ἀλγεινῶν τὸ σὸν ἀπαλλάξαι ποίημα. ὁρᾷς πῶς σεβασμίως μέμνηται τοῦ δημιουργοῦ, καὶ χάριν ὁμολογεῖ τῆς ποιήσεως, καὶ τῆς περὶ ἡμᾶς προνοίας. ἅπερ ἐστὶν εὐσεβοῦς ὄντως, καὶ λίαν εὐχαρίστου, καὶ τῇ τοῦ Μακαρίου Ἰὼβ πρέποντα θεοσεβείᾳ.

ΚΕΙΜ. Ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με· ἀπὸ δὲ ἀνοίας μου οὐκ ἀθῷον μὲ πεποίηκας.

ὈΛΥΜΠ. Πρέπει, φησὶ, τῇ σῇ φιλανθρωπίᾳ νεῖμαί τι καὶ συγγνώμης τῷ σῷ ποιήματι, καὶ μὴ σφόδρα ἀκριβῶς, ὡς πάντα ἐπιστάμενον, πάσας τὰς πράξεις μου καὶ τὰ παραπτώματα ἐπιτηρεῖν. ἐνταῦθα δὲ πάλιν ὁ Ἅγιος τὸ οἰκεῖον πρόσωπον ὑποστησάμενος, ὑπὲρ ἡμῶν ἱκετεύει Θεόν. τὸ κοινὸν γὰρ τῆς ἀνθρωπότητος πρόσωπον ὑπελθὼν, φησὶν, ὅτι οὐδέν σε λανθάνει, δέσποτα, ἀλλὰ γὰρ καὶ ἐπιτηρεῖς ἡμῶν τὰ ἔργα. (τοῦτο γάρ ἐστι, τὸ, φυλάσσεις.) καὶ εἰ πολλάκις τοὺς ἁμαρτάνοντας μὴ παραχρῆμα κολάζεις, πλὴν οὐ διὰ τοῦτο καὶ ἀνευθύνους ἐᾷς. ἀλλ' οὐκ ἐπ' ἐμοῦ, φησὶ, τῇ ἴσῃ ἐχρήσω ἀγαθότητι, ἀκριβής τε ἐξεταστὴς τῶν ἐμῶν πλημμελημάτων γενόμενος, καὶ δίκας ὑπὲρ ἁπάντων ἀπαιτήσας.

ΔΙΔΥΜ. Εἰκότως δὲ τοῦτο λέγει, ἐπειδὴ γὰρ δημιουργὸν καὶ προνοητὴν ἑαυτοῦ οἶδε τὸν τῶν ὅλων Θεόν, ἀκολούθως καὶ περὶ μακροθυμίας αὐτοῦ διδάσκει· ἐπίσταται γὰρ καὶ αὐτὸς, κατὰ τὸν Μακάριον Δαβὶδ, ὅτι οὐκ ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν, φυλάττει δὲ τὸν ἁμαρτάνοντα, οὐ βουλόμενος αὐτὸν ἁμαρτάνειν. κατὰ τὸ, οὐ βούλεται δὲ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν. τὸ δὲ, οὐκ ἀθῷόν με πεποίηκας, οἱ ἄλλοι, οὐκ ἀθωώσεις με, οὐ καθαριεῖς με, εἶπον.

ΚΕΙΜ. Ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι.

ὈΛΥΜΠ. Ὁ δὲ Ἀκύλας, καὶ δικαιωθεὶς, οὐκ ἀρῶ κεφαλήν· ὁ δὲ νοῦς οὗτος· εἴτε ἀσεβὴς εἴην, φησὶ, τοῦτό μοι πάντων τὸ χεῖρον· ἐὰν δὲ καὶ τολμήσω εἰπεῖν, ὅτι δίκαιός εἰμι, οὐδέν μοι ἐντεῦθεν ὄφελος· πῶς μέντοι ἀμφισβητοῦμαι διὰ τὰ πάθη· ἐγὼ μὲν γὰρ ἐμαυτῷ οὐδὲν σύνοιδα, αἱ δὲ συμφοραὶ βαρεῖαι οὖσαι ἀντιφθέγγονταί μοι, καὶ οὐκ ἐῶσί με ἀνανεῦσαι.

ΔΙΔΥΜΟΥ. Τάχα δὲ καὶ τοιοῦτόν τι λέγει· εἴτε προαιρετικῶς ἁμάρτω, οἴμοι· εἴτε ὡς ἐκ τῆς τοῦ Ἀδὰμ

παρα-

παραβάσεως, καὶ εἰς ἡμᾶς διαβαινούσης ἐκ διαδοχῆς τῆς ὀφείλης, πάλιν οὐδ' οὕτως ἀνακύψαι δυνήσομαι, ὡς παντὸς ἀπηλλαγμένος ῥύπου. τῶν γὰρ ἁμαρτημάτων, τὰ μὲν ἐκ προαιρέσεως τῆς ἡμετέρας ὑφίσαται, οἷς καὶ κόλασις ἕπεται· τὰ δὲ ἐκ προγόνων, οἷς καὶ κάθαρσις χρεωστεῖται.

ΚΕΙΜ. Πλήρης γὰρ ἀτιμίας εἰμί· ἀγρεύομαι γὰρ ὥσπερ λέων εἰς σφαγήν.

ΟΛΥΜΠ. Εὖ οἶδα, φησίν, ὅτι ἀτιμία μου κατακέχυται, καὶ ὥσπερ λέων εἰς σφαγὴν ἀγρευόμενος, οὕτω πανταχόθεν ταῖς τιμωρίαις βάλλομαι. ἔοικε δὲ λέοντι ἑαυτὸν παρεικάσαι, διὰ τὴν προτέραν εὐδαιμονίαν, καὶ εὐσθένειαν· ἀρχικὸν γὰρ τὸ ζῶον.

ΠΟΛΥΧΡ. Σαφέστερον δὲ ἔχει τὸ ἑβραϊκόν, ἐάν τε γάρ, φησίν, εὐσθενὴς ὦ, ὡς λέων πιάσεις με, τουτέστιν, ἐγὼ ὁ δυνατὸς καὶ γαῦρος, λέοντος δίκην, τῇ περιούσῃ δόξῃ, καὶ ἀφθονίᾳ τοῦ πλούτου, ὥσπερ ἄρκυσι τοῖς δεινοῖς τεθήραμαι, οὐδὲ μίαν διάλυσιν τῶν δεινῶν εὑρίσκων.

ΚΕΙΜ. Πάλιν γὰρ μεταβαλὼν, δεινῶν με ὀλέκεις.

ΠΟΛΥΧΡ. Ἀκύλας δὲ καὶ Θεοδοτίων, καὶ ἐπιστρέψας ἐθαυμάσωσας ἐν ἐμοί. ἡ δύναμις τοῦ στίχου αὕτη. λέοντος εἶχον σθένος καὶ κράτος πρότερον, νυνὶ δὲ ἐκ παραδόξου μεταβολῆς περιετράπη μοι τὰ τῆς εὐτυχίας, καὶ ἀπώλετο ἰσχὺς καὶ ἡ δόξα. ἀγχίστροφον γὰρ τὴν προτέραν εὐημερίαν ἐργασάμενος, εἰς ἐσχάτην κατέστησας συμφοράν, μεταβαλὼν ἀπὸ τῆς προτέρας εὐδαιμονίας εἰς ἀτιμίαν, ἢ καὶ ἀπὸ δεινῶν εἰς δεινότερά με προάγων.

ΚΕΙΜ. Ἐπ' ἀνακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου.

ΟΛΥΜΠ. Οὐκ ἀνίησι, φησί, τὰ δεινά, ἀλλὰ καὶ ἐπὶ πλέον αὔξεται, καὶ ἀεὶ καινοποιεῖται τὸ κακόν. ἵνα εἴπῃ, ὅτι ποικίλαις περιβάλλομαι συμφοραῖς, καὶ ὅτι ἔοικα τοῖς πρότερον μαστιχθεῖσι, καὶ αὖθις, καὶ πολλάκις εἰς ἑτέραν ἐξέτασιν καὶ βασάνους ἄλλας φερομένοις.

ΠΟΛΥ. Εἰς ἐξέτασιν γάρ με τῶν ἡμαρτημένων συνεχῶς ἄγεις, τοῦτο μέν, διὰ τῶν ἐπ' ἀλλήλων πληγῶν, τοῦτο δέ, τὸ πλείστους κατηγόρους ἐκ τῶν συμφορῶν ἐργάζεσθαι, ἑκάστου ὀνειδίζοντος ἐπ' ἀσεβείᾳ, καὶ τὰς εὐθύνας ἀπαιτοῦντος.

ΚΕΙΜ. Ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω.

ΟΛΥΜΠ. Τουτέστι, σφόδρα τῇ κατ' ἐμοῦ ἐχρήσω τιμωρίᾳ. ὀργὴν γὰρ τὴν τιμωρίαν, φησί, τὴν μεγάλως αὐτῷ ἐπενεγμένην, καὶ τὴν ἐπίπονον ἀγωγήν, οὐ μὴν πάθος. καὶ ἐνταῦθα δὲ πάλιν τὸ μέγεθος τῶν θλιβερῶν ἐμφαίνει, οὐχ ὅτι ἀποκάμνων, ἀλλὰ παριστῶν τοῖς φίλοις γνῶναι, ὅτι ἡ ὑπερβάλλουσα αὕτη ὀργή, οὐ δι' ἁμαρτίας ἐστίν, ὡς ὑπενόουν, εἰ συμβάλλοιεν αὐτοῦ τὸν βίον.

ΚΕΙΜ. Ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια.

ΠΟΛΥΧΡ. Τουτέστιν, ἅπασί με τοῖς πρὸς τὸ πάσχειν ἐκδέδωκας δεινοῖς. πειρατήρια γὰρ καλεῖ τὰ ἐπιστρατευθέντα αὐτῷ κακά. δεήσεως δὲ ἄρχεται ἐνταῦθα, καὶ γνώμης θεοσεβοῦς σὺν ὀδυρμῷ τῷ προσήκοντι.

ΚΕΙΜ. Ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον; ὀφθαλμὸς δέ με οὐκ εἶδε, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην; διατὶ γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ταῦτα καὶ ὁ ἐκκλησιαστὴς ὕστερον εἶπε, Μακαρίζων τὸν θανόντα ὑπὲρ τὸν ζῶντα, καὶ τὸν μὴ γενόμενον ὑπὲρ ἀμφοτέρους. τοιαύτῃ δὲ περιπέπτωκεν ὁ ἄνθρωπος ὀδυνηρᾷ ζωῇ, διὰ τὸ μὴ μεῖναι παρὰ Θεῷ, μηδὲ φυλάξαι τὰ θεῖα προστάγματα. ὁ δὲ Μακάριος Ἰὼβ ἐπόθει τὸν θάνατον, οὐ μόνον διὰ τὰς ἀλγηδόνας, ἀλλ᾽ ἐπειδήπερ καὶ τοῦ χρόνου παρατεινομένου, καὶ τῶν παθῶν αὐτῷ ἐπιτεινομένων, ὑπώπτευε πλείονα ἐγκατάληψιν ὑπομεμενηκέναι παρὰ Θεοῦ· τούτοις δὲ ἐχρῆτο καὶ ἐν τῇ πρώτῃ ῥήσει, καὶ αὖθις νῦν, δι᾽ ὅλου δεῖξαι βουλόμενος, ὡς οὐδὲ μεμπτὸς, οὐδὲ βλάσφημος, τῶν πικρῶν ἀλγηδόνων ἀπαλλαγῆναι ποθῶν, διὰ τοῦ θανάτου. φησὶν οὖν, ὅτι τούτοις μέλλοντά με περιπίπτειν, ἄμεινον ἦν μηδὲ τὴν ἀρχὴν γενέσθαι, ἢ γενόμενον παραχρῆμα εἰς μνῆμα ἀπενεχθῆναι. εἰ γὰρ καὶ μὴ μισθὸν ὑπὲρ ἀγαθοεργίας ἐκομιζόμην, ἀλλ᾽ οὐχὶ καὶ ταῖς τοσαύταις κατεξαινόμην βασάνοις.

ΔΙΔΥΜΟΥ. Ὅρα δὲ, ὅτι τῶν προσπεσόντων αὐτῷ πειρατηρίων ἐπιμνησθεὶς ἐπὶ τὴν πρώτην αἰτίαν τῶν παθῶν ἀνατρέχει, τουτέστι, τὴν παράβασιν, καὶ τὴν ἐκ φθορᾶς γένεσιν. οὐδαμοῦ μὲν κατὰ τῆς προτέρας τοῦ ἀνθρώπου ποιήσεως σχετλιάζει· τὸ δὲ πειρασθῆναι τῆς ἐν βίῳ φθορᾶς, ἡγεῖται χαλεπὸν, κοιλίας τε καὶ γαστρὸς μνημονεύων. ἡμεῖς γὰρ ἑαυτοῖς τῇ παραβάσει τὴν ὀδυνηρὰν ταύτην ζωὴν ἐπεισηγάγομεν.

ΚΕΙΜ. Ἦ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου.

ΟΛΥΜΠ. Πάλιν τὸ ὀλιγοχρόνιον εἰς ἱκεσίαν προβάλλεται, καὶ αἰτεῖ δειχθῆναι αὐτῷ διὰ τῆς τῶν βασάνων ἀνέσεως, ὅτι δὴ ἵλεων τὸν Θεὸν κέκτηται. οὔπω γὰρ διδαχθεὶς τὴν αἰτίαν τῶν πειρασμῶν, ἀδίκως ὀλιγωρεῖ, καὶ ταράττεται. τίς γὰρ, φησὶν, ἀγνοεῖ, ὡς πρόσκαιροι ὄντες οἱ ἄνθρωποι, βαρὺ νομίζουσιν ἐν ταλαιπωρίαις ἐξετάζεσθαι.

ΚΕΙΜ. Ἔασόν με ἀναπαύσασθαι μικρὸν, πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω.

ΔΙΔΥΜΟΥ. Εὐχῆς τρόπῳ ταῦτα προφέρει. οὐ γὰρ αἱ ἐπικείμεναι ἀνίαι μικραὶ τυγχάνουσιν, οὐδὲ ἀναισθήτως ἔφερε τὰς ἀλγηδόνας· τοῦτο γὰρ οὐκ ἦν ἀνδρεῖον, εἰ οὐκ ᾐσθάνετο. διδάσκει δὲ, ὅτι καὶ Θεοῦ δυνάμει ὑπέμεινε, δι᾽ ὧν εὔχεται, εὐχαρίστως λέγων, ἐκεχειρίαν μοι τῶν πόνων παράσχου, προσκαίρῳ ὄντι, καὶ εἰς ἀεὶ ἀπόλλυσθαι μέλλοντι. τοῦτο γὰρ δηλοῖ, τὸ, πορευθῆναι, ὅθεν οὐκ ἐπανελεύσεται. καὶ δόγματι διδάσκει καλ-

λισον, ὅτι ὁ ἅπαξ ἐξελθὼν τοῦ βίου, οὐκέτι εἰς τόνδε τὸν βίον ἐπαναστρέφει, ὡς μυθολογοῦσιν οἱ τὰς μετενσωματώσεις πραττόμενοι. εἶτα διηγεῖται τὰ ἐν ᾅδου κακὰ, ἵνα γνῶμεν οἵων ἡμᾶς ἐλευθέρωσεν ὁ σωτὴρ, εἰπὼν τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλυφθῆναι.

ΚΕΙΜ. Εἰς γῆν σκοτεινὴν καὶ γνοφερὰν, εἰς γῆν σκότους αἰωνίου.

ΠΟΛΥΧΡ. ὁ δὲ ΣΥΜΜΑ. Σκεπομένην θανάτῳ, ὁ δὲ Ἑβραῖος εἰς γῆν σκοτεινὴν ὑπὲρ τὸ σκότος, ἔνθα, φησὶν, οὐκ ἔστιν ἄνεσις, ἀλλ' ἀτελεύτητον κακόν. κατὰ παράθεσιν δὲ ἔδειξε τοῦ θανάτου τὸ βαρύ. ἐνταῦθα μὲν γὰρ ἐν νυκτί τις γενόμενος, ἀπαλλαγὴν προσδοκᾷ ἡμέρας ἐπιλαμβούσης, ἐκεῖ δὲ ἀπελθόντα οὐκ ἔνεστιν εἰς τὸν βίον ἐπαναστρέψαι, καὶ ἐπιμένων τῇ συγκρίσει, ἐπάγει.

ΚΕΙΜ. Οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.

Ο'ΛΥΜΠ. Α'ντὶ τοῦ, ὅπου τάξις ἡλίου καὶ ἄστρων οὐκ ἔστιν, οὔτε τῶν ἀνθρωπίνων πραγμάτων κατάστασιν ἐστὶν ἰδεῖν, ἵνα εἴπῃ, ἀνομίαν καὶ τάξιν πολιτικήν. ταῦτα λέγει, δεδοικὼς, μὴ ἐὰν μετὰ τὴν βασάνων πλάτισῃ καὶ τὴν ἐτασμῶν, ἐν πλείᾳ τοῦ προσώπου τοῦ Θεοῦ ἀπορρίψει γεγονὼς, μετὰ τὴν ἀσεβῶν ἐν τῷ ᾅδῃ καταλεχθῇ, οἵτινες τὸ αἰώνιον οἰκοῦσι σκότος κατὰ τὴν τοῦ σωτῆρος φωνήν. φωτὸς γὰρ ὄντος κατὰ φύσιν τοῦ Θεοῦ, οἱ ἔξω τοῦ προσώπου αὐτοῦ βαλλόμενοι, ἐν σκότει τυγχάνουσι.





ΠΡΟΘΕΩΡΙΑ
ΚΕΦΑΛΑΙΟΥ ΟΓΔΟΟΥ.
ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΑΠΟΤΑΔΗΝ τοῦ Ἰὼβ διαλεχθέντος, σφοδρότερον ὁ Σωφὰρ διαμάχεται, καὶ πρῶτον μὲν ἐπὶ πολυλογίᾳ σκώπτει τὸν Ἅγιον, εἶτα μέμφεται ὡς εἰρηκότα, ὅτι καθαρός εἰμι καὶ ἄμωμος· καὶ οὐ νενοηκὼς ἐκ ποίας διαθέσεως ἤθελε κρίνεσθαι πρὸς Θεόν, εἴθε, φησὶν, ἦν δυνατὸν δικαιολογήσασθαί σοι Θεὸν, ἵνα καὶ ἐκ τῆς σοφίας αὐτοῦ, καὶ ἐκ τῆς δυνάμεως γνῷς, ὡς κατ᾽ ἀξίαν σοι ἀπονέμων, ἐτιμωρήσατό σε. εἶτα δείξας τοῦ Θεοῦ τὴν δύναμιν, καὶ τοῦ ἀνθρώπου τὸ ἀπελὲς, παραινεῖ τῷ Ἰὼβ εἰς ἀρχὴν τραπῆναι, καὶ μετανοῆσαι ἐφ᾽ οἷς πρότερον ἥμαρτεν. Οὕτω γὰρ ἔσται αὐτῷ ἵλεων τὸν Θεὸν κατασησόμενον, τῶν τε παρόντων δεινῶν ἔξω γενέσθαι, καὶ τὴν προτέραν εὐδαιμονίαν ἀπολαβεῖν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Σωφὰρ ὁ μιναῖος λέγει, ὁ τὰ πολλὰ λέγων, ἀντακούσεται. (ὁ δὲ Σύμμαχος, μὴ ὁ πολυλάλος ἀναντίῤῥητος ἔσται;)

ΟΛΥΜΠ. Παραπλησίως τοῖς ἄλλοις καὶ ὁ Σωφὰρ ἐπιφέρεται τῷ Ἰὼβ, ἢ καὶ σφοδρότερον. ἠγνοήκασι γὰρ ἐπίσης τὴν τοῦ δικαίου διάθεσιν, ἣ περὶ Θεοῦ χρώμενος ἐλάλει. διὸ δὴ καὶ συνηγορεῖν οἰόμενοι, Θεῷ προσκρούοντες ἔλαθον.

ΠΟΛΥΧΡ. Οἷα γοῦν, φησὶν, ὁ Σωφάρ; τῷ μὲν πλήθει τῶν ῥημάτων νομίζεις νενικηκέναι, ὥστε ἡμᾶς καὶ ἡσυχίαν ἄγοντας καθέζεσθαι ἐκπεπληγμένους τῶν λόγων τὰ ῥήματα· ἴσθι δὲ, ὡς ἥκω αὐτὸς ἀποκρινόμενός τε καὶ ἐλέγξων τὸν λόγον, σὺ δὲ ἄκουε. ὁ γὰρ γλῶσσαν ἔχων εἰς τὸ λαλεῖν, οὗτος καὶ ἀκοὰς κέκτηται εἰς τὸ ἀκούειν.

ΚΕΙΜ. Ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧ. Οὐκ ἐν πλήθει λόγων, φησὶν, ἡ τοῦ δικαίου κρίνεται φύσις. οὐδὲ εἴ τις εὔστομος καὶ εὐεπὴς, ἤδη παρὰ τοῦτο δίκαιος. ἀλλ᾽ ἔστι καὶ πρὸς τοὺς γοργοὺς καὶ εὐτροχάλους λόγους ἀντίῤῥησις. σὺ δὲ, ὡς ἔοικε, τῷ πλήθει τῶν λόγων οἴει τοῦ δικαίου προσεῖναι τὴν μοῖραν. ἀλλ᾽ εἴτη, ὡς οὐδὲν γενναῖον, οὐδὲ ἀναντίῤῥητον ἔφης,

μὴ γὰρ ἐπειδὴ φθέγξασθαι δύνασαι, ἤδη καὶ δίκαιος εἶ.

ΚΕΙΜ. Εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος.

Ο'ΛΥΜΠ. Κερδαίνει γὰρ τὸ μὴ δεινὰ τὰ μὲν ἰδεῖν, τὰ δὲ παθεῖν, ὁ τοῦ βίου θᾶττον ἀπαλλαττόμενος, καὶ τὸ μὴ πολλὰ ἁμαρτεῖν, λέγει δὲ τοῦτο, ἐπισομίζων ὥσπερ τὸν Ἰὼβ δικαιοῦντα ἑαυτὸν, ἢ καὶ τὴν ἡμετέραν ζωὴν οἰκτιζόμενος, ὡς πολλὰς ἐπισωρευμένην συμφορὰς, καὶ ἐπώδυνον, καὶ διὰ τοῦτο μακαρίζων τὸν μὴ ἐπὶ πολὺ αὐτῇ παραμείναντα.

ΚΕΙΜ. Μὴ πολὺς ἐν ῥήμασι γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι.

ΠΟΛΥΧΡ. Μὴ ἐπειδὴ, φησὶν, ἡμεῖς οὐ δυνάμεθα, ἢ οὐ βουλόμεθα ἀντιλέγειν σοι, διὰ τοῦτο πλήθυνε ῥήματα, καὶ ἐπαίνει σαυτὸν ἀκαίρως, καὶ εἰς οὐδὲν δέον, οὐ γὰρ ἐπαινεῖν σε, μᾶλλον ἢ μέμφεσθαι ἔχομεν, ὄντα τοῖς ἑαυτοῦ κεχρημένον ἐπαίνοις, καὶ διακενῆς λέγοντα μαστιχθῆναι. τοῦτο δὲ λέγεις, διότι οὐκ ἔστιν ὁ ἐντρέπων σε.

Ο'ΛΥΜΠ. Τάχα δὲ, ἐπειδὴ Θεὸν ᾔτησεν ὁ Ἰὼβ, καταστῆναι αὐτῷ εἰς κρίσιν, μὴ μάτην, φησὶ, φλυάρει, οὐ γὰρ ἕξεις Θεὸν ἀντικρινόμενόν σοι.

ΚΕΙΜ. Μὴ γὰρ λέγε, ὅτι καθαρός εἰμι τοῖς ἔργοις, καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ.

ΧΡΥΣΟΣΤ. Καὶ μὴν αὐτὸς εἶπεν, ἐπ' ἀληθείας οἶδα, ὅτι οὐκ ἔστι βροτὸς καθαρὸς ἔναντι Κυρίου. ὁρᾷς πῶς ἐναντία ἐγκαλοῦσιν.

ΠΟΛΥΧΡ. Κατηγορίας, γάρ φησι, τῆς ἐσχάτης ἄξιον, τοῖς τοῦ Θεοῦ, τὰς ἑαυτοῦ συγκρίνοντα πράξεις, μαρτυρεῖν ἑαυτῷ δικαιοσύνης ἀκρίβειαν· ὡς εἴγε μὴ ἥμαρτες, οὐκ ἂν σκυθρωποῖς περιέπιπτες. ταῦτα δὲ φασὶν οἰόμενοι, ὅτι ἀθέτησις ἐστὶ τῆς προνοίας, ἡ τοῦτο τῆς καθαρότητος ὁμολογία.

ΚΕΙΜ. Α'λλὰ πῶς ἂν ὁ Κύριος λαλήσει πρὸς σὲ, καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ; εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσαι τῶν κατὰ σὲ, καὶ τότε γνώσῃ, ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ Κυρίου, ὧν ἡμάρτηκας.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Εἴθε φησὶν, ἦν Θεὸν διαλεχθῆναι σοι, καὶ τῆς αὐτοῦ σοφίας τὰ ἀπόρρητα παραστῆσαι τῷ λόγῳ. (τοῦτο γὰρ μηνύει, τὸ, ἀναγγελεῖ σοι δύναμιν σοφίας,) ἵνα μαθὼν τὴν αὐτοῦ σοφίαν, καὶ τὴν κατὰ δικαιοσύνην ὑπεροχὴν, μηκέτι τολμήσῃς λέγειν, ὅτι καθαρός εἰμι, καὶ ἄμεμπτος· ἀλλὰ γνῷς ὅτι τὸ κατ' ἀξίαν ἀπένειμέ σοι ὁ Θεὸς, ἰσομέτρους τοῖς ἁμαρτήμασι τὰς τιμωρίας ἐπαγαγών. τὸ δὲ, ὅτι διπλοῦς ἔσαι τῶν κατὰ σὲ, τοῦτο δηλοῖ· πολλὴ, φησὶν, ἡ ὑπεροχὴ τοῦ Θεοῦ, πρὸς τὸν λέγοντα, ὥσπερ σὺ, σοφὸν εἶναι καὶ δίκαιον. εἰ οὖν καὶ σοφώτερος ἡμῶν καὶ δικαιότερος, σοφῶς καὶ δικαίως ἐπήγαγέ σοι τὰς τιμωρίας· καὶ τοῦτο ἔγνως

ἂν εἰ ἐλάλησε πρὸς σὲ Κύριος, καὶ συνέστησέ σε κατὰ τὴν σοφίαν ἑαυτοῦ. τότε γὰρ κατανοήσας τὴν μετὰ σοφίας αὐτοῦ καὶ ἐν τοῖς πικροῖς ἐπαγωγὴν, ὅτι οὐκ ἀμυνόμενος, ἀλλ᾽ ἰατρικῶς καὶ πρὸς ὑγιείαν ψυχῆς, ἐπάγει τὰς θλίψεις, σωφρονέστερος ἂν κατέστης· καὶ συνιδὼν ἑαυτοῦ τε, καὶ τοῦ Θεοῦ τὸ διάφορον, καὶ ὡς μείζονα ἢ κατὰ τὴν σεαυτοῦ ἐτόλμησας φύσιν, κρίνεσθαι πρὸς τὸν δεσπότην ἑλόμενος ἀνὴρ, μηδὲ τῶν ὑπ᾽ αὐτοῦ γενομένων συνιεὶς τὴν γνῶσιν, κατέβαλες ἂν τὴν ὀφρύν· καὶ τὸ μέγεθος τῆς θείας σοφίας καὶ δυνάμεως γνοὺς, ὡμολόγησας, ὡς ἀξίαν τῶν ἁμαρτημάτων τὴν δίκην ὑπέχεις.

ΚΕΙΜ. Ἦ ἴχνος Κυρίου εὕρήσεις, ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ.

ὈΛΥΜΠ. Ἀνέφικτά σοι, φησὶν, τὰ τοῦ Θεοῦ, καὶ τὰς ὁδοὺς αὐτοῦ τῆς προνοίας εὑρεῖν ἀμήχανον, ἢ ἄχρι τέλους τῶν βουλευμάτων αὐτοῦ φθάσαι, ἢ τῶν ποιημάτων. πολλοῦ δεῖ λέγειν, ὅτι ἀρχὴν ἢ τέλος αὐτοῦ εὑρήσεις. (ἔσχατα γὰρ τὰς ἐκβάσεις λέγει,) οὐδ᾽ ἂν εἴποις, ὅτι τὴν μὲν ἀρχὴν οὐχ εὑρήσης, τοῦ δὲ τέλους ἐφικέσθαι δυνήσῃ. τὸ γὰρ χρόνοις ἀπέραντον καὶ ἀΐδιον τοῦ Θεοῦ, ἐν περινοίᾳ ληφθῆναι ἀδύνατον.

ΚΕΙΜ. Ὑψηλὸς, ὁ οὐρανὸς καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας; ἢ μακρότερα μέτρου γῆς, ἢ εὖρους θαλάσσης.

ὈΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Πῶς δ᾽ ἂν ἐφίκοιο, φησὶ, πόσον ἐστὶ τὸ ὕψος τοῦ οὐρανοῦ; τοῦτο γὰρ σημαίνει, τὸ, καὶ τί ποιήσεις; ἀντὶ τοῦ, ἀμηχανήσεις εὑρεῖν, ἢ τίνα εἰσὶ τὰ ὑπὸ τὸν ᾅδην. καὶ τί λέγω τὰ ὑπεράνω τοῦ οὐρανοῦ, ἢ τὰ κατωτέρω τῆς γῆς; οἶδας τῆς θαλάσσης τὸ πλάτος, ἢ τῆς γῆς τὸ μέτρον πόσον ἐστὶν, ἢ ὅπως αὕτη γέγονε, καὶ ἐπὶ τίνος ἕστηκε τῆς ἕδρας; ἀλλὰ μὴν τούτων οὐδὲν εἰδέναι ἀλαζονεύσαιο. εἰ οὖν τὰ ὁρώμενα, καὶ ὑπὸ Θεοῦ γενόμενα διαφεύγει τὴν ἡμετέραν κατάληψιν, καὶ οὐκ ἔστιν εἰπεῖν τίσι μέτροις περιώρισται ἥτε γῆ καὶ θάλασσα, πῶς οὐ τῆς ἐσχάτης θρασύτητος πρὸς αὐτὸν ἀντιτείνειν τὴν γλῶσσαν.

ΔΙΔΥΜ. Δεῖξαι δὲ βούλεται διὰ πάντων τούτων, ὅτι ἡ τῶν ἀνθρώπων γνῶσις μεμετρημένη ἐστὶ, μὴ ἀφικνουμένη τῶν τοῦ Θεοῦ κριμάτων, καὶ νῦν γοῦν ὁ οὐρανὸς, φησὶ, ἐστὶ, καὶ ᾅδου βαθύτερα, καὶ μακρότερα γῆς, καὶ τοῦ εὔρους τῆς θαλάσσης, λέγε τί περὶ αὐτῶν, εἰ δύνασαι. αἰνίττεται δὲ ἴσως, ὅτι κἂν ἐπιχειρείσῃ τὶς περὶ γῆς καὶ θαλάσσης, καὶ οὐρανοῦ λαλῆσαι, ἀλλὰ τὰ ὑπὲρ ἐκεῖνα ἀγνοεῖ.

ΚΕΙΜ. Ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ τί ἐποίησας;

ὈΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ἵνα εἴπῃ ἀνέφικτος ὢν τὴν φύσιν, ἀκατάληπτός ἐστι, καὶ εἰς τὴν καθ᾽ ἕκαστον οἰκονομίαν. εἰ οὖν καὶ τὰ πάντα ἀνατρίψαι βουληθῇ, τίς ἀντερεῖ τοῖς αὐτοῦ νεύμασι, καὶ τῇ τοσαύτῃ ἐξουσίᾳ, καὶ τοῦτο ἀληθῶς λέγει, καὶ πρὸς τὸν σκοπὸν τὸν πρέποντα· τίς γὰρ ἀνθίσταται τῷ βου-

λήματι τοῦ Θεοῦ; ὅμοιον τοῦτο, τῷ, μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ἐπειδὴ δὲ εἶπε, ἐὰν καταστρέψῃ τὰ πάντα, τίς αὐτεῖπει; ἵνα μὴ δόξῃ λέγειν, ὅτι καὶ σὲ κατ' ἐξουσίαν ἐτιμωρήσατο, εὐθέως ἐπήγαγεν.

ΚΕΙΜ. Αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων· ἰδὼν δὲ ἄτοπα, οὐ παρόψεται.

ΤΩ͂Ν ΑΥΤΩ͂Ν. Ταῦτα, φησὶ, ποιεῖ, τὰς ἑκάστου πράξεις εἰδὼς, καὶ τὴν τῶν γινομένων αἰτίαν, καὶ οὐκ ἀνεξέταστα καταλιμπάνων τὰ ἀνθρώπεια, οὐδὲ τοὺς ἁμαρτάνοντας ἐκτὸς τιμωρίας ἀφιεὶς, ὡς δυνατὸς τοίνυν καὶ σοφὸς, καὶ δίκαιος, ἀνομοῦντά σε οὐ παρεῖδεν, ἀλλ' ἐτιμωρήσατο. σαφὲς δὴ ὅτι δι' αὐτὸν εἶπε, τὸ ἐὰν καταστρέψῃ, καὶ δεικνὺς τοῦ Θεοῦ τὸ, ἀναπόδραστον, ἐπήγαγεν, ὅτι οἶδε τὰ τῶν ἀνθρώπων ἔργα, μὴ παρορῶν τὰ πταίσματα.

ΚΕΙΜ. Α'νθρωπος δὲ τηνάλλως νήχεται λόγοις, βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ.

ΔΙΔΥΜ. Τὸ τῆς Θεοῦ γνώσεως ἀσφαλὲς παραβάλλων ταῖς τῶν ἀνθρώπων ἐπιβολαῖς, νήχεσθαι αὐτοὺς ματαίως ἔφησε, μὴ δυναμένους πᾶσαν τὴν τοῦ Θεοῦ γνῶσιν λογισμῷ περιλαβεῖν. διὰ δὲ τοῦ ἐρημίτου ὄνου, παρίστησι τὸ σφόδρα νωθεῖς αὐτῶν πρὸς τὴν κατάληψιν τῶν κειμένων, ὑπερβολικῷ χρώμενος τῷ λόγῳ.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Τὸν ἐρημίτην ὄνον, διὰ τὸ ἀνυπότακτον παρέλαβεν, αἰνιττόμενος τὸν Ἰώβ, ὡς τὰ πρὸς Θεὸν ἀνυπότακτον. ὁ μὲν γὰρ Θεὸς, φησὶ, τοσοῦτος ἐστὶ, καὶ τοιοῦτος, καὶ τὰ κατ' αὐτὸν τοιαῦτα, οἷα καὶ λογίσασθαι φοβερόν· οἱ δὲ ἄνθρωποι εἰκῆ καὶ μάτην φλυαροῦσιν, οὐδὲν ὄνου, κατὰ τὸ ἁπλοῦς τῆς φύσεως, ὅσον πρὸς τὴν θείαν σοφίαν καὶ ὑπεροχὴν, διαφέροντες, τηνάλλως τε πλανῶνται περὶ τὰ θεῖα, ἐναντία τῆς τοῦ Θεοῦ φύσεως δοξάζοντες, καὶ οὐδὲν τῶν βοσκημάτων διενηνόχασι, τῶν ἐν ποσὶ πλέον εἰδότες οὐδέν. καθάπερ καὶ ὄνος ἐν ἐρήμῳ, τῆς ὁδοῦ διέξοδον οὐκ ἔχων διὰ τὸ ἄβατον, μηδὲ δυνάμενος εἰς πέρας ἀφικέσθαι τῆς ἐρήμου, ὥσπερ οὖν οὐδ' ὁ νηχόμενος εἰς πέρας θαλάσσης, ἵνα εἴπῃ ὅτι οὐκ ὡς λογικοὶ συνιᾶσιν ἀπὸ τῶν ὁρωμένων τοῦ Θεοῦ τήν τε σοφίαν καὶ τὴν δύναμιν, ἀλλὰ θρεμμάτων δίκην περὶ τὰ παρόντα εἰλούμενοι, οὐδὲν ἄξιον λογικῆς φρονοῦσι φύσεως.

ΚΕΙΜ. Εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτὸν, εἰ ἄνομόν τι ἐστὶν ἐν χειρί σου, πόῤῥω ποίησον αὐτὸ ἀπὸ σοῦ, ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω.

Ο'ΛΥΜΠ. Ο' δὲ Σύμμαχος, ἀντὶ τοῦ, ὑπτιάζεις χεῖρας πρὸς Θεὸν, ἁπλώσεις πρὸς αὐτὸν τὰς παλάμας σου, ἐκδέδωκεν. οἱ οὖν χρόνοι ἐνταῦθα ἐνηλλαγμένοι εἰσίν. ὁ δὲ νοῦς οὗτος, εἴ τί μοι πείθῃ, φησὶ, τὰ κάλλιστα συμβουλεύοντι, κάθαρόν σου τὴν καρδίαν καὶ τῶν ἀθέσμως σοι πεπραγμένων ἀ-

ποβολὴν ποιησάμενος, εἰλικρινεῖ προσέλθε τῷ Θεῷ διαθέσει, καὶ τὰς χεῖρας ἀμώμους εἰς Θεὸν ἐκπέτασον, δεήθητί τι τοῦ Θεοῦ, καὶ παῦσαι παρανομῶν, καὶ μηκέτι ἀδικήσῃς, ἢ παρανομήσῃς, μηδέτι φαῦλον λείψανον ἐν σοὶ ἀπομενέτω. ἀλλὰ κἂν συμβῇ σε ἐν ἀρχῇ τοῦ ἀδικεῖν γενέσθαι, μὴ παραμενέτω ἐν τῷ σῷ βίῳ ἡ κακία, εἰ γὰρ οὕτως ἵλεων ποιήσῃ τὸν Κύριον, καὶ καθαρὸς ἐν πᾶσι δειχθήσῃ, ἔσονταί σοι τάδε, ἅπερ ἐφεξῆς φησί· καὶ τὸ ὅλον πᾶσαν δυσπραγίαν ἀποδυσάμενος, εἰς τὴν προτέραν ἐπανήξεις εὐδαιμονίαν.

ΚΕΙΜ. Οὕτω γὰρ ἀναλάμψει σου τὸ πρόσωπον, ὥσπερ ὕδωρ καθαρόν.

ΠΟΛΥΧΡ. Παραδείγματι τὴν ἐπὶ τὸ κρεῖττον ἔδειξε μεταβολήν. ὥσπερ γὰρ φησὶν, οἱ ῥυπῶντες τὸ σῶμα ἀποπλυνόμενοι, οὐδὲν ἴχνος φέρουσι τῆς προλαβούσης ἀηδίας· οὕτω καὶ αὐτὸς μεταβαλλόμενος τὸν τρόπον, τῇ τοῦ Θεοῦ προνοίᾳ πάντως ἕξεις τὴν ἀφθονίαν, ὥστε μηδὲν μνημόσυνον περιλειφθῆναι τῆς παρούσης ταλαιπωρίας. τὸ οὖν ὥσπερ ὕδωρ καθαρὸν, ὡσανεὶ ἀπὸ ὕδατος διειδεστάτου ἔσῃ λαμπρὸς, καὶ ἀκηλίδωτος, ἢ ὥσπερ μετὰ τὸ διειδὲς γενέσθαι τὸ ὕδωρ, οὐκ ἐμφαίνεταί τι τῆς ὕλης, οὕτως οὐδὲ μετὰ τὴν καθαρὰν εὐπραγίαν, θολῶδές τι καὶ πειρασικόν. τὸ δὲ ἀναλάμψει τὸ πρόσωπόν σου, ἀντὶ τοῦ, ἄλλος ἀντ' ἄλλου δειχθήσῃ, ὥσπερ καὶ τὸ ὕδωρ τὸ τεταραγμένον καὶ πεθολωμένον, ὅταν καταστῇ. διπλοῦν οὖν τὸ καθαρὸν, τὸ μὲν ὡς καθαῖρον, τὸ δὲ ὡς ἔχων τινὰ καθαρότητα. ὥσπερ καὶ τὸ ἁγνὸν, τὸ μὲν ὡς ἡγνισμένον, τὸ δὲ ὡς ἐμποιοῦν ἄλλοις τὸν ἁγνισμόν. ὡς τὸ, ὁ φόβος Κυρίου ἁγνὸς, τουτέστιν, ἁγνοποιός. κἀνταῦθα τοίνυν καθαρὸν ὕδωρ, ἤτοι ὡς καθαρισμὸν ἐμποιοῦν τοῖς ῥυψαμένοις, ἢ ὡς αὐτὸ διειδὲς χηματίζον, καὶ ἀθόλωτον.

ΚΕΙΜ. Ἐκδύσῃ δὲ ῥύπον, καὶ οὐ μὴ φοβηθήσῃ.

ΠΟΛΥΧΡΟΝ. Ἐπειδὴ ὁ Ἰὼβ, ἔφη, ἱκανῶς ἐν ῥύπῳ μὲ ἔβαψας, πρὸς ἐκεῖνο ὁ Σωφὰρ, φησὶν, ὅτι καὶ τοῦτον τὸν ῥύπον, ὅ ἐστι τὴν δυσπραγίαν, ἀποδύσῃ, καὶ οὐδὲ ἔτι φοβηθήσῃ μήτι σοὶ ἐν τοῖς ἐφεξῆς δυσπραγὲς ἀπαντήσῃ.

ΚΕΙΜ. Καὶ τὸν κόπον ἐπιλήσῃ, ὥσπερ κῦμα παρελθὸν, καὶ οὐ μὴ πτοηθήσῃ.

ΟΛΥΜΠ. Ἀλλ' οὐδὲ ἴχνος ὑπολειφθήσεταί σοι τῶν κόπων, οὐδὲ μνημόσυνον τῶν συμφορῶν, ὥσπερ οὐδὲ κύματος παρελθόντος ἴχνη καταλιμπάνεται. ἄφοβος δὲ ἔσῃ λοιπὸν, γαληνιασάντων ἐπὶ σοὶ τῶν κακῶν. ἤδη δὲ πάντως ὥσπερ γαλήνη μετὰ χειμῶνα, οὕτως εὐκληεία μετὰ τὴν δυσκληείαν.

ΚΕΙΜ. Ἡ δὲ εὐχήσου, ὥσπερ ἑωσφόρος.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ἀντὶ τοῦ, καθαρὰ καὶ ἀνίσσα, ἤ, φωτίζουσα τῆς ψυχῆς σου τὴν ἐκ τῶν κακῶν σκοτομηνίαν. εἴτουν Ἄγγελος τῆς περιφανοῦς ζωῆς.

ΚΕΙΜ. Ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή.

Ἢ τοῦτο λέγει, ὅτι ὡς ὁ ἥλιος ἐν μεσημβρίᾳ, διαλάμψει σου ἡ ζωή· ἢ μεσημβρίαν τὴν συμφορὰν λέγει, κατὰ τὸ τῆς γραφῆς ἔθος. οὕτω γὰρ καὶ ὁ Προφήτης λέγει, ὡς φῶς καύματος μεσημβρίας, ἀντὶ τοῦ, ἔσται σοι ἐν συμφορᾷ τοῦ Θεοῦ ἡ ἀντίληψις. ἐκ μεσημβρίας οὖν, τουτέστιν, ἐκ τοῦ ἐπιτεταμένου καύσωνος, λέγει δὲ, τῆς παρούσης θλίψεως, ἀνατελεῖ σοι ἡ τοῦ Θεοῦ ἀντίληψις. ἢ ἐπειδὴ ἐν μεσημβρίᾳ ὑπὲρ κεφαλῆς ὢν ὁ ἥλιος, οὔτε ὄπισθεν ποιεῖ τὴν σκιὰν, οὔτε ἔμπροσθεν, φησὶν, ὅτι ἐπειδὴ νῦν ὥσπερ ἐν μέσῳ ζυγοῦ, ἐπὶ ξυροῦ κεῖται τὰ κατὰ σὲ, ἐκ ταύτης σου τῆς ἀμφικρήμνου καταστάσεως, ἀναλάμψει σου ἡ ζωὴ, ἐὰν μετανοήσῃς.

ΚΕΙΜ. Πεποιθώς τε ἔσῃ, ὅτι ἐστί σοι ἐλπίς.

ΠΟΛΥΧ. Κἂν θαῤῥήσῃς λοιπὸν, φησὶν, ὡς ἔχων εἰς Θεὸν τὴν ἐλπίδα, καὶ ὑπ' αὐτοῦ βοηθούμενος. ὁ δὲ Ἀκύλας, ἐν ἐλπίδι κοιμηθήσῃ, ἔφη, τὴν ἀδεῆ αἰνιττόμενος ἀνάπαυσιν.

ΚΕΙΜ. Ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη.

Ὀ'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Τὰς δὲ, νῦν ἐχούσας μερίμνας ἐπωδύνους, φροντίδας, γαληνιαία τις καὶ εἰρηνικὴ κατάστασις διαδέξεται· πάσης γὰρ ταραχῆς καὶ φροντίδος, ἡ κατὰ Θεὸν φροντὶς ἠλευθέρωται. Φροντιστέον οὖν τῶν εἰς εὐσέβειαν ἡκόντων.


ΚΕΙΜ. Ἡσυχάσεις γὰρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε.

ΠΟΛΥΧΡ. Εἰ ταῦτα, φησὶ, ποιήσειας, καὶ τῆς εὐσεβείας ἐπιμελούμενος, παύσαις παρανομῶν, καὶ μὴ ἐξ ἀδικίας αὔξειν τὰ κατὰ τὸν οἶκον σπουδάσοις, ἐν ἀφθονίᾳ πάντων γινόμενος, οὐκ ἔτι δείσεις τὴν ἐκ τῶν πολεμίων ἔφοδον, ἀλλ' οὕτω βαθείας ἀπολαύσεις εἰρήνης, ὡς ἀπολέμητον τὸν λειπόμενον διαβιῶναι χρόνον.

ΚΕΙΜ. Μεταβαλλόμενοι δὲ πολλοί σου δεηθήσονται· σωτηρία δὲ αὐτοὺς ἀπολείψει. ἡ γὰρ ἐλπὶς αὐτῶν, ἀπώλεια· ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

ΠΟΛΥΧΡ. καὶ Ὀ'ΛΥΜΠ. Οἱ δὲ νῦν φησὶ, περιορῶντές σε διὰ τὰς συμφορὰς, καὶ ἐπεμβαίνοντές σοι, ὕστερον σοῦ δεηθήσονται, ὅταν αὐτοὺς ἡ παρὰ Θεοῦ σωτηρία καταλίπῃ, καὶ μηδὲ μίαν ἔχωσιν ἐλπίδα. τότε δὴ καὶ τακήσονται αὐτῶν οἱ ὀφθαλμοὶ ἐπὶ τῇ σῇ εὐημερίᾳ, ὑπὸ τοῦ φθόνου δηλονότι· ἐκ δὲ τούτων τῶν λόγων ἐστὶ συνιδεῖν, ὅτι πρὸς πᾶσι τοῖς κακοῖς, καί τινας ἐπέστησεν ὁ διάβολος ἐπιγελᾷν, καὶ ἐπεμβαίνειν ἐν ταῖς τοῦ Ἰὼβ συμφοραῖς. ἀλλ' οὗτοι φησὶ, μετὰ τοῦτο ἐν συμφοραῖς ἐξεταζόμενοι, τῆς παρὰ σοῦ ἐπιεικείας τυχεῖν σπουδάσουσιν, οὐ μὴν καὶ ἐπιτεύξονται ὧν προσεδόκησαν, ἀλλ' αἱ ἐλπίδες αὐτῶν ἀπολοῦνται μὴ ἐπιτυγχάνουσαι· οὐδὲ γὰρ ἐνδέχεται τοὺς παρανόμους πράττειν ἀσφαλῶς, ἀλλὰ τοῖς δει-

νοῖς περιπεπτωκότες, ἐν ὅσῳ μεταβολὴν ἐλπίζουσιν, ὑπὸ τῶν συμφορῶν φθάνουσι διαφθαρῆναι, ἢ τινὸς ἀγαθοῦ τυχεῖν. ἐνταῦθα μέν τοι πονηροὺς τινὰς αἰνίττεται, καὶ τὴν λύπην αὐτῶν τὴν γινομένην ἐπὶ μεταβολῇ τοῦ ἀνιαροῖς περιπεπτωκότος· περὶ ὧν καὶ ἀποφαίνεται, ὅτι νεκρωθήσονται, τῶν ἐπὶ σοὶ πονηρῶν ἐλπίδων ἐκπεπτωκότες, καὶ τῷ φθόνῳ τακήσονται, τὴν σὴν εὐπραγίαν θεωροῦντες, ἢ κατὰ Θεοδοτίωνα, οἱ ὀφθαλμοὶ αὐτῶν ἐκλείψουσι, τυπέστιν, ἀποκαμοῦσιν ἐν τῷ ὁρᾷν ἐπὶ πολὺ, καὶ προσδοκᾷν τὴν σὴν πάλιν εἰς ἀτυχίαν μεταβολὴν, μὴ ἔχοιεν δὲ ταύτην ἰδεῖν. ταῦτα δὲ πρὸς ἕτερον μὲν λεγόμενα δι' ἁμαρτίας κακῶς πάσχοντα, καλῶς ἐλέγετο. οὐδὲ γὰρ ἀπόβλητοι τῶν φίλων τοῦ Ἰὼβ οἱ λόγοι, ἐὰν ἕπερον ἦν πρόσωπον τὸ νουθετούμενον, καὶ μετὰ τῆς προσηκούσης λέγωνται διαιρέσεως. ὁ δὲ δίκαιος, καὶ μᾶλλον ἀλγεῖ, οὐδὲν μὲν ἑαυτῷ συνειδὼς, ὡς ἀσεβὴς δὲ νουθετούμενος, εἰς μετάνοιαν.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΝΝΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΣΦΟΔΡΟΤΕΡΟΝ τοῦ Σωφὰρ χρησαμένου τοῖς λόγοις, καὶ διὰ τῆς τοῦ Θεοῦ σοφίας, καὶ δυνάμεως πειραθέντος, τοῦτο μὲν φοβῆσαι τὸν δίκαιον, τοῦτο δὲ καὶ δεῖξαι ὅτι οὐκ ἀδίκως πάσχει· Χλευάζει ὁ Ἰὼβ τὸν Σωφὰρ, ὡς τὰ ὡμολογημένα δι' ἀποδείξεων βουληθέντα κατασκευάσαι. εἶτα καὶ αὐτὸς μεγαλοπρεπῶς ἐξηγεῖται τὰ περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως, δεικνὺς ὅτι συνετώτερος αὐτῶν ἐστὶ περὶ τὰ θεῖα καὶ μέμφεται μὲν τοὺς φίλους, ὡς οὐ δυνηθέντας θεραπευτικοὺς λόγους εἰπεῖν. αὐτὸς δὲ ἐπὶ τοῦ δικαίου Θεοῦ ἡδέως λέγει τὰ προσόντα αὐτῷ, σφόδρα θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ· καὶ αἰτιᾶται τοὺς φίλους, ὡς παρὰ τὸ δίκαιον τὴν ὑπὲρ Θεοῦ δικαιολογίαν ἀναλαβόντας, καὶ φησὶν, ὅτι κἂν μυριάκις δόξηται ὑπὲρ Θεοῦ λαλεῖν, λαλῆτε δὲ μετὰ δόλου καὶ παρὰ τὸ δίκαιον, οὐκ ἀποδέξεται ὑμᾶς ὁ φιλαλήθης Θεός· τὸ δὲ ἐναντίον, αὐτὸς σωτηρίας ἐλπίζει τεύξεσθαι, ὡς ἀδόλως καὶ καθαρῶς ἃ φρονεῖ μετὰ παῤῥησίας ἐπὶ τοῦ Θεοῦ διαλεγόμενος, καὶ φησὶν, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι πρὸς ἀληθῆ Θεὸν καὶ δίκαιον σὺν ἀληθείᾳ φθεγγόμενος. εἶτα τρέπεται καὶ εἰς αἴτησιν πρὸς Θεὸν, καὶ παρακαλεῖ συγγνώμης τυχεῖν, εἴτι καὶ ἥμαρτε. καὶ τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκεσίαν προβάλλεται, φάσκων, μηδένα ἄνθρωπον εἶναι καθαρὸν, κἂν μίαν ἡμέραν εἰς τὸν βίον προσέλθῃ. Δείκνυσι δὲ κατὰ παράθεσιν, ὡς καὶ τῶν φυτῶν ἀδρανέστερός ἐστιν ὁ ἄνθρωπος, καὶ ἱκετεύει τὸν Θεὸν ὡς ποιητὴν, φείσασθαι τοῦ ἰδίου δημιουργήματος, καὶ ἀξιοῖ μὴ πρὸς ἀκριβεῖς ἐλθεῖν ζητήσεις καὶ ἐλεγμούς. Θαυμάται δὲ ἄξιον, πῶς ἐν τοσαύταις συμφοραῖς καὶ βασάνοις οὐκ ἐξεπλάγη, οὐ κατέπεσε· πῶς οὐδὲν αὐτὸν τῶν ὑπὸ τῶν φίλων λαληθέντων διέλαθεν, ἀλλὰ καὶ πρὸς πάντα ἀπαντᾷ, καὶ δόγματα λαλεῖ, καὶ ἀξίως Θεοῦ τὰς περὶ αὐτοῦ κέκτηται ὑπολήψεις, καὶ ἐν μέσαις ταῖς βασάνοις, ὡς μὴ ὢν ἐν σαρκὶ, ἀλλ' ὅλως ἐν πνεύματι φιλοσοφεῖ.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, εἶτα ὑμεῖς ἐςὲ ἄνθρωποι; ἢ μεθ' ὑμῶν τελευτήσει σοφία;

Ο'ΛΥΜΠ. Μόνες, φησὶν, ἑαυτὸς κρίνετε ἀνθρώπες, εἰδότας τὸ μεγαλεῖον τοῦ Θεοῦ, καὶ τὸ λογικὸν ἀκριβῶς διασώζοντας· καὶ οἴεσθε μήτε τινὰ τῶν πρὸ ὑμῶν γεγενῆσθαι σοφὸν, μήτε ἔσεσθε μεθ' ὑμᾶς, ἀλλ' ἐφ' ὑμᾶς τὴν πᾶσαν τελευτήσειν σοφίαν, ὡς μηδένα ἄλλον μετέχειν αὐτῆς. τουτέςι, πέρας σὺν ὑμῖν λήψεται, ἐφ' ἕτερον δὲ ὁ μεταβήσεται, ἀλλ' ἐν ὑμῖν μόνοις ἡ τελειότης τῆς σοφίας περιγραφήσεται. ταῦτα δὲ λέγει ὁ καταπαιρόμενος αὐτῶν, ἀλλ' ἀχθόμενος ἐφ' οἷς παρὰ τὴν ἀλήθειαν λαλοῦσιν, ἐπάγει γοῦν.

ΚΕΙΜ. Κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐςίν.

Ο'ΛΥΜΠ. Τὴν αὐτὴν ὑμῖν, φησὶν, εἰμὶ ἔχων φύσιν, οὐδ' αὐτὸς ἀγνοεῖν τὰ τοιαῦτα δύναμαι· ἄνθρωπος γὰρ εἰμὶ κἀγὼ, καὶ πάντως οὐκ ἀκάρδιος. βούλεται δὲ εἰπεῖν, ὅτι συνέσει μὲν ὑμῶν ὁ λείπομαι, ἀλλὰ συνίημι κἀγὼ ὥσπερ ὑμεῖς, καὶ οὐκ ἀπολώλεκα τὴν καρδίαν, ὡς περί τινων λέγεται τὴν καθήκουσαν ἐνέργειαν ἀποβαλόντων τῆς ψυχῆς, τῷ δὲ μεγέθει τῶν κακῶν βεβλημένος, πρὸς τὸ λοιδορεῖσθαι πρόκειμαι.

ΚΕΙΜ. Δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα.

ΠΟΛΥΧΡ. Τοῦτο δὲ πάντων, φησὶ, δεινότατον, ὅτι εὖ βιοὺς, καὶ οὐδεμίαν κατηγορίας ἀφορμὴν παρασχόμενος, ὑμέτερον ἀπεφάνθην παίγνιον.

Ο'ΛΥΜΠ. Καὶ ἔοικε μὲν περὶ ἑαυτοῦ λέγειν· Καθολικὸν δὲ ἐκτίθεται λόγον, ὅτι οἱ σαρκικοὶ, τὰ τῶν δικαίων καὶ πνευματικῶν, μωρίαν ἡγοῦνται· κατὰ τὸ εἰρημένον, ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. δίκαιον δὲ ἑαυτὸν ἐνταῦθα λέγει, οὐχὶ τὴν τελείαν ἀρετὴν ἑαυτῷ μαρτυρῶν, ἀλλὰ τὸ μηδένα ἠδικηκέναι, τὸ μηδένα τῶν ἄλλων ἔχειν ἐγκαλεῖν αὐτῷ, καὶ εἰ ἐγὼ, φησὶ, μηδὲν ἠδικηκὼς τοιαῦτα πάσχω, πόσῳ μᾶλλον ὁ πονηρός;

ΔΙΔΥΜ. Ἐπισήμηναι δὲ, ὅτι ὅταν μὲν τὰ ἐλάττονα λέγῃ, ἑαυτῷ αὐτὰ προσάγει, οὐ γάρ ἐςιν ἐπιδεικτικὸς δι' ἀτυφίαν· ὅταν δὲ τὰ μείζονα καταλέγῃ, εἰς τὸ καθόλου ἀνάγει τὸν λόγον· ὥσπερ οὖν κἀνταῦθα μονονουχὶ, φησὶ, μὴ γελάσθωσαν οἱ δίκαιοι, ἐπὶ τοσοῦτον γὰρ πάσχουσιν, ἐφ' ὅσον ὁ Θεὸς βούλεται.

ΚΕΙΜ. Εἰς χρόνον γὰρ τακτὸν ἡτοίμασο πεσεῖν ὑπὸ ἄλλων, οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων.

Ο'ΛΥΜΠ. Ἐνταῦθα οἱ τὴν εἱμαρμένην δοξάζοντες, φασὶν, ὅτι ἰδοὺ καὶ ἡ γραφὴ λέγει ὅτι εἵμαρτο αὐτὸν παθεῖν, καὶ ὅτι ὡρίσθη ὑπὸ Θεοῦ ἐλάττονα τοῦτον ὀφθῆναι, τῶν πρότερον ὑποδεεςέρων. ἀλλ' οὐ τοῦτο ἡ γρα-

φὴ λέγει, μὴ γένοιτο· ἐ γὰρ ὑπ' ἀνάγκlω τὰ ἡμέτερα πάθη, εἴτε φυσικὰ εἶεν, εἴτε προαιρετικὰ, εἴτε πειρασικά. τὰ μὲν γὰρ τῇ τῆς φύσεως ἀθενείᾳ προσαπτέον, τὰ δὲ τῇ αὐτεξεσίῳ προαιρέσει, τὰ δὲ τῇ τῦ Θεῦ κυβερνήσει, πρὸς τὸ συμφέρον ἐπί τινα χρόνον ἡμῖν ἐπιφέρεσθαι συγχωρῦντι. ἀλλ' ὅτι ἐν μέτρῳ διοικῶν τὰ καθ' ἡμᾶς ὁ Θεὸς τοῖς τῆς ἑαυτῦ προνοίας λόγοις, οἶδε καὶ μέχρι πόσυ συμφερόντως δεῖ πάσχειν ἡμᾶς, καὶ κατὰ μέτρον ἐπάγει τὰς πειρασμὰς.

ΚΕΙΜ. Οὐ μlὼ δὲ ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῶος ἔσεσθαι, ὅσοι παροργίζϛσι τὸν Κύριον, ὡς ὐχὶ καὶ ἔτασις αὐτῶν ἔςαι.

ΠΟΛΥΧΡ. καὶ ΟʼΛΥΜΠ. Οἴεσθέ με, φησὶν, ἀγνοεῖν τὰς τῆς προνοίας λόγυς, καίτοι καὶ τύτυς ὐκ ἔλαττον ὑμῶν γινώσκω. καὶ οἶδα ὥσπερ καὶ ὑμεῖς, ὡς ὐκ ἔνεσιν εἰς Θεὸν ἡμαρτηκότα μὴ δῦναι δίκlω. δῆλον γὰρ τῦτο καὶ ὡμολογημένον, ὡς ὐκ ἀτιμώρητος ἡ ἁμαρτία, ὐδὲ ἀνεξέταςοι μένϛσιν οἱ τὸν Θεὸν παροργίζοντες· κἂν χλευάζῃ τις τὸν δίκαιον, καὶ καταδυναςεύῃ, ὐκ ἔςαι ἀθῶος, κἂν ἐκνικήσῃ αὐτὸν τῷ δοκεῖν, παροργίζει γὰρ ὁ τοιῦτος τὸν Θεὸν, ἔςαι δὲ πάντως ἐξέτασις τῶν πραττομένων καὶ κρίσις.

ΚΕΙΜ. Αʼλλὰ δὴ ἐρώτησον τετράποδα, ἐάν σοι εἴπωσι, πετεινὰ δὲ ὐρανῦ, ἐάν σοὶ ἀπαγγείλωσιν· ἐκδιήγησαι γῇ ἐάν σοι φράσῃ, καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης. τίς ὖν ὐκ ἔγνω ἐν πᾶσι τύτοις, ὅτι χεὶρ Κυρίυ ἐποίησε ταῦτα; εἰ μὴ ἐν χειρὶ αὐτῦ ψυχὴ πάντων ζώντων, καὶ πνεῦμα παντὸς ἀνθρώπυ. ὖς μὲν γὰρ ῥήματα διακρίνει. λάρυγξ δὲ σῖτα γεύεται.

ΧΡΥΣΟΣΤ. καὶ ΟʼΛΥΜΠ. Εʼπειδὴ μέγα ἐκεῖνοι ἐφρόνυν, ὡς τlὼ τοῦ Θεῦ ἔχοντες γνῶσιν, τύτυ χάριν ἀποφαίνεται, ὅτι πᾶσα ἡ κτίσις οἶδε τὸν δημιυργὸν, καὶ ὐκ ἀνθρώποις τῦτο δῆλον μόνον, ἀλλὰ καὶ ἀλόγοις, καὶ αὐτῇ τῇ ἀναισθήτῳ γῇ. τί τοίνυν ὡς μέγα τι καὶ θαυμαςὸν εἰρηκότες ὗτω, διάκεισθε; δεῖ γὰρ πάντως τὸν πονηρὸν ἀπολέσθαι, καὶ ὐδεὶς ἀγνοεῖ. πρὸς πλείονα δὲ ἐντροπlὼ τοῦ Σωφὰρ, ὑπερβολικῶς εἶπεν, ἐπερώτησον τὰ ἄλογα καὶ ἄψυχα, ἃ καὶ αὐτὰ διηγεῖται δόξαν Θεῦ, τῷ φαίνεσθαι ὗτω φθέγγεσθαι, κἂν μὴ λαλῶσι· τῆς γοῦν τοῦ Θεῦ δυνάμεως ἐπαισθανόντα, κἂν φωνlὼ λάβωσιν, ἐρῦσιν, ὅτι δημιυργὸς ἐςὶ τῶν ὅλων Θεὸς, καὶ τlὼ σοφίαν ἀνέφικτος, καὶ τῶν πονηρῶν τιμωρὸς, καὶ ὅτι ὑπὸ τὴν χεῖρα αὐτῦ πάντα ἐςὶ, καὶ ἡ ζωὴ τῶν ζώντων, καὶ ὁ θάνατος, καὶ ἑτοίμως ἔχει ποιεῖν, ὃ ἂν περὶ ἑκάςυ βυλεύσηται, καὶ πάντα συνέχει καὶ διακρατεῖ, τlὼ τε ψυχlὼ τῶν ἀλόγων, καὶ τὸ Πνεῦμα τῶν ἀνθρώπων. εἰ τοίνυν τὰ ἄλογα, εἰ ἐφθέγξατο, ὗτως ἂν ἀπήγγειλε περὶ Θεῦ, πόσῳ γε μᾶλλον ὁ ἄνθρωπος, ὁ ἔμφυτον ἔχων τὸ λογικὸν, ὥσπερ ἀμέλει καὶ ὁ λάρυγξ διακριτικός ἐςι τῶν γεύσεων, καὶ τὸ ὖς τῶν φωνῶν. τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ τῦ, ὖς, νοῦν, ἔχυσι· λέγει οὖν

ὅτι ὥσπερ λάρυγγα ἐπὶ διακρίσει βρωμάτων ἅπαντες ἔχομεν, καὶ κοινὸν ἀνθρώπων, τὸ, τῆς τροφῆς μεταλαμβάνειν· οὕτω καὶ νοῦν εἰς γνῶσιν Θεοῦ εἰλήφαμεν, δυνάμενον εἰδέναι τὰ περὶ τῆς αὐτοῦ σοφίας καὶ δυνάμεως· νοῦς μὲν γὰρ νοητὰ, αἴσθησις δὲ τὰ αἰσθητὰ διακρίνει· καὶ κοινὸν ἡμῖν τὸ, καὶ δημιουργὸν εἰδέναι τὸν τῶν ὅλων Θεόν.

ΚΕΙΜ. Ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη.

ΧΡΥΣΟΣΤ. καὶ ΟΛΥΜΠ. Ἐμοὶ δοκεῖ καθάπτεσθαι αὐτῶν. μὴ γὰρ νομίζητε, φησὶ, τὸ πᾶν ἀρηκέναι. εἰ γὰρ καὶ νοῦν ἔχομεν διακρίνοντα, ἀλλ' ὅμως καὶ χρόνου δεόμεθα πολλοῦ ὥστε ἀρέειν. ὁ γὰρ φρόνιμος παλαιούμενος προκόπτει τῇ σοφίᾳ. καὶ τάχα τοῦτο θέλει εἰπεῖν, ὅτι καὶ οἶδα, ἃ ἀκούω, καὶ χρόνου εἰς ἐπιστήμην προσέλαβον. Ἀκύλας δὲ καὶ Σύμμαχος, ὁ μὲν, ἐν παλαιοῖς σοφία, ὁ δὲ, ἐν μακροχρονιότησιν, ἐξέδωκε, παρὰ ἀνθρώποις πόνῳ ἀνυομένη, καὶ χρόνῳ ἐγγινομένη, παρὰ δὲ Θεῷ θελήσει.

ΚΕΙΜ. Παρ' αὐτῷ σοφία καὶ δύναμις.

ΟΛΥΜΠ. Παρ' αὐτῷ τῷ Θεῷ δηλονότι· αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς σοφίας καὶ δυνάμεως, ὁ καὶ τοῖς ἄλλοις ταῦτα διδούς· καὶ τὸ μὲν, περὶ Θεοῦ τὰ μέγιστα φρονεῖν, πάντες ἄνθρωποι κέκτηνται· τὴν δὲ ἀκρίβειαν τῶν ἐν τῇ κτίσει γνῶσιν, καὶ τὴν κατὰ πάντων δύναμιν ἔχει μόνος Θεὸς, καὶ πάντα οἰκονομεῖ, οὐκ εἰκασίᾳ καὶ ἀγνοίᾳ τοῦ μέλλοντος, ἀλλ' ἀκριβῆ ἑκάστου τὴν γνῶσιν ἔχων.

ΚΕΙΜ. Αὐτῷ βουλὴ καὶ σύνεσις.

ΠΟΛΥΧΡ. Τῇ δυνάμει τὴν βουλὴν συνῆψε καὶ τὴν σύνεσιν· οὐδὲν γὰρ ἀβούλως, ἢ ἀσυνέτως ποιεῖ, ἀλλ' ἐν σοφίᾳ τὰ πάντα. ἔστι δὲ δύναμις καὶ βουλὴ τοῦ Πατρὸς ὁ Υἱὸς, κατὰ τὸ ψαλλόμενον, ἐν τῇ βουλῇ σου ὡδήγησάς με.

ΚΕΙΜ. Ἐὰν καταβάλῃ, τίς οἰκοδομήσει; ἐὰν κλείσῃ κατ' ἀνθρώπων, τίς ἀνοίξει;

ΟΛΥΜΠ. Τῷ παντοδυνάμῳ προσέθηκε, καὶ τὸ ἀναμφήριστον, κατὰ τὸν ψάλλοντα, σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; οὐδεὶς ἀγνοεῖ, φησὶν, ὅτι καὶ σοφὸς ἐστὶν ὁ Θεὸς καὶ δυνατὸς, καὶ πάντα μετ' εὐκολίας ποιεῖ ὅσα καὶ βούλεται, καὶ οὐδεὶς ἱκανὸς ἀνατρέψαι τὰ αὐτῷ δοκοῦντα. ἀπόδειξις δὲ τῆς δυνάμεως τὰ πράγματα. εἰ γάρ τινος θάνατον καταψηφίσηται, τίς τοῦτον ἐπελθεῖν κωλῦσαι δύναται; εἰ δὲ ἀποκτεῖναι μὲν οὐ βουληθείη, ἐπώδυνον δὲ τὴν ζωὴν κατασκευάσαι τινὶ, τίς ἀρκεῖ παραμυθήσασθαι; ἃ γὰρ ἂν ποιῇ καθ' ἡμῶν διὰ τὰς ἡμῶν ἁμαρτίας, ἀναντιρρήτως ἐκβήσεται.

ΧΡΥΣΟΣ. Ἠρέμα δὲ ὁ δίκαιος τὸν περὶ προνοίας λόγον διδάσκει τοὺς ἀντιλέγοντας αὐτῷ· εἰ γὰρ καὶ ἐτίθεντο πρόνοιαν, ἀλλά γε ἐναντιώμασι περιέπιπτον. λέγει δὲ, ὅτι τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; ἔστι γοῦν τὸν μὲν ἀρέειν πενόμενον, τὸν δὲ ἐν περιστά-

σει,

σει, τὸν δὲ νόσῳ πεπιεσμένον, καὶ ὅλως ἐν διαφόροις συμπτώμασι Θεοῦ βελήσει συμβαίνεσιν, ἄλλον καὶ ἄλλον κατειλημμένον, καὶ μηδένα δυνάμενον ἀπώσασθαι τὸ κεκρυμμένον, καὶ ἡ ἀπόδειξις ἀπὸ τῶν μειζόνων καὶ ὡμολογημένων.

ΚΕΙΜ. Ἐὰν κωλύσῃ τὸ ὕδωρ, ξηρανεῖ τὴν γῆν· ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Κἂν ἐπίσχῃ τὸν ὑετὸν, τῷ αὐχμῷ ἀπολεῖται τὰ πάντα, ὡς ἐπὶ Ἠλιȣ̃· κἂν ἐπαφῇ τȣ̃τον τῇ γῇ, ὡς ἐπὶ τȣ̃ Νῶε, κατακλύσει αὐτὴν, καὶ ἀφανίσει. εἶτα τὸ εὔλογον τῆς ἀποδείξεως, τοῦ ἕκαστα τῶν παρὰ Θεȣ̃ γινομένων, μὴ ἂν ἄλλον δύνασθαι ποιεῖν, ἢ αὐτὸν, διὰ τῶν ἑξῆς διδάσκει, φάσκων.

ΚΕΙΜ. Παρ' αὐτῷ κράτος καὶ ἰσχὺς, αὐτῷ ἐπιστήμη καὶ σύνεσις.

Τȣτέστιν, αὐτῷ μόνῳ πρόσεστι, τὸ πάντα κατὰ γνώμην ποιεῖν. συμβαίνει δὲ τȣ̃το εἰκότως, ἐπειδὴ πάντων δεσπόζων, ἄφατον ἔχει τὴν δύναμιν. αὐτῷ ἐπιστήμη καὶ σύνεσις, γνῶσις τῶν ὄντων ἀκριβεστάτη, καὶ κυβέρνησις σοφωτάτη.

ΚΕΙΜ. Διάγων βελευτὰς αἰχμαλώτȣς, κριτὰς δὲ γῆς ἐξέστησε.

ΧΡΥΣΟΣΤ. καὶ ΠΟΛΥΧΡ. Καὶ ταῦτα τῆς προνοίας ἔργα· καὶ γὰρ τῷ Θείῳ θελήματι, καὶ τῇ κρίσει, καὶ βελευταὶ αἰχμάλωτοι ἄγονται, καὶ κριταὶ μεθίστανται· ἴσως δὲ τȣ̃το, οὐ περὶ τῶν ἐν πολέμῳ γινομένων δορυαλώτων, φησὶν, ἀλλὰ περὶ τῶν μέγα φρονȣ́ντων ἐπ' ἀγχινοίᾳ· ὡς εἰ λέγοι, σφάλλει καὶ τȣ̀ς σοφȣ̀ς, καὶ τȣ̀ς διακριτικȣ̀ς περιτρέπει, καὶ τȣ̀ς τὰ πρακτέα τοῖς ἄλλοις εἰσηγȣμένȣς, πρὸς τὴν αὐτȣ̃ ἀκρίβειαν ἀσυνέτȣς ἀποφαίνει, καὶ εἰς ἀβελίαν ἄγει. ταύτην τὴν ἔννοιαν παρέστη, καὶ Ἀκύλας, καὶ Σύμμαχος· ὁ μὲν γὰρ, ἀπάγων συμβȣ́λȣς λάφυρα, φησίν· ὁ δὲ, ἄγων βελευτικȣ̀ς εἰς ἀβελίαν. ὅρα δὲ, ὅτι ἄμαχον δείξας τȣ̃ Θεȣ̃ τὴν δύναμιν, ἁπάντων αὐτὸν μείζονα κατὰ σοφίαν δείκνυσι· διαιρεῖ δὲ τὸν λόγον, εἴς τε τȣ̀ς κατὰ τὸν βίον λαμπρȣ̀ς, καὶ τοὺς ἐν ἀσεβείᾳ νομιζομένους μεγάλους.

ΚΕΙΜ. Καθιζάνων βασιλεῖς ἐπὶ θρόνȣς, καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν.

Ο'ΛΥΜΠ. Ἀλλὰ καὶ αὕτη τȣ̃ Θεȣ̃ ἐξȣσία, τὸ, μηδένα χωρὶς αὐτȣ̃ βασιλεύειν. καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν. ὁ δὲ Σύμμαχος, καὶ περιζωννύων αὐτȣ̀ς χοινίῳ κατὰ λαγόνων, ἀντὶ τοῦ, καὶ μεταβάλλων αὐτοὺς εἰς οἰκέτας.

ΚΕΙΜ. Ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτȣς, δυνάστας δὲ γῆς κατέστρεψε.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Οὐδὲ γὰρ τῶν ἱερέων φείδεται παρανομȣ́ντων, ἀλλὰ τοῖς κακῶς ἄρχȣσι αὐτȣ̀ς συναπόλλυσιν. ἵνα εἴπῃ, ὅτι καὶ οἱ μέγιστοι παρὰ ἀνθρώποις εἰς ȣ̓δὲν αὐτῷ εἰσίν. εἰ μὲν

σὺν

οὖν τοὺς οὐκ ὀρθῶς χρωμένους τῇ ἱερωσύνῃ λέγει, δηλοῖ ὅτι οὐδὲ ἐκείνων φείδεται, καιροῦ καλοῦντος· εἰ δὲ τοὺς εἰς δέον χρωμένους τῷ πράγματι, σημαίνει ὅτι καὶ τούτους πολλάκις, ὡς τοὺς περὶ Δανιὴλ καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, εἰς αἰχμαλωσίαν ἐξαποστέλλει ὁ Θεὸς, καὶ διὰ τὸ χρήσιμον τοῦ ἄλλου πλήθους, ὅσον γὰρ ἐφ' οἷς ἔπραττον οὗτοι, οὐκ ἦσαν ἄξιοι αἰχμαλωσίαν ὑποστῆναι. τὸ δὲ, δυνάστας γῆς κατέστρεψεν, ὅμοιον τῷ πρὸ αὐτοῦ, κριτὰς δὲ γῆς ἐξέστησε.

ΚΕΙΜ. Διαλλάσσων χείλη πιστῶν.

ΤΟΥ ΑΥΤΟΥ. Πιστοὺς ἐνταῦθα λέγει, τοὺς ὀφείλοντας ὡς ἀληθεύοντας πιστεύεσθαι· ὅπερ ὁ Σύμμαχος ἐσαφήνισεν, ἐκδοὺς, περιτρέπων χείλη ἀπλανήτων, τουτέστι καὶ τῶν δοκούντων εἶναι ἀπλανεστάτων τὰς βουλὰς εἰς τοὐναντίον μεθίστησιν, ὡς ἐπὶ τοῦ Βαλαὰμ πεποίηκε.

ΚΕΙΜ. Σύνεσιν δὲ πρεσβυτέρων ἔγνω.

Ἀντὶ τοῦ, οὐδὲν αὐτὸν διαλανθάνει, ἀλλὰ γνοὺς ἀπ' ἀρχῆς τῶν συνετῶν τὰς κινήσεις, δύναται ταύτας ἀνατρέπειν, ὡς μηδὲ εἰς ἔργον ἐκβαίνειν. ὁ δὲ Σύμμαχος, καὶ ἐπιστήμην γερόντων ἀφαιρῶν ἐκδέδωκεν· ἵνα εἴπῃ, ὅτι καὶ τῶν ἐκ τοῦ χρόνου τι προσλαβόντων τὴν δοκοῦσαν σύνεσιν ῥᾳδίως ἀνατρέπει, ἣν πολλῷ χρόνῳ ἔγνωσαν.

ΚΕΙΜ. Ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας, ταπεινοὺς δὲ ἰάσατο.

Ταῦτα μάλιστα τὸν Θεὸν δείκνυσι θαυμαστὸν, τὰ παρὰ προσδοκίαν τοῖς ἀνθρώποις ἀπαντῶντα. ὅμοιον τούτῳ, τὸ, καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς.

ΚΕΙΜ. Ἀνακαλύπτων βαθέα ἐκ σκότους, ἐξήγαγε δὲ εἰς φῶς σκιὰν θανάτου.

ΟΛΥΜΠ. Πρὸς μὲν τὸ ῥητὸν, ὁ καὶ τὰ πᾶσιν ἄδηλα φανεροποιῶν, καὶ τὰ συνεσκιασμένα ἐξάγων εἰς τοὐμφανές· ἢ καὶ τοὺς ἐν κινδύνοις, καὶ πλησίον ὄντας θανάτου διασώζων· σκιὰν γὰρ θανάτου τὸν κίνδυνον καλεῖ. πρὸς δὲ διάνοιαν, ἔοικε προφητικῶς τὴν τοῦ Κυρίου παρουσίαν καταγγέλλειν, ὃς εἶπε τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύφθητε· καὶ ἐπέφανε τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένοις.

ΚΕΙΜ. Πλανῶν ἔθνη, καὶ ἀπολλύων αὐτά· Καταστρωννύων ἔθνη, καὶ καθοδηγῶν αὐτά.

ΤΟΥ ΑΥΤΟΥ. Τοῦτο πεποίηκε τοῖς Ἰσραηλίταις, τοὺς μὲν ἐξελθόντας ἐξ Αἰγύπτου, καὶ ἀπειθήσαντας πλανήσας, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ· τοὺς δὲ τούτων υἱοὺς καθοδηγήσας ἐν τῇ γῇ τῆς ἐπαγγελίας, ἐν τῷ οἷον καταστρῶσαι, καὶ ἐξομαλίσαι αὐτοῖς τὴν ὁδόν.

ΠΟΛΥΧΡ. Ἀμφότεροι οἱ στίχοι τὸ αὐτὸ δηλοῦσιν· ἐν πολέμῳ γὰρ, φησὶ, βληθεὶς εἰς φυγὴν τρέπει τὸ πλῆθος, καὶ ὑπὸ δειλίας πλανᾶσθαι παρασκευάζει· ὃ πρότερον μὲν ἐπὶ Χαναναίων γεγένηται, τελευταῖον δὲ

ἐπὶ

ἐπὶ Ἰεδαίων ἡμαρτηκότων εἰς Θεόν. καὶ μίαν. καὶ κολάζει, φησὶ, καὶ τῇ δεξιᾷ τῶν πολεμίων ἐμπίπτειν παρασκευάζει, μονονεχὶ καὶ καθοδηγῶν εἰς ἀπώλειαν καὶ εἰς θάνατον. ἔθος δὲ τῇ γραφῇ, καὶ τὴν αὐτοπροαίρετον πλάνην ἡμῶν ἐπὶ τὸν Θεὸν ἀναφέρειν, διὰ τὴν ἄμετρον αὐτε̃ μακροθυμίαν καὶ παραχώρησιν.

ΚΕΙΜ. Διαλλάσσων καρδίας ἀρχόντων γῆς, Ἐπλάνησε δὲ αὐτὲς ἐν ὁδῷ ᾗ ὐκ ᾔδεισαν.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ὅμοιόν τι καὶ ἐν Ψαλμοῖς εἴρηται, ἀθετεῖ δὲ λογισμὲς λαῶν, καὶ ἀθετεῖ βελὰς ἀρχόντων. ὁ μέντοι Θεοδοτίων, τὸ, διαλλάσσων, μεθιςῶν, φησὶν, ὁ δὲ Σύμμαχος παρατρέπων· ὁ δὲ Ἀκύλας ἀφιςῶν, εἰς μίαν οἱ τρεῖς ἐρχόμενοι ἔννοιαν· ὡς εἰ λέγει, ὐ μόνον τὲς πολλὲς εἰς φυγὴν τρέπει, ἀλλὰ καὶ τὲς ἀνδρείες, καὶ τῶν λοιπῶν ἄρχειν δοκεν̃τας· οἷον δήτι καὶ ἐπὶ Σεδεκίε γέγονεν, ὐδ' ἀντᾶραι χεῖρας τῷ βαρβάρῳ δυνηθεύτος, ἀλλὰ διαδράντος, καὶ πρὸς τὴν ἔφοδον μόνην. μέμνηται δὲ τέτων, ὡς δυναμένων ἐπὶ πραγμάτων ἁρμοσθῆναι, ὕπω γὰρ τὸ καίριον τῶν φωνῶν τέτων δειχθήσεται. εἶτα καὶ τὰ τοῖς φεύγεσιν ἐξ ἀνάγκης συμβαίνοντα διηγέμενος, φησί.

ΚΕΙΜ. Ψηλαφήσαιαν σκότος, καὶ μὴ φῶς, πλανηθείησαν δὲ ὥσπερ ὁ μεθύων.

Ἵνα εἴπη, ὐδὲν οἱ τοιε̃τοι διαλάττεσι, τῶν ἐν ζοφερῷ σκότει ἀφαιρεμένων τὸ φῶς, πρὸς τὴν τῶν προκειμένων πρᾶξιν· καὶ ὑπὸ τε̃ μεγέθες δὲ τῶν συμφορῶν ὐδὲν τῶν ὑπὸ κραιπάλης περιφερομένων διοίσεσι. τὸ γὰρ ψηλαφήσαιαν σκότος, καὶ πλανηθείησαν, ὐκ εὐκτικῶς λέγει, ἀλλὰ τὸ συμβαῖνον δηλοῖ, τετέςι, ψηλαφῶσι, καὶ πλανῶνται.

ΚΕΙΜ. Ἰδὲ ταῦτα ἑώρακέ με ὁ ὀφθαλμὸς, καὶ ἀκήκοέ με τὸ ἔς, καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίςασθε, καὶ ὐκ ἀσυνετώτερός εἰμι ὑμῶν.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ταῦτα, φησὶ, καὶ αὐτῇ τῇ πείρᾳ ἔγνων, καὶ λεγόντων ἑτέρων ἤκεσα, τετέςι καὶ ἐκ τῶν πραγμάτων κατέλαβον, καὶ διδαχῇ παρέλαβον, καὶ ἐπαιδεύθην περὶ Θεε̃· καὶ εἰ τῇ ἡλικίᾳ ἐλάττων ὑμῶν εἶναι δοκῶ, ἀλλ' ὐδὲν εἰς σύνεσιν λείπομαι, καὶ ὐχ ἥκιςα εἰς τὴν τῶν θείων εἴδησιν, καὶ ὐδὲν ὑμῶν εἰμὶ περὶ ταῦτα καταδεέςερος.

ΚΕΙΜ. Οὐ μὴν δὲ ἀλλ' ἐγὼ πρὸς Κύριον λαλήσω.

ΔΙΔΥΜ. Αἰτιασάμενος τὲς φίλες ὡς σφαλλομένες, φησὶν, ὅτι πρὸς Κύριον λαλήσω, τὸ ἀπαρρησίαςον αὐτοῦ δεικνύς.

Ο'ΛΥΜΠ. Ὁρᾷς ὡς ἐπὶ τε̃ δικαίε κειτε̃, καὶ τε̃ τῶν ψυχῶν ἰατρε̃, βέλεται τὰ καθ' ἑαυτὸν ἐξετασθῆναι, θαρρῶν τῇ τε̃ Θεε̃ δικαιοκρισίᾳ, ὡς τῶν φίλων καὶ σφαλλομένων, καὶ ἀντὶ θεραπείας φαρμάκων, καὶ λόγων παρακλήσεως, ἐπιτειβόντων, αὐτῷ τὸ τραῦμα.

ΚΕΙΜ. Ἐλέγξω δὲ ἐναντίον αὐτε̃ ἐὰν βέληται.

ΤΟΥ ΑΥΤΟΥ. Α'ντὶ τοῦ, ἀποδείκνυμι τὰ κατ' ἐμαυτὸν, εἰ καθ' ὑπόθεσιν τοῦτο θέλει καὶ ἐπιτρέπει. οἶδα γὰρ ὅτι αὐτὸς τὴν αἰτίαν τῆς κακώσεως ἐπίσαται. ὅμοιον τούτῳ, τὸ, ἄρτι γὰρ ἀνθρώπους πείθω; καὶ τὸ, ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. ἐὰν οὖν ὁ Θεὸς, φησὶν, ἐπιτρέψῃ μοι, αὐτοῦ δικάζοντος, ἐλέγξω ὑμᾶς ψευδομένους, οἱ τὰς νόσους τοῦ κάμνοντος ἐπιτείβετε, ψευδόμενοι παρουσίας τὴν ἐπαγγελίαν, ἀλλὰ καὶ τὴν πρὸς ὑμᾶς ἅμιλλαν παρήσω· εἰδὲ Θεὸς βούλοιτο κρίνειν τὰς ἐμὰς πράξεις, ὑποςήσομαι τὴν δικαιολογίαν.

ΚΕΙΜ. Υ'μεῖς δὲ ἐςὲ ἰατροὶ ἄδικοι, καὶ ἰαταὶ κακῶν πάντες.

ΠΟΛΥΧΡ. ὁ δὲ ΣΥ'ΜΜΑΧ. Προσίθεσθε ψεύσματι, καὶ ἰατροὶ ἐπίπλασοί μου, κατασκευάζοντες ἄλογα. παρέλκον, φησὶν, τὸ πρὸς ὑμᾶς διαλέγεσθαι, οἵγε ἐπὶ θεραπείαν ἀφικόμενοι, πλήττοντες τοῖς λόγοις ὡς βέλεσι, χαλεπωτέραν τοῦ πάθους τὴν ἐκ τῶν πόνων ὀδύνην ἐπάγετε, τοὺς ἰδιωτικοὺς τῶν ἰατρῶν μιμούμενοι, οἱ τὴν διὰ φαρμάκων θεραπείαν καταλιπόντες, ἐπιδεικνῦσιν ἀνοήτως τοῦ ἀῤῥωςοῦντος τὰ τραύματα.

ΔΙΔΥ'Μ. Α'δικος δὲ ἰατρὸς ἐςὶ κατὰ τὸ πρόχειρον, ὁ ἄλλα βοηθήματα παρὰ τὰ συμφέροντα προσάγων τοῖς κάμνουσι. διττῶς δὲ τοῦτο γίνεται, ἢ ἐξ ἀπειρίας τοῦ ἰατροῦ, ἢ ἐκ κακοηθείας. οὗτοι δὲ οἱ ἐλεγχόμενοι, ἐξ ἀμαθείας μᾶλλον ἢ ἐκ κακουργίας, ἔλεγον τῷ Ι'ὼβ, ὅτι δι' ἁμαρτήματα πάσχεις, οἰόμενοι παρακλήσεως προσάγειν λόγους· ἄδικοι οὖν κατὰ τὸ ἀγνοεῖν τὴν αἰτίαν. τὸ δὲ, ἰαταὶ κακῶν πάντες, εἴη ἂν λέγων, κατὰ τῶν οἰομένων μεγάλα περὶ ἑαυτῶν, ὡς δυναμένων ἰᾶσθαι τὰ περιςατικῶς ἑτέροις συμβαίνοντα.

ΚΕΙΜ. Εἴη δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀποβήσεται ὑμῖν σοφία.

ΠΟΛΥΧΡ. Α'μεινον ὑμῖν, φησὶν, ἦν τὸ σιγᾷν, τοῦ οὕτω λαλεῖν· μᾶλλον γὰρ ἂν συνέσεως ἀπηνέγκασθε δόξαν, καὶ ἐνομίσθητε φρόνιμοι· ἵνα εἴπῃ, ὡς ἀνόητοι ταράττετε, πλήττοντες τὸν παρακλήσεως δεόμενον.

ΧΡΥΣΟΣΤ. καὶ Ο'ΛΥΜΠ. Ο'ταν γάρ τις τὰ μὴ λόγον ἔχοντα φθέγγηται, βέλτιον σιγᾷν, καὶ σιωπῶν μᾶλλον ἔςαι σοφὸς, ἢ λέγων. καλὸν γὰρ τοὺς τοιούτους σιωπᾷν, ἢ τοιούτοις ἐναλλεσθαι ῥήμασιν· ἡ μὲν γὰρ σιωπὴ τούτων ὑπόνοιαν ἔχει σοφίας· ἐννεὸν γάρ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι· ἡ δὲ λαλιὰ παροξύνει τὸν πάσχοντα. καὶ σὺ τοίνυν ὦ φιλόθεε, ἐν τοῖς τοιούτοις λόγοις μὴ σαλεύου, μιμοῦ δὲ μᾶλλον τοὺς ἁγίους, εἰδὼς ὅτι σατανικαὶ εἰσὶν αὗται ὑποβολαὶ, καὶ διάβολός ἐςιν ὁ ἐνεργῶν ἐν τοῖς ὀνειδίζουσιν, ἵνα σε τῆς πίςεως ἀφελκύσῃ, καὶ τῆς προθέσεως παύσῃ τῆς ἀγαθῆς. οἶδε γὰρ ὁ πανοῦργος, ὅτι ὁ μὲν πόνος οὐδὲν σὲ βλάπτει, ἀλλὰ μᾶλλον συνίςησι παρὰ τῷ Θεῷ. τὸ δὲ παύσασθαι τῆς προθέσεως, τοῦτο μεγάλως βλάπτει. ὅσῳ οὖν μεγάλως σὲ πειράζει, τοσούτῳ μᾶλλον προκόπτε τῇ ἀρετῇ· καὶ ὅσῳ ὀλιγωρεῖν σὲ βιάζεται, τοσούτῳ μᾶλλον μακροθυ-

μεν, καὶ ὑπόμενε, καὶ λέγε, ταῦτα πάντα ἦλθεν ἐφ᾽ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου. σὺ οὕτω κραταιωθῆς πρὸς τοὺς πειρασμοὺς, ὁ μὲν διάβολος ἀποστραφήσεται εἰς τὰ ὀπίσω κατῃσχυμμένος, μνημονεύει δέ σου ὁ τῶν ὅλων δεσπότης, καὶ ἀναψύξει μὲν ὧδε διττῶς, ἀκούσῃ δὲ μετὰ ταῦτα, εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. μνήσθητι τῆς ὑπομονῆς τοῦ Ἰὼβ, τοῦ μήτε ἐν ἀθυμίᾳ, μήτε ἐν πειρασμῷ περιτραπέντος, τοσαῦτα ἐν ἑκάστῳ πράγματι μακροθυμήσαντος καρτερῶς, ἕως οὗ ἀπολάβῃ διπλᾶ παρὰ Θεοῦ, καὶ μαρτυρηθῇ μέχρι νῦν, ὅσα πέπονθεν, ἵνα φανῇ δίκαιος τοῖς πᾶσιν.

ΚΕΙΜ. Ἀκούσατε δὲ ἔλεγχον τοῦ στόματός μου, κρίσιν δὲ χειλέων μου προσέχετε.

ΠΟΛΥΧΡ. Προσέχετε, φησὶ, τὸν νοῦν τοῖς κατὰ παῤῥησίαν λεχθησομένοις, καὶ τῇ κρίσει μου, τουτέστι, τῇ δικαιολογίᾳ μου.

ΔΙΔΥ'Μ. Κατανοήσατε ἃ μέλλω λέγειν εἰς ἔλεγχον ὑμῶν, καὶ ἐννοήσατε εἰ κεκριμένως φθέγγομαι. στόμα δὲ καὶ χείλη, ἀντὶ τοῦ λόγου, φησὶν, ἐλέγχει δὲ ὁ ἅγιος, ὡς ἅγιος, καὶ κρίνει ὡς πρέπει αὐτῷ. οὐ γὰρ ἄκαιρον ἔλεγχον ἔχει ὁ δίκαιος, οὐδὲ ψιλῶς τοῦτο ποιεῖ, ἀλλὰ κεκριμένως καὶ νομίμως χρῆται τῷ ἐλέγχῳ, καὶ τῇ κρίσει. στόμα γὰρ δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

ΚΕΙΜ. Πότερον οὐκ ἔναντι Κυρίου λαλεῖτε; ἔναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον; ἢ ὑποστελεῖσθε;

Ο'ΛΥΜΠ. Ἀπάρχεται τοῦ ἐλέγχου, διδάσκων αὐτοὺς, ὅτι πᾶν ὃ προφέρουσιν, ὁρῶντος τοῦ Θεοῦ φθέγγονται, ἀλλὰ καὶ τὸν δόλον ὡς κατέναντι αὐτοῦ προσφερόμενον αὐτοῖς ἀπαγγέλλει διορθώσεως ἕνεκεν, ἵνα παύσωνται τῆς τοιαύτης διαθέσεως, ὡς ἔχοντες τὸν ἐφορῶντα Κύριον. καὶ φησὶν, οὐκ ἐννοεῖτε, ὅτι ὁ Θεὸς ἐπακούει τῶν λόγων ὑμῶν; πῶς οὖν τολμᾶτε εἰς ἐπήκοον αὐτοῦ παρὰ τὸ ἀληθὲς φθέγγεσθαι, ἢ λήσεσθε αὐτὸν ῥᾳδιουργοῦντες; τοῦτο γὰρ, τὸ, ἢ ὑποστελεῖσθε; τουτέστιν, ἆρα δύνασθε κρύψαι αὐτόν; ὁ δὲ Θεοδοτίων, ἢ πρόσωπον αὐτοῦ λαμβάνετε; ὁ δὲ Ἑβραῖος, δυσωπεῖσθε λέγει, τουτέστι, δεδοίκατε κατὰ Θεοῦ λέγειν, καὶ διὰ τοῦτο πρὸς χάριν λέγετε. σκοπήσατε οὖν τὰ καθ᾽ ἑαυτοὺς ὑμεῖς οἱ δοκοῦντες Θεῷ συνηγορεῖν, εἰ μὴ τὰ ἐναντία τοῖς λόγοις τῇ γνώμῃ ψηφίσησθε, ἄλλα μὲν περὶ ἐμοῦ εἰδότες, ἕτερα δὲ καταψευδόμενοι· ὑπὲρ γὰρ τοῦ Θεοῦ λαλεῖτε σχηματιζόμενοι τὸ ἀληθὲς, δόλον γὰρ, τὴν ὑπόκρισιν ἐκάλεσεν.

ΚΕΙΜ. Ὑμεῖς δὲ αὐτοὶ κριταὶ γίνεσθε· καλὸν γὰρ ἐὰν ἐξιχνιάσῃ ὑμᾶς. εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ, οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς.

Ο'ΛΥΜΠ. καὶ **ΠΟΛΥΧΡ.** Ὑμεῖς φησὶ, κρίνατε εἰ μὴ ἀληθῆ λέγω, ὅτι ἐὰν τὰ καθ᾽ ὑμᾶς ἀναζητήσῃ Θεὸς, κἂν μυριάκις ὑπὲρ αὐτοῦ λαλεῖν δοκῆτε, κἂν πολυπλασίονα τῶν εἰρημένων, κἂν πέρα τούτων προσχαρίσησθε αὐτῷ, ἀδέκαστος ὢν τὴν κρίσιν, οἴσει τὴν καθ᾽ ὑμῶν ψῆφον, ἐλέγχων τῆς γνώ-

μης τὸ ὕπτλον, καὶ δεικνὺς ψευδομένυς, ἐδὲν ἔλαττον, ἢ εἰ κατ' αὐτοῦ ἐλέγετε· ὥςε συμφέρειν μοι τὸ, ἐξεταθῆναι ὑμᾶς, ὑμῖν δὲ ἐκ ἀγαθόν. ἐπιτήρει δὲ, ὡς πανταχȣ̃ μέμφεται τὸ ψεῦδος ὁ δίκαιος, κἂν ὑπὲρ Θεȣ̃ τὶς λέγειν δοκῇ. διόπερ αὐτὸς ἃ φρονεῖ, σὺν ἀληθείᾳ καὶ μετὰ παῤῥησίας διαλέγεται. ἐφ' ᾧ καὶ Θεὸς αὐτὸν ἀποδέχεται, αὐτὸς ὢν ἡ ἀλήθεια. φησὶ γοῦν πρὸς τὲς φίλȣς ψευδομένȣς, ὑμᾶς αἱρȣ̃μαι κριτὰς, εἴπατε, μήτι ἀγαθὸν ἔςαι, ἐὰν τὲς ὑμετέρȣς λόγȣς ὁ Θεὸς ἐξετάσῃ; ἢ πάντως, ὁ πρὸς κακȣ̃ ὑμῖν ἔςαι τὸ πρᾶγμα, εἴπερ αὐτὸς μισεῖ τὴν ὑπόκρισιν, καὶ τὸ ψεῦδος.

ΚΕΙΜ. Εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε, πότερον ἐχ ἡ δίνη αὐτοῦ ςροβήσει ὑμᾶς; (ὁ δὲ σύμμαχος, μὴ κρύφα πρόσωπον αὐτȣ̃ δυσωπηθήσεσθε; μὴ ἐχὶ ἡ κίνησις αὐτȣ̃ πτοήσει ὑμᾶς;) ὁ φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν, ἀποβήσεται δὲ ὑμῶν τὸ γαυρίαμα ἴσα σποδῷ, τὸ δὲ σῶμα πήλινον.

ΔΙΔΥ'ΜΟΥ. Ο' ἀκριβὴς κριτὴς, πραγμάτων ἐςὶν ἐξεταςὴς, ἐκ εἰς πρόσωπον βλέπει τῶν κρινομένων· ἐὰν γὰρ ὦσιν οἱ κρινόμενοι πλȣ́σιοι, ἢ ἄρχοντες, ἢ κατ' ἄλλην ἐξȣσίαν ὑπερέχοντες, ἐκ εἰς τὸ πρόσωπον αὐτῶν σκοπεῖ, ἀλλ' εἰς τὰς πράξεις ἃς κρίνει. ὅτε γὰρ πλȣσίῳ προςίθεσθαι δεῖ, ὅτε πένητος τὴν εὔδειαν ἐλεȣ̃ντας, παρορᾷν τὸ δίκαιον· διὸ εἴρηται, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει.

Ο'ΛΥΜΠ. Ο' δὲ νȣ̃ς τῶν τοῦ Ι'ὼβ ῥημάτων τοιȣ̃τος; εἰ καὶ χαρίζόμενοι, φησὶ, τῷ Θεῷ, καὶ ὥσπερ αἰδȣ́μενοι αὐτȣ̃ τὸ πρόσωπον, κρυφίως λαλεῖτε, ἄλλα μὲν ἔχοντες κατὰ διάνοιαν, ἕτερα δὲ φθεγγόμενοι, ἆρα ἐχὶ ἡ συςροφὴ καὶ ἡ ἔπαςις· τȣ̃το γάρ ἐςιν ἡ δίνη αὐτȣ̃, περιτρέψει ὑμᾶς καὶ φοβήσει, καὶ ἡ μεγαλαυχία ὑμῶν καὶ τὸ οἴημα ταπεινωθήσεται, καὶ ἡ μετὰ τὴν ὀργὴν ὑμῶν κατάςασις τῶν λαθραίως κρινόντων, καὶ διὰ τȣ̃το ἀπελιζομένων, ἐδὲν ἕτερον ἀποδειχθήσεται, ἢ σποδὸς, καὶ ὅτι ἐδὲν ἄλλο, ἢ πηλὸς τυγχάνετε; αὐτὶ τȣ̃, ἀλαζονεύεσθε τέφρα ὄντες καὶ πηλὸς, καὶ ἀσύγγνωςοι πρὸς τὰ ἐπενεχθέντα μοι δεινὰ καθεςήκατε, ἐκτὸς ὑπάρχοντες συμφορῶν, καὶ ἐδὲ τὸ πολλοςὸν τῶν ἐμῶν παθημάτων ὑπομεῖναι δυνάμενοι.

ΠΟΛΥΧΡ. Ε'ὰν γὰρ καθ' ὑμῶν ἀγανακτήσας ὁ Θεὸς, ὑμῖν ἀπειλήσῃ, εἴσεσθε ὑμῶν ἐδὲν ἔσαν τὴν μεγαλαυχίαν, καὶ οὐ μόνον τὴν παρȣ̃σαν φιλοσοφίαν, καὶ τὴν ἐπὶ τὸ καρτερεῖν παραίνεσιν ἀποῤῥίψετε, ἀλλὰ καὶ τεθνήξεσθε τῷ δέει. ἐν τȣ́τοις τὸ φοβερὸν ἔδειξε τȣ̃ Θεȣ̃ συντόμως, κἀκείνȣς φοβήσας, καὶ ὑπὲρ ἑαυτȣ̃ ἀπολογησάμενος. ὁ δὲ Ε'βραῖος ἕτω, φησὶν, ἐὰν ἀποςρέψῃ τὸ πρόσωπον αὐτȣ̃, ταραχθήσεσθε, κατ' ἔμφασιν διδάσκων, ὡς τῶν συμφορῶν τὸ μέγεθος, ἀρκȣ̃σα ἀπολογία τῆς τραχύτητος τῶν ῥημάτων γίνεται.

ΚΕΙΜ. Κωφεύσατε ἵνα λαλήσω, καὶ ἀναπαύσωμαι θυμȣ̃, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδȣ̃σιν.

ΟΛΥΜΠ. Ἄγετε, φησὶν, ἡσυχίαν, καὶ σιωπῶντες ἀκούσατέ μου, ὡς ἂν φθεγξάμενος λάβω τινὰ παραψυχὴν τῆς ἐπικειμένης ὀδύνης, καὶ ἀναπαύσωμαι παραμυθούμενος διὰ τῶν λόγων τὸ πάθος. τοῦτο γὰρ ἴσως δηλοῖ, τὸ, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι, τουτέστι, στένων με καὶ ὀδυνώμενος διαλεχθήσομαι· λαλήσω δ' ὅμως μίαν παραμυθίαν τῶν πόνων ἡγούμενος, τὸ περὶ τῶν κατ' ἐμαυτὸν μετὰ παῤῥησίας διαλεχθῆναι, τὸ τὰ παθήματά μου ἐξαγορεῦσαι τῷ σώματί μου.

ΧΡΥΣΟΣΤ. Ὥσπερ γὰρ οἱ τὰς σάρκας ἑαυτῶν καταδάκνοντες ἐν ταῖς ὀδύναις, ἔχουσι τινὰ παραμυθίαν· οὕτω καὶ ἐγὼ ταῦτα φθεγγόμενος. ὁρᾷς ὅτι οὐχ ἑαυτὸν δικαιοῦντος ἦν τὰ ῥήματα, ἀλλὰ παραμυθία τὶς τῆς ὀδύνης διὰ τοῦ λόγου ἀνακτωμένου τὸ σῶμα, καὶ ἀνακουφίζοντος τὴν ψυχήν.

ΔΙΔΥΜ. Τάχα γε τρόπον τινὰ ἐπαναπαύει τοὺς φίλους. ἐπεὶ γὰρ αὐτοὺς ᾐτιάσατο πρότερον, ὡς παρακλήτορας κακῶν ὄντας, οὐ γὰρ παρεκάλουν ὡς ἔδει, ἀλλὰ μᾶλλον τὴν λύπην ἤγειρον καὶ τὴν ὀδύνην τοῦ δῆθεν παρακαλουμένου. νῦν λέγει, ὅτι λήξω τοῦ πρὸς ὑμᾶς θυμοῦ, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι, τουτέστι, οὐκέτι καθ' ὑμῶν ὀργίσομαι, ἀλλὰ κατ' ἐμαυτοῦ.

ΚΕΙΜ. Ψυχὴν δέ μου θήσω ἐν χειρί. ἐὰν μέ χειρώσηται ὁ δυνάστης, ἐπεὶ καὶ ἦρκται, ἢ μὴν λαλήσω, καὶ ἐλέγξω ἐναντίον αὐτοῦ.

ΟΛΥΜΠ. Τίθημι, φησὶ, τὴν ἐμὴν ψυχὴν εἰς ἐνέχυρον, ἕτοιμος ὢν ἡδέως τὴν ὑπὲρ τῶν λόγων ὑπομένειν δίκην, κἂν ἀνελεῖν θέλῃ ὁ ἀρξάμενός με βασανίζειν Θεός· εἰμὴ γὰρ τ' ἀληθῆ φθέγγομαι, ἕτοιμος εἰμὶ ὑπομένειν ὅ, τι ἂν τῷ Θεῷ δοκῇ. πλὴν οἶδα ὅτι διελέγξω ψευδομένους.

ΠΟΛΥΧΡ. Νοήσεις δὲ καὶ οὕτως· μονονουχὶ τὴν ψυχήν μου ἐπὶ τῆς χειρός μου φέρω, περιμένων τὸν θάνατον, τοῦ Θεοῦ τῇ παρατάσει τῆς τιμωρίας ἐπώδυνόν μοι τὴν ζωὴν κατασκευάσαντος· ἀλλ' ὅμως ἀνενδιάστως τοῖς πρὸς ὑμᾶς χρήσομαι ἐλέγχοις· αὐτὸν τὸν πλήξαντα ὡς δεσπότην, κριτὴν εἶναι βουλόμενος ἰσόῤῥοπον, οὗ τῇ χειρὶ τὴν ἐμὴν ψυχὴν ὑποτίθημι, καὶ ἕτοιμός εἰμι θανάτῳ παραδίδοσθαι, εἰ τοῦτο βούλεται, ὁ ἤδη κακοῦν με ἀπαρξάμενος δεσπότης.

ΚΕΙΜ. Καὶ τοῦτο μοι ἀποβήσεται εἰς σωτηρίαν· οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.

Τουτέστι, τοῦτό μοι ἐστὶ παραμυθία, τὸ, ἐναντίον τοῦ Θεοῦ τἀληθῆ λέγειν, καὶ διελέγχειν ὑμᾶς ψευδομένους. ὁρᾷς πῶς θαῤῥεῖ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ· οὐ καθάπερ ὑμεῖς, φησὶν, ἕτερα διανοίας φθέγγομαι· οἶδα ὅτι οὐδὲν ἐστὶν ὕπουλον παρ' αὐτῷ, οἶδα ὅτι οὐ προσίεται δόλον, οὐδὲ ἀρέσκεται τῷ ἐσχηματισμένῳ ὑμῶν τῶν λόγων.

ΔΙΔΥΜ. Δι' ὅλων δὲ σπουδὴ τῷ δικαίῳ ἐστὶ, παιδεῦσαι τοὺς φίλους τὴν αἰτίαν τῶν ἐπιπόνων, ἵνα κερδήσῃ αὐτοὺς μὴ ἐναντία δοξάζειν· σωτηρίαν

γὰρ τοῦτο ἐλογίζετο, τό, τούτους γνῶναι τὸν περὶ τούτου τῆς προνοίας λόγον, ὃν φανερῶσαι βουλόμενος, ἔλεγε, τό, ἐλέγξω· πολλάκις γὰρ ὁ ἔλεγχος τὴν ἀπόδειξιν σημαίνει. τὸ οὖν ἀψευδὲς αὐτοῦ παραστῆσαι θέλων καὶ τὸ ἀλαβὲς, λέγει, ὅτι ἃ λέγω, Θεοῦ ὁρῶντος φθέγγομαι· οὐ γὰρ οἷόν τε ἀπάτην τινὰ γενέσθαι Θεῷ, ἢ δόλον εἰσελθεῖν ἐνώπιον αὐτοῦ.

ΚΕΙΜ. Α᾽κούσατε, ἀκούσατε τὰ ῥήματά μου, ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.

ΧΡΥΣΟΣΤ. Βούλομαι, κριθῆναι, φησὶν, οὐ παραιτοῦμαι τὸ δικαστήριον, καὶ οἶδα ὅτι οὐ κατακριθήσομαι. εἰς ἀκολουθίαν δὲ τῶν ὑπ᾽ αὐτοῦ λεγομένων τοὺς φίλους παρακαλῶν, πρὸς πλείονα δυσώπησιν, διπλασιάζει τὴν παράκλησιν· ἑώρα γὰρ αὐτοὺς δυσαναχετοῦντας ἐπὶ τοῖς ἐλέγχοις, ἐφ᾽ οἷς ἀπαρακαλύπτως ἀκροωμένων αὐτῶν παρρησιάσεσθαι λέγει. ὁ οὖν διπλασιασμὸς, τοῦ, ἀκούσατε, ἢ τὴν ἀθυμίαν παρίστησιν, ἢ προσοχὴν ἐνεργάσασθαι βούλεται, ἵνα βεβαίως ἀκούσωσιν. ἔνεστι γάρ ποτε πληγείσης τῆς ἀκοῆς τῇ φωνῇ, διὰ τὸ μὴ προσέχειν τὸν νοῦν, μηδὲ ἀκηκοέναι· διὸ καὶ ὁ σωτὴρ διεγείρων τοὺς ἀκούοντας εἰς τὸ γνησίως ἀκούειν, ἔλεγεν ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ΚΕΙΜ. Ι᾽δοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι, ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω;

ΠΟΛΥΧΡ. καὶ Ο᾽ΛΥΜΠ. Διδασκαλίας ἀρχὴν τοῖς φίλοις καὶ νῦν καταβάλλεται, παιδεύων ὅτι οὐ δι᾽ ἁμαρτίας πάσχει, καί φησιν, ἰδοὺ εἰς κρίσιν καθίσταμαι, θαῤῥῶν τοῖς ἐμαυτοῦ δικαίοις· καὶ τῆς παῤῥησίας τὴν αἰτίαν διδάσκων, ἐπάγει, τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι, ὡς ἠδικημένος δηλαδὴ τὶ παρ᾽ ἐμοῦ; τίς ὁ ἐλέγξων ἐφ᾽ ἁμαρτίας, ἵνα δείσας ἡσυχίαν ἀγάγω; τὸ γὰρ ἐκλείψω, ἀντὶ τοῦ, κωλυθήσομαι λαλεῖν· ὁ γοῦν Ἑβραῖος, ἵνα μὴ λαλήσω, ἔχει· οὐκ ἀλαζονείᾳ δὲ τοῦτό φησιν, ἀλλὰ πρὸς τὸ παιδεῦσαι αὐτοὺς, μὴ ἑτέραν παρὰ τὴν ἀληθῆ διάληψιν ἔχειν περὶ αὐτοῦ. ἔσθ᾽ ὅτε γάρ τις περὶ ἑαυτοῦ λέγει χρηστὰ, μὴ προθέμενος τοῦτο ποιεῖν, ὅταν ἄλλως ἦ διακείμενός τις περὶ αὐτοῦ. φέρε γὰρ, εἴ τις ἐγκεχειρισμένος τινὰ διακονίαν εἰς τοὺς δεομένους ἀποπληρῶσαι, διαβάλλοιτο ὡς σφετεριζόμενος, οὐκ ἂν αὐτὸν αἰτιασώμεθα, ἐν ἀπολογίας εἴδει λέγοντα, ὅτι καὶ τὰ ἐμὰ παρέχον τοῖς δεομένοις, πρότερον τοῦτο μὴ εἰρηκότα. οὕτως οὐδὲ τὸν Ι᾽ὼβ αἰτιατέον, οὐ φιλαυτίας, ἀλλὰ τῆς εἰρημένης αἰτίας εἵνεκα, μετὰ παῤῥησίας καθαρᾶς λέγοντα, οἶδα ὅτι οὐ δίκαιος ἀναφανοῦμαι, πιστεύων τῇ τοῦ Θεοῦ ἀληθείᾳ καὶ δικαιοκρισίᾳ, ἐφ᾽ οὗ καὶ φθέγγομαι· διὸ οὐ δὲ ἐκλείψω, τουτέστιν, οὐ σιωπήσω, κἀντεῦθεν ὑπόδικον ἐμαυτὸν ποιήσω καὶ ἀναπολόγητον, ὡς ἐκλειπουσῶν μοι δικαιολογιῶν.

ΚΕΙΜ. Δυεῖν δέ μοι χρήσῃ, τότε ἀπὸ τοῦ προσώπου σου οὐ κρυβήσομαι.

Ο᾽ΛΥ-

ΟΛΥΜΠ. Πρὸς Θεὸν ἔτρεψε τὸν λόγον· ἐὰν τὰ δύο ταῦτα παράσχῃς μοι, παῤῥησιάσομαι πρὸς σέ, ἀνθρώπων μὲν γὰρ οὐδεὶς ἐλέγξει, πρὸς σὲ δὲ δίχα ἀποστολῆς διαλέξομαι ἀσμένως. ὁ μέντοι Ἀκύλας, καὶ ὁ Θεοδοτίων, ἀντὶ τοῦ, δυεῖν δέ μοι χρήσῃ, πλὴν δύο μὴ ποιήσῃς μετ᾽ ἐμοῦ, ἐξέδωκαν. ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, οὐ κρυβήσομαι ἀπὸ τοῦ προσώπου σου, οὐκ ἐκκλινῶ ἔχει, τουτέστιν, ἐξ ἐναντίας σοι εἰς πεῖσιν ἐλεύσομαι, ἐὰν τὰ δύο μοι ταῦτα παράσχῃς. τίνα δή;

ΚΕΙΜ. Τὴν χεῖρα ἀπ᾽ ἐμοῦ ἀπέχου, καὶ ὁ φόβος σου μή με καταπλησσέτω.

ΠΟΛΥΧΡ. Τουτέστιν, ἀπάλλαξόν με τῆς παρούσης συμφορᾶς, τὴν τιμωρὸν ἀποστήσας χεῖρα, καὶ πληροφόρησόν με ὡς ἐκ τῆς δικαιολογίας νενικηκότα, οὐ τιμωρήσῃ, αὐτὴν τὴν πρὸς σὲ παῤῥησίαν, ὡς ἁμαρτίαν λογισάμενος, μή με φοβήσῃς, μή μοι τὸ ἀξίωμα τοῦ Θεοῦ παραγάγῃς, καὶ κελεύομαι. ἥμαρτον κἀγώ, λέγω, ἀλλὰ πολλῷ μείζονα ἀπολαμβάνω, φησίν.

ΚΕΙΜ. Εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι· ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν.

ΟΛΥΜΠ. Οἱ δὲ λοιποὶ σαφέστερον ἐξέδωκαν, λαλήσω, καὶ ἀποκρινῇ μοι. εἰ ταῦτα, φησίν, ὑπάρξει μοι παρὰ σοῦ, καὶ γνῶ ὅτι εὐμενῶς διάκεισαι πρὸς ἐμέ, ἀπαίτησον τῶν βεβιωμένων εὐθύνας, καὶ ὑπέχω τὸν λόγον, καὶ ἐρωτώμενος εἰς ἀπολογίαν ἔρχομαι. διὰ πλειόνων δὲ τὴν πρὸς τὸν Θεὸν ἑαυτοῦ παῤῥησίαν γνωρίζει, ἵν᾽ ἐν τούτῳ ἀγάγῃ τοὺς φίλους εἰς τὴν ἀληθῆ περὶ αὐτοῦ διάληψιν. τὸ γὰρ ἱκετεύειν κουφισθῆναι, καὶ ἀφόβως εἰπεῖν, καὶ δικαιολογήσασθαι πρὸς Θεόν, παραστατικόν ἐστι τοῦ εἶναι αὐτὸν δίκαιον.

ΚΕΙΜ. Πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου, καὶ ἀνομίαι μου; δίδαξόν με τίνες εἰσί; διατί ἀπ᾽ ἐμοῦ κρύπτῃ, ἥγησαι δέ με ὑπεναντίον σοι; ἢ ὡς φύλλον κινούμενον ὑπὸ ἀνέμου, εὐλαβηθήσῃ; ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι; ὅτι κατέγραψας κατ᾽ ἐμοῦ κακά, περιέθηκας δέ μοι νεότητος ἁμαρτίας.

ΠΟΛΥΧΡ. Πάλιν διὰ τοὺς φίλους τὰ τοιαῦτα λέγει, ἵνα ἐκεῖνοι μάθωσιν, ὅτι ὁ ἔχων ἁμαρτίας οὐ λέλησται Θεόν. καὶ αὐτὸς πρὸς αὐτοὺς εἰπών, τό, οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι, πρὸς τὸν Θεὸν εὐλαβῶς λέγει, δίδαξόν με ποίων ἁμαρτημάτων δίκην εἰσπράξῃ, πῶς, ἢ πότε, ἢ περὶ τίνων γενομένων· τὴν γὰρ αἰτίαν ἐπιθυμῶ μαθεῖν τῶν κολάσεων, καὶ ποίων πλημμελημάτων ἐκτίνων δίκας ταῦτα ὑπομένω. διατὶ δέ, δέσποτα, ἀποκρύπτεις με τὰς ἁμαρτίας μου, καὶ ἡγῇ με πολέμιόν σοι; οὐ μικρὸν γὰρ εἰς παραμυθίαν τοῖς τιμωρουμένοις, τὸ μαθεῖν τὴν αἰτίαν τῆς κολάσεως. εἴρηται δὲ καὶ τοῦτο πρὸς τὴν τῶν φίλων διάληψιν. οὗτοι γάρ, φησί, νομίζουσιν, ὅτι ὑπεναντίος μοι τυγχάνεις, οἰόμενοι δι᾽ ἁμαρτίας με πάσχειν.

ἀλλ᾽

ἀλλ' ὅτι μὲν ἁμαρτήματα οὐκ ἂν εἰπεῖν ἔχεις, εὖ οἶδα. ὁρᾷ δὲ ὥσπερ ἐχθρὸν καὶ πολέμιον πολλαῖς ἔβαλες ταῖς πληγαῖς, καὶ πῶς [illegible] ἐχθρὸν ἡγήσασθαι τὸν οὐδὲ φύλλου διαφέροντα, ὥσπερ ἀντιλαβόμενος τὸν ἀσθενῆ. ἐρωτῶ οὖν, διατί ἀπ' ἐμοῦ κρύπτῃ, διατί παραιτῇ εἰς μέσον ἀγαγεῖν μου τὸ κρίμα, διατί ὡς ἐχθρῷ κέχρησαι τῷ καὶ φύλλων ἀδρανεστέρῳ, ἅπερ ἀνέμου δονήσαντος ἐκπίπτει.

ΧΡΥΣΟΣΤ. Καὶ τάχα ἀντιλαβῇ με, ἀγνοῶν τῆς φύσεώς μου τὸ ἀσθενές, ὅτι φύλλου, ἢ χόρτου ὑπ' ἀνέμου φερομένου μηδὲν διαφέρω. τίνος οὖν ἕνεκεν, ὦ δέσποτα, ἀπεφήνω κατ' ἐμοῦ τηλικαύτην ἀπόφασιν, τὸ γάρ, κατέγραψας κατ' ἐμοῦ κακά, ἤγουν κακώσεις, ἐκ μεταφορᾶς τῶν βασιλέων, τῶν γράμματι τὴν ἀπόφασιν ἐκφερόντων, τὸ δέ, ἀντίκεισαί μοι, ἀντὶ τοῦ ὡς ἀντικειμένῳ ἐπάγεις τὴν κόλασιν. ἵνα εἴπῃ ὅτι ὡς ὁ δεσπότης κατὰ στασιάζοντος οἰκέτου, μετ' ἐξουσίας τὴν κατ' ἐμοῦ ὥρισας τιμωρίαν· τοῦτο γάρ, τό, κατέγραψας· οὕτω δὲ ἔφη φυλάξας τῷ δεσπότῃ τὸ πρέπον.

ΟΛΥΜΠ. Ἢ τό, κατέγραψας κακά, ἀντὶ τοῦ, ἀπεσημήνω πᾶν εἴτι καὶ ἥμαρτον ἐκ νεότητος, ὥστε εἶναί σοι ἀείμνηστον. ὡς γὰρ ἀπορῶν, καὶ οὐκ ἔχων αἰτίαν εὑρεῖν τῶν γεγενημένων, πανταχόσε περιάγει τὸν λογισμόν. καὶ μὴ συνειδὼς ἑαυτῷ ὡς πλείω αὐδεῖ ἁμαρτήματα, φησί, μήποτε ὧν ἔπραξα μειράκιον ἔτι ὤν, ἐκείνων με νῦν δίκην εἰσπράττῃ; ὁρᾷς πῶς οἶδεν ἑαυτὸν ἁμαρτωλόν, καὶ ἀπὸ τῆς ἡλικίας βούλεται τυχεῖν συγγνώμης, ἢ καὶ ἀπὸ τῆς ἡλικίας δεῖξαι ἑαυτὸν ἁμαρτωλόν.

ΚΕΙΜ. Ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι.

ΠΟΛΥΧΡ. καὶ ΟΛΥΜΠ. Ἀκύλας δέ, καὶ Σύμμαχος. ὁ μὲν ἐν ταλαιπωρίᾳ, ὡς ὑπὸ ξύλον εἱρκτῆς, ὁ δέ, ἐν ξυλοπέδῃ, ἐξέδωκεν. ἐπέμεινε δὲ τῇ μεταφορᾷ· εἰρηκὼς γάρ, ὅτι κατέγραψας κατ' ἐμοῦ, καὶ ἀπεφήνω κόλασιν, καὶ ὑπὲρ ὧν ἐν νεότητι ἥμαρτον ὑπὲρ τούτων με τιμωρῇ, ἐπήγαγεν, ὅτι καὶ ἐπέδησάς με τρόπον τινὰ τοῖς δεινοῖς, ὥστε μηδὲ περαιτέρω δύνασθαι προβῆναι· ἵνα εἴπῃ, ὅτι ἀκριβῶς ἐφύλαξας τὰ κατ' ἐμὲ ὡς οἱ ἐν τῇ ξυλοπέδῃ δεσμοῦντες τοὺς καταδίκους· ὁ γὰρ Ἀκύλας οὕτως ἐκδέδωκε, καὶ ἔθηκας ἐν ξυλοπέδῃ τὸν πόδα μου.

ΚΕΙΜ. Ἐφύλαξας δέ μου πάντα τὰ ἔργα.

ΔΙΔΥΜ. Οἶδεν ὁ μακάριος τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, Ἅγιος ὤν, ὅτι ὁ Θεὸς οὐ παρατηρεῖται πάσας τὰς ἀνομίας τῶν πταιόντων· ἀλλὰ παιδεύων τοὺς φίλους πάλιν, δι' ἣν αἰτίαν πάσχει, ὅτι δι' ἀγῶνα τὸ προκείμενον εἴρηκεν, ὡς τοῦ Θεοῦ πάντα τὰ ἔργα φυλάξαντος, καὶ ἀκριβώσαντος, καὶ οὕτως ἐπαγαγόντος αὐτῷ τὰ ἀνιαρά· ἵνα ἐκ τούτου ἐννοήσωσιν, ὅτι τὸ μέγεθος τῶν τοσούτων ἐπαγωγῶν, οὐ δι' ἁμαρτίας ἐστίν, ἀλλὰ δι' ἀγῶνα, καὶ σκοπὸν ἀνδρείας.

ΚΕΙΜ. Εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου.

ΠΟΛΥΧ. Ὁ δὲ Ἑβραῖος, τὰ δὲ ἴχνη τῶν ποδῶν μου περιχαράττεις. κατὰ μὲν οὖν τὸ ἑλληνικόν, φησίν, ὅτι καὶ τὰ τυχόντα τῶν πράξεών μου περιεργάζῃ, καὶ αὐτὰς τὰς αἰτίας, καὶ τὰς ἀρχάς, καὶ ῥίζας τῶν διαβάσεών μου τῶν πρακτικῶν ἐπιτηρεῖς, καὶ τὰ λεπτότατα τῆς πορείας μου ἐξετάζεις, ἵνα μοὶ κόλασιν ἐπαγάγῃς, ὡς οἱ φίλοι μου διάκεινται, δι' ἁμαρτίας με πάσχειν λογιζόμενοι, καὶ ὅτι αἱ τῆς νεότητος ἁμαρτίαι νῦν μοὶ περιετέθησαν. ὁ δὲ Ἑβραῖος, τό, περιχαράττεις, ἔφη, ἀντὶ τοῦ, περισοιχίζεις μὲ τοῖς δεινοῖς, ὥστε μηδὲ μίαν τῶν κακῶν εὑρέσθαι διέξοδον.

ΟΛΥΜΠ. Ὅρα δέ, πῶς δι' ὅλων τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκετηρίαν προβάλλεται, φύλλῳ παρεικάζων τὸν ἄνθρωπον, καὶ χόρτῳ τῇδε κἀκεῖσε περιφερομένῳ, καὶ ἀσκῷ παλαιουμένῳ, καὶ αὔθει ταχέως μαραινομένῳ, καὶ σκιᾷ παρατρεχούσῃ. τὸν τοιοῦτον οὖν, φησί, δέσποτα, εἰς ἀκριβεῖς ἄγεις ἐλεγμούς, καὶ λεπτῶς τὰ κατ' αὐτὸν ἐξετάζεις;

ΚΕΙΜ. Ὃς παλαιοῦται ἴσα ἀσκῷ.

ΤΟΥ ΑΥΤΟΥ. Ἔδειξε μὲν τὸ τῆς ἀνθρωπίνης φύσεως εὐτελὲς διὰ δύο ἤδη παραδειγμάτων, διά τε τοῦ φύλλου τοῦ ἀπορρέοντος, καὶ διὰ τοῦ χόρτου τοῦ διὰ τὸ αὔχμον ξυραινομένου τοῖς πνεύμασι· νῦν δὲ καὶ ἑτέρα κέχρηται εἰκόνι, δι' ἧς παρίστησιν, ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ φύσις ἀσθενής· αὐτοδιαλύτου ὄντος τοῦ σώματος ἡμῶν, καὶ παλαιουμένου ἀσκοῦ δίκην, ἢ κατὰ τὸν Σύμμαχον, ὁμοίως σηπεδόνι.

ΧΡΙΣΟΣΤ. Πάλιν τὸ μέγεθος λέγει τῆς συμφορᾶς, πάλιν τὸ εὐτελὲς τῆς φύσεως κωμῳδεῖ. τίνος δὲ ἕνεκεν ἀσκὸν παρήγαγεν; ὅτι κενὸς ἐστὶν ὁ ἀσκός, πνεῦμα μόνον ἔχων· τοῦτο καὶ τοῖς πολλοῖς ἔθος λέγειν, ὅτι ἀσκὸς ἐσμὲν πεφυσημένος. μή μοι οὖν, φησί, τὸν ὄγκον ἴδῃς, μηδὲ τὸ δέρμα διαταθέν, ἀλλ' ἐννόησον τὰ ἔνδον, καὶ ὄψει πολλὴν τὴν κενότητα.

ΚΕΙΜ. Ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.

ΔΙΑ ΤΟΥ Σητοβρώτου ἱματίου τὰ σωματικὰ πάθη δηλοῖ, οὐδὲν ἧττον τοῦ σητὸς διατρώγοντα τὰ σώματα, καὶ κατεσθίοντα.

ΚΕΙΜ. Βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος, καὶ πλήρης ὀργῆς.

ΟΛΥΜΠ. Τό, πλήρης ὀργῆς, ὁ Ἀκύλας, πλήρης κλονήσεως ἐκδέδωκεν· ἵνα εἴπῃ, ὅτι καὶ ὀλιγοχρόνιος ἐστὶν ὁ ἄνθρωπος, καὶ ὁ βίος αὐτοῦ μεστὸς ταραχῆς· πάντες γὰρ φθαρτοί, ἐκ φθαρτῶν γενόμενοι, καὶ οὐ μακρῷ τῷ χρόνῳ τὴν ζωὴν περιωρισμένην ἔχοντες, θορύβου, καὶ ταραχῆς μεστὸν τὸν βίον κεκτήμεθα, ἢ κολάσεως καὶ ἀγανακτήσεως τῆς ἀπὸ τοῦ Θεοῦ πάντως ἐσμὲν ὑπεύθυνοι. ταῦτα δὲ εἶπε, καὶ συγγνώμην αἰτῶν ἔτι καὶ ἥμαρτε,

καὶ ἔλαιον ἐπιζητῶν ἐπὶ τῇ ἀνθρωπίνῃ ταπεινότητι.

ΚΕΙΜ. Ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν. ἀπέδρα δὲ ὥσπερ σκιά, καὶ ὃ μὴ ςῇ,

ΠΟΛΥΧΡ. Παραπλήσιον τούτοις καὶ ἡ Δαβιτικὴ λύρα μέλος ἀνακρούεται, Πνευματικῶς κελαδοῦσα, ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. καὶ πάλιν, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. κἀνταῦθα ὁ Ἰὼβ τὸν ἄνθρωπον οἰκτιζόμενος, διαφόροις παραδείγμασι τὸ ἐπίκηρον τῆς φύσεως παριστῶν, φησὶν, ὅτι κἂν δόξῃ εἶναί τις ἐν περιφανείᾳ, καὶ ἀνθεῖν ἐν ταῖς τοῦ βίου κοιλάσι, μικρὸν ὕστερον πίπτει καὶ ἀπόλλυται, καὶ σκιᾶς δίκην παρελθὼν τὸν βίον, οὐδὲ μνημόσυνόν τι τοῖς ζῶσιν ἀφίησιν. ὁρᾷς πῶς οὐκ ἀπὸ τοῦ δίκαιον εἶναι, ἀλλ' ἀπὸ τῆς ἀτελείας τῆς φύσεως, βούλεται ἀπαλλαγῆναι. τοῦτον ἔδει ἐξεταθῆναι, φησὶ, τοῦτον ἔδει εὐθύνας ἀπαιτηθῆναι, τὸν σήμερον ὄντα, καὶ αὔριον οὐκ ὄντα; ταῦτα γὰρ αἰνίττεται, λέγων.

ΚΕΙΜ. Οὐχὶ καὶ τούτου λόγον ἐποιήσω, καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;

ΠΟΛΥΧΡ. καὶ ΙΟΥΛΙΑΝ. Τουτέστι, τὸν οὕτως ἀσθενῆ εἰς λόγον ἄγεις, καὶ εἰς κρίσιν, καὶ ὡς πολέμιον κρίνεις; οἱ δὲ ἔπω τοὺς στίχους νοοῦσι· σύ με εἰς ζήτησιν τῆς τοιαύτης αἰτίας, καὶ ἡ σὴ ἀγαθότης κινεῖ· οὐ γὰρ πρὸς τὸ ἀτελὲς τοῦ ζώου εἶδες, ἀλλὰ καὶ λόγον αὐτῷ μετέδωκας, καὶ ἐντολὴν αὐτῷ παρέσχες, καὶ κρίσιν αὐτῷ ποιεῖν ἐπηγγείλω· ταῦτα οὖν μὲ κινεῖ πρὸς παῤῥησίαν.

ΔΙΔΥΜ. Τάχα δὲ καὶ τὴν περὶ τὸν ἄνθρωπον πρόνοιαν ἐνταῦθα σαφηνίζει, οὐχ ὡς εἰκαίως καὶ ὡς ἔτυχεν ἐν τῷ βίῳ αὐτοῦ παραμένοντος, ἀλλ' ἐκ κρίσεως Θεοῦ, μὴ ὑπερβαίνοντος τὸν παρ' αὐτοῦ πεπηγμένον χρόνον. ταῦτα δὲ οὐχ ὡς εἱμαρμένης κρατούσης λεκτέον, ἀλλ' ὡς τοῦ θελήματος τοῦ Θεοῦ ὅροις καὶ μέτροις ἕκαστα διαταξαμένου.

ΚΕΙΜ. Τίς γὰρ καθαρὸς ἔσαι ἀπὸ ῥύπου; ἀλλ' οὐθεὶς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς πάλιν ἐπὶ τὴν φύσιν καταφεύγοντα, καὶ ἀπαλλαγῆναι ζητοῦντα, οὐ μόνον διὰ τὸ ἀτελὲς, οὐδὲ διὰ τὸ ὀλιγοχρόνιον, οὐδὲ διὰ τὸ ἀθυμίας γέμειν ἐν τῷ βίῳ, ἀλλ' ὅτι οὐδὲ δυνατὸν καθαρὸν εἶναι.

ΟΛΥΜΠ. Τί γὰρ, φησὶ, μακρὰ δεῖ περὶ ἀνθρώπου λέγειν, ὅπου γε καὶ αὐτὴ ἡ ἀνθρωπίνη γέννησις οὐκ ἄνευ ῥύπου καὶ ἁμαρτίας τυγχάνει; ὅθεν καὶ βαπτίζεται τὰ βρέφη, τὸν διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ ῥύπον ἀποπλυνόμενα. τοῦτο δὲ λέγει, διὰ τὸ ἠσθενηκέναι τὴν φύσιν ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως, καὶ εὐόλισθον γεγονέναι εἰς ἁμαρτίαν, καὶ μέντοι καὶ διὰ τὴν ἐκ φιληδονίας γέννησιν, οὐ μὴν ὡς συνουσιωμένης ἡμῖν τῆς ἁμαρτίας. μὴ γένοιτο.

ΣΕΒΗΡ. Ἄλλως δὲ, ὁ βίος πῆ μὲν σημαίνει τὸ κοινὸν τοῦτο ζῆν, πῆ δὲ τὴν πολιτείαν· βιοῦν γὰρ λέγεταί τις καὶ κατὰ τὴν ἐν πράξεσι διαγωγὴν, καθὸ φαμὲν καὶ τὸν τὰς ἀρετὰς μετιόντα, ἄριστον βίον βιοῦν. τὸ τοίνυν εἰρημένον τῷ Ἰὼβ, οὐ περὶ τοῦ κοινοῦ, καὶ ἐπὶ πᾶσιν ἀνθρώποις ἴσου λέλεκται, καθ' ὃν τις προελθὼν ἐκ γαστρὸς, πνεῖ τὸν ἀέρα, καὶ τρεφόμενος ζῇ καὶ βιοῖ· ἀλλὰ περὶ τοῦ βίου τοῦ διὰ τῶν πράξεων τῶν κατ' ἀρετὴν καὶ κακίαν γνωριζομένου, καὶ περὶ πολιτείας τῆς ἐν ἡλικίᾳ, καὶ εἰς κρίσιν λοιπὸν ἀγομένης παρὰ Θεῷ, καὶ ἢ κολάσεως, ἢ ἐπαίνων ἀξιουμένης· καὶ τοῦτο ἐμφαίνων προεῖπεν, ὅτι καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου· τῶν δὲ νηπίων ὁ βίος εἰς κρίσιν οὐκ ἔρχεται. φησὶ τοίνυν, ὡς εἰ καί τις καθ' ὑπόθεσιν τὸν ἐν πολιτείᾳ βίον ἡμέραν μόνον μίαν βιώσειε, κἂν σφόδρα ᾖ διὰ τῶν ἀρετῶν ὁδεύσας, οὐχ ἕξει τὸ ἄπταιστον, οὐδὲ φανήσεται καθαρὸς ῥύπου τοῦ ἐξ ἁμαρτίας, παρὰ σοὶ κρινόμενος τῷ τῶν ὅλων Θεῷ· ἢ γὰρ κατὰ πρᾶξιν, ἤγουν τὶ κατὰ νοῦν ὑπολισθαίνει. καὶ οἱ προϋπεῖναι δὲ τὰς ψυχὰς λέγοντες, καὶ προημαρτηκέναι, ἐλέγχονται ἐκ τοῦ λέγεσθαι, ἐπὶ τῆς γῆς, ἀλλὰ μὴ πρὸ τῆς γῆς ῥυποῦσθαι.

ΚΕΙΜ. Ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ' αὐτοῦ· εἰς χρόνον ἔθου, καὶ οὐ μὴ ὑπερβῇ.

ΠΟΛΥΧΡ. Ὁ μὲν, φησὶν, ἡμέραν βιώσας ἀποθνήσκει, τῷ δὲ μῆνές εἰσιν ὡρισμένοι πρὸς ζωὴν, ἄλλῳ δὲ χρόνος· πάντως δὲ καὶ τοῦτον ἀποθανεῖν δεῖ, καὶ τὸ χρεὼν πληρῶσαι· τοῦτο γάρ ἐστιν, ὅρον αὐτοῦ ἔταξας, καὶ οὐ μὴ ὑπερβῇ.

ΙΟΥΛΙΑΝ. Τουτέστιν, ἀδύνατον αὐτῷ ἐστι μὴ τελευτῆσαι· θάνατοι γὰρ ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ πρόνοια. ὁ πλάσας γὰρ ἡμᾶς καὶ ψυχώσας Θεὸς, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ διαγωγὴν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀρρήτους ἑαυτοῦ τῆς σοφίας καὶ τῆς δικαιοσύνης λόγους.

ΚΕΙΜ. Ἀπόστα ἀπ' αὐτοῦ ἵνα ἡσυχάσῃ, καὶ εὐδοκήσῃ τὸν βίον, ὥσπερ ὁ μισθωτός.

ΟΛΥΜΠ. Ἐλθὲ εἰς οἶκτον, δέσποτα, τοῦ οὕτως εὐτελοῦς, καὶ ὀλιγοβίου, καὶ ἀπόστησόν σου τὸ ἐπαστικὸν ἀπ' αὐτοῦ, ἵνα ἀναπνεύσῃ δίκην μισθωτοῦ, μετὰ τοὺς πολλοὺς καμάτους, ὀλίγην εὑρίσκων ἀνάπαυσιν. τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι, ἀπόστα ἀπ' ἐμοῦ, ἵνα ἡσυχάσω, καὶ εὐδοκήσω τὸν βίον μου, ὥσπερ μισθωτός. τὸ ὀλιγοχρόνιον δὲ πάλιν, καὶ ἐπίπονον, καὶ ταλαίπωρον παριστῶν, φησὶ, καταπονούμενόν με καὶ ταλαιπωρούμενον κέλευσον ἐν ἡσυχίᾳ εἶναι.

ΠΟΛΥΧΡ. Παῦσαι τῆς κατ' ἐμοῦ τιμωρίας, ἵνα εἰ καὶ μὴ τῆς προτέρας ἀφθονίας τε καὶ δόξης ἀπολαύσω, τῆς γοῦν μισθωτοῦ τύχοιμι ἀνέσεως· ἐκείνῳ μὲν γὰρ μέτρον ἐστὶ τῶν πόνων, καὶ τῆς ἡμέρας παρελθούσης εἰς ἀνάπαυσιν

χω-

χωρεῖ, ἐμοὶ δὲ συνεχὲς τὸ κακόν, κἂν κοιμηθῶ, λέγω, πότε ἡμέρα; κἂν δ' ἀναστῶ, πάλιν, πότε ἑσπέρα;

ΚΕΙΜ. Ἔστι γὰρ δένδρῳ ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ, ἔπ ἐπανθήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ. ἐὰν γὰρ γεράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ, ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ, ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει, ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον· ἀνὴρ δὲ τελευτήσας ᾤχετο, πεσὼν δὲ βροτὸς οὐκ ἔτι ἐστίν.

ΟΛΥΜΠ. Ἀλλὰ καὶ φυτῶν ἀτελέστερός ἐστιν ὁ ἄνθρωπος. ἐκεῖνα γὰρ καὶ μετὰ τὴν τομὴν δύνανται ἐπανθῆσαι, καὶ κλῶνας ἀναβλαστῆσαι, ἀρδείας ὑδάτων τυχόντα, καὶ ποιεῖν θερισμόν, τουτέστι, καρπόν· ἄνθρωπος δὲ ἅπαξ ἀποθανών, οὐχ ὡς τὸ δένδρον ἐν ἐλπίδι καθέστηκεν, ἀλλὰ τέλεον ἀπόλλυται, καὶ οὐκ ἀνακληθήσεται, οὐδὲ εἰς τὸν βίον παλινδρομῆσαι δύναται· οἱ μὲν γὰρ ἐνταῦθα πολιτευσάμενοι, ἀπελεύσονται ἐκεῖσε· οἱ δὲ ἐν ἐκείνῃ τῇ λήξει γενόμενοι, οὐκ ἐνταυθοῖ ἐπαναστραφήσονται.

ΠΟΛΥΧΡ. Εἰκότως οὖν ἐγὼ ἄνεσιν ζητῶ, ἐπεὶ μηδὲ μετὰ θάνατον ἐστί τινα προσδοκίαν τῶν ἀγαθῶν λαβεῖν. ἀλλὰ τὰ μὲν δένδρα, εἰ καὶ ἐκκόπτει τις, αὖθις ἀναβλαστάνει· ῥάδαμνον γὰρ τὸν κλάδον λέγει, τὸν μετὰ τὴν ἐκτομὴν φυόμενόν τε καὶ αὐξανόμενον· ἀνθρώπῳ δὲ μηδὲ μία τῶν ὁμοίων ἐλπὶς λείπεται. ταῦτα δέ, φησίν, ὁ δίκαιος τῷ παραδείγματι τὸ ἀτελὲς παριστῶν τῆς φύσεως· εἴγε δένδρον μὲν κἂν ὑπὸ τοῦ χρόνου παλαιωθῇ, καὶ τέλεον ἀφανισθῇ, ὥστε καὶ ξηρανθῆναι, πάλιν ἀπὸ ἀρδείας εἰς τὴν προτέραν ἀρχὴν καθίσταται· ἄνθρωπος δὲ οἰχόμενος, οὐκέτι ἐπανακάμπτει. ἰστέον δέ, ὅτι τό, ἐν πέτρᾳ, ὁ Ἑβραῖος ἐν ἀποδιᾷ ἔχει, ἀκολούθως τῷ πρὸ αὐτοῦ στίχῳ, καὶ τῇ φύσει τοῦ πράγματος. Ἀκύλας δὲ καὶ Θεοδοτίων, ὁ μὲν ἐν χοΐ, ὁ δὲ ἐν τῷ χώματι εἴρηκε, συνᾴδοντες καὶ αὐτοὶ τῷ Ἑβραϊκῷ, οἳ καὶ ἀντὶ τοῦ, ὁ ῥάδαμνος, ὁ κορμὸς ἐξέδωκαν. πάλιν δὲ ὁ μὲν ἑλληνικός, ποιήσει θερισμόν, ἀπὸ τοῦ τέλους εἴρηκεν· ὁ δὲ Ἑβραῖος ἀπὸ τοῦ πράγματος, ποιήσει καρπόν· σώζεται δὲ ἐν ἑκατέρῳ ἡ αὐτὴ ἔννοια. εἰ οὖν τὸ γηράσαν ἐν τῇ γῇ καὶ ἐν πέτρᾳ στέλεχος, ἀναθάλλει ἀπὸ τῆς ὀσμῆς τοῦ ὕδατος, ὥσπερ τὸ νεόφητον· εἰκὸς ἡμᾶς ἐξεγειρομένους τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος, ἀναβλαστῆσαι ἀφθαρσίαν, ἣν κατὰ φύσιν εἰλήφαμεν, καὶ ποιῆσαι θερισμόν, ὥσπερ τὸ νεόφυτον, κἂν εἰς παλαιὸν καταπέσωμεν ἄνθρωπον.

ΚΕΙΜ. Χρόνῳ γὰρ σπανίζεται θάλαοσα, ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη· ἄνθρωπος δὲ κοιμηθεὶς, οὐ μὴν ἀναστῇ, ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συῤῥαφῇ, καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν.

ΤΟΥ ΑΥΤΟΥ. Ἀντὶ τοῦ, χρόνῳ σπανίζεται θάλασσα, ὁ Σύμμαχος, ὡς ἐκρεῖ ὕδατα ἀπὸ θαλάσσης, ἐκδέδωκεν. ὁ δὲ νοῦς οὗτος, ὥσπερ φησίν, ὕδωρ ἀπὸ θαλάσσης ἐκ-

ῥέον, οἷόν ἐστι τὸ ἐκ τοῦ πόντου καπνοῦ ῥεῦμα, καὶ ὥσπερ ποταμὸς ξηρανθεὶς, εἴτουν χείμαῤῥος, ὡς ὁ Ἑβραῖος λέγει, οὕτως ἄνθρωπος ἀποθανὼν, ἀφανὴς γίνεται· καὶ ἕως ἂν ὁ οὐρανὸς παλαιωθῇ, καὶ ὁ Κόσμος συνέστηκε, τουτέστιν, ἕως συντελείας, οὐ μὴ συῤῥαφῇ, ἀντὶ τοῦ, οὐ μὴ συναρμοσθῇ. συῤῥαφὴν γὰρ εἶπε τὸν εἱρμὸν τῶν ζεύξεων τῶν μελῶν. ἀλλὰ μὴν οὐκ ἔνεστι τὸν οὐρανὸν ἀλλαγῆναι, ἢ παλαίωσίν τινα ὑπομεῖναι, ἀδιάλυτον αὐτὸν τοῦ Θεοῦ κατασκευάσαντος· οὕτως οὐδὲ τοὺς ἀνθρώπους ἐστὶν ἀναστῆναι, εἴτουν ἐξυπνισθῆναι.

ΧΡΥΣΟΣΤ. Τάχα δὲ ὥσπερ ἐν τοῖς προλαβοῦσι καὶ φυτῶν ὠκυμορώτερος ὁ ἄνθρωπος ἀπεδείκνυτο· οὕτω κἀνταῦθα θαλάσσης καὶ ποταμοῦ ὀλιγοχρονιώτερος· οὔτε γὰρ θάλασσα, οὔτε ποταμὸς διακόπτεται, ὁ δὲ ἄνθρωπος τοῦτο ὑπομένει. εἴθε γὰρ τοῦτο ἦν, ὥστε ἀποθανεῖν ἡμᾶς, καὶ πάλιν ἀναζῆν, ἀλλ᾽ οὐκ ἔστι τοῦτο. θάλασσα μὲν γὰρ σπανίζεται, καὶ πάλιν πληροῦται, νῦν μὲν αὐξανομένη, νῦν δὲ λήγουσα, καὶ ποταμοὶ ξηραίνονται, αὖθις νάουσιν· ἄνθρωπος δὲ ἐπὰν ἀποθάνῃ, οὐκέτι πρὸς ζωὴν ἐπάνεισι. καὶ ταῦτα μὲν πρὸς τὸ ῥητόν. ἔστι δὲ κατ᾽ ἀλληγορίαν, δένδρῳ ἐλπὶς, ἀντὶ τοῦ, ἀνθρώπῳ· ἐὰν γὰρ ἐν παραπτώματι γένηται, μετανοήσῃ δὲ, καὶ γένηται ἐν τῇ γῇ τῆς εὐσεβείας, καὶ ἐν τῇ πέτρᾳ, ἤγουν τῇ εὐσεβεῖ πίστει, ἐκ τοῦ ὕδατος τῆς παλιγγενεσίας, ἢ ἐκ τοῦ δακρύου τῆς μετανοίας ἀναβλαστήσει· ὁ δὲ τῇ παρατροπῇ καὶ τῇ ἁμαρτίᾳ ἐναποθανὼν, οὐδὲ μίαν ἔχει χρηστὴν ἐλπίδα· καὶ χρόνῳ μὲν τῷ μέλλοντι ἀφανίζεται ἡ ἁμαρτία, θάλασσα τροπικῶς ὀνομαζομένη· ὁ δὲ διάβολος καὶ οἱ αὐτοῦ πειρασμοὶ ξηραίνονται. οἵ γε μὴν τελευτήσαντες οὐκ ἐξαφανίζονται, περιμένοντες τὴν ἀνάστασιν.

ΚΕΙΜ. Εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας, ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργὴ, καὶ τάξῃ μοι χρόνον, ἐν ᾧ μνείαν μου ποιήσῃ. ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ.

ΟΛΥΜΠ. Αἰτίαν ἀποδίδωσι τοῦ ποθεῖν τὸν θάνατον, καὶ δείκνυσιν οὐκ ἀπεικότως αἱρετωτέραν τὴν ἐντεῦθεν ἀπαλλαγὴν τῆς ἐπωδύνου ζωῆς. εἴθε γὰρ, φησὶ, μὴ ζῶντά με ἔπηξας, ἀλλ᾽ ἀποθανόντα ἀνώδυνον ἐτήρεις. εἴθε τὸν χρόνον τοῦτον ὃν ὀργίζῃ μοι, ἐν τῷ ᾅδῃ με ἐφύλαξας, καὶ μὴ ἐπελάθου μου παντελῶς, ἀλλ᾽ ὥρισας χρόνον καθ᾽ ὃν τῆς σῆς ἀξιώσας με προνοίας, τῶν παθῶν ἐλευθερώσεις· ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, συντελέσας τὰς ἡμέρας τοῦδε τοῦ βίου, οὐκ εἰς ἀνυπαρξίαν χωρεῖ, ἀλλὰ ζῇ τῇ ψυχῇ, περιμένων τὴν ἀνάστασιν. καὶ οὕτω μὲν ἑρμηνεύσεις τὸ ῥητὸν, δεδομένου τοῦ, ὅτι ἤλπιζεν ὁ δίκαιος ἀνάστασιν. νοηθέσεται δὲ καὶ οὕτω, τὸ, ἐὰν ἀποθάνῃ ἄνθρωπος, ζήσεται, ἵνα εἴπῃ, ὅτι τῶν βασάνων ἀπαλλάττεται· ὁ γὰρ μὴ ζῶν, οὐδενὸς αἰσθάνεται, οὐδὲ οἶδεν ἀλγεῖν.

ΚΕΙΜ. Ὑπομενῶ ἕως ἂν πάλιν γένωμαι· εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι.

ΤΟΥ ΑΥΤΟΥ. Ἀκύλας δὲ, καὶ Θεοδοτίων, καὶ Σύμμαχος, οἱ μὲν ἐλπιῶ ἕως ἂν ἔλθῃ τὸ ἄλλαγμά μου· ὁ δὲ ἕως ἂν ἔλθῃ ἡ ἀγία φύτις μου. ὁ δὲ νοῦς οὗτος· ἐὰν ἐν ᾅδου φυλαχθῶ, προσδοκῶ τὴν παλιγγενεσίαν, καὶ τὴν ἐπὶ τὸ κρεῖττον ἀλλαγὴν, καὶ ἀλλοίωσιν, ὅτε σὺ μὲν ἐντέλλῃ τοῖς νεκροῖς ἀναστῆναι. ἐγὼ δὲ ὑπακούσομαι· σημαίνει δὲ διὰ τούτου, τὸ, ὡς ἐν ῥοπῇ ὀφθαλμοῦ γίνεσθαι τὴν ἀνάστασιν.

ΚΕΙΜ. Τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ. ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα, καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου· ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ, ἐπισημήνω δὲ εἴτι ἄκων παρέβην.

Ἀπὸ τούτου βούλομαι σωθῆναι, φησὶν, ἀπὸ τοῦ ἔργον εἶναι χειρῶν σου, ἀπὸ δὲ δικαιοσύνης οὐδαμῶς, οὐδὲ ἀπὸ τοῦ δύνασθαί σε ἀπατηθῆναι· ἀναπόδραστος γάρ σου ἡ γνῶσις, καὶ ἀριθμητά σοι τὰ τοῦ ἐμοῦ βίου διαβήματα, καὶ οὐδέν σε λέληθε τῶν ἐμῶν· ἀλλ' ἐμπεπείληφας αὐτῶν καὶ τὴν ποιότητα, καὶ τὸν ἀριθμὸν, καὶ οὕτως ἐξηρίθμησας, καὶ ἐξιχνίασας, καὶ ὡς ἐν βαλαντίῳ ἐπεσώρευσας, καὶ κατέκλεισας τὰς ἀνομίας μου, ἐφ' ᾧ μηδὲ μίαν παραπολέσθαι, ἀλλὰ πασῶν ἀπαιτεῖσθαι τὰς δίκας. καὶ δέον δὲ διὰ τὴν τῆς φύσεως ἀσθένειαν παριδεῖν τὰ ἐπταισμένα· τοῦτο μὲν οὐ πεποίηκας, λεπτῶς δὲ καὶ ἀκριβῶς πάντα ἐξήτασας, καὶ αὐτῶν τῶν ἀκουσίων ἀπῄτησας δίκην, οἱονεὶ ταῦτα ἀπογραψάμενος. ταῦτα δέ φησι, Θεὸν μὲν ἱκετεύων, μὴ ἀκριβῶς ἐξετάζειν τὰ καθ' ἡμᾶς· ἡμᾶς δὲ διδάσκων, ὡς οὐδὲν διαλανθάνει τὴν ἀπλανῆ τοῦ Θεοῦ κατανόησιν τῶν ἡμετέρων, εἴτε προαιρετικῶς, εἴτε ἀκουσίως τι πράξομεν. ἐπισημῆναι δὲ, ὅτι καὶ τῶν ἀκουσίων ὑφέξομεν λόγους.

ΚΕΙΜ. Καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται, καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς· λίθους ἐλέαναν ὕδατα, καὶ κατέκλυσαν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς, καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.

ὈΛΥΜΠ. Ὁ σοφὸς Ἰὼβ αἰνίγματα λαλεῖ, ἐπειδὴ καὶ πολλὰ τῶν φίλων δι' αἰνιγμάτων ῥηθέντα συνῆκεν αὐτὸς ὡς σοφὸς, οὐδαμοῦ τὸν νοῦν ἐκ τῶν ἀλγηδόνων περισπασθεὶς, ἀλλ' ἐν μέσοις αὐτοῖς τοῖς πάθεσι φιλοσοφῶν. ἔοικεν οὖν ἐν τούτοις τὸν Θεὸν ἱκετεύειν μὴ ἐπὶ πολὺ παρατείνειν αὐτῷ τὰς συμφορὰς, μήπως τις αὐτῷ καὶ ὀκλασμὸς γένηται, καὶ ἐξατονίσῃ. εἰ γὰρ καὶ ὄρος φησὶ, καὶ πέτρα τῷ χρόνῳ παλαιοῦται καὶ πίπτει, καὶ τοὺς στερροτάτους λίθους λεαίνει ἡ συχνὴ τῶν ὑδάτων ἐπιρροὴ, καὶ τὰ ἀνεστηκότα τῆς γῆς χώματα, καὶ ἐν ὑπτίῳ κείμενα, ἡ τῶν ὑδάτων φορὰ κατακλύζει, καὶ παρασύρει. δέος μὴ τῇ συνεχείᾳ τῶν πειρασμῶν, καὶ τῷ μήκει τοῦ χρόνου πάθω τι κἀγὼ τῶν ἀβουλήτων, καὶ ἀπείπω πρὸς τὰς συμφοράς. τὸ δὲ, ὑπομονὴν ἀνθρώπου ἀπώλεσας, ἀνθ' οὗ Σύμμαχος οὕτω, προσδοκίαν ἑκάστου ἀνδρὸς ἀπολήσῃς, ἐκδέδωκε, τοῦτο σημαίνει, ὅτι ἐκτὸς τῆς ἄνωθεν βοηθείας οὐδὲν ἐστιν, οὐδὲ τὰς τῶν πειρασμῶν νιφάδας ὑπομεῖναι δύναται.

ΠΟΛΥΧΡ. Τάχα δὲ κἀκεῖνό φησιν, ὅτι τὰ μὲν ὄρη πεσόντα μένει, καὶ πέτρα παλαιουμένη οὐκ εἰς τέλος ἀφανίζεται· ἄνθρωπος δὲ εἰς τέλος διαφθείρεται, καὶ οὐδὲν ὑπομένει αὐτοῦ κατάλειμμα. τοῦτο καὶ τὰ ἐφεξῆς παρίστησιν.

ΚΕΙΜ. Ὤσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο· Ἐπέστησας αὐτῷ τὸ πρόσωπον, καὶ ἐξαπέστειλας.

ΟΛΥΜΠ. Πάλιν περὶ τῆς οὐδενείας τοῦ ἀνθρώπου πρὸς Θεὸν ἀποδύρεται, καὶ τὸ ὀλιγοχρόνιον πρὸς παραίτησιν καὶ ἱκεσίαν προβάλλεται. ὡς γὰρ ἐπὶ ἀνέμου, καὶ χοὸς, ἤ τινος τῶν κουφοτάτων, ἐὰν, φησὶ, μόνον ὠθήσῃς αὐτὸν, ἢ ἐπιστήσῃ αὐτῷ τὸ πρόσωπον ἀπειλητικῶς, καὶ ἐμβριθῶς προσοχῆς, εὐθέως ἀποστέλλεται, καὶ οἴχεται, ἀντὶ τοῦ, ἀποθνήσκει, καὶ ἀφανὴς γίνεται· τὸ γὰρ ἐξαπέστειλας, ἀντὶ τοῦ, ἀλλότριον ἑαυτοῦ αὐτὸν ἀπέδειξας, καὶ ἀπεπέμψω.

ΚΕΙΜ. Πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ, οὐκ οἶδεν, ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται· ἀλλ' ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησε.

ΤΟΥ ΑΥΤΟΥ. Ἐπώδυνόν, φησιν, ἔχει τὴν ζωὴν, καὶ ἑκάστοτε περιμένων τὸν θάνατον, ἐν ἀθυμίᾳ καθέστηκε. τί δὲ ὄφελος ἀνθρώπῳ ἐν ὀδύναις ζήσαντι, καὶ ἐν πένθει ψυχῆς, ἐκ τῶν μετ' αὐτὸν ἐσομένων; κἄν τε γὰρ εἰς πλῆθος ἐκταθῇ αὐτῷ ἡ γονὴ, κἄν τε εἰς ὀλίγους περιστῇ, αὐτὸς ἅπαξ ἀποθανὼν ἀγνοεῖ. ἠρέμα δὲ πάλιν ἡμᾶς διδάσκει, μὴ μέγα οἴεσθαι τὴν ἀπαιδίαν, ἢ πολυπαιδίαν· τῷ γὰρ ἅπαξ ἀποθνήσκειν μέλλοντι, τούτων οὐδὲν ὄφελος, μάλιστα ὅτι καὶ ἕκαστος ἑαυτῷ, ἀλλ' οὐκ ἄλλῳ ζῇ.



ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΔΕΚΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΤΟΥ Ἰὼβ προοιμιασαμένου, καὶ εἰρηκότος, πότερον ὑμεῖς ἐστε ἄνθρωποι; ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; κἀμοὶ μὲν οὖν καρδία καθ' ὑμᾶς ἐστίν· εὐθὺς ὁ Ἐλιφὰζ πρὸς τοῦτο ἱστάμενος, φησὶ, πρὸς τὸν Ἰὼβ, ὅτι οὐδέποτε ὁ σοφὸς ἐπιδεικτικῶς τὴν ἑαυτοῦ προάγει σοφίαν, ὅπερ σὺ πεποίηκας, καίτοι γε οὐδὲν ἀναγκαῖον εἰρηκὼς, ὥστε ἐκ τῶν σῶν ῥημάτων, καὶ ἄφοβος ὢν δείκνυσαι. εἰπὲ γὰρ, πρὸ πάντων ἀνθρώπων γέγονας, ἢ καὶ πρὸ αὐτῆς τῆς κτίσεως; ἢ μύστης τῆς τοῦ Θεοῦ σοφίας κατέστης, ὅτι σαυτῷ ἀποδίδως τὴν γνῶσιν; πῶς δὲ καὶ ἐτόλμησας εἰπεῖν, ὅτι ἄμεμπτός εἰμι· καὶ δίκαιος ἀναφανοῦμαι; ὅπου γε οὔτε Ἄγγελοι, οὔτε οὐρανὸς, μήτοι γε ἄνθρωπος ἀκάθαρτος, δύναται εἶναι καθαρὸς, πρὸς τὴν τοῦ Θεοῦ καθαρότητα. μάνθανε τοίνυν παλαιὸν καὶ ἀληθινὸν λόγον, ὅτι δι' ἁμαρτίας αἱ κολάσεις τοῖς ἀνθρώποις ἐπάγονται. εἶτα λέγει καὶ τὰ τοῖς ἀσεβέσιν ἴσως συμβαίνοντα. καὶ ἀληθὴς μὲν ὁ λόγος, ὅτι καὶ δι' ἁμαρτίας αἱ κακώσεις· πλὴν οὐ πάντοτε ἀνταποδοτικῶς ἐπιφέρονται, ἀλλ' ἔσθ' ὅτε καὶ γυμναστικῶς, ἵνα δοκιμασθῶσιν οἱ δίκαιοι· ὥστε μὴ μετὰ τῆς προσηκούσης διαιρέσεως ταῦτα εἰρηκὼς ὁ Ἐλιφὰζ, πάλιν ἔπληξε τὸν Ἰὼβ, συντάξας αὐτὸν τοῖς δι' ἁμαρτίας πάσχουσι. σὺ δὲ ἄθρει, ὅπως ἐν Κόσμῳ ποιοῦνται τὰς διαλέξεις οἱ τοῦ Ἰὼβ φίλοι, καὶ τοῦ ἑνὸς λαλοῦντος, οἱ ἕτεροι σιωπῶσιν, ἀντιπαραχωροῦντες ἀλλήλοις, καὶ οὐκ ἐπιδεικτικῶς τοὺς ἑαυτῶν παρεμβάλλοντες λόγους, ἀλλ' ἕκαστος ἀναμένει ἕως ἂν ὁ λέγων πληρώσῃ. οὕτω καὶ Παῦλος τοῖς ἐν Ἐκκλησίᾳ προφητεύουσιν ἐπέταττε ποιεῖν, ὁμοῦ καὶ τάξιν αὐτοῖς ἐπιτιθεὶς, καὶ τὸ ἀσύγχυτον τοῖς λεγομένοις φυλάττειν. διὰ τοῦτο οὖν πάλιν ὁ Ἐλιφὰζ πρὸς τὸν Ἰὼβ ἀποκρίνεται, ἐπειδήπερ αὐτὸς πρῶτος ἀντικατέστη τῷ Ἰὼβ, εἶτα ὁ Βαλδὰδ, καὶ μετ' ἐκεῖνον ὁ Σωφάρ. κατὰ τὴν προσήκουσαν τοίνυν τῶν λόγων διαδοχὴν, πάλιν αὐτὸς ἵσταται πρὸς τὰ εἰρημένα, καὶ φησίν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει, πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεῦμα, καὶ ἐνέπλησε πόνον γαστρὸς, ἐλέγχων ἐν ῥήμασιν οἷς οὐ δεῖ, καὶ ἐν λόγοις οἷς οὐδὲν ὄφελος;

ΧΡΥΣΟΣ. Ἐπειδὴ εἶπεν ὅτι κἀμοὶ καρδία καθ' ὑμᾶς ἐστι· καὶ οὐκ εἰμὶ ἀσυνετώτερος ὑμῶν· ἀπὸ τούτων ἀθέως αὐτὸν βάλλει· ἰδοὺ γὰρ, φησὶν, ὁ σοφὸς, καὶ λέγων πάντα εἰδέναι, οἷα ἀποκρίνεται. ἐνέπλησε δὲ πόνον γαστρὸς, τουτέστι, πρὸς παραμυθίαν αὐτῷ τὰ ῥήματα εἴρηται, καὶ πάθους γέμει. ἐντρεπτικῶς δὲ ταῦτα λέγει πρὸς τὸν Ἰὼβ, δύο κατηγορῶν αὐτοῦ, ὅτι μάλιστα μὲν ὁ σοφὸς οὐκ ἐπιδεικτικῶς προφέρει τὴν σοφίαν ὅπερ σὺ πεποίηκας· ἔπειτα δὲ καὶ ἃ ἐλάλησας, ὡς ἐλέγχων ἡμᾶς, καὶ ὡς δῆθεν πάσχων ὑπὲρ τῆς ἀληθείας, καὶ τὴν τοῦ νοῦ γαστέρα πληρούμενος, τοῦτο γὰρ δηλοῖ, ἐνέπλησε πόνον γαστρὸς, ματαίως ἐφθέγξω καὶ ἀνωφελῶς, καὶ εἰς οὐδὲν δέον· ὧν οὐδέποτε ὁ σοφὸς ποιεῖ, ἀλλὰ τοὐναντίον ἅπαν, καὶ ἀπόκρισιν δίδωσι συνετήν· κἂν ὡς ζηλωτὴς ὑπεραλγήσῃ τοῦ ἀληθοῦς, καὶ ἐξελέγχειν τινὰς βούληται, οὐ προφέρει λόγους ἀσυνέτους, καὶ οὓς οὐδεῖ, ὥστε ἐκπλῆσαι πόνον γαστρὸς, οὐδὲ πικρῶς διαλέγεται, ὥστε ἐκπλῆσαι τὸν πόνον καὶ τὸν καύσωνα τῆς ἑαυτοῦ διανοίας, ὅπερ σὺ πεποίηκας.

ΚΕΙΜ. Οὐ καὶ σὺ ἀπεποιήσω φόβον; (ἀνθ' οὗ ὁ Θεοδοτίων, οὐ γὰρ σὺ παρῃτήσω φόβον.) συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ Κυρίου; (ὁ δὲ Σύμμαχος, καὶ ἀναίδην ὡμίλησας ἐναντία τῷ Θεῷ)

ΟΛΥΜΠ. Ἀπετόλμησας, φησὶ, καὶ ἀφόβως ἐλάλησας, πρὸς Θεὸν θελήσας κρίνεσθαι· καὶ τολμηρῶς ἐφθέγξω κατὰ τοῦ Θεοῦ, οὐδὲν δείσας, οὐδὲν συνειδὼς τὸ πρὸς Θεὸν διάφορον τῆς σῆς φύσεως. τρόπῳ δὲ θεοσεβείας, ὡς ὑπὲρ Θεοῦ, ταῦτα λέγουσιν οἱ περὶ τὸν Ἐλιφὰζ, ἴσως διὰ τὸ ἀπαρρησίαστον τῶν τοῦ δικαίου λόγων, οὓς προέφερεν ἀπὸ καθαροῦ τοῦ συνειδότος, βλασφημεῖν αὐτὸν οἰόμενοι.

ΚΕΙ'Μ. Ἔνοχος εἶ ῥήμασι στόματός σου, οὐδὲ διέκρινας ῥήματα δυνατῶν. ἐλέγξει σὲ τὸ σὸν στόμα, καὶ μὴ ἐγὼ, τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου.

ΠΟΛΥΧΡ. καὶ ΟΛΥΜΠ. Θρασέως αὐτῷ διαλέγεται, ὡς πρὸς μὴ δίκαιον προφέρων τοὺς λόγους· οἴεται δὲ καὶ ἐκ τῶν αὐτοῦ λόγων ἐλέγχειν αὐτὸν, φάσκων, ὅτι ἐκ τῶν σεαυτοῦ ἐλεγχθήσῃ λόγων, καὶ ἐκ τῶν οἰκείων ῥημάτων κατακριθήσῃ. οὐ γὰρ ἐδέξω τὴν ἡμετέραν παραίνεσιν οὕτως οὖσαν λυσιτελῆ, μὴ κατανενοηκὼς, μηδὲ διακρίνας τὰ τῶν ἐν σοφίᾳ δυνατῶν ῥήματα, ἤτοι τῶν πρὸ σοῦ παλαιοτέρων σοφῶν, ἢ καὶ ἡμῶν τῶν σῶν φίλων, οὕτως ἐλάλησας ὡς μὴ ἀλλαχόθεν, ἀλλ' ἐκ τῶν σῶν λόγων καταδικάζεσθαί σε. οὐκοῦν τοῖς παρὰ σοῦ λεχθεῖσιν ἀντιπαρεξέτασον τὰ πράγματα· οὕτω γὰρ ἴσως καταγνώσῃ σαυ-

τῷ, ἀλογώτατα θρασυνόμενος. διχόθεν μέντοι τὸν λόγον ἐλέγχει, ἀπό τε τῷ χρόνε καὶ τῆς συνέσεως, λέγων.

ΚΕΙΜ. Τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγεννήθης; ἢ πρὸ θινῶν ἐπάγης; ἢ σιώπαγμα Κυρίε ἀκήκοας; ἢ συμβέλῳ σοι ἐχρήσατο ὁ Θεός; εἰς δὲ σὲ ἀφίκετο σοφία; τί γὰρ οἶδας, ὃ ἐκ οἴδαμεν; ἢ τί συνιεῖς σύ, ὃ ἐ καὶ ἡμεῖς;

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Μὴ πρὸ πάντων, φησίν, ἐγένε, καὶ πρὸ αὐτῆς τῆς κτίσεως, ὥστε σὲ διὰ τὸν χρόνον ἁπάντων εἶναι σοφώτερον; μὴ γὰρ δὴ πρὸ πάντων αὐτὸς εἶ, ἵνα ἀπὸ τῷ χρόνε τῷ μακρῷ μάθῃς; ἢ παρὰ τῷ Θεῷ τί ἀκήκοας; οὐδὲν ἡμῶν πλεονάζεις κατὰ τὸ εἰδέναι. ἐπειδὴ γὰρ εἶπεν ὁ Ἰώβ, ὅτι ἐν μακρῷ χρόνῳ σοφία εὑρίσκεται, ἐκεῖν ἐάλως, φησίν, μὴ γὰρ πρὸ πάντων ἀνθρώπων ὑπέστης, καὶ ἄχει τῷ νῦν διατείνας τὸν βίον, πλειόνων πραγμάτων πεῖραν ἔχηκας παρὰ τὰς ὁμοφυεῖς; ἀλλ' ἅμιλλαν ἐ διαφέρεις τῶν ἄλλων ἀνθρώπων, ἐδὲ ἔξω τῆς φύσεως αὐτῶν ὑπάρχεις, ὥστε πλεῖόντι τῶν ἄλλων κατειληφέναι· ἐδὲ πρὸ θινῶν ἐπάγης, ἤ, ὡς ὁ Ἑβραῖος φησιν, συνελήφθης. θῖνας δὲ λέγει τὰς βενὰς, ἤτεν τὰς ὑψηλὰς, καὶ δυσβάτες, καὶ ψαμμώδεις τόπες. ἐδὲ σιώπαγμα Κυρίε ἀκήκοας· ἀνθ' ἕ, ὁ μὲν Ἀκύλας, ἀπόρρητα, ὁ δὲ Θεοδοτίων, μυστήριον, ὁ δὲ Σύμμαχος ὁμιλίαν, ἐξέδωκεν. ἵνα εἴπῃ, μὴ τὰ πρὸ τῆς κτίσεως ἐπίστασαι, ὡς καὶ πρὸ βενῶν γενόμενος; ἢ συμβέλῳ σοι ὁ Θεὸς ἐχρήσατο, ἐπειδὴ μέγα ἐπὶ σοφίᾳ φρονεῖς; προβαλὲ τί τῶν ἡμῖν ἐκ ἐγνωσμένων, καὶ δεῖξον ὡς ἡμᾶς ὑπερβέβηκας. καίτοι τί ξένον γινώσκεις, ὃ ἡμεῖς ἐκ ἐπιστάμεθα; πλέον γὰρ τῶν ἀνθρωπίνων, καὶ τῶν ἐν μέσῳ στρεφομένων, ἐκ ἂν ἔχοις εἰπεῖν. ταῦτα δέ φασιν, ἵν' ἑαυτὰς ὡς ἀφικνεμένες τῆς ἀκριβείας παραστήσωσιν.

ΔΙΔΥΜΟ. Προβαλόμενος τοίνυν ὁ Ἐλιφὰζ τὸ τῶν κειμάτων ἀνεξερεύνητον, ἐκ τέτε οἴεται περιτρέπειν τὸν δίκαιον εἰς τὸ οἴεσθαι, ὅτι μὴ δι' ἕτερον, ἢ δι' ἁμαρτίας πάσχει, ταύταις αὐτὸς συνεχόμενος· ἐδὲ γὰρ αὐτὸς σιώπαγμα Κυρίε ἦν ἀκηκοώς, ἢ ἀφικομένην εἶχε πρὸς αὐτὸν τὴν σοφίαν, ἵνα διάληψιν ἔχῃ περὶ τῷ Ἁγίε, ὡς δι' ἁμαρτίας πάσχοντος. κοινοποιεῖ δὲ αὐτὸν τοῖς πᾶσιν ἀνθρώποις εἰκότως, ἅτε ἀγνοῶν αὐτῷ τὸ μέγεθος τῆς ἀρετῆς, ἐκ τέτε ἀνατρέπων δῆθεν τὸ οἴεσθαι αὐτὸν δίκαιον.

ΚΕΙΜ. Καί γε πρεσβύτης, καί γε παλαιὸς ἐν ἡμῖν, βαρύτερος τῷ πατρός σε ἡμέραις.

ΟΛΥΜΠ. καὶ ΔΙΔΥΜΟΥ. Ἀλλὰ τί λέγεις, φησίν, ὅτι ὁ χρόνος σε σοφώτερον κατεσκεύασεν; ἀλλ' ἔστι τις ἐξ ἡμῶν τῶν τελῶν τυχὼν, ἐχὶ μόνον σε, ἀλλὰ καὶ τῷ σε πατρὸς παλαιότερος, ἤτεν πολυχρονιώτερος, κατὰ Σύμμαχον. ἢ τοίνυν τῦτο, φησίν, ὅτι εἰ καὶ ἐπὶ χρόνῳ αὐχεῖς, εἰσὶ παρ' ἡμῖν παλαιοί· ἢ ἐκεῖνο τάχα, εἰ καὶ πρεσβύτης ὑπάρχεις, καὶ παλαιὸς, ἐν ἡμῖν προγενέστερος τυγχάνει, ὃς καὶ τῷ σε πατρὸς βαρύτερος, τετέστι, γηραλεώ-

ραλεώτερος γέγονεν, ὁ πλεῖόν τι ἡμῶν ἐπίστασαι. καὶ ταῦτα ἀπὸ αὐθεντίας ἀλαζωνικῶς ὁ Ἐλιφὰζ λέγει.

ΚΕΙ'Μ. Ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι.

ΧΡΥΣΟΣΤ. Ἐπειδὴ ὁ Ἰὼβ εἶπε, τίνες εἰσὶν αἱ ἁμαρτίαι μου, δίδαξόν με· τούτου χάριν πλῆθος ἁμαρτιῶν αὐτῷ ὀνειδίζει ὁ Ἐλιφὰζ, καὶ φησὶν, ἴσθι ὡς πρὸς σύγκρισιν τῶν σῶν ἁμαρτημάτων, ἐλαφρῶς ἐτιμωρήθης, καὶ οὐκ ἀνταξίαν τῶν πλημμελημάτων δέδωκας τὴν δίκην. εἶτα ἐπεὶ μηδὲν ἔχει δεικνύναι τοῦ Ἰὼβ ἁμάρτημα, ἐκ τῶν λόγων αὐτοῦ πειρᾶται κρίνειν, λέγων.

ΚΕΙ'Μ. Μεγάλως ὑπερβαλλόντως λελάληκας.

ΠΟΛΥ. Τοῦτο λέγει, ὅτι ἡμάρτηκας, καὶ διὰ τοῦτο μάστιγας ὑπομένεις· ἐπειδὴ δὲ τοῦτο ὑφιστάμενος, ἀδικίαν προσάπτεις τῷ Θεῷ, βαρύτερον γέγονέ σου τὸ ἁμάρτημα. δέον γοῦν καὶ νῦν σὲ πληγῆναι, ὑπὲρ τῆς κατὰ Θεοῦ θρασύτητος, πέπονθας οὐδὲν, τοῦ Θεοῦ ἀνεξικακίᾳ νενικηκότος τὴν κατ' αὐτοῦ βλασφημίαν· ἵνα εἴπῃ ὅτε δέον σε μεταμελείᾳ σωφρονέστερον γενέσθαι, τολμηρῶς εἰς διαδικασίαν Θεοῦ ἐλθεῖν ἐπεχείρησας. διακείμενοι γὰρ περὶ αὐτοῦ, ὡς ἁμαρτόντος, εἶτα ἀκούοντες οὓς ἐκ καθαρότητος προέφερε λόγους, τόλμαν ἡγοῦντο τοῦτο, καὶ ὑπερβολὴν ἀλαζονείας, ματαίως καὶ ἀνοήτως· διὸ φησὶν Ἐλιφάζ.

ΚΕΙ'Μ. Τί ἐτόλμησεν ἡ καρδία σου; ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου; ὅτι θυμὸν ἔῤῥηξας ἔναντι Κυρίου, ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα;

ΠΟΛΥ. Ἀνθ' οὗ ὁ Σύμμαχος, τί ὅτι ἐπῆρέ σε ἡ καρδία σου; τουτέστι πῶς οὐκ ἔφριξας καὶ μόνον ἐννοῆσαι τὴν πρὸς Θεὸν κρίσιν; οὐ μόνον, φησὶν, ἐτόλμησας ἐννοῆσαι, ἀλλὰ καὶ φθέγξασθαι οὐ παρῃτήσω, τολμηρῶς τῇ ψυχῇ ἀντοφθαλμήσας Θεῷ, καὶ ὅλον σου τὸν θυμὸν κενώσας εἰς Θεὸν, καὶ διαλεγόμενος οὐ πράως, ἀλλὰ μετὰ θυμοῦ ἐκφωνήσας τὴν φωνὴν, καὶ πλείστῃ τῇ τῶν ῥημάτων ἐχρήσω βαρύτητι, καθαρότητα ἔργων σεαυτῷ μαρτυρῶν.

ΔΙΔΥ'ΜΟΥ. Θυμὸν γὰρ ἡγοῦντο τὴν ἐκ καθαρότητος ὑπερβαλλούσης παῤῥησίαν· ὅπερ αὐτοῖς συνέβαινεν ἐκ τῆς σαθρᾶς αὐτῶν ἀρχῆς, ἧς αὐτοὶ ἑαυτοῖς ὑπέθεντο, βλασφημίαν ἡγούμενοι τὴν εὔλογον τῶν λόγων ἐλευθερίαν. διὸ φησι, τί τοσοῦτον ἐθρασύνω, ὅτι καὶ ἀντέβλεψας Θεῷ, καὶ ὡς ἀγανακτῶν κατ' αὐτοῦ τοιαῦτα ἐφθέγξω ῥήματα;

Ο'ΛΥΜΠ. Ὀφθαλμοὺς φησὶ τὸ ὁρατικὸν καὶ νοητικὸν τῆς ψυχῆς. πῶς οὖν, φησὶ, τῇ διανοίᾳ σου οὕτως ἐτόλμησας ἀρθῆναι, καὶ μετ' ὀργῆς ὡς ἄδικα πάσχων, πρὸς Θεὸν διαλεχθῆναι, οἷά τις ἀναμάρτητος τυγχάνων;

ΚΕΙΜ. Τίς γὰρ ὢν βροτὸς, ὅτι ἔσται ἄμεμπτος; ἢ ὡς ἐσό-

μενος

μενῶ δίκαιῶ γεννητὸς γυναικός;

Ὁ δὲ Ἑβραῖος, καὶ πῶς δικαιωθήσεται γέννημα γυναικός; ἵνα εἴπῃ αὐτὴ ἡ φύσις πάθεσιν ὑποκειμένη, εὔκολός ἐστι πρὸς τὴν ἁμαρτίαν.

ΔΙΔΥΜΟΥ. Ἴδιον δὲ τῶν μὴ ἐχόντων ἀρετὴν, τὸ δυσχερῆ λογίζεσθαι τὴν ταύτης ἀνάληψιν, καὶ διακεῖσθαι, ὡς μηδενὸς αὐτὴν ἔχοντος. καθὰ καὶ ὁ προκείμενος λέγει, σφαλλόμενος διὰ τὴν τοῦ σώματος, ὡς εἰκὸς, ἀσθένειαν· τίς γὰρ, φησὶν, ἄνθρωπος ὢν, δύναται ἄμεμπτος εἶναι, ἢ ἐπαγγέλλεσθαι, ὅτι δίκαιος ἔσομαι, ὡς σὺ σεαυτὸν νομίζεις;

ΚΕΙΜ. Εἰ κατ' Ἁγίων οὐ πιστεύει, Οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ (ὁ δὲ Σύμμαχος, ἰδοὺ ἐν Ἁγίοις αὐτοῦ οὐδεὶς ἄτρεπτος, οὐδὲ Οὐρανὸς ἄσπιλος) ἔα δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος ἀνὴρ, πίνων ἀδικίας ἴσα ποτῷ.

ΠΟΛΥΧΡ. Σκόπησόν φησι, τίς πότε ἀνθρώπων ἀκηλίδωτον ἔσχε τὸν βίον; εἴπερ μηδὲ τοὺς πάλαι Ἁγίους, οἷον τὸν Ἀβραὰμ, τὸν Μωϋσέα, ἐκτὸς κατέλιπε μέμψεως· καὶ γὰρ τῷ Ἀβραὰμ καὶ τῷ Μωϋσεῖ ὀργισθεὶς φαίνεται ὁ Θεός. καὶ πῶς αὐτὸς ἀλαζονικὴν δικαιοσύνης ἀκρίβειαν, ὅπου γε οὐ μόνον οἱ Ἅγιοι, ἀλλὰ καὶ πάντα τὰ λοιπὰ, καὶ τὰ δοκοῦντα εἶναι ἀπαθῆ, δέχεταί τινα τῆς προτέρας καταστάσεως ἀλλοίωσιν; πλὴν οὐ περὶ ἁμαρτημάτων λέγει ἐπὶ Οὐρανοῦ, ἀλλὰ βούλεται δεῖξαι, ὅτι μόνη τοῦ Θεοῦ ἡ φύσις ἐστὶν ἀναλλοίωτος, καὶ μόνος αὐτὸς, ἐστὶ καθαρός· διὰ τοῦτο εἶπεν, οὐδὲ Οὐρανὸς ἐνώπιον αὐτοῦ καθαρός· εἰ γὰρ καὶ λαμπρὸς τὴν φύσιν καθέστηκεν, ἀλλ' οὖν νέφους ὑποδραμόντος, καλύπτεται τῆς αὐτοῦ λαμπηδόνος ἡ δύναμις. εἰ τοίνυν οὔτε τοὺς Ἁγίους ἐστὶν εὑρεῖν, οὔτε Ἀγγέλους, οὔτε ἀνθρώπους, τὸ παράπαν πταίσματος ἐλευθέρους, οὔτε Οὐρανὸν ἐπὶ τῆς οἰκείας ἀεὶ καθαρότητος, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ Οὐρανοῦ καθαρότης, πρὸς τὴν σύγκρισιν τῆς τοῦ Θεοῦ καθαρότητος, ἀκάθαρτος· πῶς οὐ τολμηρὸν, ἄνθρωπον ἐπὶ ἁγνοίᾳ πράξεων αὐχεῖν; τί δ' ἂν εἴποιμεν περὶ ἀνδρὸς τοῦ βδελυκτοῦ καὶ ἀκαθάρτου, ὃς ἴσα πόματι τὰς ἀδικίας ἐκπίνει; τοῦτο δὲ εἶπε διὰ τὸ προαιρετικῶς τοὺς ἀνθρώπους ἁμαρτάνειν, καὶ οὐ κατὰ περίστασιν, ἢ ἐξ ἀνάγκης, ἀλλὰ καθ' ἡδονὴν, ὥσπερ ἀμέλει καὶ ὁ διψῶν πίνει. τὸ δὲ κατ' Ἁγίων οὐ πιστεύει δυνατὸν καὶ οὕτω νοῆσαι, ὅτι καὶ αὐτοὶ οἱ Ἄγγελοι τρεπτοὶ γεγόνασι τὴν φύσιν, ὡς καί τινας αὐτῶν ἀπολισθῆναι τῆς οἰκείας στάσεως· εἰ οὖν καὶ αὐτοὶ τρεπτοὶ, πῶς οἷόν τε ἄνθρωπον εἶναι ἄμεμπτον; καὶ αὐτὸς ὁ Οὐρανὸς οὐ καθαρός ἐστιν, οὐ καθάπαξ ἀλλ' ἐπίπροσθεν τοῦ Θεοῦ. τὸ μέντοι, ἔα, ἡ μὲν χρῆσις τοῦ λόγου καὶ ἡ ἀκολουθία, πόσῳ μᾶλλον, νοεῖ, καὶ μήτοι γε· ἡ δὲ κοινὴ συνήθεια ἄφες.

ΚΕΙΜ. Ἀναγγελῶ δέ σοι, ἄκουέ μου· ἃ δὴ ἑώρακα ἀναγγελῶ σοι, ἃ σοφοὶ ἐροῦσι, καὶ οὐκ ἔκρυψαν πατέρες αὐτῶν·

αὐτοῖς μόνοις ἐδόθη ἡ γῆ, καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς ἐπ' αὐτούς.

Καθυφεὶς τῆς ἀφρύος δέξαι μου, φησὶ, τὴν διδασκαλίαν, καὶ σοφὸν ἄκουε λόγον, οὐ νεώτερον, οὐδὲ παρ' ἐμοῦ ἐξευρημένον, ἀλλ' ὃν οἱ παλαιοτέρων παῖδες παρὰ πατέρων διεδέξαντο, ἀληθῆ δὲ εἶναι τοῦτον, καὶ ἡ πεῖρά μοι παραδέδωκεν. οἱ γὰρ τὸν σοφὸν τοῦτον παραδόντες λόγον, ὅτι θεοσεβεῖς ἐτύγχανον, καὶ τοιοῦτον τρόπον ἐπεδείξαντο, ὥστε τῆς παρὰ τοῦ Θεοῦ τυχόντες προνοίας, μόνοι ἐν ἀνέσει γενέσθαι, καὶ μετ' ἀδείας καὶ ἀταράχως τὴν ἑαυτῶν οἰκῆσαι γῆν, οὐδενὸς αὐτοῖς πολεμίου ἐπελθόντος. καὶ γὰρ καὶ τοῦτο γέρας ἦν τοῖς τότε εὐσεβοῦσι, τὸ μηδὲν ὑπὸ πολεμίων πάσχειν, ὡς οἱ περὶ τὸν Ἀβραὰμ Ἰσαὰκ, Ἰακὼβ, Μωσῆν, καὶ Ἰησοῦν. δοκεῖ δὲ πως ἀλαζονικῶς ταῦτα τῷ Ἰὼβ λέγειν ὁ Ἐλιφάζ.

ΔΙΔΥ'Μ. Ἢ τάχα, οὐ προθέσει ἀλαζονικῇ, ἀλλὰ τῷ νομίζειν αὐτὸν ἐν ἁμαρτίαις εἶναι, καὶ διὰ τοῦτο δεῖσθαι τῆς παρ' αὐτοῦ παραινέσεως. καὶ ἔοικέ γε οὗτος, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν θείαν, ἀλλὰ τῷ θαυμάζειν τοὺς ὑπερβάλλοντας συνέσει, ὅμοιον λέγειν τῷ φάσκοντι ῥητῷ, τοῦ πιστοῦ ὅλος ὁ Κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδ' ὀβολός. κἂν γὰρ πολυκτήμων ὑπάρχῃ ὁ ἄπιστος, οὐ δεσπότης, ἀλλὰ δοῦλός ἐστι τῶν χρημάτων· τῷ γὰρ μαμωνᾷ δουλεύει. τίς δὲ ὁ παλαιὸς λόγος, ὃν παρὰ τῶν ἀρχαίων φησὶ μεμαθηκέναι, ἐπάγει.

ΚΕΙΜ. Πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· (αὐθ' οὐ, ὁ μὲν Ἀκύλας, ἐν ὀδύνῃ ἐξέδωκεν. ὁ Θεοδοτίων, ματαιοῦται. ὁ δὲ Σύμμαχος ἀλαζονεύεται.) ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ. (πάλιν ὁ Σύμμαχος, καὶ ἀριθμὸς ἐτῶν κεκρυμμένος ἰσχυρῷ) ὁ δὲ φόβος αὐτοῦ ἐν ὠσὶν αὐτοῦ. ὅταν δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή.

ΠΟΛΥΧΡ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ μὲν Ἅγιοι τοῦτον τὸν τρόπον διανύουσι τὴν ζωήν· ὁ δὲ ἀσεβὴς κἂν ἐν ἀφθονίᾳ διάγειν δοκῇ, οὐκ ἀσφαλῶς βιοῖ, ἀλλ' ἀεὶ τεταραγμένος ἐστὶν, ἀεὶ ἐν φροντίδι, πρόσκαιρος αὐτοῦ ἡ δυναστεία, περίφοβός ἐστιν, ἔνοικον ἀεὶ τὸ δέος ἔχων ἐν τοῖς ὠσὶ, καὶ οἷον ἔναυλον. ἁμαρτάνων γὰρ ἀεὶ δέδοικεν, αὐτὸς ἑαυτοῦ τῷ Συνειδότι κατήγορος γινόμενος. καὶ ἀεὶ πρὸ ὀφθαλμῶν ἔχει τὸν φόβον, ὥσπερ ἐνηχοῦντα αὐτῷ τὴν μέλλουσαν ἀπώλειαν· ἀεὶ ἐν ὑπονοίᾳ ζῇ, καὶ ὅταν δοκῇ ἐν ἀσφαλείᾳ εἶναι, ἥξει αὐτῷ ἀδόκητος ἡ καταστροφὴ τῆς δοκούσης εὐημερίας, καὶ τὴν ἐσχάτην ὑποστήσεται τιμωρίαν. ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, ἡ καταστροφὴ, ἡ σκύλευσις, ἔχει, ἐμφαντικώτερον παριστῶν τὴν ἔννοιαν. ὁ τοιοῦτος κἂν δυναστεύων θρασύνηται, ἴστω ὅτι ἀριθμητὰ ἔτη ἔχει, οὐχ ἡ δυναστεία πολυχρόνιον αὐτὸν ποιεῖ. ἐπιμετρεῖται γὰρ τοῖς ἀνθρώποις χρόνος παρὰ Θεοῦ πρὸς τὸ αὐτοῦ κρίμα. κἂν οὖν ἀλαζονεύηται ὁ δυνάστης, ἀλλ' ὁ βίος αὐτοῦ βραχὺς, καὶ τὰ ἔτη αὐτοῦ ὀλίγα· ὁ δὲ ἀριθμὸς κί-

κρυπται παρὰ τῷ Θεῷ, καὶ ἄδηλός ἐστι· πλὴν ἐν ὀλίγῳ χρόνῳ διαστάσας, τέλος τιμωρίᾳ περιπίπτει. τάχα δὲ τὸν Ἰὼβ ἐν τούτοις αἰνίττεται, ἐπὶ βραχὺ εὐπραγήσαντα, εἶτα συμφοραῖς περιπεπτωκότα.

ΚΕΙΜ. Μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους, ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας σιδήρου (ὁ δὲ Σύμμαχος, προσεκοπεύθη γὰρ εἰς μάχαιραν·) καταπέπακται δὲ εἰς σῖτα γυψίν. οἶδε δὲ ἐν ἑαυτῷ, ὅτι μένει εἰς πτῶμα· ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει, ἀνάγκη δὲ καὶ θλίψις αὐτὸν καθέξει.

ΟΛΥΜΠ. Σκότος λέγει τὴν τιμωρίαν. μὴ πιστευέτω οὖν, φησὶν, ἀτιμώρητος μένειν ὁ ἀσεβής· θεῖον γὰρ ἐστιν ἔνταλμα, ὑπὸ σιδήρου αὐτὸν ἀναιρεθῆναι, καὶ ὑπὸ γυπῶν δαπανηθῆναι, ἄταφον κείμενον. ὥστε εἰ πρὸς τὴν ἐπιμέλειαν ἀφορῶν ὁ ἁμαρτάνων, οὐδὲ μίαν μεταβολὴν ἐλπίζει, ἑαυτὸν ἀπατᾷ· ἤδη γὰρ τῇ ἀποφάσει ὑπὸ τιμωρίαν κεῖται, κἀντεῦθεν ἑαυτῷ ἐθησαύρισε κόλασιν, ἥπερ διὰ τοῦ σιδήρου καὶ τῶν γυπῶν σημαίνεται, εἰ καὶ τῇ ἀνεξικακίᾳ Θεὸς τὴν μεταβολὴν ἀπαιτεῖ τοῦ τρόπου· μὴ καταγνοὺς ἑαυτοῦ, τὴν ἐσχάτην δώσει δίκην, ὡς μηδὲ ταφῆς ἀξιωθῆναι, ἀλλ' ἄταφος ῥιφεὶς βορὰ τοῖς οἰωνοῖς γενήσεται· ὁ χαλεπὸν εἰς τιμωρίαν τοῖς τότε ἐνόμιστο· χαλεπώτερον δὲ τοῦτο, ὅταν αὐτὸς διὰ τοῦ συνειδότος ἑαυτῷ τοιαῦτα μαντεύηται καὶ προλέγῃ. καὶ αὐτὸς γὰρ συνεπίσταται ἑαυτῷ τὴν μέλλουσαν πτῶσιν, καὶ ὅτι μέλλει ὑπὸ σκότος εἶναι, καὶ κλόνησιν, καὶ θλίψιν, καὶ ἀνάγκην. οἶδε γὰρ τὸ συνειδὸς τοῦ ἁμαρτάνοντος, ὅτι ἡ τῶν φαύλων ἐπιτηδευμάτων ἐργασία πτῶμα ἄγει, καὶ ὡς μεταμελήσει αὐτῷ Συμφορᾶς καταλαβούσης, ἡνίκα ἐν ἀμηχανίᾳ καταστὰς, καὶ οὐδὲ μίαν διάλυσιν εὑρίσκων τῶν κακῶν, ἀλλὰ διαταραττόμενος, ἐκ τῶν κολάσεων, ἐν ἡμέρᾳ σκοτεινῇ, περὶ ἧς εἴρηται ἐν Ἀμὼς, ὅτι ἡ ἡμέρα Κυρίου, σκότος ἐστὶ, καὶ οὐ φῶς, εἴρεται τὸ διάφορον εὐσεβοῦς, πρὸς τοὺς παρανόμους. ὅρα δὲ, ὅτι τοῦ ἁμαρτωλοῦ καὶ ὁ βίος ἐν ταραχῇ, καὶ ὁ θάνατος ἐλεεινὸς, οὐ κατὰ τὸν κοινὸν νόμον τῆς φύσεως, ἀλλὰ βίᾳ, καὶ πολέμῳ, καὶ μάχῃ· καὶ μετὰ θάνατον οὐδὲ ταφὴ καὶ κηδεία· καὶ οὐ μόνον τὸ ἄταφον κεῖσθαι, ἀλλὰ καὶ σῖτα γυψὶν εἶναι. οὐ δεῖ δὲ ξενίζεσθαι, ὅτι οὗτος τοιαῦτα φθέγγεται. ἤδη γὰρ εἴρηται, ὅτι ἴσως ἐκ παρακουσμάτων ἀρχαίων αὐτὰ προφέρει. διὰ πάντων μέντοι κατασκευάζει, ὅτι δι' ἁμαρτίας πάσχει ὁ Ἰώβ.

ΚΕΙΜ. Ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων, ὅτι ἦρκε χεῖρας ἐναντίον τοῦ Κυρίου, ἔναντι δὲ Κυρίου παντοκράτορος ἐτραχηλίασεν· ἔδραμε δὲ ἐναντίον αὐτοῦ ὕβρει ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ.

ΟΛΥΜΠ. Πρωτοστάτην λέγει τὸν ἐν τοῖς πολέμοις τοῦ στρατοῦ προηγούμενον. ὥσπερ τοίνυν ὁ τοιοῦτος τῇ ἑαυτοῦ δυνάμει θαῤῥῶν, καὶ προσπηδῶν τῷ πολεμίῳ, καιρίαν λαβὼν τὴν πληγὴν, οὐδὲ μίαν ἔχει σωτηρίας ἐλπίδα· οὕτω καὶ ὁ ἀσεβὴς ὡς χεῖρας ἀνταίρων Θεῷ, καὶ οὐ μέχρι βουλῆς,

ἀλλ'

ἀλλ' ἐπὶ τῶν ἔργων τὴν κατὰ τοῦ Θεοῦ ἐπιδεικνύμενος τραχύτητα, καὶ τὸν χρηστὸν ἀποσειόμενος ζυγὸν, εἴτουν τὴν αὐτοῦ κηδεμονίαν, καθάπερ δάμαλις γαυριῶσα, τοῦ τραχήλου τὸν ζυγὸν ἀποβάλλουσα, καὶ ἀποσκιρτῶσα πρὸς τὴν ζεύγλην, καὶ μονονουχὶ τρέχων εἰς τὸ συμβαλεῖν αὐτῷ πρὸς παράταξιν· καὶ ὡς πρὸς ὁμοφυῆ κατὰ συστάδην τρόπον τινὰ πρὸς αὐτὸν ἀντιπαραταττόμενος, οἷά τινα παχεῖαν ἀσπίδα τὴν ὑπερηφανίαν ἐπιφερόμενος, θαῤῥῶν τοῖς ἀμυντηρίοις αὐτοῦ, καταβάλλεται καὶ πίπτει, οἷά τις στρατοπέδων ἄρχων, ὡς ὑπ' ἀντιπάλου τοῦ Θεοῦ τιτρωσκόμενος· τὸ γὰρ, ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ, ἵνα εἴπῃ, ὅτι δοκῶν τοῖς ἔξωθεν ἠσφαλίσθαι, κρείττων ἔσεσθαι τῆς τοῦ Θεοῦ πληγῆς ἐνόμισε. τινὲς δὲ, τὸ, ὥσπερ πρωτοστάτης, ἀντὶ τοῦ, ὥσπερ ὁ διάβολος, ἐνόησαν· αὐτὸς γὰρ ἐτραχηλίασεν ἐναντὶ Κυρίου· ὡς οὖν ἐκεῖνος ἔπεσεν, οὕτω καὶ πᾶς ὁ Θεῷ ἀντιτείνων.

ΚΕΙ'Μ. Ο῞τι ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ (ὁ δὲ Σύμμαχος, ἐπεκαλύφθη γὰρ) καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων. (πάλιν ὁ Σύμμαχος, καὶ ἐπάχυνε πιμελὴν κατὰ τῆς ψόας).

ΟʼΛΥΜΠ. Οἱ ἀνατραφεὶς ὑπὸ τοῦ ἄγαν τρυφῆς πιμελῇ παχύνονται τὸ πρόσωπον, καὶ διπλώματα καὶ περισαρκώσεις ποιοῦσιν ἐπὶ τῶν μηρῶν, ἃ δὲ περιστόμιον καλεῖ, ὡς συνέχοντα τοὺς μηροὺς, καὶ οἷον θλίβοντα, καθάπερ τὸ περιστόμιον τὸν τράχηλον. ὥσπερ οὖν οὗτοι, φησὶ, τοιοῦτοι γίνονται· οὕτω καὶ ὁ ἀσεβὴς διὰ τὸν πλοῦτον καὶ τὴν τρυφὴν θρασύνεται, οὐδὲ μίαν τῆς παρούσης ἀπωλείας μεταβολὴν προσδοκῶν· ἀλλ' ὑπὸ ταύτης πανταχόθεν περιῤῥεόμενος, καὶ σαρκικῇ δυνάμει πεποιθὼς, εἰς ἀντίστασιν ἐπαίρεται τὴν κατὰ τοῦ Θεοῦ, καὶ πολεμεῖ τοῖς αὐτοῦ διατάγμασι. διὸ καὶ ὡς ἀντιμαχόμενος τῷ Θεῷ, ὑπ' αὐτοῦ καταβάλλεται. ἀντὶ δὲ, τοῦ, ἐκάλυψε πρόσωπον αὐτοῦ, ὁ Ἑβραῖος τὴν καρδίαν, ἔχει· ὡσανεὶ λέγων, τὸ βλεπτικὸν τῆς ψυχῆς ὑπὸ τῆς τρυφῆς ἐπηρώθη, ἀντὶ δὲ τοῦ, περιστόμιον, πιμελὴν, καὶ διπλοΐδα, ἔχει τουτέστι, πολυτροφίᾳ καὶ σαρκὶ ἑαυτὸν ἐξέδωκεν, ὥστε καὶ διπλοΐδας ἔχειν ἐπὶ τῶν μηρῶν ἐκ τῆς πολυσαρκίας. ὁ δὲ Σύμμαχος, κατὰ ψόας, ἑρμηνεύσεν. εἰς δὲ τὴν αὐτὴν εὔνοιαν ἅπαντα πλεῖ.

ΚΕΙ'Μ. Αἶνος δὲ αὐτοῦ ὕβρεις.

ΠΟΛΥΧΡ. Καὶ ἔτι δοκεῖ, φησὶν, εἰς Θεοῦ τιμὴν διαπράττεσθαι, καὶ τοῦτο τιμωρίας ἄξιον. ὁ γὰρ ἐν ἀδικίαις ζῶν, καὶ τὴν ἀσέβειαν ὑποκρινόμενος, ὑβρίζει Θεὸν, ἀλλ' οὐ τιμᾷ, οἰόμενος λανθάνειν αὐτὸν ἐφ' οἷς ἀτόπως διαπράττεται. ἄλλως δὲ, οὐδὲ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, κατὰ τὸ γεγραμμένον.

ΚΕΙΜ. Αὐλισθείη δὲ πόλεις ἐρήμους, εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται.

ΔΙΔΥ'Μ. Τὴν παντελῆ ἐρημίαν τῶν ἀσεβῶν λέγει, ὡς ἀντὶ πόλεων ἀνθουμένων, καὶ οἴκων, ἐρημίαν αὐτοὺς

οἰ-

οἰκεῖν ὑπὸ πενίας. ὁ τοιοῦτος γάρ, φησί, τῶν οἰκείων ἐκπεσών, καὶ πάσης τῆς προτέρας διωαςείας, τὰς ἐρήμους καταδιώξει· ἔθος δὲ τοῖς φεύγουσι, τοὺς τυχόντας τῶν τόπων πρὸς σωτηρίαν καταλαμβάνειν, ἐν οἷς γινόμενοι τὸν ἐν ποσὶ διαφεύγοιεν κίνδυνον. οὐκοῦν ὁ ἀσεβὴς ἔςαι ἐν τόποις, τῆς ἐκ τοῦ πλούτου ἀλαζονείας ἀξίαν τὴν δίκην διδοὺς τὴν προτέρας δεξίας τὴν μεταβολήν, καὶ τὰ σὺν πολλῷ δὲ τῷ πόνῳ συλλεγέντα, εἰς ἀλλοτρίους μεταςήσεται. εἶτα αὔξει τὴν κατὰ τοῦ ἀσεβοῦς τιμωρίαν, οὐ μόνον μὴ πλουτεῖν αὐτὸν ἀποφαινόμενος, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐκπίπτειν διαβεβαιούμενος· ἐπάγει γάρ.

ΚΕΙΜ. Οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα.

Τουτέστι, οὐ μόνον τὴν προσοῦσαν οὐσίαν οὐκ αὐξήσει, ἀλλὰ καὶ προσαπολέσει, καὶ οὔτε κτήσεται τὰ μὴ ὄντα, οὔτε φυλάξει τὰ ὄντα.

ΚΕΙΜ. Οὐ μὴ βάλῃ ἐπὶ τὴν γῆν σκιάν, οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος, τὸν βλαςὸν αὐτοῦ μαράναι ἄνεμος, ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος. μὴ πιςευέτω ὅτι ὑπομενεῖ, κενὰ γὰρ ἀποβήσεται αὐτῷ. ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ· τρυγηθείη δὲ ὡς ὄμφαξ πρὸ ὥρας, ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Μεταφορικῶς ὡς ἐπὶ δένδρου ἀθαλοῦς, καὶ πρὶν γηράσει ἐκτεμνομένου, καὶ ἔτι ὄντος ἐν τῷ ἄνθει μαραινομένου, οὕτω διέγραψε τὸν ἀσεβῆ, οὐ μέχρι τέλους διημεροῦντα. τὸ οὖν, οὐ μὴ βάλῃ ἐπὶ γῆν σκιάν, ἀντὶ τοῦ, ἐκκοπείη, καὶ οὐκέτι ἐπὶ τὴν προτέραν διημερίαν ἀφίξεται. ἔλαβε δὲ τοῦτο ἐκ μεταφορᾶς τῶν φυτῶν, τῶν ξηραινομένων πρὸ τῆς αὐξήσεως· ἵνα εἴπῃ, οὐδὲ μνημόσυνον περιλειφθήσεται· τὰ γὰρ δένδρα ἐν ὅσῳ μὲν ἵςανται, καὶ σκιὰν ποιεῖ, ἀποτμηθέντα δὲ οὐκέτι· καὶ τοῦτο εἰκότως. τὰ γὰρ σώματα ποιητικὰ τῶν σκιῶν εἰσι, σώματος δὲ μὴ ὄντος, ἀδύνατον σκιὰν εἶναι. τὸ δὲ οὐμὴ ἐκφύγῃ τὸ σκότος, ἀντὶ τοῦ παντελὴς αὐτὸν ἀπώλεια διαδέξεται, καὶ ἀναπόσπαςον ἕξει τὴν κόλασιν. ἀλλὰ καὶ μαρανθήσεται, φησίν, ὁ ἀσεβής, ὡς φυτοῦ βλαςὸς ὑπὸ ἀνέμου· ἡ δὲ διημερία αὐτοῦ καὶ δόξα ὡς ἄνθος ἐκπεσεῖται· κατὰ τό, πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. βλαςὸν δὲ λέγει τοὺς ἐκγόνους, ἐκ μεταφορᾶς τῶν δένδρων· ἵνα εἴπῃ, οἱ ἔκγονοι αὐτοῦ ἀφανισθήσονται, καὶ ἡ τοῦ Θεοῦ τιμωρία ἀναλώσει αὐτὸν σὺν τοῖς παισί, δίκην καύσωνος φλογώδους, ὥςε μηδὲ τοῖς ὕςερον λείψανον καταλιπεῖν μνήμης. τὸ δέ, μὴ πιςευέτω, ὅτι ὑπομενεῖ, ἀντὶ τοῦ, μὴ ἀσφαλῆ τὰ καθ᾽ ἑαυτὸν νομιζέτω ὁ ἀσεβὴς πταίων εἰς Θεόν· κενὰ γὰρ αὐτῷ ἀποβήσεται, τουτέστιν, ἅπας ὁ πόνος αὐτῷ εἰς ἀνόνητον χωρήσει, μὴ τοῖς θείοις νόμοις ἀκόλουθα πράττοντι. ματαιότης γὰρ ἐςὶν αὐτοῦ πᾶσα πρᾶξις, διὰ τὸ μηδὲν ὑφεςηκὸς ἔχειν· ὅθεν καὶ τὸ ἄνθος αὐτῷ ἐκπίπτει, καὶ ὁ βλαςὸς μαραίνεται, ὅτι

οὐ

ὁ μένει καιρὸν πλείω καρπῦ. τὸ δὲ, ἡ τομὴ αὐτῦ πρὸ ὥρας φθαρήσεται, ἐν ἀώρῳ ἡλικίᾳ τελευτήσει, φησὶ, καὶ πρὸ ὥρας ὑπομενεῖ τὸν θάνατον. ἔλαβε δὲ αὐτὸ ἐκ μεταφορᾶς τῶν ἀμπέλων, αἳ τῷ μὲν καθήκοντι καιρῷ τεμνόμεναι, καρποφορῦσι· πρὸ ὥρας δὲ τῦτο ὑπομένυσαι, διαφθείρονται. φησὶν ὖν, ὅτι πρὶν ἢ τῶν οἰκείων ἀπολαύσει, τέλεον ἀπολεῖται. τὸ δὲ, πρὸ ὥρας, ἐνταῦθα τὸ τῆς πληροφορήσεως λέγει, καθ' ὃ λέγομεν, ὥραν εἶναι τρυγητῦ. ἐν τοιύτῳ τάφῳ γῦν ὁ Ἰὼβ ἐλήλυθεν, ὡς σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος. εὐεργεσία δὲ Θεῦ ἐςι, τῆς κακίας τὸν βλαςὸν πρὸ ὥρας φθαρῆναι· ἐπεὶ καὶ ἰατρὸς τὴν ἐπιφυομένην λύμην τῷ σώματι πολλάκις διὰ σιδήρυ ἐκτέμνει, καὶ ὐδὲ παύεται προσάγων τὰ ἀνιαρὰ, ἕως ὖ τὸν σκοπὸν τῦ ὑγιαίνοντος ἀποπληρώσῃ. τὸ δὲ, ὁ ῥάδαμνος αὐτῦ ὐ μὴ πυκάσῃ, ὅπερ ὁ Σύμμαχος, ὐκ ἀναθαλήσει εἶπεν, αὐτὶ τῦ, ὐ μενεῖ κομῶν τοῖς ἀγαθοῖς. πυκάσαι γάρ ἐςι, τὸ, τοῖς κλάδοις συσκιάσαι· ῥάδαμνος δὲ ἐςὶν, ὁ τῆς φύλλοις κομῶν τῦ δένδρυ ἀκρέμων, καὶ σκιαν ἐκτελῶν· εἴρηται δὲ παρὰ τῦ ῥᾳδίως δαμάζεσθαι ἀπὸ καύσωνος ἤ τινος ἄλλυ αἰτίυ, ὡς ἁπαλὸς καὶ προεξέχων. εἶτα ἐπιμείνας τῇ μεταφορᾷ, πάλιν διὰ τοῦ ὄμφακος τὴν ἄωρον διέγραψε πλάνην· τῶν δὲ ἀγαθῶν τὴν ἔκπτωσιν, διὰ τῆς ἀποῤῥοῆς τῦ ἄνθυς τῆς ἐλαίας· ὡσανεὶ ἔλεγεν, ὅτι πᾶσα ἡ δοκῦσα αὐτῦ εὐπραγία ἐλέγχεται, καὶ πίπτει, καὶ μαραίνεται, τότε ἄνθος, ὅ ἐςιν ἀρχὴ καὶ προοίμιον καρπῦ, καὶ ὁ βλαςὸς, καὶ ὁ καρπὸς, ὑπὸ προσβολῆς πειρασμῦ ἔξωθεν ἐπισειύσης, ὡς ὑπὸ καύσωνος ἀνέμυ φθειρόμενα καὶ διαῤῥυϊσκόμενα. τὰς συμφορὰς δὲ διελθὼν, τὸ πέρας τῦ ἀσεβῦς θανάτου ἀποφαίνεται, λέγων.

ΚΕΙΜ. Μαρτύριον γὰρ ἀσεβῦς θάνατος.

ΧΡΥΣΟΣΤ. Τυτέςιν, ἔλεγχος, κατηγορία, μαρτύριον τοῖς ἄλλοις ἀνθρώποις, ὅτι ὕτω δεῖ παθεῖν πάντας. καὶ θαυμαςὸν, φησὶν, ὐδέν. οἰκτρὸν γὰρ ἁπάντων τῶν ἀσεβῶν τὸ τέλος, τυτέςι, δεῖγμα τῆς τῶν ἀνθρώπων ἀσεβείας ὁ αὐτῶν θάνατος, τυτέςι, τὸ αἰσχρὸν τέλος δεικνύει τὰ κατ' αὐτύς. ὡς γὰρ τὴν εὐημερίαν σημεῖον δικαιοσύνης ἐτίθετο, ὕτω καὶ τὴν δυςπραγίαν, φαυλότητος γνώρισμα, ἡ μαρτύριον ἀσεβῦς θάνατος, τυτέςι, δῆλος καταφανὴς, ὐδενὶ ἄγνωςος. εἰ δὲ βύλει, καὶ ὧδε νόησον, ὅτι ἡ τῆς κακίας πλεςιυργία θάνατον ἀπεργάζεται, ὐ τὸν κοινὸν, ἀλλὰ τὸν τῆς κολάσεως.

ΚΕΙΜ. Πῦρ δὲ καύσει οἴκυς δωροδεκτῶν.

ΟΛΥΜΠ. Πῦρ φησὶ τὴν θείαν ὀργὴν καταφλέγυσαν παντελῶς τὺς ἀπλήςυς καὶ πλεονέκτας, καὶ δῶρον τὸ δίκαιον καταπροδιδόντας. ἔχει δὲ ὠφέλειαν τὸ ῥητὸν, καὶ κατὰ τὸ πρόχειρον, ὅτι οἱ δωροδοκῦντες, πάντως ἐπὶ ἀδικήμασι καὶ ἀσεβήμασι τῦτο ὑπομένυσι.

ΚΕΙΜ. Ἐν γαςρὶ δὲ λήψεται ὀδύνας, ἀποβήσεται δὲ αὐτῷ κενά. (ὁ δὲ Ἀκύλας συνέλαβε καὶ ἔτεκεν ἀνωφελές.) ἡ δὲ κοιλία αὐτῦ ὑποίσει δόλον.

Ὀδύνας, φησὶν, ὁ ἀσεβὴς μελετᾷ τὰς καθ' ἑτέρων, καὶ δόλον ἔχων ἐν ἑαυτῷ, βουλεύεται πῶς τινας ὀδυνήσῃ· διὰ τοῦτο καὶ ἡ ἔκβασις αὐτοῦ καὶ τὸ τέλος κενὸν ἔσται, καὶ ματαιότητι ἐοικός. τὸ δὲ ὑποίσει δόλον, διὰ τὸ ἐκ προαιρέσεως ὑποδέχεσθαι τὰ κακά. κοιλίαν δὲ, ὅλον τὸ ἐντὸς χωρίον φησὶ, καὶ αὐτὴν τὴν ψυχήν· δόλον δὲ τὴν πᾶσαν κακίαν, ὡς τῆς ψυχῆς αὐτοῦ δόλον φερούσης· ἢ τοίνυν τοῦτό φησιν, ὅτι ὁ φαῦλος κυήσει κατ' ἄλλων ὀδύνας, καὶ Πατὴρ ἔσται πονηρῶν γεννημάτων· εἰς οὐδὲν δὲ αὐτῷ ἀποβήσεται, ἡ καθ' ἑτέρων ὠδινηθεῖσα, καὶ συλληφθεῖσα ἀνομία καὶ δολιότης. ἢ ὅτι ὁ ἐν ἀσεβείᾳ πλουτῶν, δίκην τῶν τικτουσῶν, περιώδυνος ἐπὶ τοῖς κτηθεῖσι γενήσεται, καὶ ἡ ἔκβασις αὐτοῦ κενὴ, καὶ ματαία. χαλεπωτέρα γὰρ ἡ συμφορὰ τοῖς ἐν περιουσίᾳ καθέστηκε· πλεῖστα γὰρ συναγαγὼν οὐδὲν ἀποίσεται κέρδος, τοῦ Θεοῦ δίκην αὐτὸν τῆς ἁρπαγῆς εἰσπραττομένου, καὶ οὐδὲν πλέον ἕξει τῆς ταλαιπωρίας, ἣν ὑφίσταται τῶν ἀλλοτρίων ἐρῶν· ἵνα εἴπῃ, ὅτι σὺ πολλὰ καμὼν, ὦ Ἰώβ, καὶ ἐκ τῆς καθ' ἑτέρων ἀδικίας συναγαγὼν, οὐδὲν ἐντεῦθεν ἀπωνήσω, ἀξίαν τῆς πονηρίας δεδωκὼς τὴν δίκην· τὸν γὰρ δόλον ὃν καθ' ἑτέρων εἰργάσω καὶ ἐβουλεύσω, ἤγουν τὴν ἐπ' αὐτῷ τιμωρίαν, αὐτὸς ὑπέστης· κοιλίαν δὲ τὴν διάνοιαν, ἤτοι τὴν ψυχὴν λέγει.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΝΔΕΚΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΤΟΥ Ἐλιφὰζ εἰρηκότος, τὰς κολάσεις τοῖς ἀσεβέσιν ἐπιφέρεσθαι· πρὸς τοῦτο εὐθὺς ὁ Ἰὼβ ἀπαντᾷ, καὶ φησὶν, ἀκήκοα τοιαῦτα πολλά. μέμφεται δὲ τοῖς φίλοις, ὡς οὐκ εἰδόσι παρακλητικοὺς προσαγαγεῖν λόγους· καὶ αἰσθάνεται μὲν διαβόλῳ παραδιδόμενος ὑπὸ Θεοῦ, τὴν δὲ αἰτίαν ἀγνοεῖ. εἶτα λέγει τὰ περιέχοντα δεινὰ, καὶ αἰτεῖ μὴ παρασιωπηθῆναι τὰ κατ᾽ αὐτόν· καὶ Θεὸν ποιεῖται μάρτυρα τῆς ἑαυτοῦ συνειδήσεως, καὶ ποθεῖ τὸν θάνατον· καὶ πάλιν ἐκδιηγεῖται τὰς συμφορὰς, εἰς ὀδυρμὸν καταλήγων τὸν λόγον.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ ὁ Ἰὼβ λέγει, ἀκήκοα τοιαῦτα πολλά.

ΟΛΥΜΠ. Τοιαῦτα, φησὶν, οἷα λέγετε πολλάκις ἀκήκοα, ὡς τοὺς ἀσεβεῖς αἱ κολάσεις ἐκδέχονται· ὥστε καὶ σὺ τὰ κατημαξευμένα μοι εἴρηκας, καὶ προφάσει παραινέσεως ὠνείδισας· κοινὰ γὰρ ταῦτα πάντων ἐστὶ τὰ ῥήματα, ἐπεὶ καὶ ῥᾷον τοῖς ἐν συμφορᾷ τοὺς μηδὲν πάσχοντας μακρὰν παρατείνειν τὰς παραινέσεις.

ΚΕΙΜ. Παρακλήτορες κακῶν πάντες.

Ἀνθ᾽ οὗ, ὁ μὲν Ἀκύλας, παράκλητοι πόνου· ὁ δὲ Θεοδοτίων παράκλητοι κόπων. ὁ δὲ Σύμμαχος σαφέστερον, παρηγοροῦντες πάντες ἐπαχθεῖς ἐστε.

ΓΡΗΓΟΡΙΟΥ τοῦ ΘΕΟΛΟΓΟΥ. Εἶχε γὰρ καὶ τῶν φίλων τοὺς γνησιωτάτους, παρακλήτορας κακῶν, οὐ θεραπευτάς· οἳ τὸ μὲν πάθος ἑώρων, τὸ δὲ τοῦ πάθους ἀγνοοῦντες μυστήριον, οὐ βάσανον ἀρετῆς, ἀλλὰ κακίας εἴσπραξιν, τὴν πληγὴν ὑπελάμβανον· καὶ οὐκ ἐνόμιζον μόνον, ἀλλ᾽ οὐδὲ ᾐσχύνοντο τὸ δεινὸν ὀνειδίζοντες· ὁπότε καὶ εἰ διὰ κακίαν ἔπασχε, σοφίζεσθαι τὸ λυποῦν ἔδει παραμυθίας ῥήμασιν.

ΟΛΥΜΠ. Ὑμεῖς οὖν, φησὶν, ἐστὲ κακοὶ παρακλήτορες, διὰ τῶν λόγων ἐπιτρίβοντές μοι τὰ πάθη· καὶ ὡς ἔοικεν, ἐναντίον τοῦ σκοποῦ διαπράττεσθε· ἐλθόντες γὰρ παρακαλέσαι, πλήτ-

τουντες διατελεῖτε πολλαῖς βασάνοις ταῖς λοιδορίαις τὸν μηδὲν ἠδικηκότα.

ΚΕΙΜ. Τὶ γάρ; μὴ τάξις ἐςὶ ῥήμασι πνεύματος; ἢ τὶ παρενοχλήσει σοι ὅτι ἀποκρίνῃ; κἀγὼ καθ᾿ ὑμᾶς λαλήσω.

ΠΟΛΥΧΡ. Ἀντὶ τοῦ, τάξιν οὐκ ἔχοντα, ἢ δὲ καθήκοντα λαλεῖτε. τὶς δέ σε ὅλως παρόξυνεν ἵνα οὕτως ὀργίλως διατείνῃ πρός με; εἰπὲ γὰρ, νόμος τίς ἐςι, πρὸς πάντα τὰ λεγόμενα ἀπομάχεσθαι; ἢ ὑπό τινος συνωθεῖσθε εἰς τὸ πάντως ἀντιλέγειν τοῖς παρ᾿ ἐμοῦ; πλὴν ἐπειδὴ οὕτως ἐκρίνατε, καὶ ὁ λέγων, ὡς θέλει λαλεῖ, κἀγὼ καθ᾿ ὑμᾶς λαλήσω, καὶ ὀρθῷ τῷ συνειδότι ἀντιφθέγξομαι πρὸς ὑμᾶς.

ΚΕΙΜ. Εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν ἀντὶ τῆς ἐμῆς.

Τὸ, εἰ, ἀντὶ τοῦ, εἴθε, κεῖται, οὕτω γὰρ ἐξέδωκε Σύμμαχος· ὁ δὲ Ἀκύλας, ὄφελον.

ΚΕΙΜ. Εἶτ᾿ ἐναλοῦμαι ὑμῖν ῥήμασι, κινήσω δὲ καθ᾿ ὑμῶν κεφαλήν.

ΣΕΒΗΡΟΥ. Ὁ γενναῖος Ἰὼβ τῶν ὑπαρχόντων γυμνωθεὶς, καὶ τὸν χορὸν τῶν παίδων ἀποβαλὼν, καὶ τῇ πικροτάτῃ πληγῇ τοῦ ἕλκους ἐγκαρτερῶν, τῶν φίλων αὐτοῦ καταφιλοσοφούντων τοῦ πάθους, καὶ σπουδαζόντων δίκαιον ἀποφαίνειν Θεὸν, τὸν τούτοις αὐτὸν τοῖς δεινοῖς ἐξετάζεσθαι συγχωρήσαντα, πρὸς αὐτοὺς εἶπεν ἐπὶ καιροῦ, μὴ αἰσθανομένους ὧν ἐκεῖνος διὰ τῆς πείρας ᾐσθάνετο. Ἐβουλόμην ἐν τοῖς ἐμοῖς εἶναι τὰ ὑμέτερα, καὶ ὑμᾶς ἀντ᾿ ἐμοῦ εἶναι τοὺς πάσχοντας· καὶ εἶπον ἂν, καὶ ἐκίνουν κεφαλὴν, ὥσπερ ἐφηδόμενος τοῖς ὑμετέροις κακοῖς, καὶ ταῦτα ἐποίουν, ἅπερ ὑμεῖς· καὶ τότε ἔγνωτε μὴ φιλοσοφεῖν ἐν ἀλλοτρίοις κακοῖς. πλὴν καὶ νῦν ἐρῶ, καὶ γὰρ φέρει μοι τὸ πρᾶγμα παραμυθίαν.

ὈΛΥΜΠ. Ἔςι δὲ καὶ μετὰ ἤθους ἀναγνῶναι οὕτως· εἰ ἦτε ἐν τοῖς ἐμοῖς κακοῖς, ἆρα ἐνηλλόμην καθ᾿ ὑμῶν τοῖς ῥήμασιν, ἢ ἐκίνουν καθ᾿ ὑμῶν τὴν κεφαλήν; οὐδαμῶς· ἀλλὰ λόγοις ἂν ὑμᾶς ἐπέῤῥωσα παρακλητικοῖς. ταύτῃ δὲ συντρέχων τῇ ἐννοίᾳ, καὶ ἕτερος τῶν ἑρμηνευτῶν οὕτως ἐκδέδωκεν· εἰ ὑμεῖς τοῖς ἐμοῖς ὑπέκεισθε πάθεσιν, ἑτέροις προσεγενόμην ἂν ὑμῖν λόγοις, καὶ ἐκίνησα ἂν ἐφ᾿ ὑμῖν τὴν κεφαλὴν, συμπαθῶς δηλονότι, καὶ ἐπέῤῥωσα ἂν ὑμᾶς ἐν τῷ ςόματί μου· αὐθ᾿ οὗ οἱ Ἑβδομήκοντα.

ΚΕΙΜ. Εἴη δὲ ἰσχὺς ἐν τῷ ςόματί μου· κίνησιν δὲ χειλέων οὐ φείσομαι.

ΤΟΥ ΑΥΤΟΥ. Εἴθε, φησὶν, οἷόν τε ἦν μοι τῷ λόγῳ παραςῆσαι τὰ πάθη, καὶ οὐκ ἂν παρῆκα ἄχεις οὗ ὑπ᾿ ὄψιν ἤγαγον τὰς συμφοράς· οὕτω γὰρ ἴσως μόνως συγγνώμονες ἐγεγόνειτε, εἴπερ ἐγένετό μοι ἰσχυρῷ τόνῳ καὶ ἀνακεκαλυμμένῃ γλώσσῃ κεχρῆσθαι πρὸς ὑμᾶς. εἶτα ἐρωτηματικῶς τὰ ἑξῆς ἀνάγνωθι.

ΚΕΙΜ. Ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα; ἐὰν

δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;

ΟʼΛΥΜΠ. Ἀντὶ τοῦ, ναὶ πάντως ἀλγήσω. ὃ δὲ λέγει τοῦτό ἐστιν, ὅτι κἄν τι ὑπὸ τῶν ἀλγηδόνων προαχθῶ φθέγξασθαι, οὐ μόνον παραμυθίας οὐκ ἀξιοῦμαι, οὐδὲ ἐνδώσει ὁ πόνος μου, κατὰ Σύμμαχον, ἀλλὰ καὶ χείροσι περιπίπτω, ἐκάστου με ὡς βλάσφημον κρίνοντος. εἰ δὲ καὶ σιωπῇ ἐνέγκαι τὰ ὀνείδη βουληθείην, οὐ μόνον φιλοσοφίας δόξαν οὐκ ἀποίσομαι, ἀλλὰ τὸ ἐναντίον μειζόνως ὡς παράνομος κριθήσομαι, τῆς σιωπῆς ἀπὸ τοῦ περὶ τὰ λεγόμενα συνειδότος γίνεσθαι νομιζομένης. εἰ τοίνυν, καὶ λαλῶν, καὶ σιωπῶν, πάντως ἀλγεῖν μέλλω, ἄμεινον τὸ λαλεῖν, ἵνα μὴ δόξω τῇ σιωπῇ συγκατατίθεσθαι τῇ ὑμετέρᾳ κατηγορίᾳ.

ΔΙΔΥ'Μ. Τάχα καὶ τὴν γνησίαν αὐτοῦ πρὸς τοὺς φίλους διάθεσιν ἐπιδείξασθαι θέλει· ὅτι ἐμοὶ μέλλει τῆς ὑμετέρας σωτηρίας. διὸ εἰ καὶ ἀλγῶ, χρῶμαι τῇ παραινέσει. εἰ γὰρ καὶ ἄλλοι ἀλγοῦντες ἀρκοῦνται ταῖς καθ᾽ ἑαυτοὺς αἰτίαις, ἀλλ᾽ ἐμοί, φησίν, ἡ σωτηρία τῶν φίλων προκριτέα.

ΚΕΙΜ. Νῦν δὲ κατάκοπόν με πεποίηκε, μωρόν, σεσηπότα.

ΟʼΛΥΜΠ. καὶ ΧΡΥΣΟΣΤ. Οὐκ ἀρκεῖ, φησίν, ὅτι κολάζομαι, ἀλλὰ καὶ ἀνόητος εἶναι δοκῶ· ἡ γὰρ τιμωρία κατέσκυλέ με, καὶ κατέκοψέ με, καὶ κατέσηψεν, ὡς μικροῦ δοκεῖν, καὶ τῶν κατὰ φύσιν ἐκστῆναι φρενῶν· ἢ τάχα κἀκεῖνο λέγει, ὅτι συνεχώρησεν ὁ Θεὸς τοὺς φίλους περὶ ἐμοῦ ὑπολαμβάνειν, ὅτι ἀνάλγητός εἰμι ἐν ταῖς συμφοραῖς. μωρὸν γὰρ ἐνταῦθα, ἀντὶ τοῦ, ἀναίσθητον, εἶπε· διὸ συνῆψε τούτῳ, τό, σεσηπότα, διὰ τὸ τὰ σεσημμένα τῶν μελῶν ἀφῃρῆσθαι τὴν αἴσθησιν.

ΚΕΙΜ. Καὶ ἐπελάβου μου· εἰς μαρτύριον ἐγενήθη.

Ἕτερα δὲ ἀντίγραφα, ἐπελάβετό μου ἔχει. κατὰ μὲν οὖν, τό, ἐπελάβου μου, ὅπερ ὁ Σύμμαχος, κατέδησάς με ἀδιαλείπτως ἐν ζυγῷ, ἐξέδωκε, πρὸς τὸν Θεὸν λέγει, ὅτι οἷά τις ἀνδρεῖος ἅμα τε ἥψω μου τοῦ μικροῦ καὶ ἀσθενοῦς, καὶ εὐθὺς εἰς παράδειγμα γέγονα πᾶσιν, ὅτι δι᾽ ἁμαρτίας κολάζομαι. κατὰ δὲ τό ἐπελάβετό μου, ὡς πρὸς τοὺς φίλους λέγει περὶ τοῦ Θεοῦ, ὅτι καθήψατό μου, εἰς ἔλεγχόν μοι ἀντικατέστη, καὶ τό, εἰς μαρτύριον ἐγενήθη, ἀντὶ τοῦ, ἡ ἐμὴ ἀνδρεία πᾶσιν ἐξάκουστος ἐξετέθη. ἀληθεστέρα δὲ ἡ προτέρα ἐκδοχή, ὅτι ἐπειδὴ ἐτιμωρήσατό με ὁ Θεός, ἅπαντες τοῦτο ἀφορμὴν τῆς κατ᾽ ἐμοῦ κατηγορίας ποιοῦνται, οὐδὲ μίαν τῆς ἐμῆς εὐσεβείας ἐξέτασιν ποιούμενοι· τὸ οὖν εἰς μαρτύριον, ἀντὶ τοῦ, εἰς κατηγορίαν.

ΚΕΙ'Μ. Καὶ ἀνέστη, ἐν ἐμοὶ τὸ ψεῦδός μου, κατὰ πρόσωπόν μου ἀνταπεκρίθη.

ΟʼΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Τοῦτο σαφέστερον εἶπεν ὁ Σύμμαχος, καὶ ἀνέστη μοι καταψευδόμενος, κατὰ πρόσωσω-

σωπόν μου ἀντιλέγων μοι. ταῦτά μου, φησὶ, πάσχοντος, εὗρον πρόφασιν οἱ καταψαλδόμενοί μου, ὡς καὶ κατὰ πρόσωπόν μου ἀνερυθριάστως ἀνταποκρίνασθαι, καὶ λέγειν ὅτι δι' ἁμαρτίας πάσχω. καὶ ἐχώρησεν ἡ κατ' ἐμοῦ κατηγορία, ἔχουσα μὲν οὐδὲν λέγειν ἀληθὲς, κρατοῦσα δὲ τοῖς πάθεσιν, ἑκάστου οὐκ ἐκ τῶν πραγμάτων κρίνοντος, ἀπὸ δὲ τῶν συμβαινόντων φέροντος τὴν ψῆφον. λέγει μὲν οὖν, τὸ, ἀνέστη τὸ ψεῦδός μου ἐπὶ τῆς κατ' αὐτοῦ ψαλδηγορίας προσωποποιῶν τῆς κατηγορίας τὸ εἶδος. βούλεται δὲ εἰπεῖν, ὅτι ἡμεῖς ἀντέστητε ψαλδόμενοι κατ' ἐμοῦ, ἥκιστα μὲν τὴν ἀλήθειαν αἰδούμενοι, σὺν πολλῷ δὲ τῷ θράσει τὴν πρὸς ἐμὲ ἀντιλογίαν ποιούμενοι.

ΚΕΙΜ. Ο'ργῇ χρησάμενος κατέβαλέ με, ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας.

Ο'ΛΥΜΠ. Ταῦτα εἰ μὲν περὶ Θεοῦ λέγει, τὸ σφοδρὸν τῆς ὀργῆς σημαίνει, ὅτι ὡς οἱ τρίζοντες τοὺς ὀδόντας ὑπὸ τοῦ θυμοῦ, οὕτως ἐχρήσατό μοι· εἰ δὲ περὶ τοῦ διαβόλου καὶ τῶν δαιμόνων, αὐτολεξεὶ περὶ τούτων καὶ ὁ μέγας ψάλλει Δαβὶδ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. ἐπειδὴ γὰρ ὡς λέων περιέρχεται ζητῶν τινὰ καταπίῃ, ἐνδίκως ὡς λέων καὶ βρύχεσθαι λέγεται.

ΚΕΙΜ. Βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσαν.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Εἰ μὲν περὶ Θεοῦ τὸ λεγόμενον, τὸ ἀθρόον δείκνυσι τῶν ἐπελθόντων αὐτῷ κακῶν· ἵνα εἴπῃ, ὅτι αἱ τιμωρίαι, ὥσπερ τινὲς πειραταὶ, ἀδοκήτως ἐπιπεπτώκασί μοι· εἰ δὲ περὶ τοῦ διαβόλου, πειρατὰς αὐτοῦ λέγει τοὺς ὑπουργοῦντας αὐτῷ δαίμονας.

ΚΕΙΜ. Α'κίσιν ὀφθαλμῶν ἐνήλατο.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Καὶ τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπὼν, οἱ ἐναντίον μου ὤξυναν τοὺς ὀφθαλμοὺς αὐτῶν ἕκαστος εἰς ἐμέ· ὡς εἶναι τὸ δηλούμενον τοιοῦτον, ὅτι οὐ μόνον ἐν τῷ βρύχειν τοὺς ὀδόντας τὴν κατ' ἐμοῦ ὀργὴν ἐνέφηναν, ἢ ὁ Θεὸς συγχωρῶν, ἢ ὁ διάβολος ἐνεργῶν, ἀλλὰ καὶ ἐν τῷ ὀξύνειν κατ' ἐμοῦ τοὺς ὀφθαλμοὺς, καὶ δεινοποιεῖν αὐτοὺς, καὶ λοξόν τι καὶ ἄγριον ἐνορᾷν, καὶ μετὰ τοιούτου σχήματος φοβεροῦ, ἐνάλλεσθαί μοι. τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι καιρίας ἤνεγκε κατ' ἐμοῦ τὰς πληγὰς, καὶ ὡς βέλεσι καὶ ἀκοντίοις, κατὰ τῶν ἐμῶν ὀφθαλμῶν ἔτρωσέ με. ἀκίδες γάρ εἰσι τὰ τῶν βελῶν σιδήρια. ὀφθαλμῶν δὲ ἐμνημόνευσε τὸ βαρὺ τῆς πληγῆς σημαίνων.

ΚΕΙΜ. Ο'ξεῖ ἔπαισέ με εἰς τὰ γόνατα.

Ο'ΛΥΜΠ. Σφοδρῶς, φησὶν, ἔπληξέ με, ὡς ἐκλελύσθαί μου τὰ γόνατα καὶ καταπεσεῖν.

ΚΕΙΜ. Ο'μοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμοί.

Αἱ τοῦ Θεοῦ δηλαδὴ τιμωρίαι, ἢ οἱ τοῦ διαβόλου πειραταί. λέγει δὲ ταῦτα τὰ συμβεβηκότα αὐτῷ, τὴν τῶν

ὑπαρ-

ὑπαρχόντων ἀπώλειαν, τὴν τοῦ σώματος κάκωσιν.

ΚΕΙΜ. Παρέδωκε γάρ με ὁ Κύριος εἰς χεῖρας ἀδίκων, ἐπὶ δὲ ἀσεβέσιν ἔρριψέ με.

ΠΟΛΥΧΡ. Ὁ δὲ Σύμμαχος, εἰς χεῖρας ἀσεβῶν ἔβαλέ με, αἰτίας τοῦτο παράθεσις· ταῦτα δέ μοι, φησὶ, συνέβη τοῦ Θεοῦ με τοῖς ἐχθροῖς ἐκδεδωκότος, οἷς τὰ ἐμὰ διηρπάγη· ἀδίκους δὲ καὶ ἀσεβεῖς, τοὺς πειρατὰς λέγει, οὐ τοὺς φίλους.

ΚΕΙΜ. Εἰρηνεύοντα διεσκέδασέ με.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Καὶ τοῦτο δὴ, φησὶ, χαλεπώτατον, ὅτι ἐν ἀδείᾳ μου μέσῃ καθεστῶτος, τῆς ἐκ πάντων μοι προσούσης εὐετηρίας, ἀθρόον ἀφῄρετο τὴν κτῆσιν, καὶ τοῖς παρανόμοις προὔθηκεν εἰς ἁρπαγήν.

ΚΕΙΜ. Λαβών με τῆς κόμης διέτιλε.

ΟΛΥΜΠ. Κόμην τὸν Κόσμον καὶ τὴν εὐπραγίαν, φησίν· ἵνα εἴπῃ, ὅτι τὴν ἐν αὐέσει μου διαγωγὴν, καὶ τὴν εὐθηνίαν, καὶ τὴν εὐπρέπειαν ὑφείλετο, καὶ διεσκέδασέ με. ὁ δὲ Ἑβραῖος, λαβὼν μὲ τοῦ τένοντος διετίναξε ἐκ μεταφορᾶς τὴν κατ' ἔριν καὶ θυμὸν παλαιόντων, καὶ τοῦ τραχήλου ἐπιλαμβανομένων τοῦ ἀντιπαλαίοντος, καὶ εἰς γῆν αὐτὸν καταῤῥαγνύντων μετὰ τιναγμοῦ.

ΚΕΙΜ. Κατέστησέ με ὥσπερ σκοπόν· Ἐκύκλωσάν με λόγχαις, βάλλοντες εἰς νεφρούς μου, οὐ φειδόμενοι.

Τοῦ Θεοῦ, φησὶ, στήσαντός με ὥσπερ τινὰ σκοπὸν, ἐπὶ τῷ τὰς ἁπάντων δέχεσθαι βολὰς, ὥσπερ τισὶ βολαῖς κατὰ τῶν νεφρῶν μου κατηκόντισαν, ἵνα εἴπῃ, ὅτι κατὰ τῶν ἀποκρύφων καὶ καιριωτάτων. τῷ δὲ παραδείγματι, τὸ καίριον παρέστησε τῆς πληγῆς· τὸ γὰρ ὥσπερ σκοπὸν, ἀντὶ τοῦ, ὥστε κατὰ σκοποῦ βαλεῖν, ὥστε πάντας ἐμοὶ ἐπιτοξάζειν, ὃ καὶ ἐποίησαν. κύκλῳ γάρ με περιστάντες, ἐπιμελῶς ταῖς κατ' ἐμοῦ ἐχρῶντο πληγαῖς, καὶ ἀνηλεῶς ἅπαντα διεπράττοντο, μὴ φειδόμενοι· τοῦτο δὲ εἶπεν, ἐπειδὴ μηδὲ λείψανόν τε ἐλείφθη. ἐπειδὴ δὲ εἶπεν, ὅτι σκοπὸς τίθεμαι πᾶσι, καὶ τοξάζομαι, ἐπιμένων τῇ μεταφορᾷ, ὡς κατὰ τῶν σπλάγχνων πληγεὶς, φησίν.

ΚΕΙΜ. Ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου.

Τουτέστι. ἔρημόν με πάντων κατέστησαν. κενώσαντες εἴτι μοι ζωτικὸν ἦν.

ΚΕΙΜ. Κατέβαλόν με πτῶμα ἐπὶ πτώματι.

Διὰ τοῦτο, τὰς ἀλλεπαλλήλους αἰνίττεται τιμωρίας, καὶ ὅτι ἄλλας ἐπ' ἄλλαις συμφοραῖς ὑπέμεινεν.

ΚΕΙΜ. Ἔδραμον πρός με δυνάμενοι.

ΠΟ-

ΠΟΛΥΧΡ. Τουτέστιν, ἔσπευσαν εἰς τὴν διαρπαγὴν τῶν ἐμοὶ διαφερόντων, καὶ τὰ κατὰ γνώμην ἔπραξαν, τῆς τοῦ Θεοῦ ὀργῆς εὐάλωτόν με καταστησάσης.

ΚΕΙΜ. Σάκκον ἔρραψαν ἐπὶ βύρσης μου.

Ο'ΛΥΜΠ. Ἢ τοῦτο λέγει, ὅτι μεμελάνωταί μου τὸ δέρμα διὰ τὴν τῶν παθῶν ἐπίτασιν, ὥσπερ τις ἐκ τριχῶν πεποιημένος σάκκος· ἢ, ὅτι ὥσπερ οἱ σάκκον φοροῦντες κατατρύχονται τὸ σῶμα, οὕτως ὅλος κατατρύχομαι· ἢ ὅτι ἐκ τῆς λαμπρᾶς καὶ βασιλικῆς ἐσθῆτος, ὑπὸ τῆς ἄγαν πενίας σάκκον περιβέβλημαι, καὶ εἰς πενθικὸν σχῆμα κατέστην, οὐδὲν λείψανον τῆς προλαβούσης εὐημερίας φέρων.

ΚΕΙΜ. Τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη.

ΤΟΥ' ΑΥ'ΤΟΥ'. Α'ντὶ τοῦ, ἡ δύναμις, καὶ ἡ εὐπραγία μου πᾶσα, καὶ ἡ προσοῦσά μοι ἀξία καὶ τιμὴ, ἀπεσβέσθη καὶ ἠφανίσθη.

ΚΕΙΜ. Ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ, ἐπὶ δὲ τοῖς βλεφάροις μου σκιά.

Γαστέρα τὴν ψυχὴν φησὶν, ἢ διὰ τὸ ἀπόκρυφον καὶ ἀόρατον, ἢ ὡς ἀναδοτικὴν τῆς ἐκ τοῦ λόγου τροφῆς. λέγει οὖν ὅτι ἡ ψυχή μου συγκαίεται καὶ ἀπαύστως δακρύω, ὥστε καὶ ἡ ὀπτικὴ τῶν ὀφθαλμῶν μου κατεβλάβη δύναμις· ἢ καὶ ὑπὸ τῆς ἀθυμίας ἐν σκότει διάγω. ἄλλα δὲ ἀντίγραφα, σκιὰν θανάτου ἔχουσιν· ἵνα εἴπῃ, ὅτι καὶ πρὸ ὀφθαλμῶν μου ἔχω τὸν θάνατον.

ΚΕΙΜ. Α'δικον δὲ οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά.

ΔΙΔΥ'Μ. Χείρονά μοι, φησὶ, τὴν ἀθυμίαν ἐμποιεῖ, καὶ μᾶλλόν με ἀνιᾷ, τὸ μηδὲν ἑαυτῷ συνειδέναι φαῦλον· οὐ γὰρ γινώσκω τί, εἰμὴ ὅτι ὀρθῷ λογισμῷ τὰς πρὸς Θεὸν ἐποιούμην ἱκεσίας· διὸ καὶ ξενίζομαι ἐφ' οἷς ταῦτα ὑπομένω. Ε'πισημήνασθαι δὲ, ὅτι καθαρὰ ἦν ἡ τοῦ δικαίου εὐχὴ, καὶ παντὸς πάθους ἀμιγὴς, μὴ ῥεμβασμοὺς ὑπομένουσα, μηδὲ ὑπὸ φροντίδων καταπατωμένη.

ΚΕΙΜ. Γῆ μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου, μηδὲ εἴη τόπος τῇ κραυγῇ μου.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Εἰς συμπάθειαν δὲ ἐκκαλούμενος τὰ ῥήματα, εἰ καὶ εὐκτικῶς εἴρηται. λέγει δὲ, μὴ σιωπήσῃς, ὦ γῆ, τὰ κατ' ἐμὲ, μηδὲ συγκρύψῃς τὸ ἐμὸν αἷμα, τὸ ἀδίκως ἐκχεόμενον ἐκ τῆς σαρκός μου, ἀλλὰ κραξάτω, ὡς τὸ τοῦ Α'βελ, καὶ ἐκκαλέσασθαι τὸν Θεὸν εἰς ἐκδικίαν αὐτοὺς τοῦ σώματος τοὺς ἰχῶρας ἔχουσα. καὶ ὁ ἀὴρ μὴ ἐπίσχοι μου τὴν κραυγὴν, μηδὲ στῇ ἐν τόπῳ καὶ ἀποκρυβῇ, καὶ εἰς λήθην ἔλθοι τὰ κατὰ τοὺς ἐμοὺς ὀδυρμοὺς, ἀλλὰ εἰς οὐρανοὺς φθασάτω τῆς φωνῆς μου ὁ τόνος, ἵν' ὁ Θεὸς τῶν γινομένων κακῶν ἔκδικος καταστὰς, καὶ τοὺς αἰτίους ἀμυνόμενος, τοῦτο γοῦν ἅπασι δείξῃ, τῶν ἐμοὶ βεβιωμένων τὸ ἄμεμπτον. ἔθος

δέ

δὲ τοῦτο τοῖς ἐν δεινοῖς ἐστι, τὰ κακὰ αὐτῶν μὴ θέλειν καλύπτεσθαι. τοσοῦτον ἀπέχω, φησὶ, τοῦ συνειδέναι ἐμαυτῷ πονηρὰ, ὥστε βούλομαι πάντας ὁρᾷν ἃ πάσχω. ταῦτα δ᾽ἐκτικῶς ἅμα καὶ προφητικῶς εἴπας, μακάριε· οὐ γὰρ ἀπεκρύβη τὰ κατὰ σὲ, ἀλλὰ πάντες ἀνὰ στόμα ἔχομεν ἄνθρωποι τὰ σὰ παλαίσματα, καὶ τὴν ἀνδρείαν, καὶ τὴν ὑπομονὴν, καὶ τὰ ἐπὶ τούτοις βραβεῖα, καὶ τοὺς στεφάνους, καὶ τὴν ἀνάῤῥησιν.

ΚΕΙΜ. Καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου, ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις.

Ο'ΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Εὖγε ψυχῆς καθαρᾶς, καὶ ἀγάπης ἀνυπερβλήτου, καὶ συνειδήσεως ἀληθινῆς, τὸν πάντα ἐφορῶντα ὀφθαλμὸν πρὸς μαρτυρίαν ἐπικαλουμένης. τὸν Θεὸν γὰρ, φησὶ, τὴν κρίσιν καλῶ, ὃς τῶν ἁπάντων ἀκριβῆ τὴν γνῶσιν ἔχων, καὶ οὐκ ἀπὸ τῶν φαινομένων, ἀλλ᾽ ἀπὸ τῆς ἀληθείας τὴν ψῆφον φέρων, μάρτυς τῶν παρ᾽ ἐμοῦ λεγομένων εἶναι δύναται.

ΚΕΙΜ. Α'φίκοιτό μου ἡ δέησις πρὸς Κύριον, ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός.

ΧΡΥΣΟΣΤ. Μονονουχὶ λέγει, ἀκούσοι ταῦτα ὁ Θεὸς, ἴδοι ταῦτα ὁ Θεὸς, ἐπινεύσας τε μου ταῖς ἱκεσίαις, καὶ δακρύοντα κατελεήσας, ἀνάσχοιτό μοι δικάσαι πεπονθότι κακῶς. ἀλλὰ καὶ τοῦτό σοι πρὸς ἔργον διέβη, ἀοίδιμε· ἐθεώρει γάρ σου τὰ παλαίσματα ὁ μέγας ἀγωνοθέτης, καὶ ἐπήκουσέ σου τῆς ἱκεσίας, ἐπειδή σου τὰ τίμια δάκρυα, διὸ καὶ τῶν ἀγώνων τὴν αἰτίαν ἐπληροφόρησε. γίνεται δὲ τὸ στάζειν ἔναντι Κυρίου τὰ δάκρυα τοῖς μακαρίως κλαίουσιν.

ΚΕΙΜ. Εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι Κυρίου, καὶ υἱῷ ἀνθρώπου τῷ πλησίον αὐτοῦ.

ΠΟΛΥΧΡ. Παράσχοι, φησὶν, ὁ Θεὸς, ἐμοί τι καὶ τοῖς πλήξασιν, ἑαυτὸν ἀκροατὴν· καὶ γένοιτό μοι αὐτοῦ δικάζοντος, διαλεχθῆναι πρὸς τοὺς ἀντιλέγοντας, οὓς δὴ καὶ πλησίον αὐτοῦ φησὶν, ὡς φίλους· ἄνδρα δὲ καὶ υἱὸν ἀνθρώπου, ἑαυτὸν ὀνομάζει· καὶ πέποιθεν οὕτω σαφῆ γενέσθαι τὴν κρίσιν, ὡς ἐπὶ ἀνθρώπων γινομένην, ὥστε μηδένα λαθεῖν, ἐκ μεταφορᾶς αὐτὸ λαβὼν τῶν ἀρχόντων, τῶν ὑπὸ ταῖς πάντων ἀκοαῖς ἐξεταζόντων τὰ πράγματα. προφητικῶς δὲ εἶπε καὶ τοῦτο. διακούσας γὰρ Θεὸς τῶν ἑκατέροις τοῖς μέρεσιν εἰρημένων, αὐτὸν μὲν ἐδικαίωσε τοὺς δὲ αὐτοῦ κατεδίκασε φίλους.

ΚΕΙΜ. Ε'τη δὲ ἀριθμητὰ ἥκασιν, ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι, πορεύσομαι.

Ο'ΛΥΜΠ. Πάλιν τὸ ὀλιγοχρόνιον εἰς ἱκετηρίαν προβάλλεται διδάσκων ὁμοῦ, ὅτι οἱ ἅπαξ ἀποθανόντες παλινδρομῆσαι εἰς τόνδε τὸν βίον οὐ δύνανται. ταῦτα οὖν φησὶν, αὐτῷ γενέσθαι πρὸ τοῦ θανάτου, μεγίστην κρίνων παραμυθίαν τῶν πραγμάτων τὸν ἔλεγχον.

ΚΕΙΜ. Ὀλέκομαι πνεύματι φερόμενος· δέομαι δὲ ταφῆς, καὶ οὐ τυγχάνω· λίσσομαι κάμνων, καὶ τί ποιήσας;

ΟΛΥΜΠ. Ἐν ταραχῇ, φησὶ, τὴν ψυχὴν καθέστηκα, ὑπὸ μὲν τῶν παθῶν στενοχωρούμενος, οὐδένα δὲ κρείττω τῆς ἀδικίας ἔχων, καὶ οὔτε τῶν δεινῶν ἐλευθερίαν εὑρίσκω, οὔτε τοῦ βίου ἀπαλλαγὴν, ἀλλ' ἀπόλλυμαι πανταχοῦ τοῖς λογισμοῖς περιφερόμενος, καὶ πρὸς πάντα ἀφορῶν τὰ ἐμοὶ συμβεβηκότα· διὸ καὶ ποθῶ τὸν θάνατον, καὶ ἀπορίᾳ συνέχομαι, τούτου τυχεῖν μὴ δυνάμενος. τὸ γὰρ, λίσσομαι, ἀντὶ τοῦ, διαποροῦμαι, εἶπεν, ἤτοι, ἀντιβολῶ ταφῇ παραδοθῆναι· πλὴν οὐ τυγχάνω, φησὶ, τῆς ἐπιθυμίας, ἀλλὰ παραλελόγισμαι. ὅρα οὖν ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, ὡς ποθεῖ μὲν τὸν θάνατον, καὶ ἐξὸν ἦν αὐτόχειρα αὐτὸν ἑαυτοῦ καταστῆναι, ἀλλ' οὐχ ἑαυτὸν ἐξάγει, τιμῶν τὸν συνδήσαντα.

ΚΕΙΜ. Ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι.

ΤΟΥ ΑΥΤΟΥ. Οἱ ἱππεῖς, φησὶ, καὶ πολέμιοι μετ' ἐξουσίας ληϊσάμενοι τὰ προσόντα μοι ᾤχοντο· ἐγὼ δὲ ὥσπερ πελάγιος ἐν μέσῳ τῶν κακῶν σαλεύων, οὐδὲ μίαν τῶν συμφορῶν ὁρῶ λύσιν.

ΚΕΙΜ. Τίς ἐστὶν οὗτος; τῇ χειρί μου συνδεθήτω· ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως, διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς· τῇ μερίδι ἀναγγελεῖ κακίας.

ΠΟΛΥΧΡ. Τούτους τοὺς στίχους τινὲς οὕτως ἑρμηνεύουσιν· τίς ἐστιν ὁ θέλων μοι δικάσασθαι; συνδεθήτω τῇ ἐμῇ χειρὶ, ἵνα κοινῶς ἀπαχθῶμεν πρὸς τὸ θεῖον δικαστήριον, ἐπὶ Θεοῦ κριθησόμενοι· κἄν τις οἴηταί με τὴν ἄλλως αὔξειν τὰ πράγματα ἐν μικροψυχίᾳ, παρελθὼν ἐλεγξάτω τὸν λόγον, ἐξ ἴσου τῶν λεχθέντων τὴν πρὸς ἐμὲ ποιούμενος κρίσιν. εἶτα περὶ τῶν φίλων φησὶν, ὅτι δοκοῦντες εἶναι φρόνιμοι, κρύπτουσι τὴν ἑαυτῶν βουλὴν, συνειδότες μὲν ὡς οὐδέν μου κατηγορεῖν ἔχουσιν, ὡς δὲ Θεοῦ δῆθεν συνήγοροι καταψευδόμενοί μου. καὶ οὐ θαυμαστὸν εἰ τοῖς παρ' ἐμοῦ λεγομένοις ἀντιφθέγγονται· τὴν γὰρ τοῦ χείρονος μοῖραν ἔμπροσθεν τοῦ καλοῦ τίθενται. ταῦτα μὲν ἕτεροι φασίν. ἐμοὶ δὲ τά τε ἡγούμενα ἐπισκοποῦντι, καὶ τὰ ἑπόμενα, δοκεῖ καὶ τὰ μεταξὺ ταῦτα ἀκολούθως ἐκείνοις λέγεσθαι. εἶπε τοίνυν ὅτι ἔκλεψάν μου τὰ ὑπάρχοντα ἀλλότριοι, καὶ ἠπάσατο αὐτοὺς ὡς ἀδίκους καὶ πλεονέκτας· ἵνα δὲ μὴ ἡ κακία κατακαυχᾶται τῆς ἀρετῆς, μηδὲ πλέον ἔχωσιν οἱ φαῦλοι τῶν ἀγαθῶν, δέεται τοῦ Θεοῦ, ὥστε ταπεινῶσαι, καὶ ὑπαγαγεῖν τῇ τοῦ δικαίου χειρὶ τοὺς ἅρπαγας· διὸ φησί, τίς ἐστιν οὗτος; ὁ ἄδικος δηλαδὴ, καὶ πλεονεκτικώτατος; μὴ ἄνετος ἐαθήτω, ἀλλὰ κωλυθήτω, ἐπισχεθήτω, ὑπὸ τὴν ἐμὴν χεῖρα γενέσθω δέσμιος· καὶ ἐπειδὴ τὴν ἑαυτοῦ καρδίαν πόρρω ἐποίησε τῶν συνετῶν, καὶ ἁγιοπρεπῶν νοημάτων τε καὶ βουλευμάτων, διὰ τοῦτο μὴ συγχωρηθήτω ὑψωθῆναι, μᾶλλον μὲν οὖν κατενεχθήτω καὶ καταβληθήτω, καὶ τὸ αὐτοῦ πά-

θος ἀναγγειλάτω τῇ μερίδι τῆς κακίας, τουτέστι, τοῖς ὁμοτρόποις αὐτοῦ, ἵνα μηδὲ αὐτοὶ τολμῶσι τὰ ὅμοια, ἀλλὰ γένηται τούτοις διδασκαλία καὶ σωφρονισμὸς ἡ τοῦ ἑνὸς ἀδίκου συμφορὰ καὶ τιμωρία, καὶ τρόπον τινὰ αὐτὸς ἐκείνοις ἀναγγελῇ ἃ πέπονθεν, εἰς ταύτην δέ με τὴν διάνοιαν ἤγαγε καὶ ὁ μετά τινα ῥήματα κείμενος στίχος, ἐν ᾧ, ὡς ἐν ἀρχῇ, λέγεται, δίκαιος ἐπὶ παρανόμῳ ἐπανασταίη, χοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδόν. ἐν μέν τοι τοῖς μεταξὺ τὰ ἑαυτοῦ πάθη διηγεῖται ὁ δίκαιος, καὶ φησίν.

ΚΕΙΜ. Ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν.

ΟΛΥΜΠ. Τὸν ἐπὶ τοῖς τέκνοις ἀδιάλειπτον κλαυθμὸν ἐκτραγῳδεῖ. ὅρα δὲ, ὡς οὐκ εἶπεν, οἱ ὀφθαλμοί μου ἐπὶ τῇ ἀπωλείᾳ τῶν ὑπαρχόντων ἐτάκησαν. μικρὸν γὰρ ἐκείνων ἐποιεῖτο λόγον. ἀλλ' ἐπὶ τῇ τῶν τέκνων ἀθρόᾳ πλάτῃ· ἐπὶ γὰρ τούτοις, ὡς συμπαθὴς, περιήλγησεν.

ΚΕΙΜ. Ἔθου δέ με θρύλλημα ἐν ἔθνεσι, γέλως δὲ αὐτοῖς ἀπέβην.

ΠΟΛΥΧΡ. Πανταχοῦ, φησὶ, τὰ κατ' ἐμὲ θρυλλεῖται, καὶ καταγέλαστος γέγονα· τοσαύτη τῆς συμφορᾶς ἡ ὑπερβολὴ, ὡς μηδὲ τοὺς πόῤῥωθεν διαλαθεῖν, ἀλλὰ τὰ κατ' ἐμὲ ἅπαντες διηγεῖσθαι. καὶ δέον ἐπὶ τούτοις ἐλεεῖσθαί με, ἐπί τε τῇ ἀφαιρέσει τῶν προσόντων, ἐπί τε τῇ τῶν παίδων ἀπωλείᾳ, ἐκ τῶν ἐναντίων γελῶμαι ὀδυρόμενος.

ΚΕΙΜ. Πεπήρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου.

ΟΛΥΜΠ. Τουτέστιν, ἠμαυρώθησαν ὑπὸ τῶν κατὰ θείαν ὀργὴν ἐπενεχθέντων μοι κακῶν. δακρύων γὰρ ἐπὶ τῇ ἀώρῳ τῶν παίδων πλάτῃ, μικροῦ καὶ τοὺς ὀφθαλμοὺς διέφθαρον.

ΚΕΙΜ. Πεπολιόρκημαι μεγάλως ὑπὸ πάντων.

ΠΟΛΥΧΡ. Τοῦτό με μάλιστα δάκνει καὶ ῥεῖσθαι παρασκευάζει τοῖς δάκρυσιν, ὅτι τῆς τοῦ Θεοῦ ὀργῆς εἰς τοῦτό με καταστησάσης τιμωρίας, οἱ δοκοῦντες φίλοι, καὶ ἐπὶ παρακλήσει ἀφιγμένοι, χλεύην πεποίηνται, ὡς ἐπ' οὐδενὶ δυσαναχετοῦντα, καὶ ἄλλος ἄλλοθεν, δίκην πολεμίου, πλήττειν τοῖς λόγοις φιλοτιμεῖται, καὶ πάντες ταῖς ἐμαῖς συμφοραῖς ἐπεμβαίνουσιν.

ΚΕΙΜ. Θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ.

ΟΛΥΜΠ. Οὐ μὴν οἱ τῆς ἀληθείας μεταποιούμενοι, ὥσπερ ὑμεῖς διετέθησαν, ἀλλ' ἐξεπλάγησαν, διαποροῦντες ἐφ' οἷς ταῦτα πέπονθα. τοῦτο δὲ ἴσως καὶ τοὺς φίλους αἰνιττόμενος, λέγει, ὡς οὐ τῆς ἀληθείας μεταποιουμένους, ἀλλ' ἁπλῶς Θεῷ χαρίζεσθαι θέλοντας.

ΚΕΙΜ. Δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπανασταίη.

ΤΟΥ ΑΥΤΟΥ. Ὡς μὲν περὶ ἑτέρου λέγει, περὶ ἑαυτοῦ δὲ, φησίν· ἐπειδὴ γὰρ προεῖπε, μὴ ὑψώσῃς τοὺς

ἀδι-

ἀδίκως, τὸ ἐναντίον, φησὶ, γένοιτο, τὸ τὸν δίκαιον κατισχύσαι τοῦ παρανόμου. πρότερον μὲν γὰρ δικαίῳ παράνομοι ἐπανέστησαν· νῦν δὲ ἀμειφθήτω ἡ τάξις, ἐναλλαγήτω τὰ πράγματα, καὶ κρατείτωσαν τῶν ἀδίκων καὶ φαύλων οἱ δίκαιοι.

ΚΕΙΜ. Σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδὸν, καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος.

Τοῦτο εὐκτικῶς εἴρηται, κατὰ τὴν ἀρχαίαν σημείωσιν. ὁ δὲ Θεοδοτίων ἐκδοὺς, καὶ ἀνθέξεται δίκαιος τῆς ἑαυτοῦ ὁδοῦ, οὐκ ἀφίησιν ὡς εὐχὴν νοεῖσθαι τὸν λόγον, ἀλλ' ὡς αἰτίας παράθεσιν, εἰ γὰρ κρείττων, φησὶ, φανεῖται τοῦ παρανόμου ὁ δίκαιος, καὶ οὐ κατισχύσει μέχρι τέλους ἡ κακία τῆς ἀρετῆς, τί συμβήσεται; οὐ σκανδαλισθήσεται ὁ τῆς ἀρετῆς ἐργάτης, οὐ ζηλώσει τὰ ἄζηλωτα· ἀλλὰ κἂν, ὡς εἰκὸς, μικρόν τι τοῦ λόγου παρετράπη, πάλιν τῆς οἰκείας ὁδοῦ ἀνθέξεται, καὶ βαδιεῖται κατ' ἀρετήν. τοιοῦτόν τι καὶ Δαβὶδ ψάλλει, ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. παραπλήσιον καὶ τοῦτο τοῦ Ἰώβ ἐστι, φησὶ, τὰ ἐμὰ ἐν οὐδενί· πῶς ἄλλοι ζητοῦσι ἐν τῇ ὁδῷ τῆς ἀρετῆς; εἰ μὴ παρ' ἐλπίδας ἐκβαίη τὰ πράγματα, καὶ μεταστήσεται ἐκ τῶν ἀδίκων εἰς τοὺς δικαίους τὰ τῆς εὐημερίας; πῶς ὁ καθαρὸς ἕξει θάρσος, εἰ μὴ περιτραπήσεται τὰ τῆς εὐτυχίας τοῖς ἐναγέσι, καὶ οἱ εὐαγεῖς κατισχύσουσι τῶν ὑπεναντίων; τοῦτο δὲ κατορθωθήσεται ἐκ τοῦ κατ' ἐμὲ παραδείγματος, εἰ τὴν προτέραν εὐδαιμονίαν ἀναλήψομαι, καὶ τοὺς ἀδικήσαντας ταπεινωθέντας ὄψομαι. ταῦτα δὲ πάλιν ὁ ἅγιος ὑπὲρ πάντων εὔχεται. ὅθεν οὐ περὶ ἑαυτοῦ, ἀλλ' ἀορίστως περὶ δικαίου παντὸς προσώπου τὴν εὐχὴν ἐποιήσατο.

ΚΕΙΜ. Οὐ μὴν δὲ ἀλλὰ πάντες ἐρείδετε, καὶ δεῦτε δή· οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές.

Ο'ΛΥΜΠ. Πάντες, φησὶν, αὖθις ἀγανακτεῖτε, τῶν παρ' ἐμοῦ λεγομένων, καὶ πρὸς ἀντιλογίαν παρασκευάζεσθε, ὡς ἐπὶ πολέμου τοῖς λόγοις παραταττόμενοι, καὶ ἕκαστος τῷ ἑτέρῳ ἐπαμύνει, ὡς ἂν τὸ πᾶσιν ἐνδέον ὑπὸ πάντων πληρωθείη. ἐνισχύσατε τοιγαροῦν ἀλλήλους, καὶ συγκροτήσατε καὶ συσφίγξατε, καὶ οἷόν τινα συνασπισμὸν ποιησάμενοι, οὕτως ἔλθετε. κἂν γὰρ πάντες ὁμοφωνεῖτε, κἂν μυριάκις ἀντείπητε, διελέγξω ὑμᾶς μὴ ἀληθεύοντας· οὐ γὰρ προσοῦσαν ὑμῖν ὁρῶ τὴν ἀλήθειαν.

ΚΕΙΜ. Αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ, ἐῤῥάγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου.

ΠΟΛΥΧΡ. Πάλιν ἄρχεται τὰ συμβεβηκότα αὐτῷ διηγεῖσθαι, δεικνὺς ὡς οὐκ ἀλόγως ποθεῖ τὸν θάνατον, καί φησι, πολὺς ἤδη μοι παρῴχηκε χρόνος, καὶ πρὸς τὸ τέλος ἐλαύνω, ἐν ἀηδίᾳ τὰς ἡμέρας τρίψας, καὶ παρείθησαν, καὶ διελύθησάν μου τῆς ψυχῆς οἱ τόνοι. εἰ δὲ καρδίαν τὸ ἡγεμονικὸν λέγει, τὸ, ἐῤῥάγη τὰ ἄρθρα τῆς καρδίας μου, οὕτω νοήσωμεν,

ἀντὶ τοῦ, ὑπὸ τῆς ἀθυμίας μικροῦ καὶ εἰς παραφρόνησιν ἐχώρησα.

ΚΕΙΜ. Νύκτα εἰς ἡμέραν ἔθηκα, φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους.


ΟΛΥΜΠ. Τὴν νύκτα, φησὶν, ἅπασαν ἀγρυπνῶν ὡς ἐν ἡμέρᾳ διετέλεσα, προσδοκῶν καὶ τὸ φῶς· τοῦτο δὲ φυσικῶς πάσχουσιν οἱ ἐν ταῖς νόσοις ἀγρυπνοῦντες, εὐχόμενοι τὴν ἡμέραν ἰδεῖν· καὶ τῆς ἡμέρας αὖθις ἐπιλαβούσης, ὡς ἐν νυκτερινῇ ἡσυχίᾳ, θρήνων οὐδὲν ἔλαττον ὑπὸ τῶν ὀδυνῶν διετέλουν· τὸ δὲ ὅλον, συνῆπτον, φησὶ, τὰς νύκτας ταῖς ἡμέραις, οὐδένα καιρὸν ἔρημον θρήνων καταλιμπάνων. τάχα δὲ λέγων, φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους, ἐκεῖνο ἔοικε λέγειν, ὅτι καὶ αὐτὸ τὸ φῶς ὑπὸ τῆς ἀθυμίας οὐ μακρὰν μοι σκότους ἐδόκει· κατ᾽ ἐκεῖνο δὲ τὸ ἀλλαχοῦ εἰρημένον περὶ τῶν ἀθυμούντων, δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας. οὐχ ὡς τοῦ ἄστρου δύνοντος, ἀλλ᾽ ὡς τῶν λυπουμένων, καὶ τὴν ἡμέραν νύκτα λογιζομένων, καὶ μὴ ἀπολαυόντων ἡδέως τοῦ φωτός.

ΚΕΙΜ. Ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος, ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή. θάνατον ἐπεκαλεσάμην πατέρα μου εἶναι, μητέρα δέ μου καὶ ἀδελφὴν, σαπρίαν. ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπίς; ἢ τὰ ἀγαθά μου ὄψομαι; ἢ μετ᾽ ἐμοῦ εἰς ᾅδην καταβήσονται; ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα;

ΤΟΥ ΑΥΤΟΥ. Ἀλλὰ δεῖ, φησὶ, καρτερεῖν ἵνα τὸ πλέον προσγένηται; διατί δὲ ὑπενέγκω, καὶ μὴ θελήσω τὸν θάνατον; οὐ γὰρ παρέσται, κἂν μὴ θέλοιμι; οὐ κοινὸν ἅπασιν ἀνθρώποις τὸ ἀποθανεῖν; οὐχὶ ᾅδης ἅπασιν οἶκος; οὐκ ἐκεῖ πάντες τῶν ἐνθάδε καταλήγουσι πόνων; τοῦτο γὰρ λέγει, ἐν γνόφῳ ἡ στρωμνή μου, ἐν τῷ ἀφεγγεῖ χωρίῳ ἡ ἀνάπαυσις τῶν ἐνθάδε πόνων· διὰ τοῦτο μὲν οὖν ἀντὶ πατρὸς ἔχω τὸν θάνατον, καὶ δικαίως αὐτὸν ἐπελθεῖν μοι ποθῶ. ἀντὶ δὲ μητέρος, τὴν τοῦ σώματος σῆψιν καὶ ἀνάλυσιν, τὴν ἐξ ἀνάγκης συμβαίνουσαν μετὰ τὴν τελευτὴν, τὴν αὐτὴν δὲ καὶ ὡς ἀδελφὴν ποθῶ, καὶ πᾶσι τοῖς τῆς φιλίας ὀνόμασι κατασπάζομαι· καὶ τοῦτο φημὶ, ὡς ἤδη τοῦ σώματος ὑπὸ τῆς λωβώσεως ὀδωδότος, καὶ νεκροῦ καὶ τετελευτηκότος φέροντος εἰκόνα. μὴ γὰρ οἴεσθε, ὡς τὰ ἐνθάδε ἀπελπίσας, εἰς ᾅδου πλουτεῖν προσδοκῶ. μὴ ἐνδέχεταί τινα μεθ᾽ ἑαυτοῦ καταγαγεῖν εἰς ᾅδου τὸν πλοῦτον, ἢ τὴν ἐνθάδε δόξαν; μὴ μετὰ τῶν ἐνθάδε ἀγαθῶν δύναμαι ἀπελθεῖν ἐπὶ χώματος, τουτέστιν, ἐν τοῖς καταχθονίοις; ἀλλαμὴν τοῦτο οὐκ ἔστι. ποίᾳ τοιγαροῦν ἐλπίδι ὑπομενῶ, ὅπου γε μικρὸν ὕστερον ἀποθανεῖν ἀπόκειται πάντως, πάντα τὰ ἐνθάδε καταλελοιπότα; ἐπὶ τούτοις γὰρ οὐδὲν ἕτερον προσδοκῶ, ἢ θάνατον, καὶ ἀνάπαυσιν μίαν ἡγοῦμαι τὴν τελευτὴν, ἐν ᾗ καταστὰς, οὐδὲ μίαν μνήμην ἕξω τῶν ἀλγηδόνων· ὥσπερ δὲ οἱ τετελευτηκότες οὐδεμίαν τῶν παρόντων προσδοκίαν ἔχουσιν, οὕτως οὐδ᾽ αὐτὸς ἐλπίδα τινὰ τῶν ἀφαιρεθέντων ἔτι κέκτημαι· ἀλλ᾽ εἰ καί τινας τοιαύτας

ἐμαυ-

ἐμαυτῷ ὑποτείνω ἐλπίδας, ὡς ἔοικεν οἰχήσομαι, μάτην κεχηνὼς ἐπ' οὐδὲ νὶ βεβαίῳ, καὶ καταστρέψω τὸν βίον, οὐδὲ μίαν ἀπόλαυσιν τῶν ἀγαθῶν λαβών. τούτου δὲ ὧδε ἔχοντος, εἰκότως, ἐπελθεῖν συντόμως τὸν θάνατον ὡς πατέρα ποθῶ· ὥσπερ γὰρ οἱ παῖδες, παραμυθίαν ἔχουσι τοὺς γονεῖς, οὕτω κἀγὼ ἐν οὐδενὶ ἔχω τὴν ἀνάπαυσιν, ἢ ἐν τῷ θανάτῳ καὶ τῇ ἀναλύσει. παραδείγματι δὲ τὸ ἐπιτεταμένον παρέστησε τῶν δεινῶν. ὥσπερ γὰρ φησὶ, τὰ ἔμβρυα ἐν τῇ μητρῴᾳ νηδύϊ ζῆν δοκεῖ καὶ περιέχεται, ἔχει δὲ πατέρα τὸν σπείραντα, οὔπω δὲ εἰς φῶς παρελθόντα, ἐν ὑγρότητι καὶ ἰχῶρι πλείστῳ περιέχεται· τὸν αὐτὸν τρόπον καὶ αὐτὸς, φησὶ, διάκειμαι· ὁ μὲν γὰρ θάνατος οὔπω ἀφῖκται, οὐδὲ ἔχει παρ' ἑαυτῷ, ὡς δὲ πατὴρ ᾠκείωται, καὶ καθάπερ ὑπὸ γαστρὸς τινὸς τῶν παθῶν περιέχει, οὐδέποτε τῶν δεινῶν ἀπαλλάττων, οὐδὲ ἐλπίδα σωτηρίας ὑποτείνων· ὅμως τοιγαροῦν καὶ ἡμᾶς ἐδίδαξε, μὴ περιέχεσθαι τῶν ἐν τῷ βίῳ καλῶν. οὐδὲν γὰρ αὐτῶν ἡμῖν συνεξέρχεται ἐκ τοῦδε τοῦ βίου· καὶ ἱκανῶς ἀπολελόγηται τοῦ μὴ μάτην ἐπιποθεῖν τὸν θάνατον, τοσούτοις ἀλγεινοῖς περιαντλούμενος.



ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΔΥΟΚΑΙΔΕΚΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΔΥΣΧΕΡΑΙΝΕΙ ὁ Βαλδὰδ ἐπὶ τῇ τοῦ Ἰὼβ μακρηγορίᾳ· οὐ γὰρ δεῖ, φησὶν, ἀλόγων δίκην σιωπῶντας παρακαθῆσθαι. εἶτα, ὡς πολλάκις τοῦ Ἰὼβ εἰρηκότος, ὅτι ἐπιποθεῖ τοῦ σώματος ἀπαλλαγῆναι, τί φησὶ, σοβαρεύῃ, καὶ πολλάκις λέγεις, ἡδέως ἔξει μοι τοῦ σώματος, καὶ σεμνύνεις τὰ κατὰ σαυτὸν, ὥσπερ οὐκ ὢν ἄνθρωπος εἷς, ἀλλὰ Κόσμος ὅλος; τί γὰρ ἐὰν ἀποθάνῃς, γενικὴ γίνεται συντέλεια; εἶτα ταῦτα εἰρηκὼς, στρέφει τὸν λόγον εἰς τὰ τοῖς ἀσεβέσι συμβησόμενα, ὡς τὰ καθόλου μὲν λέγων, ἐπ' ἀσεβείᾳ δὲ σκώπτων τὸν δίκαιον.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει, μέχρι τίνος οὐ παύσῃ; ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν. διατί δὲ ὥσπερ τὰ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου;

ΟΛΥΜΠ. Ὁ Σαυχαίων τύραννος τυραννικῶς διαλέγεται, μέχρι τίνος γὰρ, φησὶν, οὐ παύσῃ; ἐπίσχες, μὴ οἷον πρὸς ἄλογα τοὺς λόγους ποιεῖσθαι, καὶ ἀποτάδην οὕτω διαλέγου, δίδου δὲ μᾶλλον καὶ ἡμῖν τοῦ λαλεῖν χώραν, τοὺς σαυτοῦ συστέλλων λόγους.

ΠΟΛΥΧΡ. Οὗ τοῦ γὰρ ἕνεκεν οὐχ ἡσυχάζεις, ταῖς σαυτοῦ πλημμελείαις λογιζόμενος τὰς κατὰ τοῦ σώματος ἐπενεχθείσας πληγάς; ἀλλὰ τοῦτον ἀφεὶς τὸν λογισμὸν, κατὰ τοῦ Θεοῦ θρασύνῃ, ὥσπερ ἐξεπίτηδες, καὶ ταῦτα σιγᾷν βουλομένους κινῶν ἡμᾶς πρὸς λόγους· οὐ γὰρ προσῆκον, καθάπερ πρὸς ἀλόγους τινὰς, ἐφησυχάζειν τῇ κατὰ Θεοῦ βλασφημίᾳ.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς αὐτοὺς κεινομένους αὐτῷ, ὁρᾷς βουλομένους ἐπιστομίζειν αὐτόν. τοῦτο οὐχὶ παραμυθουμένων ἐστὶν, ἀλλὰ τοὐναντίον παροξυνόντων αὐτὸν καὶ σκωπτόντων. ἐπίσχες, φησὶ, ἵνα καὶ αὐτοὶ λαλήσωμεν. διατὶ γὰρ παρεγενόμεθα; οὐχ ἵνα καὶ αὐτοὶ λαλήσωμεν; ὅρα τὴν φιλοτιμίαν· αἰσχύνην ἡγοῦνται καὶ ἀλογίαν ἐσχάτην, τὸ σιγᾷν. οὐ πλέον ἀποίσῃ, φησὶν, αὐτὸς νικήσας ἡμᾶς καὶ περιγεγονώς. ὅρα πάντως αὐτῷ μακρηγορίαν ἐγκα-

λουῦτας, ὅρα μεμφομένες καὶ αἰτιωμένες. λογικοὶ, φησὶ, γεγόναμεν καὶ αὐτοὶ κατὰ σὲ, μὴ πλέον ἔχειν τὶ νόμιζε.

ΚΕΙΜ. Κέχρηταί σοι ὀργή.

Δύναται τοῦτο καὶ κατ' ἐρώτησιν ἀναγινώσκεσθαι. τί ὅτι ὁ Θεὸς ἐν ὀργῇ σοι ἐχρήσατο; διὰ τὸ τὸν Ἰὼβ εἰπεῖν, ὀργῇ χρησάμενος κατέβαλέ με. δύναται καὶ θετικῶς καὶ ἀποφατικῶς νοεῖσθαι· ὦ κατὰ σαυτοῦ καὶ τῆς σῆς ψυχῆς ὀργιζόμενε, ὀργανῷ σοι κέχρηται ἡ ὀργή. τὸ γὰρ, ὀργίζεσθαί σε κατὰ Θεοῦ, καὶ καθάπερ ὑπό τινος μανίας, τοσαύτῃ κεχρῆσθαι τῶν λόγων τραχύτητι, καὶ εἰς ἀποδυσπέτησιν χωρεῖν, ἄνω καὶ κάτω τοῦ θανάτου μνημονεύοντα, οὐδὲν ἕτερόν ἐστιν, ἢ κατὰ τῆς σαυτοῦ ψυχῆς τῇ ὀργῇ ἐκφέρεσθαι. ταύτην τὴν εὔνοιαν καὶ Θεοδοτίων παρέστησεν, ἐκδὺς, διαρπάζων ψυχὴν αὐτοῦ ἐν θυμῷ αὐτοῦ.

ΚΕΙΜ. Τί γάρ; ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανόν; ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων;

ΟΛΥΜΠ. Τί νομίζεις, φησὶν, ὅτι τῇ σῇ συστάσει, καὶ ὁ Κόσμος συνίσταται; καὶ μεγαλύνεις τὰ κατὰ σαυτὸν, καὶ ὡς τὸ πᾶν ζημίᾳ περιβάλλων, οὕτω τὸν θάνατον ἐπεύχῃ; ὥσπερ γὰρ τῆς ὑφ' ἥλιον ζημιεμένης ἐπὶ τῇ σῇ τελευτῇ, καὶ ὡς γενικῆς γινομένης συντελείας, οὕτω διαλέγῃ, καὶ ὡς τῆς σῆς μὲν δικαιοσύνης ἰσώσης τὰ ἀνθρώπινα, ἐκ ποδῶν δὲ γενομένε, οὐκέτι ὄντος τοῦ ἵλεων καθιστῶντος τὸ θεῖον.

ΚΕΙΜ. Καὶ φῶς ἀσεβῶν σβεσθήσεται, (ὁ δὲ Σύμμαχος μέντοιγε (καὶ ἐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ. (αὐθ' ὁ ὁ Θεοδοτίων, ἐ λάμψει, ἐκ δέδωκε) τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ, ὁ δὲ λύχνος ἐπ' αὐτῷ σβεσθήσεται.

ΠΟΛΥΚΡ. Πλὴν ἴσθι, φησὶν, ὅτι κἂν διαλάμψωσιν οἱ ἀσεβεῖς, κἂν εἰς ὕψος δόξης ἀρθῶσι, τοῦτο γὰρ αἰνίττεται διὰ τῆς φλογὸς, χήσει τὰ κατ' αὐτὰς τὴν ἐναντίαν πάντως μεταβολὴν, καὶ στραφήσεται μὲν τοῦ ἀσεβοῦς τὸ φῶς εἰς σκότος ἐν πάσῃ αὐτοῦ τῇ διαγωγῇ, τουτέστι, πάντα τὰ κατ' αὐτὸν δυσπραγία καθέξει· κἂν πρὸς βραχὺ δόξῃ ἐν λαμπρότητι διάγειν, δίκην πάντως δώσει, τοῦ οἰκείου φωτὸς, ἀποβαλὼν τὴν φαιδρότητα, ὡς μηδ' εἰ πώποτε ὤφθη, εἶναι γνώριμον. ὁ δὲ λύχνος ἐπ' αὐτῷ, ὅπερ ἐστὶν, ἡ ἄνωθεν ἐπικειμένη αὐτῷ λαμπρότης, καὶ πάντα τὰ κατ' αὐτὸν καταυγάζουσα, ἀποσβεσθήσεται· τῆς γὰρ κατ' αὐτοῦ τιμωρίας ἐνεχθείσης, ἅπασα ἡ περὶ αὐτὸν δόξα διαρρεῖ. ὁμοιωματικῶς δὲ ἐχρήσατο τῇ λέξει τοῦ φωτὸς, ἐπειδήπερ οἱ ὑπὸ φωτὶ βαδίζοντες οὐ προσπταίουσι.

ΧΡΥΣΟΣΤ. Ὅρα δέ μοι τὴν πονηρίαν· λέγοντες γὰρ, ὅτι μεγάλα κακὰ τοῖς ἀσεβέσι συμβαίνει, ταῦτα λέγουσι τὰ κακὰ, ἅπερ ὁ Ἰὼβ ὑπέμεινε. καὶ τὸν λόγον πλέκουσι διὰ τῶν τούτου συμφορῶν, ὥσπερ ἐνδείξασθαι βουλόμενοι, ὅτι αὐτὸν αἰνίττονται· ἄκουε γὰρ οἷα λέγουσι.

ΚΕΙΜ.

ΚΕΙΜ. Θηρεύσαιαν ἐλάχιστοι τὰ ὑπάρχοντα αὐτοῦ· σφάλαι δὲ αὐτοῦ ἡ βουλή. (αὐθ᾽ ὁ Θεοδοτίων, καταῤῥάξει αὐτὸν ἡ βουλὴ αὐτοῦ.) ἐμβέβληται δὲ ὁ πᾶς αὐτοῦ ἐν παγίδι· ἐν δυκτίῳ ἑλιχθείη· ἔλθοισαν δὲ ἐπ᾽ αὐτὸν παγίδες.

Ο᾽ΛΥΜΠ. Ἐκ μεταφορᾶς τῶν θηρωμενῶν ὀρνέων ἢ ζώων, ταῦτα εἶπε, τὸ ἀδιεξόδευτον διὰ τούτων δηλῶν τῶν κακῶν, ἐν οἷς περιείληπται ὁ ἀσεβής. ὥσπερ γὰρ τὰ ζῶα, φησὶν, ὑπὸ τὴν παγίδα ἢ τὰ δύκτια γινόμενα, διεκδυνῆναι λοιπὸν οὐ δύνανται· οὕτω καὶ οἱ ἀσεβεῖς ἀναποδράστους ἔχουσι τὰς καταλαμβανούσας αὐτοὺς συμφοράς· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι πολλάκις οὐδὲ ὑπὸ δυναστῶν τινων, ἀλλ᾽ ὑπὸ ἐλαχίστων καὶ ἁπλῶν τὴν τῶν ὑπαρχόντων ὑπομένουσι στέρησιν, πάσης αὐτῶν τῆς βουλῆς εἰς τοὐναντίον περιτρεπομένης· ἵνα εἴπῃ, ὅτι σὺ ὁ καυχόμενος ἐπὶ δικαιοσύνῃ, δι᾽ ἁμαρτίας τῶν οἰκείων ἐκπέπτωκας, καὶ ἀφύκτοις κακοῖς συνελήφθης, ὥσπερ τῷ τῶν παγίδων καὶ δυκτίων ᾐνίξατο παραδείγματι.

ΚΕΙΜ. Κατισχύσει ἐπ᾽ αὐτὸν διψῶντας.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Κραταιώσει, φησὶν, ὁ Θεὸς τοὺς ὀρεγομένους ἐμφορηθῆναι τῶν ὑπαρχόντων τοῦ ἀσεβοῦς· καὶ τοὺς ἐπιθυμοῦντας ἁρπάζειν τι κατ᾽ αὐτοῦ δυνατωτέρους αὐτοῦ ἀπεργάσεται· καὶ ὁ μὲν ἐκκείσεται πρὸς τὸ πάσχειν διὰ τὴν τοῦ Θεοῦ ἀπόφασιν, ἄλλοι δὲ τὴν νομὴν αὐτοῦ ἕξουσιν.

ΚΕΙΜ. Κέκρυπται ἐν τῇ γῇ χοινίον αὐτοῦ, καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβον.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Καὶ τοῦτο ἐκ μεταφορᾶς εἶπε τῶν ἐκ λίνου κατεσκευασμένων θηράτρων, ἃ τῇ γῇ κατακρύψαντες οἱ θηραταὶ, τὰ ἐπικαθήμενα τῶν ὀρνέων αἴρουσι τῷ χοινίῳ συνάγοντες τὸ λῖνον. ὥσπερ γὰρ, φησὶν, οἱ θηρεύοντες κρύπτουσιν εἰς γῆν τοῦ δικτύου τὸ χοινίον, καὶ πόῤῥωθεν καθήμενοι, ἀποσκοποῦσιν, εἰ γέγονε περὶ τὸ δίκτυον τὸ θήραμα, εἶτα ἕλκοντες τὸ χοινίον συλλαμβάνουσι τὴν ἄγραν ἀδοκήτως τοῖς ἄρκυσι περιπεσοῦσαν. ἐκείναις γὰρ τὰ ὄρνεα ἀφανῶς περιπίπτει, ὡς ἐφ᾽ ἑτοίμην τρέχοντα τροφήν· οὕτω καὶ οἱ ἀσεβεῖς ἀδεῶς πράττοντες τὰ κακὰ, λανθάνουσι σφᾶς αὐτοὺς ἀπροσδοκήτοις περιβάλλοντες συμφοραῖς καὶ δυσπραγίαις. σημαίνει δὲ καὶ τοῦτο, ὅτι τὸ χοινίον τοῦ ἀσεβοῦς, τουτέστιν, ἡ μερὶς αὐτοῦ κατακέχωσται, καὶ ἐξ ὧν ἥμαρτε δέσμιος γίνεται, καὶ ἐν πάσαις ταῖς τρίβοις αὐτοῦ σφίγγεται· κατὰ τὸ, ἐν παγίδι, ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν. τὸ δὲ, ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβοις, τοιοῦτόν ἐστιν· αἱ ἔφοδοι ἐν ταῖς ἐρήμοις γίνονται· ὁ δὲ ἀσεβὴς, φησὶν, οὐκ ἐν ἐρήμοις, ἀλλ᾽ ἐν αὐταῖς μέσαις ταῖς ὁδοῖς συλλαμβάνεται, τουτέστιν, ἔτι ὢν ἐν τῇ ἁπημερείᾳ τὴν αἰφνίδιον ὑπομένει μεταβολήν.

ΚΕΙΜ. Κύκλῳ ὀλέσαιαν αὐτὸν ὀδύναι.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Οὐ μέχρι παθῶν, φησὶν, ἵσταται τῷ τοιούτῳ τὰ

δεινὰ, ἀλλὰ καὶ θανάτου δίδωσι δίκην. ἢ τὸ, κύκλῳ, ἀντὶ τοῦ, πανταχόθεν ὀδυνηρὰ αὐτῷ συμβήσεται.

ΚΕΙΜ. Πολλοὶ δὲ περὶ πόδας αὐτοῦ ἔλθοιεν ἐν λιμῷ στενῷ.

Ἕτερα δὲ ἀντίγραφα οὕτως ἔχουσι· πολλῶν δὲ περὶ πόδας ἔλθοι ἐν λιμῷ στενῷ, ἀντὶ τοῦ, εἰς ἐσχάτην ἀπορίαν ἐλάσοι, ὡς καὶ ὑπὸ πόδας πολλῶν πίπτειν, καὶ δεῖσθαι ὑπὲρ τροφῆς. κατὰ δὲ τὸ πρῶτον, πολλοὶ, φησὶν, ἔσονται περὶ τοὺς πόδας αὐτοῦ, τουτέστιν, ὑποσκελίζοντες αὐτὸν ἐν λιμῷ στενῷ, ἵνα εἴπῃ, ἐν τῇ καταλαμβανούσῃ αὐτὸν συμφορᾷ.

ΚΕΙΜ. Πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον. βρωθείησαν αὐτοῦ κλῶνες ποδῶν, κατέδεται δὲ αὐτοῦ τὰ ὡραῖα θάνατος· ἐκραγείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις.

ΠΟΛΥΧΡ. Ὁ θάνατος αὐτοῦ, φησὶν, ἔσται τοῖς πᾶσιν ἐξάκουστος, καὶ ἡ ἀδόκητος αὐτοῦ πτῶσις τοῖς ὁρῶσι κατάπληξις, καὶ οὐδὲ εἰς ἐκγόνους παραπέμψει τὸν πλοῦτον· κλῶνας γὰρ τοὺς παῖδας λέγει, πόδας δὲ τὰς πράξεις· σύστασις γὰρ πως τῶν πατέρων οἱ παῖδες τυγχάνουσιν. ἢ κλῶνας ποδῶν, τὰ βλαστήματα τῶν πορειῶν, φησίν· ἵνα εἴπῃ, ὅτι ὁ ἀσεβὴς οὐκ ἀνορθωθήσεται, πίπτων πτῶμα ἐξαίσιον· ἀλλὰ καὶ τὰ ὡραῖα αὐτοῦ, τουτέστι, τοὺς παῖδας, ἀπλήστως δαπανήσει θάνατος. ταῦτά δέ φησιν, αἰνιττόμενος τὴν ἀπαιδίαν αὐτοῦ διὰ τὰς παρανομίας ἐπενηνέχθαι, ἐπειδήπερ ὁ τοσοῦτον διὰ τὴν τῶν πραγμάτων ἀπώλειαν ἐδυσχέρανε· φαίνεταί γαρ καὶ τέλεον φιλοσοφήσας ἐπὶ τῇ διαρπαγῇ τῶν κτημάτων. διὰ δὲ τὸν τῶν παίδων θάνατον μάλιστα ἐδείχθη. τὸ δὲ, ἐκραγείη ἐκ διαίτης αὐτοῦ ἴασις, ἀντὶ τοῦ, ἀνέλπιστος ἔσται τῷ τοιούτῳ ἡ τῶν διαρπαγέντων ἀποκατάστασις, καὶ ἀνίατα καὶ ἀθεράπευτα αὐτῷ τὰ συμβησόμενα.

ΚΕΙΜ. Σχοίη δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ.

ΧΡΥΣΟΣΤ. Τουτέστιν, ἀπαραίτητος τιμωρία ἡ τοῦ Θεοῦ· εἰ δὲ ἀνθρωπίνην λέγῃ, ἀναμίγνυσι καὶ τὰ μὴ συμβάντα αὐτῷ, ἵνα μὴ δόξῃ δι' αὐτὸν λέγειν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐχ ὑπὸ τῶν ὑποδεεστέρων ὁ παράνομος πείσεται δεινὰ, ἀλλὰ παρὰ τῶν κρατούντων εἰς συμφορὰς καταστήσεται. ὁ δὲ Ἀκύλας ἐμφαντικώτερον ἐξέδωκε, καὶ ἐπιβήσεται αὐτῷ τοῦ βασιλέως ἀνυπαρξία, τουτέστι, παρὰ τοῦ βασιλέως ἐπέλθοι αὐτῷ ἡ τῶν ὑπαρχόντων στέρησις.

ΚΕΙΜ. Κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ.

ὈΛΥΜΠ. Ἕτερα δὲ ἀντίγραφα, ἀντὶ τοῦ, ἐν νυκτὶ αὐτοῦ, ἐν σώματι αὐτοῦ ἔχουσι. κατὰ μὲν οὖν, τὸ, ἐν νυκτὶ αὐτοῦ, ἀντὶ τοῦ, ἐν ζόφῳ καὶ ἐν νυκτὶ ἀφεγγεῖ ὅλη αὐτοῦ ἔσται ἡ διαγωγή· κατὰ δὲ τὸ, ἐν σώματι αὐτοῦ, ἵνα εἴπῃ, ὅτι εἰσελάσεται εἰς τὸν τόπον, ὅπου κατασκηνοῖ μετὰ τῆς ἐσχάτης πενίας, μηδὲν ἕτερον ἔχων ἢ τὸ ἑαυτοῦ σῶμα. ταύτῃ τῇ ἐννοίᾳ καὶ ὁ Θεοδοτίων συντρέχει, οὕτως εἰρηκώς· κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἀνυ-

παρξία. ὁ δὲ Ἑβραῖος ἔχει, κατασκηνώσει ἐν σκηναῖς οὐκ αὐτῷ, πλέον τί λέγων, αὐτὶ τοῦ, ἁλώμενος διατελέσει ἐν ἀλλοτρίοις.

ΚΕΙΜ. Καταπαρήσονται τὰ ἐκπρεπῆ αὐτοῦ θείῳ.

ΤΟΥ ΑΥΤΟΥ. Ο' δὲ Θεοδοτίων, λικμηθήσεται ἐπὶ ὡραιότητι αὐτοῦ. θεῖον, τῆς ὀργῆς ἔδειξε τὸ ἐπιτεταμένον· ὥσπερ γάρ φησι, πυρὸς ἐνεχθέντος ἐπὶ τῆς γῆς ἅπαντα ἀπόλλυται· ἔτι καὶ τῶν ἀσεβῶν ἡ δοκοῦσα ἐπημερεία ἐκποδὼν γίνεται, καὶ πάντα τὰ κατ᾽ αὐτοὺς εἰς ἀκαρπίαν καταλήξει, ὡς ὑπὸ θείου καταπαρεύτα· ὡς ἐπὶ τῆς σοδομίτιδος, ἣν πῦρ ἐπαφεὶς ὁ Θεὸς ἐπέφρωσεν. ὅμοιον εἶπε καὶ Δαβὶδ περὶ τῶν ἁμαρτωλῶν, πῦρ, καὶ θεῖον, καὶ Πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

ΚΕΙΜ. Υ'πὸ κάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται, καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ.

Α'λλὰ καὶ πᾶσα, φησιν, ἀσφάλεια τοῦ τοιούτου, τοῦτο γὰρ ἡ ῥίζα, ἐλεχθήσεται, οὐδενὸς ἀρκοῦντος πρὸς τὴν τοῦ Θεοῦ ἀπόφασιν ἀντιστῆναι, κἂν τις φησὶν, ὑπόνοια βλαστήσεως γένηται, ταχέως ἐκκοπήσεται, καὶ συνδιαφθαρήσεται τοῖς προσοῦσιν ἡ δοκοῦσα περιφάνεια. ἐκ μεταφορᾶς δὲ αὐτὸ ἔλαβε τῶν ἐκπρεμνομένων δένδρων.

ΚΕΙΜ. Τὸ μνημόσυνον αὐτοῦ ἀπώλοιτο ἐκ γῆς.

ΤΟΥ ΑΥΤΟΥ. Τουτέστιν, εἰς λήθην τοῖς πᾶσι καταστήσεται ὁ ἀσεβής· ἀπολοῦνται γὰρ οἱ παῖδες αὐτοῦ, οἱ δὴ μνημόσυνόν εἰσι τῶν γεννησάντων.

ΚΕΙΜ. Καὶ ὑπάρξει ὄνομα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω.

Τὸ ὄνομα αὐτοῦ, φησὶν, οὕτως ἔσται σκαιὸν καὶ ἀποτρόπαιον, ὡς ἕκαστον ἀκούοντα τῆς προσηγορίας στρέφειν ἐξωτέρω τοῦ λέγοντος τὸ ἑαυτοῦ πρόσωπον, μυσαττόμενον καὶ αὐτὴν τὴν ὀνομασίαν αὐτοῦ.

ΠΟΛΥΧΡ. Ο' δὲ Σύμμαχος, καὶ οὐκ ἔσται ὄνομα αὐτοῦ ἐπὶ πρόσωπον ἀγορᾶς· ἵνα εἴπῃ, ὅτι οὔτε φίλοι, οὔτε ἀλλότριοι δύνανται τοῦ τοιούτου μεμνῆσθαι, τῶν πράξεων ἕκαστον εἰς κατηγορίαν ἀγουσῶν.

ΚΕΙΜ. Α'πώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος.

Α'ντὶ τοῦ, ἐξ ἐπημερείας, καὶ τῆς ἐν πύθεν λαμπρότητος, εἰς δυσπραγίαν, καὶ τὴν ἐκ ταύτης ἀθυμίαν ἀπελαθήσεται.

ΚΕΙΜ. Οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ, οὐδὲ σεσωσμένος ἐν τῇ ὑπ᾽ οὐρανὸν ὁ οἶκος αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Ο' δὲ Α'κύλας, οὐ γονεῖς αὐτῷ, καὶ οὐκ ἔγγονον ἐν τῷ λαῷ αὐτοῦ. ὁ δὲ νοῦς οὗτος· οὐ πρότερον, φησὶν, οἱ διατιθέντες κακῶς παύσονται, ἄχρις οὗ τὴν ἐσχάτην ἐ-

πά-

πάξωσι συμφοραῖ. ϗ ὐδὲ διαδέξεται τὶς τὸν αὐτῦ οἶκον, ὐ τέκνον, ὐκ ἔγγονος, πανωλεθρίᾳ τῶν ἁπάντων διαφθειρομένων.

ΚΕΙΜ. Α'λλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι.

Α'λλ' εἰ καί τι περιληφθείη τῷ τοιύτῳ, εἰς ἀλλοτρίυς ϗ τύπων ἡ κτῆσις μεταςήσεται. ταῦτα πάντα τῷ Ἰ'ὼβ συμβέβηκε δίχα τῆς βασιλικῆς ἀνάγκης, ἣν ϗ αὐτὴν ἴσως εἶπεν ὁ Βαλδὰδ, ἵνα μὴ δόξῃ δι' αὐτὸν λέγειν· πλὴν ὐχ ὡς ᾤετο Βαλδὰδ, δι' ἁμαρτίας.

ΚΕΙΜ. Ε'π' αὐτῷ ἐςέναξαν ἔσχατοι. (ὁ δὲ Α'κύλας, ἐν τῇ ἡμέρᾳ αὐτῦ ἀδημονήσυσιν ὕςερον.) πρῶτυς δὲ ἔσχε θαῦμα.

Ο'ΛΥΜΠ. Πρώτυς λέγει τοὺς ἐπὶ τῆς αὐτοῦ γενεᾶς πρεσβύτας· ἐσχάτυς δὲ, τὺς μετ' αὐτόν. θαυμάσυσιν οὖν, φησὶ, ϗ οἱ ὁρῶντες τῶν ἀσεβῶν τὴν πτῶσιν, ϗ οἱ τὰ κατ' αὐτὺς ὕςερον ἀκοῇ παραδεχόμενοι· ϗ τὺς μὲν νέυς ἕξει φόβος, περὶ τῶν καθ' ἑαυτοὺς δεδοικότας, οἱ δὲ προβεβηκότες, ϗ πεῖραν ἔχοντες πραγμάτων, ἐκπλήξονται ἐπὶ τοῖς πράγμασιν.

ΚΕΙΜ. Οὗτοί εἰσιν οἱ οἶκοι ἀδίκων, ὗτος δὲ ὁ τόπος τῶν μὴ εἰδότων τὸν Κύριον.

ΠΟΛΥΧΡ. Α'ντὶ τοῦ, ταῦτα κληρονομήσυσιν οἱ ἀσεβεῖς, ἃ προεῖπε, δηλονότι. ἀποφαντικῶς δὲ καὶ ὕτος εἰρηκὼς, πάντως ταῦτα ἔςαι τοῖς ἀσεβέσιν, ἥμαρτε, μὴ προσθεὶς τὴν διαίρεσιν· ὐ γὰρ πάντως ἐνταῦθα αὐτοῖς ἡ ἀπόδοσις, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΟἹ μὲν φίλοι τῷ Ἰὼβ ἐπιτιμῶσιν ὡς περιττὰ θρασυνομένῳ· ὁ δὲ ὡς βαρεῖς ὄντας ἐν τοῖς ὀνείδεσιν αἰτιᾶται, καὶ φησὶν, ὅτι τοῦτο μόνον ὑμᾶς γνῶναι θέλω, ὅτι Θεός ἐστιν ὁ τὰς ἀνηκέστους μοι ταύτας πληγὰς ἐπαγαγὼν, ἵνα τοῦτο γνόντες, φοβηθῆτε μὴ τοῖς ἰσοστασίοις καὶ ὑμᾶς περιβάλλῃ κακοῖς. Μέμφεται δὲ ὡς κατὰ πρόσωπον αὐτὸν κακολογοῦντας. δῶμεν γὰρ, φησὶν, ὅτι μὴ καθηκόντως φθέγγομαι, ἀλλ' ὑμᾶς οὐκ ἔδει φίλους ὄντας ἐπιτρίβειν μοι τὰς συμφοράς. ταῦτα πρὸς τοὺς φίλους εἰρηκὼς, πάλιν ἐκδιηγεῖται τὰ συνέχοντα αὐτὸν δεινὰ, ἑαυτόν τε πείθων κἀκείνους, ὡς ὑπὲρ ἀνθρωπίνας ἁμαρτίας αἱ τιμωρίαι, καὶ ἐχθροῦ μᾶλλόν εἰσιν αἱ τοιαῦται πληγαί· οὕτως γὰρ ἐχθρὸς ἦν ὁ οὕτως αὐτῷ χρώμενος, ἢ καὶ αὐτὸς τὴν αἰτίαν ἠγνόει τῆς συγχωρήσεως. εἶτα παρακαλεῖ ἵνα, εἰ καὶ μὴ ὡς δίκαιον ἐπαισχύνονται, ἀλλ' ὡς φίλον ἐλεήσωσι· καὶ εὔχεται γραφῇ παραδοθῆναι αὐτοῦ τὰ ῥήματα, ἵνα διαδόσιμα καὶ ταῖς ἐφεξῆς γένωνται γενεαῖς· ὃ δὴ καὶ γέγονε, καὶ οὐκ ἀπέτυχέ γε τῆς εὐχῆς ὁ δίκαιος. καὶ μέμφεται τοῖς φίλοις ὡς ἀναζητοῦσι πῶς ἂν αὐτὸν τοῖς λόγοις πλήξωσι, καὶ παραινεῖ παύσασθαι τῶν ὀνειδισμῶν, τοῦ Θεοῦ τὸ κρίμα διευλαβουμένους.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου;

ΩΡΙΓΕΝΟΥΣ. Ὥσπερ σώματα βαρέα ἐπιτιθέμενα ζώων σώμασι κάμνειν ποιεῖ τὰ βαστάζοντα, οὕτως εἰσί τινες λόγοι βαρεῖς, οὓς ἀκούσας τὶς κάμνει ὡς ὑπὸ βάρους πιεζόμενος τῆς δυνάμεως τῶν λόγων, τῶν ὀνειδιστικῶς, καὶ χαλεπῶς, ἢ ἐπὶ λοιδορίας εἰρημένων· ὡς καὶ νῦν ὑπὸ Βαλδὰδ εἰρημένων, οἱονεὶ φορτίου αἰσθηθεὶς βαρέως ὁ Ἰὼβ κάμνων τῇ ψυχῇ, φησὶν, ἕως τίνος ἔγκοπον ποιήσετε τὴν ψυχήν μου, καὶ ὡσεὶ φορτίον βαρὺ βαρύνετε κατ' ἐμοῦ τοὺς λόγους; ὁρᾷς ὅτι τυραννικοί εἰσιν οἱ τοῦ Σαυχαίων τυράννου λόγοι· οὓς ἀκούσας ὁ Ἰὼβ, λέγει τὰ προκείμενα. οὐχ οὕτως γὰρ καθικνεῖται ψυχῆς ἀνθρώπου ἄλλο τι ὡς λόγος σκληρός· πολλάκις γάρ τις ὑπομείνας βασάνους σώματι προσφερομένας, λόγους οὐχ ὑπέμεινεν. ὁ μέντοιγε τέλειος ἀθλητὴς, εἰ καὶ κάμνων, ἀλλ' ὑπομένει τοὺς χαλεποὺς λόγους. ὕβριν γὰρ

ὑπομένειν μεγάλε ἀνδρός ἐςι· διόπερ ἐν τοῖς ἀνδραγαθήμασιν ἑαυτε ὁ Ἀπόςολος λέγει, λοιδωρέμενοι εὐλογεμεν, βλασφημέμενοι παρακαλεμεν. καὶ νυῦ δὲ ὁ Ἰώβ ἐςὶν ὁ τῶν ἀθλητῶν γενναιότατος ὁ ταῦτα λέγων, ὃ καὶ τὸ βιβλίον ἐδὲν ἄλλο ἐξαιρέτως περιέχει, ἢ τὴν ἀνδρείαν αὐτε καὶ τὴν ὑπομονὴν, ἀλλ' ὅμως αἰσθάνεται τῶν καμάτων ὧν κέκμηκε ἀπὸ τοῦ λόγου τε σκληρε τῶν ἐληλυθότων αὐτὸν ἐπισκοπῆσαι. καὶ ἐπειδὴ ἡ τοῦ λόγε βαρύτης, ὥσπερ τι φορτίον ἐπιτιθέμενον τῇ ψυχῇ, κάμνειν αὐτὴν παρασκευάζει, διὰ τοῦτο, φησὶν, αὐθ' ὅτε, ὦ φίλοι, ταῖς τοῦ σώματος ἀλγηδόσι προςίθετε τὸν τῆς ψυχῆς πόνον, μᾶλλον κεντοῦντες τοῖς ῥήμασιν, ἢ τὰ πάθη τὸ σῶμα.

ΧΡΥΣΟΣΤ. Ὅρα οὐ μόνον ἐδὲν εἰσφέροντας ἀπὸ τῆς παραμυθίας, ἀλλὰ καὶ τοὐναντίον ποιεντας, συμπράττοντας τῷ διαβόλῳ, καὶ συμμαχοιῶτας, καὶ καθαιρεντας τοῦ δικαίε τὴν ἰχὺν. ἐπάγει γάρ.

ΚΕΙΜ. Καὶ καθαιρεῖτε με λόγοις;

Ἀντὶ τε, καταβαλεῖν σπεδάζετε ταῖς ἀντιλογίαις τὰς ἐμὰς δικαιολογίας, καὶ πολεμίων δίκην αὐτὶ βελῶν τὲς λόγες πέμπετε, ἄχρις ὃ τῆς ψυχῆς τὸν εὔςασιν ἐκλύσαντες, ἄδικον ἀπενέγκησθε τὴν νίκην· ἐκ ἤρκεσε τὰ παρελθόντα, ἀλλὰ καὶ νυῦ οἱ τρεῖς, ὡς ἐξ ἑνὸς ςόματος, τὰ αὐτὰ φθέγγεσθε.

ΚΕΙΜ. Γνῶτε μόνον ὅτι ὁ Κύριος ἐποίησέ με ὅτως.

Ο'ΛΥΜΠ. Α' βλέπετε, φησὶ, περὶ ἐμὲ, μὴ λογίζησθε ἄλλοθεν ἐληλυθέναι μοι ἢ ἀπὸ τοῦ Θεε, εὔνοιαν τοίνυν λαβόντες τῆς ἐμῆς συμφορᾶς, καὶ τὸ μέγεθος ταύτης κατανοήσαντες, καὶ ὡς ἡ ἐπίτασις τῶν δεινῶν ἐδὲν ἴχνος τῆς προτέρας εὐπραγίας συνεχώρησε περιλειφθῆναι, καὶ ὡς τὴν αὐτὴν περίκεισθε φύσιν, λογισάμενοι, φοβήθητε, μὴ ἀδεῶς ταῖς κατ' ἐμε λοιδωρίαις ἁμαρτάνοντες, δίκην ὑπόσχητε, τὰς αὐτὰς ἐμοὶ δεχόμενοι πληγάς· ὁ γὰρ ἐμοὶ ταῦτα ἐπάγων, δύναται καὶ ὑμῖν ἐπαγαγεῖν. διὰ τέτων δὲ εἰς φόβον αὐτὲς ἐποφέρει, δεικνὺς, ὅτι τοῖς ὑπὸ τε Θεε τιμωρεμένοις οὐ χρὴ ἐπεμβαίνειν, ἀλλὰ θρηνεῖν καὶ φοβεῖσθαι· οἱονεὶ λέγων, μὴ ὅτως ἐπεμβαίνετέ μοι κάμνοντι, μὴ ἐλεεντες, μηδὲ συμπαθεντές με τῇ περιςάσει, μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσητε, τὴν αὐτὴν ἔχοντες φύσιν.

ΚΕΙΜ. Καταλαλεῖτέ μου, ἐκ αἰχυνόμενοί με ἐπίκεισθέ μοι.

Ο'ΛΥΜΠ. Καὶ κατὰ Θεοδοτίωνα καὶ Σύμμαχον, τετο δέκατον κατηχύνατέ με. Βαρὺ μὲν, φησὶ, καὶ τὸ ἀπόντων καταλαλεῖν· ὑμεῖς δὲ ἀνερυθριάσως, καὶ κατὰ πρόσωπον λοιδωρεῖτέ με, καὶ προσεπεμβαίνετέ μοι, μὴ ἐλεοῦντες μηδὲ συμπαθεντές μου τῇ περιςάσει.

Ω'ΡΙΓΕΝ. Πολλάκις καταλαλεῖ τις κακῶς ποιῶν· ὅταν δὲ ἀπερυθριάσῃ εἰς πρόσωπον λέγει ἐκείνε, ἐκ ἐλέγχων, ἐδὲ τἀληθῆ λέγων, ἀλλ' ὀνειδίζων καὶ ὑβρίζων.

ΚΕΙΜ. Ναὶ δὴ ἐπ' ἀληθείας, ἐγὼ ἐπλανήθην, παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος, λαλῆσαι ῥήματα ἃ οὐκ ἔδει, τὰ δὲ ῥήματά μου πλανᾶται, καὶ οὐκ ἐπὶ καιροῦ· ἔα δὲ, ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθε, ἐνάλλεσθε δέ μοι ὀνείδει.

Ο'ΛΥΜΠ. Καθ' ὑπόθεσιν ὑμῖν, φησὶ, δίδωμι ὡς ὑπολαμβάνετε, ὅτι διὰ τὰ ἁμαρτήματα ταῦτα πάσχω· δεδόσθω καθ' ὑμᾶς, ὅτι τῆς ἀληθοῦς ὁδοῦ ἔξω γέγονα, δῶμεν ὅτι κατ' ἀλήθειαν ἐγὼ πλανῶμαι, καὶ ψεύδομαι τοῖς ὑπὲρ ἐμαυτοῦ λόγοις, καὶ ἀσεβὴς ὢν δικαιοσύνην σχηματίζομαι, καὶ οὐ κατὰ καιρὸν τοὺς λόγους προφέρω, ἔστι δὲ ἐν ἐμοὶ πλάνος, ἢ κατὰ τοὺς λοιποὺς ἀγνόημα, καὶ οὐ κατὰ τὸ δέον φθέγγομαι· ἀλλ' εἰ καὶ καθ' ὑπόθεσιν τοιαῦτα ἐπεποιήκειν, οἷα οὐκ ἔδει, εἰ καὶ τοιοῦτος ἤμην, καὶ δέον με πάλαι ἀσεβείας ἐπιμελούμενον, νῦν τὴν ἐκ τῶν ἔργων ἔχειν παῤῥησίαν· τοῦτο μὲν οὐ πεποίηκα, ἀποκρίνομαι δὲ ὡς δίκαιος. ἆρα οὐκ ἐχρῆν ὑμᾶς βλέποντας τὰς μάστιγας, τοὺς ἰχῶρας, τοὺς σκώληκας, τὴν ἀπώλειαν τῶν ὑπαρχόντων, αἰδεσθῆναι καὶ συγγινώσκειν ὑπὸ ἀλγηδόνων φθεγγομένῳ; μᾶλλον δὲ οὐ μετρίως μοι ὀνειδίζετε, ἀλλ' ἐναλλόμενοι, ὥσπερ οἱ ἐπεμβαίνοντες καὶ καταπατοῦντες, καὶ ταῦτα ἔτι πάσχοντα καὶ ταλαιπωρούμενον.

ΚΕΙΜ. Γνῶτε οὖν ὅτι Κύριός ἐστιν ὁ ταράξας.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τουτέστιν, ὁ ἐν τοσαύτῃ συγχύσει τὰ κατ' ἐμὲ καταστήσας. ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ, ὁ ταράξας, ἔπληξεν, ἔχει. τὴν δὲ ἐν τῷ προοιμίῳ ῥῆσιν αὖθις τέθεικεν, εἰς φόβον αὐτοὺς καταστῆσαι βουλόμενος, καὶ παῦσαι τῆς ἀντιλογίας· ἐννοήσαντες γὰρ, φησὶ, τὴν κατ' ἐμοῦ πληγὴν, δείσατε μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσητε.

ΚΕΙΜ. Ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσεν.

ΠΟΛΥΧΡ. Λογίζεσθε, φησὶν, ὅτι οὐκ ἀπὸ σκοποῦ ἀλγύνομαι, καθάπερ ὀχυρώματι καὶ τείχει τινὶ τοῖς δεινοῖς κυκλούμενος, καὶ ταῖς συμφοραῖς περικλειόμενος· οἱονεὶ γὰρ ὑπὸ τεῖχος τῆς περιστάσεώς εἰμι, ὃ οὐ δύναμαι φυγεῖν ἕως οὗ κἂν ὁ Θεὸς καθελεῖν αὐτό. νοήσεις δὲ καὶ οὕτω τὸν στίχον· ὥσπερ τι διατείχισμα μεταξὺ ἐμοῦ τε καὶ αὐτοῦ ὕψωσεν ὁ Θεὸς, ἵνα εἴπῃ· ἀπέστησεν ἀπ' ἐμοῦ τὴν οἰκείαν βοήθειαν.

ΚΕΙΜ. Ἰδοὺ γελῶ ὀνείδει, οὐ λαλήσω.

Ο'ΛΥΜΠ. Τοῦτο πολλαχοῦ ἐστι νοῆσαι· ἤτοι γὰρ τοῦτό φησιν, ὅτι ἐπὶ τῷ ὀνείδει ὑμῶν γελᾶν, οὐ λαλεῖν νομίζομαι· ἢ, ὅτι λέγων μετ' ἀληθείας τὰ κατ' ἐμὲ ὡς ἔχει, οὐ παραδέχεσθέ μου τοὺς λόγους, ἀλλὰ διὰ τὸ ἀντιλέγειν μοι ὑμᾶς, δοκῶ μηδὲ εἰρηκέναι· ἢ ὅτι βέλτιον τὸ γελᾶν ἐπὶ τοῖς ἡμετέροις ὀνείδεσι, καὶ μὴ ἀποκρίνεσθαι, ἀλλὰ καταφρονεῖν αὐτῶν ὡς ψευδῶν. τί γὰρ εἴποιμι, μήπως τῆς ἀποφάσεως δεικνυούσης πότερον ἐγὼ τ' ἀληθῆ λέγω, ἢ ὑμεῖς;

ΚΕΙΜ. Κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα.

ΠΟΛΥΧΡ. Οὐδεὶς ἀκούει, φησὶν, οὐδεὶς δικάζει, οὐδένα βλέπω, οὐκ ἔχω ποῦ ἀπελθεῖν· ταῦτα ἐλεῆσαι οὐ χρή; ἐπιβάλλει δὲ καὶ ὧδε, εἰ δὴ καὶ πρὸς τὸν Θεὸν βοήσω, εἰς φανερὸν ἅπασιν ἐνέγκαι τὰ κατ' ἐμὲ, οὐ τυγχάνω τῆς ἱκεσίας· ὁ γοῦν Σύμμαχος οὕτω φησὶν, ἐὰν κραυγάσω ἀδικούμενος, οὐκ εἰσακουσθήσομαι.

ΩΡΙΓΕΝ. Νῦν ἐὰν κράξω, οὐδαμοῦ τὸ κρίμα μου ἔρχεται, ἔτι ἀθλῶ, ὥστε ἔλεγεν, ὥσπερ τις ἀθλητὴς ἐν τῷ σταδίῳ κεκράγω, καὶ οὐδαμοῦ τὸ κρίμα μου ἐνίσταται. ἔτι γὰρ παλαίω· ἐὰν μὴ τελέσω τὸ πάλαισμα, οὐκ ἔρχεται τὸ κρίμα τοῦ στεφάνου, καὶ ταῦτά φαμεν, ἵνα μὴ κατηγορῶμεν τοῦ Θεοῦ, ὅτι τοσαῦτα πάσχει ὁ Ἰὼβ, καὶ οὐδαμοῦ τὸ κρίμα, τουτέστιν, ἡ ἀπόφασις τῆς ἐλευθερίας, καὶ τῆς τῶν δεινῶν ἀπαλλαγῆς.

ΚΕΙΜ. Κύκλῳ περιῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ· ἐπὶ πρόσωπόν μου σκότος ἔθετο.

ΟΛΥΜΠ. Οἱ δὲ ἄλλοι, ἀντὶ τοῦ, ἐπὶ πρόσωπόν μου, ἐπὶ ἀτραποὺς ἐξέδωκαν. ἀδιεξίτητά μοι, φησὶ τὰ κακὰ, καὶ οὕτω τοῖς δεινοῖς κεκύκλωμαι, ὥστε μηδὲ ἔχειν διέξοδον. ὡς γὰρ οἱ κυκλοτερῶς ὑπὸ τεῖχος ἀπειλημμένοι, ἢ ἀορασίᾳ τὰς ὄψεις ἐμποδιζόμενοι, περαιτέρω προελθεῖν οὐ δύνανται· οὕτως ἀμήχανον τῶν συμφορῶν ἔξω γενέσθαι· ἐσκότωσέ με, οὐκ ἔχω ποῦ ἀπελθεῖν, οὐδὲ βλέπω, οὐδὲ δύναμαι, ὡς ἐν ὀχυρώματι καὶ φρουρᾷ καθειργμένος.

ΚΕΙΜ. Τὴν δὲ δόξαν ἀπ' ἐμοῦ ἐξέδυσεν, ἀφεῖλε δὲ στέφανον ἀπὸ κεφαλῆς μου.

ΠΟΛΥΧΡ. Πᾶσάν μου, φησὶν, εὐπραγίαν περιεῖλε, δόξαν γὰρ, τὸ ποικίλον λέγει τῆς εὐπορίας· ἵνα εἴπῃ τά τε κτήματα, καὶ τὸν πλοῦτον, καὶ τὴν εὐπαιδίαν, καὶ τὴν ἔξωθεν τιμὴν περιεῖλε, καὶ τοῦ σώματος τὴν ὑγίειαν. ταῦτα γὰρ διὰ τῶν ῥητῶν ἐδήλωσε. στέφανον δὲ ἀφῃρῆσθαι, λέγει, ἢ ὅτι καὶ αὐτὸς βασιλεὺς ἐτύγχανεν, ἢ καὶ τὴν πᾶσαν εὐημερίαν, καὶ μηνύει τὰ ἑπόμενα.

ΚΕΙΜ. Διέσπασέ με κύκλῳ καὶ ᾠχόμην· ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου· δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο. ἡγήσατο δέ με ὥσπερ ἐχθρόν.

ΟΛΥΜΠ. Μεληδὸν, φησὶ, διέσπασε, τὴν προσοῦσαν κτῆσιν ἀφείλετο, τὴν ἐκ τῆς εὐπαιδίας μνήμην ἠφάνισε, πᾶσάν μου χρηστὴν ἐλπίδα ὡς δένδρον ἐξέκοψεν· ὥσπερ δέ τις ἐχθρὸς ὀργῇ χρώμενος, οὕτω τὰ κατ' ἐμὲ διεσκέδασε, καὶ κατὰ τοῦ σώματος ἤνεγκε τὴν πληγὴν, καὶ ὡς πολέμιον ἐτιμωρήσατο, καὶ βαρύτερον. καλῶς δὲ εἶπε, τὸ, ὥσπερ, οὐ γὰρ ἐμπαθῶς, οὐδὲ ὡς ἐχθρὸς ὁ Θεὸς κολάζει. ταῦτα δὲ εἶπε, καὶ τοὺς φίλους καὶ ἑαυτὸν πείθων, ὡς ὑπερέβαλε μέτρον ἀνθρωπίνων ἁμαρτημάτων ἡ τιμωρία· καὶ γὰρ ἀληθῶς, οὐ δι' ἁμαρτίας, ἀλλὰ κατὰ γυμνασίαν ἔπασχεν ὁ δίκαιος.

ΚΕΙΜ. Ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοί.

ΠΟΛΥΧΡ. Ὁ Θεοδοτίων δὲ, καὶ Σύμμαχος, ὁ μὲν μονόζωνοι, ὁ δὲ λόχοι ἐξέδωκεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κατὰ ταυτὸν ἅπασαι αἱ συμφοραί μοι ἐπῆλθον. τὸ γὰρ, τῶν προσόντων τὸ μέν τι περιλειφθῆναι, τὸ δὲ ἀπολέσθαι, φέρει τινὰ παραμυθίαν τῷ παθόντι· τὸ δὲ, ἁπάντων ἀθρόως στερηθῆναι, βαρυτέραν ἐποίει τὴν ὀδύνην.

ΚΕΙΜ. Ταῖς ὁδοῖς μου ἐκύκλωσαν ἐγκάθετοι.

ὈΛΥΜΠ. ἐκ μεταφορᾶς τῶν πολεμίων τοῦτο εἶπεν, οἳ λόχους καὶ ἐνέδρας πανταχόσε ἱστῶντες, ἀθρόον πάντες ἐπέρχονται, ἀπολαβόντες ἐν μέσῳ τὸν ἐνεδρευόμενον. ἵνα εἴπῃ, ὅτι πανταχόθεν μὲ περιεστοίχισαν οἱ τὰς ἀλγηδόνας ἐπιφέροντες, καὶ ὁδός τις τοῖς ἐπιοῦσιν οἱ προλαβόντες ἐγίνοντο, ἄλλος ἄλλον δεχόμενοι, καὶ τῇ συνεχεῖ τῶν δεινῶν ἀγγελίᾳ βαπτίζοντες τὴν διάνοιαν. Ἐγκάθετοι δὲ εἰσὶν οἱ δόλιοι, οἱ τῷ κακῷ ἐγκείμενοι, οἱ ἐνεδρεύοντες καὶ καταβλάπτοντες, εἴτε ἄνθρωποι, εἴτε δαίμονες· ὁδοὶ δὲ, δι' ὧν τὴν πορείαν οἱ διαρπάσαντες αὐτοῦ τὴν περιουσίαν ἐποιήσαντο.

ΠΟΛΥΧΡ. Τουτέστι περιεστοιχίσθην τοῖς δεινοῖς, καὶ ἐπέμεινέ μοι τῆς Συμφορᾶς τὸ μέγεθος· ηὔξησε τὸ δεινὸν, τὸ μὲν ἀπὸ τοῦ πάθους, τὸ δὲ ἀπὸ τοῦ χρόνου.

ΚΕΙΜ. Ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν, ἔγνωσαν ἀλλοτρίους, ἢ ἐμέ· φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν· οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου, καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου. γείτονες οἰκίας, θεράπαιναί τέ μου, ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν.

ΤΟΥ ΑΥΤΟΥ. Ταῦτα καὶ ὁ μέγας Δαβὶδ ὀλοφυρόμενος ἔλεγεν, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. καὶ νῦν ὁ Ἰώβ, οὐδὲ τὴν ἀπὸ τῶν συγγενῶν ἔχον, φησὶ, παραμυθίαν, ἀδελφοὺς γὰρ τοὺς αὐτῷ προσήκοντας λέγει, ἀλλ' ἀπέστησαν ἀπ' ἐμοῦ, ὥσπερ γνώμης ἁμάρτημα τὸ πάθος μισήσαντες, καὶ τοὺς μηδὲν αὐτοῖς προσήκοντας τῆς ἐμῆς Συγγενείας προυτίμησαν· ἀλλὰ καὶ οἱ μετὰ τῆς εὐδαιμονίας φίλοι ὄντες, μετὰ τῆς δυσπραγίας γεγόνασιν ἐπίβουλοι· ἀλλὰ καὶ οἱ τοῦ γένους οἰκειότεροι εἶναι δοκοῦντες διὰ τὴν φιλίαν, οὐ μόνον οὐκ ᾤκτειραν τοσούτοις βληθέντα τοῖς δεινοῖς, ἀλλὰ καὶ ἐν πολεμίων ἔστησαν τάξει· καὶ εὐημεροῦντι μέν μοι προσῆσαν οἱ γνώριμοι· ἐγγυτάτους γὰρ λέγει τοὺς γένει πλησιάζοντας. νῦν δὲ οὐκ οἶδέ τις τῶν ἀνθρώπων τὸν Ἰώβ, ἀλλὰ καὶ παρὰ τοῖς οἰκείοις, μισός μοι τὸ πάθος ἀντὶ Συμπαθείας προυξένησε· καὶ οἱ μικρῷ πρότερον δι' αἰδοῦς ἔχοντες καὶ δεδοικότες παρὰ φαῦλον τίθενταί με νῦν· καὶ οἱ τὸ ἐμὸν ὄνομα, καὶ τὴν δόξαν εἰδότες πρότερον, ὡς μηδὲ τὴν ἀρχὴν γνόντες διάκεινται. ὅρα δὲ ὅτι καὶ τὸν οἶκον αὐτῷ ἐπανέστησεν ὁ διάβολος· οὐχ οἱ ἐκτὸς γὰρ, φησὶ,

μό-

μόνον, ὐδὲ οἱ γείτονες, ἀλλὰ καὶ οἱ οἰκέται, ὧν τὴν ἐξουσίαν εἶχον, ὡς ὐδὲ τὴν ἀρχὴν ἐγνωκότες με, διετέθησαν, καὶ ὡς ξένον καὶ ἀλλογενῆ παρέδραμον.

ΧΡΥΣΟΣΤ. Πολλὴ ἡ πεῖρα τῦ διαβόλυ. οἱ περιλειφθέντες αὐτῷ οἰκείων, χαλεπωτέραν εἰργάσαντο τὴν συμφορὰν τῶν ἀπελθόντων. ἐκεῖνοι μὲν γὰρ ὐδὲν ἐποίυν λοιπὸν, ὗτοι δὲ καὶ ὠνείδιζον, καὶ παρῄκυον, καὶ κατ' αὐτῦ ἐλάλυν, καὶ τὰ λοιπὰ ἔπραττον, ἅπερ ἐπάγει.

ΚΕΙΜ. Θεράποντά μυ ἐκάλεσα, καὶ ὐχ ὑπήκυσεν.

Ο'ΛΥΜΠ. Τῆς ἐκ τῶν λοιπῶν παρακλήσεως ἐν ἐρημίᾳ καταςὰς, τὴν ἐκ τῶν οἰκετῶν ἐζήτυν θεραπείαν· καὶ ταύτης ἱκετεύων, διήμαρτον τῆς γνώμης. καὶ τῦτο δὲ τῶν σφόδρα ἀλγεινῶν, τὸ ἐν νόσῳ κείμενον καλεῖν τὸν ὀφείλοντα ὑπηρετεῖν, καὶ μὴ ἀκύεσθαι. δεῖ ὖν ἡμᾶς τῷ ὑποδείγματι τῦ μεγάλυ Ἰὼβ προσέχοντας, μὴ ὀργίζεσθαι κατὰ τῶν ὑπηρετῶν, μήτ' αὖ γυνὴ, μήτ' αὖ οἰκέτης, μήτ' αὖ υἱὸς ἢ ὁ παρακύων.

ΚΕΙΜ. Στόμα δέ μυ ἐδέετο, καὶ ἱκέτευον τὴν γυναῖκά μυ.

ΠΟΛΥΧΡ. Ἀλλὰ καὶ αὐτὴ, φησὶν, ἡ γυνή μυ παρορᾷ· μὴ αἰσθῆσα γὰρ ἐφ' οἷς κακῶς συνεβέβλησε, καὶ αὕτη λυπεῖν ἐπεχείρει.

ΚΕΙΜ. Προσεκαλύμην δὲ κολακεύων υἱὸς παλλακίδων μυ, οἱ δὲ εἰς τὸν αἰῶνά με ἀπεποιήσαντο.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Κατὰ μὲν τὸ πρόχειρον υἱὸς παλλακίδων λέγει τὺς ὐκ ἐκ νομίμων γάμων, ὡς ἔχεν Ἀβραὰμ ἐκ τῆς Ἄγαρ τὸν Ἰσμαὴλ, καὶ Ἰακὼβ ἐκ τῆς Βάλλας τὸν Δὰν καὶ Νεφθαλείμ· ὐ γὰρ ἀπηγορεύετο πρώην ἡ ἐκ τῶν τοιύτων παιδοποιΐα, διὰ τὴν τῦ γένυς αὔξησιν. σαφέςερον δὲ ὁ Σύμμαχος ἔφη, υἱὺς παίδων με· κατὰ γὰρ τῦ οἴκυ τὴν ἐξυσίαν ὁ διάβολος, ὐ καθ' ὅλυ τῦ γένυς ἔλαβε. καὶ βαρυτέρα ἡ πληγὴ εἶναι δοκεῖ, τῶν συγγενῶν ἐν ἀτιμείᾳ τυγχανόντων· ἡ γὰρ παράθεσις μείζονα τὴν ὀδύνην ἐργάζεται· καὶ μάλιςα ἐπειδὴ πρότερον αὐτῦ δεόμενοι νῦν ἐν συμφοραῖς παρέβλεπον, οἱ δὲ εἰς τὸν αἰῶνά με ἀπεποιήσαντο· ὁ δὲ Θεοδοτίων, κἄνγε ἄφρονες ἀπώσαντό με· εἰς τὸν αἰῶνα, τυτέςι, παντελῶς. ὅτι γὰρ ὐ λέγει περὶ παίδων, ὃ δὴ καὶ φαίνεται λέγων, δῆλον· πάντες γὰρ ἐν τῷ συμποσίῳ ἀπώλοντο.

ΚΕΙΜ. Ὅταν ἀναςῶ, κατ' ἐμῦ λαλῦσιν.

Ο'ΛΥΜΠ. Ἴσως καὶ αὐτοὶ λέγοντες τὸν μιαρὸν, τὸν ἐναγῆ, τὸν ἀκάθαρτον, τὸν διὰ πλῆθος ἁμαρτιῶν αὐτῦ τιμωρύμενον. ἢ ταῦτα μὲν ὐδαμῶς, τὸ δὲ τοῖς πολλοῖς ἐπὶ ταῖς μακραῖς νόσοις συμβαῖνον, μέχρι τίνος ὐ πλυτᾷ; τί βαρὺ φορτίον καὶ ἀχρεῖον κεῖται τῇ γῇ; τὸ δὲ, ὅταν ἀναςῶ, ἤτοι ὅταν αὐτῶν ἀποχωρεῖσθω, ἢ ὅταν ἀφ' ὕπνυ ἐξεγερθῶ μετὰ τὴν νύκτα πρὸς ἑαυτὺς λέγυσιν, ὕπω τέθνηκεν; ἔτι ζῇ ὁ ἅδης ὗτος;

ΚΕΙΜ. Ἐβδελύξαντό με οἱ ἰδόντες με, οὓς δὲ ἠγαπήκειν, ἐπανέστησάν μοι.

ΧΡΥΣΟΣ. Φευκτὸς, φησὶν, ὑπὸ τῶν πρώην συνομιλούντων γέγονα, καὶ πολεμίους ἔχω τοὺς πρώην ἀγαπῶντας· οὔτε γὰρ συνόμιλοί μου προϊόντα βλέποντες, καὶ τῆς αὐτῶν δεόμενον παραμυθίας, ὥσπερ ἀποτρόπαιον ἔφυγον· οὔτε ᾠκειωμένοι πρότερον, καὶ τῆς παρ' ἐμοῦ ἐπικουρίας δεόμενοι, καὶ μέντοι καὶ εὐεργετηθέντες παρ' ἐμοῦ, διέθεσάν μοι κακά. τοιοῦτόν τι καὶ Δαβὶδ ψάλλει, ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

ΚΕΙΜ. Ἐν δέρματί μου ἐσάπησαν αἱ σάρκες μου, τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται.

ΠΟΛΥΧΡ. φήσας τὰ ἔξωθεν συμβάντα, μέμνηται λοιπὸν καὶ τῶν τοῦ σώματος παθῶν, ὅτι καὶ τὸ δέρμα καὶ αἱ σάρκες ὑπὸ τῶν ἰχώρων ἐφθάρησαν· ζῶντος γὰρ, φησὶν, ἐσάπησαν αἱ σάρκες μου, καὶ τὰ ὀστᾶ μου ὥσπερ ὑπὸ ὀδόντων θηρείων τινῶν κατεσθίεται. μετὰ δὲ τοῦ δέρματος, καὶ τῶν σαρκῶν ἐμνημόνευσεν· ἵνα εἴπῃ, ὅτι εἰς βάθος ἐχώρησε τὸ δεινὸν, ὥστε μοὶ καὶ ἀπαραμύθητον εἶναι τὸ πάθος· ὅπερ Ἀκύλας οὕτως ἐξέδωκεν, ἐν δέρματί μου, καὶ ἐν κρέα μου, ἐκολλήθη τὸ ὀστοῦν μου· ἵνα εἴπῃ, ὅτι ἐτάκησαν αἱ σάρκες μου, καὶ τὸ δέρμα γυμνοῖς τοῖς ὀστέοις κεκόλληται. τὸ δὲ, τὰ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται, σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσε, καὶ ἐξέτιλλον τὸ δέρμα μου ὀδοῦσιν ἐμοῖς, μετὰ τὴν σῆψιν δηλαδὴ, ξηραινόμενον, καὶ ἀπορρηγνύμενον. κατὰ δὲ τοὺς ἑβδομήκοντα ἐκδεδωκότας, τὰ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται, ἐκεῖνο ἔοικε λέγειν, ὅτι ἀνίατα πάσχω, εἴπερ καὶ τὰ ἀνάλγητα τῶν μορίων, ὡς τὰ ὀστᾶ, οὐκ ἐλάθερα ὀδύνης καθέστηκεν, ἀλλ' ὡς ὑπὸ ὀδόντων τινῶν κατεσθίεται.

ΚΕΙΜ. Ἐλεήσατέ με ἐλεήσατέ με, ὦ φίλοι· χεὶρ γὰρ Κυρίου ἡ ἁψαμένη μου ἐστίν.

ΠΟΛΥΧΡ. Εἰρηκὼς περὶ τῶν φίλων καὶ συγγενῶν, υἱῶν τε καὶ γυναικὸς, ἔτι μὴν καὶ τῶν ἀξιουμένων πρότερον τῆς αὐτοῦ κηδεμονίας, ὡς ἅπαντες διὰ τὴν συμφορὰν ὑπερεῖδον· ἀκολούθως ὡς πρὸς παρόντας τοὺς φίλους, καὶ ἀνελεημόνως ὁρῶντας τὰ πάθη, φησὶν, εἰ καὶ μὴ ὡς δίκαια λέγοντι ἐπαισχύνεσθε, ἀλλ' ὡς φιλάνθρωποι ἐλεήσατε· καὶ οἶκτον λάβετε καὶ δέος, εἰς τὰ ὑπὸ Θεοῦ μοι συμβεβηκότα ὁρῶντες, διαλαβόμενοι μὴ τῶν ὁμοίων πειραθῆτε παρὰ Θεοῦ· ὅς κἀμὲ οὐ δι' ἁμαρτίας ἔπληξεν, ἀλλὰ κατ' ἐξουσίαν τὰς συμφορὰς ἐπήγαγεν.

ΚΕΙΜ. Διατί με διώκετε ὥσπερ καὶ ὁ Κύριος, ἀπὸ δὲ σαρκῶν μου ἐκ ἐμπίπλασθε;

ΟΛΥΜΠ. Τίνος εὕνεκεν ἐπιτίθεσθε ταῖς συμφοραῖς, οὐδένα οἶκτον ἐπ' ἐμοὶ λαμβάνοντες, καὶ ταῦτα ὁρῶντες τὸ δεινόν; διατί δὲ τῇ θείᾳ ὀργῇ συνεπιτίθεσθε, καὶ ἀκορέστως τῇ τῶν λόγων βαρύτητι κέχρησθε, κατ' ἐμοῦ, οὐ πάντως κατὰ γνώμην Θεοῦ τοῦτο ποιοῦντες; εἰ γὰρ καὶ αὐτὸς τιμωρεῖται, ἀλλ' ἡμᾶς φιλανθρώπους εἶναι βούλεται· φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ ὁ Θεὸς, κἂν ὑπ' αὐτοῦ παιδευόμεθα. τὸ οὖν, διατί με διώκετε, ὥσπερ καὶ ὁ Κύριος; ἀντὶ τοῦ,

ἴσως μὲν ἔχοι αὖ τι καὶ κατηγορεῖν μου Θεός, τί δὲ ἄρα καὶ εἰς ὑμᾶς ἥμαρτον; εἴπατε· ἢ γὰρ οὐκ ἀρκετὸν ὑμῖν, τὸ οὕτω μοι διαφθαρῆναι τὸ σῶμα; τοῦτο γὰρ δηλοῖ λέγων, ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε. ἄλλως δὲ ἱκανοί εἰσιν οἱ ὀνειδιστικοὶ λόγοι καὶ σάρκας δαπανᾷν. δείσωμεν οὖν καὶ ἡμεῖς τὰς λοιδορίας, εἰδότες ὅπως πλήττομεν δι' αὐτῶν τοὺς ἀδελφοὺς ἡμῶν.

ΚΕΙΜ. Τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου, τεθῆναι δὲ αὐτὰ ἐν βιβλίῳ εἰς τὸν αἰῶνα, ἐν γραφείῳ σιδηρῷ καὶ μολίβῳ, ἢ ἐν πέτραις ἐγγλυφῆναι; οἶδα γὰρ ὅτι ἀένναός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς.

ΠΟΛΥΧΡ. Εὔχεται τὰ καθ' ἑαυτὸν ἀνεκλείπτως παραδοθῆναι γραφῇ, ἤτοι τὰ τῆς συμφορᾶς, ὥστε πάντοθεν οἱονεί τινα θηρᾶσθαι συμπάθειαν, ἐπειδὴ φέρει τινὰ καὶ τοῦτο παραμυθίαν· εἴτε τὰ τοῦ βίου, τὰ ἐν ταῖς ἀρεταῖς, ἃ ἐμαρτύρει αὐτῷ, ὅτι οὐκ ἦν πονηρός. οὕτω γὰρ θαῤῥῶ, φησὶν, οὐδένα ἠδικηκὼς, ὥστε ἐβουλόμην, εἴπερ ἐνῆν, γραφῇ παραδοθῆναι τὰ κατ' ἐμὲ, καὶ τοῖς μετὰ ταῦτα γενέσθαι γνώρισμα, ἐγκαυθέντα τῷ σιδήρῳ, πρὸς τὸ ἐπὶ πολὺν παραπεμφθῆναι τὸν χρόνον, καὶ δῆλα διὰ τῆς ἀναγνώσεως γενέσθαι τοῖς ὕστερον. ταῦτα δὲ οὐχ ὡς περιαυτολογῶν λέγει, οὐδὲ ὡς φίλαυτος, ἀλλ' ἵνα σκοπὸς τῆς ὑπομονῆς ᾖ τοῖς μετέπειτα. ὁμοιωματικῶς δὲ αὐτὸ λέγει, ἀπὸ τοῦ τοὺς βουλομένους ὡς ὅτι μάλιστα ἐπὶ πλεῖστον διαμένειν τὰ ἀναγεγραμμένα διὰ γραφίδος σιδηρᾶς ἐπὶ μολίβδου ἐντιθέναι τὰ γράμματα ταῖς στήλαις, ἢ καὶ ταῖς πλαξὶν ἐγκολάπτειν· τὰ γὰρ ἐν μολύβδῳ γραφόμενα δυσεξάλειπτα. ἵνα ὥσπερ, φησὶ, Θεὸς ὁ τιμωρούμενος ἀπελάτητον ἔχει τὴν φύσιν, οὕτω καὶ τὰ κατ' ἐμὲ ἀνεπίληστα ἐγεγόνει, κἂν ἀνελύθην εἰς γῆν· ὡς ἅπαντες ἂν ἠγάσθησαν τὴν ἐμὴν ὑπομονὴν, ἀφόρητον τῶν ἐμοὶ Συμβάντων καὶ τὴν ἀκοὴν κρίνοντες, ὧν ὑμεῖς γε τὴν θέαν ἀνελεημόνως παραπέμπεσθε· οἶδα γὰρ ὅτι κἂν ἐγὼ ἐκλυθῶ, τουτέστι, παλαιώσω, ἀλλ' ὁ Θεὸς ἀεὶ διαμένει, ὁ δυνάμενος καὶ μετὰ τὴν ἐμὴν παλαίωσιν, δι' οἰκείας ἐπικρίσεως, γνώρισμα πᾶσι τὰ κατ' ἐμὲ καταστῆσαι. ὃ δὴ καὶ γέγονε κατὰ τὴν τοῦ δικαίου αἴτησιν, ὑπὸ Μωσέως, ἢ Σολομῶντος, γνώμῃ Θεοῦ, καὶ οὐκ ἐστερήθησαν αἱ ἐκκλησίαι τοῦ τηλικούτου ἐν τοῖς πειρασμοῖς παραδείγματος, ἀλλ' ἀνεγράφη τε κατὰ τὸν Μακάριον κατὰ Θεοῦ Συνέργειαν καὶ ἐπίπνοιαν, ὡς καί τινα τῶν Ἀποστόλων λέγειν ἡμῖν, τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε. πόθεν δὲ ἠκούσαμεν, ἢ πόθεν εἴδομεν, ἀλλ' ἢ ἀπὸ ταύτης τῆς Συγγραφῆς;

ΧΡΥΣΟΣΤ. Ἰδοὺ γὰρ ἐγράφη, οὐκ ἐν γραφείῳ σιδηρῷ, ἀλλὰ πολλῷ μᾶλλον μονιμωτέρῳ ἢ ἤπερ· ἐκεῖνα μὲν γὰρ, εἰ καὶ ἐγένετο, χρόνος ἀνάλωσε, ταῦτα δὲ μειζόνως ἐγράφη.

ΚΕΙΜ. Ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα.

ΤΟΥ ΑΥΤΟΥ. Εἴθε, φησὶν, ἀναστήσει ὁ Θεὸς τὸ δέρμα μου τὸ ὑπομεῖναν ταῦτα. δόγμα δὲ ἐντεῦθεν διδασκόμεθα ἐκκλησιαστικὸν, ὅτι τὸ

σῶμα τὸ τοὺς πειρασμοὺς ὑπομεῖνον καὶ τὰς βασάνους, αὐτὸ συνίσταται τῇ ψυχῇ, ἵνα καὶ τῆς δόξης συναπολαύσῃ· διὰ τοῦτο εἶπε, τὸ ἀναντλοῦν ταῦτα. οὐ γὰρ δίκαιον, ἄλλο μὲν πάσχειν, ἄλλο δὲ ἀνίστασθαι. ἄρα ᾔδει περὶ ἀναστάσεως, ἐμοὶ δοκεῖ, καὶ περὶ ἀναστάσεως σωμάτων, εἰμή τις λέγει ἀνάστασιν εἶναι τὴν ἀπαλλαγὴν τῶν κατεχόντων αὐτὸν δεινῶν. καλῶς δὲ αἰτίαν τίθησι τὸν λόγον τῆς μεταβολῆς· αὐτὸς, φησὶν, ἔπληξεν, αὐτὸς καὶ ἰάσεται, καὶ ὁ τοῖς δεινοῖς περιβαλὼν, αὐτὸς καὶ καθαρὸν τῶν παθῶν ἀναδείξει καὶ τουτὶ τὸ δύστηνον σῶμα· ὀψὲ γοῦν ποτὲ τῆς πολυπαθείας ἀπαλλάξας, ἐκεχειρίαν τῶν ἐπικειμένων παράσχοι πόνων. ὁ μέντοι Θεοδοτίων ἐκδοὺς, ὁ ἀγχιστεύς μου ζῇ, καὶ ἔσχατον ἐπὶ χώματος ἀναστήσει, πείθει συνάπτειν τοὺς δύο στίχους, καὶ οὕτως ἀναγινώσκειν. οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς, ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα. ὁ δὲ νοῦς οὗτος· ἀθάνατός ἐστιν ὁ Θεὸς, οὗ γένος ἐσμέν· ἐμὲ δὲ εἰς γῆν ἀναλύσας διὰ θανάτου, πάλιν ἐκ γῆς ἐγερεῖ διὰ τῆς ἀναστάσεως· ἢ καὶ τῆς νόσου ἐκλύσας, τουτέστιν, ἐλευθερώσας πάλιν ἀνακαινίσει τὸ δέρμα μου τὸ τοῖς ἰχῶρσι διαφθαρέν. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν, ἀποκτείνει, καὶ ζωοποιεῖ· διὸ ἐπάγει.

ΚΕΙΜ. Παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη, ἃ ἐγὼ ἐμαυτῷ συνεπίσαμαι.

ΠΟΛΥΧΡ. καὶ ΟΛΥΜΠ. Οὐ γὰρ ἐστὶ φησὶν, ἀνθρωπίνη ἐπήρεια· καὶ γὰρ τὰ συμβάντα περὶ τὰ θρέμματα καὶ τὰ τέκνα, ἐκ τῶν συμβάντων μοι περὶ τὸ σῶμα οἶδα Θεοῦ πληγῆς ὄντα. διὰ τοῦτό φησιν, ἱκανὸν ἔχω διδάσκαλον, τὸ ἐσχάτην εἶναι τὴν πληγὴν, τὰ συμβάντα μοι ταῦτα· οἷον ὡς ὅταν λέγῃ, βρῶμον γὰρ ὁρῶ τὰ σῖτά μου. οὐκ ἔστι ταῦτα νόσου φυσικῆς, πάλαι γὰρ ἂν ἀπηγόρευσε τὸ σῶμα· Θεός μοι ταῦτα ἐπήγαγεν, ἃ μόνη οἶδεν ἡ ἐμὴ ψυχή· οὐδεὶς γὰρ οὕτω συναισθάνεται τῶν κακῶν, οὐδὲ ἐπιδεῖν δύναται, ὡς ὁ πάσχων ἐγὼ, τῶν δεινῶν τὸ μέγεθος. αὐτὸς γὰρ γινώσκω ὁ ὑπὸ τῶν παθῶν κεντούμενος, καὶ ἡ ὄψις δὲ ἱκανὸς διδάσκαλος τοῖς νοῦν ἔχουσι γίνεται.

ΚΕΙΜ. Ἃ ὁ ὀφθαλμός μου ἑώρακε, καὶ οὐκ ἄλλος.

ΠΟΛΥΧΡ. Τοῦτο δὲ ἔφη, πλήττων τοὺς φίλους, ὅτι καὶ ὁρῶντες καὶ εἰδότες τὰ δεινὰ, ὅμως διαβάλλειν ὡς μικροψύχως φέροντα ἐπιχειροῦσιν.

ΚΕΙΜ. Πάντα δέ μοι συντετέλεσται ἐν κόλπῳ.

ΤΟΥ ΑΥΤΟΥ. Αἰτίαν ἀποδίδωσι τοῦ μόνον αὐτὸν τὰς ἑαυτοῦ συμφορὰς εἰδέναι, καὶ μονονουχὶ, φησὶν, εἰκότως ἐγὼ οἶδα τὰ ἐμὰ πάθη, πάντα γὰρ τὰ δεινὰ ἐπενεχθέντα μοι τρόπον τινὰ ἐνεκολπισάμην, καὶ οἷον συνεκολλήθησάν μοι· ὁ γὰρ κόλπος πανταχοῦ ἐπὶ τοῦ ἀδιασπάστου καὶ ἀχωρίστου λαμβάνεται παρὰ τῇ γραφῇ· ὡς τὸ, ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν. ὁ μέντοι, Θεοδοτίων οὕτως ἐξέδωκεν, ἐξέλιπον οἱ νεφροί μου ἐν τῷ κόλπῳ μου· ἵνα εἴπῃ, ὅτι καὶ αὐτοὶ οἱ νεφροὶ καὶ πάντα τὰ ἐντός μου διεφθάρη-

σαν ἐν ἐμοί· ὡς ἐντεῦθεν νοεῖν ἡμᾶς, ὅτι καὶ, τὸ, πάντα μοι συντετέλεσται ἐν κόλπῳ, εἴρηται ἀντὶ τοῦ, πάντα μοι τὰ σπλάγχνα συνετελέσθησαν καὶ διεβρώθησαν ἔνδον, ὡς ὑπὸ τῆς σηπεδόνος διαφθαρέντα.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἐρεῖτε, τί ἐροῦμεν ἔναντι αὐτοῦ; (ἀνθ᾽ οὗ ὁ Σύμμαχος, λέγετε δὲ, τί ἐστὶν ᾧ διώξομεν αὐτόν;) καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ; (ὁ δὲ Ἑβραῖος, καὶ ἁμάρτημα λόγου, λέγει.) εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος. (πάλιν ὁ Σύμμαχος, εὐλαβεῖσθε ὑπὲρ ἑαυτῶν τὴν μάχαιραν.) θυμὸς γὰρ ἐπ᾽ ἀνόμους ἐπελεύσεται· καὶ τότε γνώσονται ποῦ ἐστὶν αὐτῶν ἡ ὕλη.

ὈΛΥΜΠ. Κατὰ δὲ τοὺς λοιποὺς, ὅπως γνῶτε ὅτι ἐστὶ κρίσις. τὸ μέντοι δηλούμενον ἐν τούτοις τοῖς ῥήμασιν ἐκεῖνό ἐστιν· ἐπειδὴ, φησὶν, ἀντὶ παρακλητικῶν λόγων κατ᾽ ἰδίαν σκοπεῖτε, ποίας ἀντιλογίας εὕρητε, καὶ ὡς οἱ τὰς ῥίζας ἐπιζητοῦντες, ἀνιχνεύετέ μου τοὺς λόγους, πόθεν μου λάβησθε, καὶ ποῖον ἐν τούτοις ἁμάρτημα φωράσητε· καὶ τῶν πραγμάτων ὑπὲρ ἐμοῦ μαρτυρούντων, αὐτοὶ σπεύδετε, ὡς ἂν μηδὲ ὑπὸ τῆς ἀληθείας ψηφίσησθέ με ἀνεύθυνον. εὐλαβήθητε δὴ, μὴ ἐν προσχήματι τοῦ θέλειν Θεῷ συνηγορεῖν καταψηφίζησθέ μου. τοῦτο γὰρ σημαίνει, τὸ, ἀπὸ ἐπικαλύμματος. καὶ φοβήθητε οὕτως ἀκρίτως μου κατηγοροῦντες, μήποτε ὁ ἀπροσωπολήπτης Θεὸς, εἰς κρίσιν καταστὰς, καθ᾽ ὑμῶν ὀργισθῇ, καὶ δίκην ὑμᾶς εἰσπράξηται τῆς ἀλόγου θρασύτητος· οὐ γὰρ ἀνεύθυνα τὰ τοιαῦτα καταλιμπάνει. εἰ δὲ αὐτὸς κινηθείη καθ᾽ ὑμῶν, τότε γνώσεσθε ὡς οὐδὲν ὑμῶν ἐστὶν ἡ ὕλη, ἀλλ᾽ ἀνόνητος ὑμῖν φανεῖται ἡ ἐπὶ γνώσει τοῦ καλοῦ οἴησις, καὶ ἡ ἐπὶ τοῖς προσοῦσιν ἄδεια· ὕλην γὰρ ἔοικε λέγειν, ἢ τὸν ὄχλον τῶν ῥημάτων, ἢ τοῦ πλούτου τὴν περιουσίαν. ἐγὼ δὲ ἀνορύττων εἰς βάθος τὰ ῥήματα, καὶ ἕτερόν τι ἐν τούτοις κατανοῶ. εἰ γὰρ τοῦτό, φησι, λέγετε, ὦ φίλοι, ὅτι φανερὸν μὲν καὶ ἐκκείμενον ἁμάρτημα οὐδὲν ἔχω, λανθάνει δὲ ἐν ἐμοὶ κρυπτόμενον τὶ πλημμέλημα, ὥσπερ ῥίζα βοτάνης τινὸς ἐν τῇ γῇ καλυπτομένη, καὶ διὰ τοῦτο ὡς ἐν πονηρίᾳ ὢν, ταῦτα πάσχω· ὀφείλετε καὶ ὑμεῖς τὰ αὐτὰ φοβεῖσθαι ἀπὸ ἐπικαλύμματος, τουτέστιν, ἀπὸ τῆς δικαιοκρισίας Θεοῦ, καὶ ὅτε γνωσόμεθα ἕκαστος, ὅτι ἐστὶ κρίσις καὶ κόλασις τὴν ὕλην καθίσασα.

ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΩΣ πολλὰ καὶ καλὰ δόγματα αὐτός τε εἰπὼν ὁ Σωφὰρ καὶ τῶν λοιπῶν φίλων εἰρηκότων, ἤλπιζε μὲν μηδὲν ἔτι τὸν Ἰὼβ ἀντιλέγειν· ἐπειδὴ δὲ οἶδεν αὐτὸν θαῤῥοῦντα τοῖς ἑαυτοῦ δικαίοις, καὶ πάντας αὐτῶν τοὺς λόγους ἀμυνόμενον, ἔξω τῶν ἐλπισθέντων γεγονώς, οὐχ οὕτως, φησὶν, ὑπελάμβανον ἀντερεῖν σε ταῦτα. εἶτα καὶ πρὸς τοὺς φίλους φησὶν, ὅτι οὐχ οὕτως ἀκριβῶς κατανοεῖτε τὰ ὑφ' ἡμῶν αὐτῶν λεγόμενα, καὶ τὰ ὑπὸ τοῦ Ἰὼβ, ὥσπερ ἐγώ· πλὴν ἐρῶ ὅσα ἡ σύνεσις ὑπαγορεύει. εἶτα καταλέγει τὰ κατὰ τοὺς ἀσεβεῖς, ἅτε δρῶσι, καὶ ἃ πάσχουσι κατὰ θείαν δίκην, καὶ ὅτι ὀνείρων τὰ κατὰ τὴν αὐτῶν εὐπραγίαν οὐδὲν διαφέρει, καὶ ὅτι οὐδὲν αὐτοῖς συνεξέρχεται ἐκ τοῦ δὲ τοῦ βίου, εἰμὴ ἡ ἑαυτῶν ἀσέβεια. πολλὰ δὲ εἰρηκὼς τὰ τοῖς ἀσεβέσι συναντησόμενα, ταῦτα ἔφη μερίδα εἶναι τῶν ἀσεβῶν, τοῦτον αὐτοῖς κτῆμα, καὶ κλῆρον δεδόσθαι παρὰ Θεοῦ· πάλιν δὲ οὐκ ἔγνω, ὅτι τὰ συμβαίνοντα, οὐ πάντως δι' ἁμαρτίας γίνονται, ἀλλὰ καὶ κατ' ἄλλας οἰκονομίας· ἀλλ' οὐδὲ ἐπὶ τοῦ προσώπου τοῦ Ἰὼβ ταῦτα καλῶς ἐλέγετο. ὥστε οἱ καλοὶ λόγοι, ἐὰν μὴ καλῶς λέγωνται, καὶ μετὰ ὀρθῆς διαθέσεως, καὶ προσηκούσης διαιρέσεως, καὶ ἐπὶ καιροῦ καὶ προσώπου ὑποκειμένου ἐπιτηδείου πρὸς τὰ λεγόμενα, οὐκ ἐπαίνου μᾶλλον, ἀλλὰ μέμψεως ἄξιοι.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Σωφὰρ ὁ μιναῖος λέγει, οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα· καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ· παιδείαν ἐντροπῆς μου ἀκούσομαι, καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Ἐνταῦθα οὐκ εἰς νοῦν ἔβαψαν οἱ ἐξηγησάμενοι, ἀλλὰ πολὺ τοῦ πρέποντος καὶ τῆς ἀληθείας διήμαρτον, καὶ τοῦ σκοποῦ οὐκ ἐφίκοντο. ἔφασαν γὰρ ὡς ὁ Σωφὰρ πρὸς μὲν τὸν Ἰὼβ εἶπεν· οὐκ ᾤμην σε καθ' ἡμῶν τούτοις χρήσασθαι τοῖς λόγοις, καὶ πικροὺς ἡμᾶς νομίζειν τοὺς τὰ συμφέροντα εἰσηγουμένους· πρὸς δὲ τοὺς φίλους στραφεὶς εἴρηκεν, ὅτι ὑμεῖς οὐ πάνυ κατανοεῖτε τὰ λεγόμενα ὑπὸ τοῦ Ἰὼβ, ὡς ἐγώ. εἶτα πάλιν πρὸς τὸν Ἰὼβ ἀποτείνεται, καὶ φησὶν, ὅτε

ἀκό-

ἀκέσομαί σε τῆς παιδεύσεως, δι' ἧς ἡμᾶς εἰκότως ἐνέτρεψας, καὶ τὸ Πνεύματος τῆς συνέσεώς σε, δι' ὃ καλῶς ἡμῖν ἀποκρίνω. ταῦτα δὲ, φασὶν, ὁ Σωφὰρ κατ' εἰρωνείαν εἶπεν, ἀντὶ τῦ, ἐδὲν συνετὸν, ἐδὲ ἀπαίδευτον, ἐδὲ οἷον ἡμᾶς ἐντρέψαι, λελάληκας. καὶ ταῦτα μὲν οἱ ἐξηγηταί· τῇ δ' ἀληθείᾳ ἄλλα δοκεῖ. εἶπε γὰρ προλαβὼν πρὸς τὸν Σωφὰρ ὁ Ἰώβ, εἶτα ὑμεῖς ἐςὲ ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐςί. καὶ μετ' ὀλίγα, εἴη δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀποβήσεται ὑμῖν σοφία. ἀκέσατε δὲ ἔλεγχον τῦ ςόματός με, κρίσιν δὲ χειλέων με προσέχετε, κωφεύσατε ἵνα λαλήσω. ἀναγγελῶ γὰρ ὑμῶν ἀκεόντων. πρὸς ταῦτα τὴν ἀπόκρισιν καὶ ἀπολογίαν ὁ Ἐλιφὰζ ἐποιήσατο· ὁ δὲ Σωφὰρ ὤδινε μὲν τὴν ἀντίρρησιν, ἀνέμενε δὲ παυθῆναι τὸν Ἐλιφὰζ, καὶ τότε αὐτὸν ἀποκριθῆναι πρὸς ἃ ἤκεσεν. ἐπεὶ τοίνυν καὶ ὁ Ἐλιφὰζ λαλῶν ἐπαύσατο, καὶ ὁ Ἰὼβ πάλιν πρὸς ἐκεῖνον τὰ παρ' ἑαυτοῦ ἀντέθηκε, διαδέχεται νῦν ὁ Σωφὰρ τὰς λόγες, καὶ ἀποκρίνεται πρὸς ἃ πρότερον ἤκεσε παρὰ τοῦ Ἰώβ, καὶ φησὶ πρὸς αὐτὸν, ἐμὲ μὲν σε ὦ Ἰώβ, πολλῶν πρὸς σὲ καὶ καλῶν εἰρημένων λόγων, ἡσυχίαν ἄγειν συνθησόμενον ταῖς παραινέσεσιν, ἐ μὴν ἀντιφθέγξασθαι πρὸς ἡμᾶς τοὺς σὲς φίλες, καὶ εἰπεῖν, ὅτι ἐ συνίετε, ἐδὲ νοεῖτε πλέον τι παρ' ὃ ἐγώ· ταπεινωθῆναι μὲν οὖν σε μᾶλλον ὑπελάμβανον, καὶ ἐρεῖν, ὅτι ὑμᾶς τὰς παιδεύοντάς με, καὶ ἐντρέποντας, ἡδέως δέξομαι, καὶ ἀκέσομαι τῆς ὑμετέρας νεθεσίας, καὶ ὁμολογήσω, ὅτι ταῦτα ἅπερ μοι ἀποκρίνεσθε καὶ λαλεῖτε, πνεῦμα ὄντως ἐςὶ συνέσεως· σὺ δὲ τὐναντίον ἄτεν, ἑαυτῷ μὲν σοφίαν καὶ σύνεσιν ἐμαρτύρησας, ἡμῖν δὲ σιγὴν ἐπέταξας, καὶ ἀκέειν σε διδάσκοντος, ὡς τῆς σιωπῆς μᾶλλον ἡμῖν πρεπέσης, ἢ τῦ λόγε.

ΚΕΙΜ. Μὴ ταῦτα ἔγνως ἀπὸ τῦ ἔτι, ἀφ' ὃ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς;

ΟΛΥΜΠ. Μὴ γάρ τι καινὸν γέγονέ, φησιν, ἀφ' ὃ ὁ κόσμος ἐγένετο; ἐδὲν παράδοξον γίνεται, ἐδὲ μία καινοτομία, ἐδὲ ἐναλλαγή. εἶδες πώποτε ἀδίκως τιμωρηθέντα τινὰ παρὰ Θεοῦ; τὸ δὲ, ἀπὸ τῦ ἔτι, ὁ Σύμμαχος, ἀπ' αἰῶνος, ἐκδέδωκεν.

ΚΕΙΜ. Εὐφροσύνη δὲ ἀσεβῶν πτῶμα ἐξαίσιον, χαρμονὴ δὲ παρανόμων ἀπώλεια.

ΠΟΛΥΧΡ. Οὐκ εὔδηλόν, φησιν, ὅτι εἰ καὶ πρὸς βραχὺ συνέβη τὰς παρανόμους διάγειν ἐν εὐφροσύνῃ, ἀλλ' ὅμως χαλεπωτέραν ὕςερον τὴν δίκην ὑπέςησαν, ὅσῳ καὶ ὑπὲρ πλειόνων δωρεῶν ἀχάριςοι πρὸς Θεὸν πεφήνασιν. ὁ γὰρ διὰ βίου ἔξεσι τὴν τῶν προσόντων ἀγαθῶν ἀπόλαυσιν, ἀλλ' ἡ εὐφροσύνη ἣν εὐφραίνονται, ἀπώλεια τῆς αὐτῶν ψυχῆς ἔςαι, καὶ πτῶμα ἐξαίσιον· σαφέςερον δὲ αὐτὸ ὁ Ἑβραῖος λέγει, ἡ γὰρ ἀγαλλίασις, φησὶ, τῶν ἀσεβῶν πρὸς βραχὺ, καὶ ἡ χαρμονὴ αὐτῶν πρὸς ῥοπήν. συνᾴδει δὲ τέτῳ καὶ Σύμμαχος, καὶ Ἀκύλας, ὁ μὲν λέγων, ὅτι εὐθυμία ἀσεβῶν, ἐπ' ὀλίγον· ὁ δὲ, καὶ εὐφροσύνη ὑποκριτῦ ἕως ἀθρόα.

ΧΡΥΣΟΣΤ. Εἰ δὲ εὐφροσύνη αὐτῶν, πτῶμα ἐξαίσιον, καὶ ἡ χαρμονὴ αὐτῶν ἀπώλεια, ποῦ τὴν ἀπώλειαν θήσομεν; εἰπέμοι. ποῦ τὴν ὀδύνην, καὶ τὴν ἀθυμίαν;

ΚΕΙΜ. Ἐὰν ἀναβῇ εἰς Οὐρανὸν αὐτοῦ τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται· ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται. οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσι, ποῦ ἐστίν; ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ· ἔπτη δὲ ὥσπερ φάσμα νυκτερινόν.

ὈΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Μή μοι, φησί, τὰς θυσίας εἴπῃς, αἷς τιμᾶν τὸ θεῖον ἐνόμιζες· ὁ γὰρ παράνομος ἐὰν οὐρανομήκεις δορυφορίας προσαγάγῃ, καὶ ἐὰν δόξωσιν αἱ θυσίαι αὐτοῦ τῶν νεφελῶν ἅπτεσθαι, καὶ δόξῃ τὰ ἀγαθὰ βεβαίως ἔχειν, Θεοῦ μὴ προσιεμένου τὰς ἐξ ἀδικίας καρποφορίας, εἰς τέλος ἀπόλλυται, οὐδὲν ἐκ τῶν ἐπιπλάστων θυσιῶν ὠφεληθείς. οὐ γὰρ τὸ πρόσχημα τῆς εὐσεβείας αἰδεῖται Θεός, ἀλλ᾽ ὑπὲρ τῆς πλεονεξίας τὴν δίκην εἰσπράττεται· καὶ ὁ παρὰ πᾶσιν εὐσεβὴς νομιζόμενος πρότερον, κολασθεὶς ἐλέγχεται μόνον ἐπὶ σκηνῆς ἔχων τὴν εὐσέβειαν. ὡς γὰρ οἱ κατ᾽ ὄναρ πλουτοῦντες, οὐκ ἀσφαλῆ τὴν κτῆσιν ἔχουσιν, ὅρος δὲ τῆς εὐημερίας ὁ ὕπνος αὐτοῖς, οὕτως οὐδὲ τῷ παρανόμῳ βεβαία τῶν ἀγαθῶν ἡ ἀπόλαυσις, ἀλλ᾽ οὕτως οἴχεται τὰ κατ᾽ αὐτὸν, καὶ εἰς ἀνυπαρξίαν χωρεῖ, ὡς ἐνύπνιον, καὶ φάσμα νυκτερινόν· ὡς τοὺς πρότερον εἰδότας αὐτὸν, μετ᾽ ἐκπλήξεως λέγειν, ποῦ ἐστίν; ἀντὶ τοῦ, ποῦ ἡ δόξα; ποῦ ἡ δυναστεία; ποῦ ἡ τιμή; ποῦ ὁ πλοῦτος; πάντα μάταια, εἰς τὸ μηδὲν αὐτῷ κατέληξεν ἡ ὑπερηφάνεια. οὕτως ἀθρόως αὐτοῦ ἡ ἀπώλεια γίνεται, ἵνα μὴ νομίσῃς κατὰ φυσικὴν ἀκολουθίαν τὴν συμφορὰν εἶναι, ἀλλὰ κατὰ θείαν τινὰ δύναμιν καὶ παράδοξον· μή μοι λέγε ἀνομίας μόνον, ἀλλὰ κἂν θυσίας προσενέγκῃ ὁ ἄδικος, οὐδὲν ὄφελος. ἀκουέτωσαν οἱ ἐξ ἀδικίας καὶ πλεονεξίας καρποφοροῦντες, εἶτα δοκοῦντες εὐσεβεῖν.

ὨΡΙΓΕΝ. Καὶ ὁ αἱρετικὸς ὅταν εὔξηται, ὅταν ἡ θυσία αὐτοῦ ἀναβῇ τῇ ὑψηγορίᾳ, ὅταν δοκῇ κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται· ἡ γὰρ εὐχὴ αὐτοῦ λογίζεται αὐτῷ εἰς ἁμαρτίαν. οἱ δὲ εἰδότες αὐτοῦ τὰ σφάλματα ἐκκλησιαστικοὶ, ἐροῦμεν, ποῦ εἰσὶν οἱ τοιοῦτοι ἐνυπνιαζόμενοι, καὶ ἀναπλάττοντες ἑαυτοῖς σφάλματα, οὐ τῇ ἀληθείᾳ τὴν διάνοιαν ἐπερείδουσι σφαλλόμενοι, καὶ γίνονται ὥσπερ ἐνύπνιον ἐκπετασθὲν, ὃ οὐ μὴ εὑρεθῇ. τοιοῦτόν τι καὶ Δαβὶδ ψάλλει, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἐξέλιπον. καὶ πάλιν ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον· καὶ ὡσεὶ ἐνύπνιον ἐξεγειρομένων.

ΚΕΙΜ. Ὀφθαλμὸς παρέβλεψε, καὶ οὐ προσθήσει, καὶ οὐκέτι προσνοήσει αὐτὸν ὁ τόπος αὐτοῦ.

ΠΟΛΥΧΡ. Ὁ ἅπαξ, φησὶν, ἑωρακὼς τὸν ἀσεβῆ, οὐκέτι αὐτὸν βλέπει· ἐν ὅσῳ γὰρ νομίζεται, εὐθηνεῖσθαι, ἀπόλλυται· σημαίνει δὲ διὰ

τότε τὴν ταχεῖαν ἀπώλειαν. ἀλλ' οὐδὲ ἐπίγνωςος ἔςαι ἐν τῷ ἰδίῳ τόπῳ, τουτέςιν οὐδὲ μνημόσυνον αὐτοῦ περιλειφθήσεται. ὅμοιον ἡ Δαβιτικὴ λύρα ψάλλει, εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

ΚΕΙΜ. Τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες, αἱ δὲ χεῖρες αὐτοῦ πυρσεύσαισαν ὀδύνας.

ΟΛΥΜΠ. Τοὺς μὲν υἱοὺς αὐτοῦ, φησὶν, ἀναιροῦσιν ἐλάχιςοί τινες, καὶ κρατοῦσιν αὐτῶν ὑποδεέςεροι, καὶ εἰκότως, ὅτι μιμηταὶ τῆς πατρικῆς ὑπῆρξαν ἀσεβείας· σπέρμα δὲ ἀσεβῶν ἐξολοθρευθήσεται. αὐτὸς γὰρ αὐτῷ διὰ τῶν οἰκείων πράξεων ἐξάπτει τὴν πυρὰν. πυρσὸς γὰρ ἡ λαμπὰς, χεῖρες δὲ αἱ πράξεις· αἱ οὖν πράξεις αὐτοῦ ἐξάψουσιν αὐτῷ κόλασιν, δηλονότι, τῷ ἀσεβεῖ, οὗ ἡ προσευχὴ λογίζεται εἰς ἁμαρτίαν· ὅμοιον ἡ προφητεία λέγει, πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.

ΧΡΥΣΟΣΤ. Καὶ ἀπὸ τούτου μὲν τοι δῆλον, ὅτι θεήλατός ἐςιν ἡ πληγὴ, ὅτε οἱ χείρους κατακρατοῦσι τῶν μειζόνων, καὶ περιγίνονται τῶν ἐχόντων ἰσχὺν οἱ ἀπερριμμένοι. ἀντὶ γεμὴν, τοῦ, πυρσεύσαισαν ὀδύνας, ὁ μὲν Ἀκύλας ἐπιςρέψουσιν εἶπεν, ὁ δὲ Σύμμαχος, ἐποίσουσιν.

ΚΕΙΜ. Ὀςᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ, καὶ μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται.

ΟΛΥΜΠ. Ἐνεπλήσθησαν οἱ τόνοι τῆς ψυχῆς αὐτοῦ νεωτερικῆς ἐπιθυμίας· οὐδὲν δὲ ἀποίσεται κέρδος ἐκ τῆς τρυφῆς τοῦ θανάτου ἀφανίζοντος ἅπαντα, ἀλλ' οὐ δὲ συγκαταβήσεταί τι αὐτοῦ ἐν τῷ τάφῳ, εἰμὴ αὐτὴ αὐτοῦ ἡ ἐπιθυμία, τουτέςιν, αἱ ἄδικοι πράξεις.

ΚΕΙΜ. Ἐὰν γλυκανθῇ ἐν ςόματι αὐτοῦ κακία, κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ.

ΠΟΛΥΧΡ. Ἥδετο, φησὶ, ταῖς καθ' ἑτέρων συσκευαῖς· καὶ τὸ βαρύτερον ὅτι οὐκ ἐδήλου τὴν κακίαν, ἀλλὰ κατὰ τὸ λεληθὸς τὴν συσκευὴν εἰργάσατο, καὶ κρύπτων αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ, πανούργως καὶ ἐπικλόπως, καὶ πάντα μεθ' ὑποκρίσεως διελέγετο· καὶ οὐ μετεγίνωσκεν οὕτω πονηρευόμενος, ἀλλ' εἰς ἔργον ἦγε τὰ βουλεύματα.

ΚΕΙΜ. Οὐ φείσεται αὐτῆς, καὶ οὐκ ἐγκαταλείψει αὐτὴν, καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ, καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ.

ΟΛΥΜΠ. Ἀφειδῶς, φησὶ, καὶ ἀπλήςως ἀνθέξεταί γε τῆς κακίας, καὶ περιέξεται, καὶ ὥσπερ τινὰ τροφὴν ἡδεῖαν μεθ' ἡδονῆς αὐτὴν συνέξει ἐν τῇ φάρυγγι, τουτέςι πικρῶς κατασκευάζων τὴν καθ' ἑτέρων βλάβην, οὕτως ἐγχειρεῖ τῇ πράξει. ἐν δὲ τῷ καιρῷ καθ' ὃν ὑπομενεῖ τὰς τιμωρίας, οὐδὲν ἐπαμύναι τῷ κακῷ ἡ κακία δυνήσεται. ἡ γὰρ καθ' ἑτέρων συσκευὴ, οὐ μόνον οὐκ ὀνίνησί τι, ἀλλὰ ἐκ τῶν

ἐναντίων, καὶ τιμωρίας αὐτῷ πρόξενος γίνεται.

ΚΕΙΜ. Χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ.

ΠΟΛΥΧΡ. Ὥσπερ ἡ ἀσπὶς, φησὶ, πεπλήρωται ἰοῦ, καὶ ἐξεμεῖ τῆς γαστρὸς ἡνίκα ἂν βεληθῇ· οὕτω καὶ οὗτοι τὸν κατὰ τοῦ πλησίον πόνον ἑτοίμως ἐκ τῆς προλαβούσης σκευωρίας ἐργάζονται. ὁ δὲ Ἑβραῖος οὕτως ἔχει, καὶ ἐγένετο ἰὸς ἀσπίδων ἐν ἐγκάτοις αὐτοῦ, σπαραττομένων αὐτῷ, δηλαδὴ, τῶν ἐντὸς ὑπὸ τῆς κακίας, ὡς ὑπὸ ἰοῦ ὄφεως· ἵνα εἴπῃ, ὅτι ἡ ἀδικία, οὐ μόνον οὐ λυσιτελεῖ τοῖς χρωμένοις, ἀλλὰ καὶ διαφθείρει αὐτοὺς, καὶ προσζημιοῖ.

ΚΕΙΜ. Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται.

ΟΛΥΜΠ. Τουτέστι, μετὰ ὀδύνης ἐκχυθήσεται. πάντα μὲν γὰρ ὁ ἀσεβὴς πράττει, ὥστε τὰ ἀλλότρια λαβεῖν, καὶ πρὸς τοῦτον βλέπει τὸν σκοπὸν τὰ παρ' αὐτοῦ γινόμενα· ἐπειδὰν δὲ ἐγκρατὴς τῶν ὅλων εἶναι δόξῃ, τότε τὸν πλοῦτον εἰς ἑτέρους μεταφερόμενον ὄψεται. κἂν γὰρ οὕτως αὐτὸν ἐν ἀσφαλείᾳ ἔχῃ, ὥσπερ ἐν κοιλίᾳ, ταχέως αὐτὸν ἀποβαλεῖ μετὰ ὀδύνης, τοῦτο γάρ ἐστιν, ἐξεμεθήσεται· ὅπερ συμβαίνει τοῖς ἀδίκως πλουτοῦσι, τοῦ Θεοῦ τιμωρουμένου, καὶ τῶν κτηθέντων ἀλλοτριοῦντος.

ΠΟΛΥΧΡ. Ὁ δὲ νοῦς οὗτος· ὁ ἀσεβὴς, φησὶ, πλούσιος τὸν ἄδικον πλοῦτον ὅταν δόξῃ καταπεπωκέναι, τουτέστιν, ἐν βεβαίῳ ἔχειν, τότε ὥσπερ τὶ δηλητήριον φάρμακον ἀπὸ ἰοῦ ἀσπίδος κατασκευασθὲν, δεξάμενος τὴν θείαν ὀργὴν, ὅλον ἐξεμεῖ τὸν ἐξ ἀδικίας συναχθέντα πλοῦτον. σημαίνει δὲ ὅτι ὥσπερ οἱ ἀπό τινος δηλητηρίου εἰς ἔμετον κινούμενοι· οὕτω καὶ οὗτος μετὰ σπαραγμοῦ καὶ ὀδύνης, ὅλον τὸν ἔνδον ἐκφορεῖ πλοῦτον.

ΩΡΙΓΕΝΟΥΣ. Οἶδα καὶ ἄλλον πλοῦτον ἀδίκως συναγόμενον, τὸν ἐν τοῖς λόγοις τῶν αἱρετικῶν, οἳ ἔχουσι μαθήματα ἐναντία τοῖς δόγμασι τῆς ἀληθείας ἐν γαστρὶ αὐτῶν, ἃ οὐκ ἔστι γλυκέα, ἀλλὰ χολὴ ἀσπίδος, τουτέστι, πονηρά· ὡς εἴρηται ἐν Δευτερονομίῳ ἐν ᾠδῇ Μωϋσέως περὶ τοῦ οἴνου τῆς διδασκαλίας αὐτῶν, ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν· ἀλλ' ὁ ἀγαθὸς Θεὸς οὐκ ἐάσει αὐτοὺς πλοῦτον ἀδίκως συναγόμενον ἔχειν ἀεὶ ἐν ἑαυτοῖς, ἀλλὰ ποιήσει αὐτοὺς ἐξεμέσαι· Ἄγγελος γὰρ κατ' ἐνέργειαν Θεοῦ ἐξελκύσει αὐτοὺς ἐκ τῆς αὐτῆς κακῶς οἰκοδομηθείσης οἰκίας, ἥτις ἐστὶν ἐκκλησία πονηρευομένων. ἐπάγει γοῦν.

ΚΕΙ. Ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν Ἄγγελος.

ΟΛΥΜΠ. Κατὰ δὲ τὸ ῥητὸν, Ἄγγελός τις τῶν εἰς τιμωρίαν τεταγμένων, πάντων αὐτὸν ἐξώσει τῶν ἀγαθῶν, δηλονότι, τὸν ἄδικον· ἀπὸ γὰρ τῆς οἰκίας τὸ πᾶν ἐσήμανεν. οἱ δὲ λοιποὶ, ἀντὶ τοῦ ἐξ οἰκίας αὐτοῦ, ἐκ γαστρὸς ἐξέδωκαν· ἵνα εἴπωσιν, ὅτι ὡς ἐκ γαστρὸς, ἐκ τοῦ σώματος τὴν ψυχὴν τοῦ ἀδίκου ὁ Ἄγγελος ἐξελκύσει, καὶ βιαίως ἀνελεῖ.

ΚΕΙΜ. Θυμὸν δὲ δρακόντων θηλάσειεν, ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ Οὕτω, φησὶν, ἔσται εἰς παντελῆ χωρῶν ἀπώλειαν, καὶ ὑπὸ τῆς ἰδίας κακίας ἀναλωθήσεται, ὥσπερ τις ὑπὸ ὄφεως δηχθεὶς, ἢ δρακόντων ἰὸν καταπιών· διὰ γὰρ τοῦ θυμοῦ τὸν ἰὸν ἐσήμανε· καλῶς δὲ ἔφη, θηλάσειεν, ἵνα εἴπῃ, ὅτι προαιρετικῶς καὶ καθ' ἡδονὴν, ὥσπερ τι γάλα, τῆς κακίας τὸν θανατηφόρον ἰὸν ἀμέλγων, συναύξεται μὲν αὐτῇ, καὶ πολιοῦται κατ' αὐτὴν, ἀπὸ δὲ αὐτῆς ἀναιρεῖται· γλῶσσα δὲ ὄφεώς ἐστιν ἡ τοῦ πονηροῦ λαλοῦντος τὰ ἐναντία.

ΩΡΙΓΕ'ΝΟΥΣ. Ὅρα δὲ πόσα καὶ τῷ ἑτεροδόξῳ ἀπόκειται διὰ τὰ ἀσεβῆ δόγματα. διὰ τοῦτο προσέχωμεν ἑαυτοῖς, μήποτε ἐν πιθανολογίαις συλληθῶμεν ἀπὸ αἱρετικῆς διδασκαλίας, καὶ ἐκπέσωμεν τοῦ μυστηρίου τῆς ἐκκλησίας.

ΚΕΙΜΕΝ. Μὴ ἴδοι ἄμελξιν νομάδων, μηδὲ νομὰς μέλιτος καὶ βουτύρου. (ὁ δὲ Σύμμαχος, ῥεῖθρα) εἰς κενὰ καὶ μάταια ἐκοπίασεν, πλοῦτον ἐξ οὗ οὐ γεύσεται, ὥσπερ στρύχνος ἀμάσητος, ἀκατάποτος.

ΠΟΛΥΧΡ. Ὁ ἐξ ἁρπαγῆς πλουτεῖν οἰόμενος, οὐκ ἀπολαύσει τῶν κτηθέντων τοῦ Θεοῦ διὰ τῆς τιμωρίας τῶν προσόντων ἀφαιρουμένου τὴν κτῆσιν· ἐκ γὰρ τῶν ὑποκειμένων ὑποδειγμάτων τὴν περιουσίαν σημαίνει· ἀλλ' ἔσται αὐτῷ τὰ τῶν ματαίων καμάτων, ὥσπερ στρύχνος. στρύχνος δέ ἐστι βοτάνη τις οὕτω καλουμένη, ἐκτραχῦναι δυναμένη τὴν γλῶσσαν τοῦ διαμασσωμένου, ἄβρωτος, ἀκατάποτος, διὰ τοῦτο, ἐπειδὴ ἀμάσητος. λέγει οὖν, ὅτι οὐ μὴ πέψῃ τὰ ἀγαθὰ, οὐδὲ μὴ εἰς τελείαν αὐτῶν ἀπόλαυσιν ἔλθοι· ἀλλ' ὥσπερ τὴν βοτάνην ἐκείνην, κἂν ἄγαν τις φιλονεικήσειε διαλεάνας τοῖς ὀδοῦσι, καταπιεῖν οὐ δύναται· οὕτω καὶ ὁ τῶν ἀλλοτρίων ἀπολαύειν ἐθέλων, οὐδὲν τῶν πόνων ἀποίσεται κέρδος. πρὸς δὲ τὸν Ἰὼβ μονονουχὶ λέγειν ἔοικε. μὴ θαύμαζε εἰ πάντα σοι ἐκ ποδῶν κατέστη, τὰ γὰρ ἐξ ἁρπαγῆς σοι κτηθέντα, ταῦτα δικαίως ὁ Θεὸς ἀφείλετο. συλλόγισαι δὲ ἐκ τῶν ῥηθέντων, ὡς ἀνοήτως περὶ τὴν τοῦ πλούτου συλλογὴν ἐσπουδάκας, οὐδὲ μίαν γοῦν ἔσχες τῶν συλλεγέντων ἀπόλαυσιν.

ΩΡΙΓΕ'ΝΟΥΣ. Καὶ ὁ ἑτερόδοξος δὲ οὐ βλέπει ἄμελξιν νομάδων· νομάδες δὲ εἰσὶ ψυχαὶ νεμόμεναι ὑπὸ τῷ καλῷ ποιμένι, καὶ νομὴν ἀείζωον εὑρίσκουσαι· καὶ τὰ δόγματα δὲ τὰ κατὰ τοῦ Θεοῦ, οὐδὲν ἔχει γλυκὺ, ἀλλὰ στρυφνά ἐστι καὶ πικρά.

ΚΕΙΜ. Πολλῶν ἀδυνάτων οἴκους ἔθλασε, δίαιταν δὲ ἥρπασε, καὶ οὐκ ἔστησεν. οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσι.

ΠΟΛΥΧΡ. Ὥσπερ αὐτὸς τὰ τῶν ἀδυνάτων ἥρπασε, καὶ οὐκ ἀποκατέστησεν, οὕτως οὐδὲ τὰ αὐτοῦ διασωθήσεται. ὃ ἑτέροις, φησὶ, διατέθεικε, τοῦτο πείσεται. ὥσπερ γὰρ αὐτὸς οἴκους ἀδυνάτων ἔθλασε, τουτέστιν, ἀνηλεῶς συνέ-

τεινψε, τὴν δὲ πᾶσαν αὐτῶν περιουσίαν ἥρπασε, καὶ οὐκ ἀπέδωκε. τὸ γάρ, οὐκ ἔστησεν, ἀντὶ τοῦ, οὐκ ἀποκατέστησεν, εἴρηται· οὕτως οὐδὲ τὰ αὐτοῦ διασωθήσονται, οὐδὲ αὐτῷ σωτηρίαν περιποιήσονται, ἀλλὰ ταύτης ἕνεκα τῆς αἰτίας ἀπόλλυται τὰ κτηθέντα, καὶ εἰς ἐκγόνους οὐ παραπέμπεται. ἡ δὲ τοῦ Συμμάχου ἔκδοσις ἑτέραν ἡμῖν παρίστησιν ἔννοιαν· δοκεῖ γὰρ λέγειν, ὅτι τὴν ἀλλοτρίαν οἰκίαν ἣν ἥρπασεν ὁ ἄδικος, οὐ δυνήσεται κατὰ τὸ δοκοῦν αὐτῷ ἀνοικοδομῆσαι, καὶ καλλωπίσαι, ἀλλὰ πρότερον αὐτὸς οἰχήσεται.

ΩΡΙΓΕ'ΝΟΥΣ. Καὶ ὁ ἑτερόδοξος δέ, ἐὰν που εὕρῃ ἀσθενῆ ἐν τῇ πίστει, ἀσθενῆ ἐν τῇ ὑγιεῖ διδασκαλίᾳ, τοῦτον ὑποσυλᾷ. καὶ ἔστιν ἀληθῶς περὶ τοῦ διδασκάλου ἑτεροδόξων εἰπεῖν, ὅτι πολλῶν ἀδυνάτων οἴκους ἔθλασεν, ἥρπασε δὲ τὴν δίαιταν τοῦ ἐξαπατηθέντος· καὶ μετὰ ταῦτα οὐχ ἵστησιν αὐτήν, οὐδὲ γὰρ δύναται στῆσαι τὸ ψεῦδος.

ΚΕΙΜ. Ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ σωθήσεται. οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ.

ΠΟΛΥΧΡ. Ἐπιθυμήσας, φησί, τῶν ἀλλοτρίων, καὶ λαβὼν αὐτά, οὐδὲν ἕξει κέρδος, οὐδὲ διασώσει ἃ ἐκτήσατο, ἀλλ' οὕτω τὰ πάντα καθέξει ἀπώλεια, ὥστε μηδὲ περιλειφθῆναί τι τῶν κτηθέντων· ἀλλ' οὐδὲ ἕξει καταλελειμμένα βρώματα, ὑπὸ τῆς ἄγαν πενίας οὐδὲν ἔχων ὃ καταλείψει. αἰνίττεται δὲ ἐν τούτοις τὴν κατασχοῦσαν τὸν Ἰὼβ ἐσχάτην πενίαν καὶ ἀπορίαν. οὕτω καὶ Σύμμαχος ἐκδέδωκε, χωῶν ἃ ἐπεθύμει, οὐ διασώσει, οὐκ ἀπολείψει ἀπὸ τῆς τροφῆς αὐτοῦ.

ΚΕΙΜ. Διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά· ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται· πᾶσα δὲ ἀνάγκη ἐπ' αὐτὸν ἐπελεύσεται, εἴπως ἢ πληρῶσαι γαστέρα αὐτοῦ.

ΟΛΥΜΠ. Ἴσως μὲν οὖν οὐδὲ ἐξανθήσει αὐτοῦ τὰ ἀγαθά, ἀλλ' ὅμως τῷ ἀνθεῖν μαρανθήσεται· εἰ δὲ καὶ δόξει πλήρης εἶναι, καὶ πᾶσι κομᾷν τοῖς ἀγαθοῖς, τότε πᾶσα ἀνάγκη αὐτὸν καὶ θλίψις καταλήψεται, ὥστε πληρῶσαι τὴν ψυχὴν αὐτοῦ ὀδυνῶν. ταῦτα προτρεπτικὰ ἡμῖν, ἵνα ἀφιστώμεθα τῶν ἀλλοτρίων· εἴγε ὁ ταῦτα κτώμενος, ὅταν ἐν ἀφθόνοις εἶναι δόξῃ, τότε τὴν ἐσχάτην ἀποστήσεται ἔνδειαν, ὥστε ζητεῖν ὅπως πληρῶσαι τὴν γαστέρα αὐτοῦ κενὴν οὖσαν καὶ ἐνδεῆ.

ΚΕΙΜ. Ἐξαποστεῖλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς, νίψαι ἐπ' αὐτὸν ὀδύνας.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ δὲ Σύμμαχος, ἐπιβρέξει δηλονότι ὁ Θεός. ταῦτα, φησίν, ὑποστήσεται ὁ ἀσεβής, τοῦ Θεοῦ ὀργίλως τὴν κατ' αὐτοῦ πέμποντος πληγὴν ὀξεῖαν καὶ ἀλλεπάλληλον, δίκην ὑετοῦ φορᾶς, ὀδύνας ἐπ' αὐτὸν ἀφιέντος· ἄκρως γὰρ αὐτὸν τιμωρούμενος, νιφετῶν δίκην, κατακλύσει αὐτὸν ταῖς ὀδύναις.

ΚΕΙΜ. Καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου· τρώσαι αὐτὸν τόξον χάλκειον· διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος.

ΠΟΛΥΧΡ. Κατὰ μεταφορὰν ταῦτα εἴρηκε τῶν ἐν πολέμοις καιρίας ὑπὸ σιδήρου λαμβανόντων πληγάς, καὶ ὑπὸ ἰσχυρῶν τόξων κατατοξευομένων· τοῦτο γὰρ σημαίνει, τό, χάλκειον· ἵνα εἴπῃ, ὅτι ὁ ἰσχυρὸς Θεός, δυνατῶς κέχρηται τῇ κατὰ τῶν ἀσεβῶν ὀργῇ· καὶ οὐκ ἔνεστιν αὐτοῦ τιμωρουμένου διαφυγεῖν, ἀλλ' ὡς ὑπὸ βέλους τὸ σῶμα διαπερονηθεὶς σφοδρῶς διαπεμφθέντος, οὕτως ὁ ἀσεβὴς τιμωρηθήσεται. τῇ γεμὴν μεταφορᾷ ἐναργῶς τὸ προκείμενον παρέστησε, σημαίνων τὴν κατὰ τῶν ἀσεβῶν Θεοῦ τιμωρίαν ἰσχυράν.

ΚΕΙΜ. Ἄστρα δὲ ἐν διαίταις αὐτοῦ περιπατήσαισαν.

ὈΛΥΜΠ. Ἕτερα δὲ ἀντίγραφα, μὴ περιπατήσαισαν ἔχει· ἵνα εἴπῃ, ὅτι οὐδὲ μία αὐτῷ λαμπρότης ὑπολειφθήσεται. κατὰ δέ, τό, περιπατήσαισαν, ἀντὶ τοῦ, φοβερὰ αὐτὸν ἐκδειματοῦσι φαντάσματα· ἤτοι δέ, τὸ ἠρημῶσθαι δηλοῖ τὰς οἰκίας, ὡς καταστράπτειν ἐν αὐταῖς τοὺς ἀστέρας, τῶν ὀρόφων ὄντων ἀνακεκαλυμμένων· ἢ καὶ σκηπτοὺς λέγει· οὕτω καὶ Ἀκύλας ἐκδέδωκε, καὶ ἀστραπὴ ἀπὸ προσώπου αὐτοῦ πορεύσεται ἐπ' αὐτόν, ἀντὶ τοῦ, ἐκ προσώπου τοῦ Θεοῦ, τουτέστιν, ἐκ προστάγματος σκηπτοὶ καὶ κεραυνοὶ κατὰ τοῦ ἀσεβοῦς ἐνεχθήσονται. ἔστι δὲ καὶ ἄλλως νοῆσαι, ὅτι ἄστρα τοὺς δικαίους ὀνομάζει, ὡς φωστῆρας ὄντας ἐν Κόσμῳ· καὶ ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν εἴρηται, ὅτι ἃ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται. τὸ αὐτὸ καὶ νῦν ἑτέρως λέγει, ὅτι τὰ ἄστρα ἐν ταῖς τῶν ἀσεβῶν διαίταις περιπατήσουσι, τουτέστιν, οἱ δίκαιοι τὰ ἐκείνων ἀγαθὰ παραλήψονται.

ΚΕΙΜ. Ἐπ' αὐτῷ φόβοι, πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι.

ΠΟΛΥΧΡ. Ἐν σκότῳ, φησί, καὶ φόβοις ἔσται τὰ κατὰ τὸν ἀσεβῆ· πρὸς γὰρ τοῖς ἄλλοις, καὶ σκότος αὐτὸν ἐκδέξεται. ὁ δὲ Ἀκύλας, ἀποκέκρυπται τοῖς ἐγκειμένοις αὐτοῦ, ἐξέδωκεν, ἕτερόν τι αἰνιττόμενος, ὅτι φόβου προηγησαμένου κρύπτεται ὁ ἀσεβὴς ἐν τοῖς ἀποκεκρυμένοις αὐτοῦ, τουτέστιν, ἐν τόποις λανθάνουσι καὶ ἀποκρύφοις, εἴτουν σκοτεινοῖς. οὕτως ἐγὼ νοῶ, καὶ τὸ παρὰ τοῖς ἑβδομήκοντα, πᾶν σκότος αὐτῷ ὑπομεῖναι, ὅτι πᾶς τόπος ζοφώδης καὶ ἀφεγγὴς κατεπτηχότι τῷ ἀσεβεῖ προσδοκηθήσεται, καὶ ζητηθήσεται εἰς καταφυγήν.

ΚΕΙΜ. Κατέδεται αὐτὸν πῦρ ἄκαυστον.

ὈΛΥΜΠ. Ἀκύλας, καὶ Θεοδοτίων, καὶ Σύμμαχος, οἱ μέν, μὴ φυσηθέν, ἐξέδωκαν· ὁ δὲ ἄνευ φυσήματος. κατὰ μὲν τὸ πρόχειρον, τὸ μὴ ἐκ προνοίας ἀναφθέν, ἀλλ' αὐτομάτως κατενεχθέν, οἷον ἐδόκει τὸ καταφαγὸν τὰ ποίμνια τοῦ Ἰὼβ καὶ τοὺς ποιμένας, περὶ οὗ καὶ αἰνίττεται. κατὰ δὲ τὸ κρυπτόμενον, ἄκαυστον πῦρ ἐστίν, ἤτοι τὸ κατὰ συνείδησιν, ἢ καὶ τὸ ὑποκείμενον ἐν τοῖς μέλλουσι δικαιωτηρίοις· μυστήριον γάρ τι μανθάνομεν περὶ τῆς ἐκεῖσε κολάσεως, ἵνα φυλασσώμεθα αὐτὴν παθεῖν, πῦρ εἶπεν ἄκαυστον κατέδεσθαι τὸν ἀσεβῆ. τὸ δὲ παρ' ἡμῖν τοῦτο τὸ ὑλικόν, οὐκ ἔστιν ἄκαυστον, βλέπομεν γὰρ αὐτό· ἐκεῖνο δὲ ἄκαυστόν ἐστι τὸ πῦρ, τὸ ἐπὶ τοὺς ἀ-

μαρτυλεὺς ἐρχόμενον, ὃ εἶδον αὐτὸς καίει. ἐὰν θελήσῃς εἰκόνα λαβεῖν τοῦ πυρὸς ἐκείνου, νόει μοι τὸν εἰς ὑπερβολὴν πυρέσσοντα, καὶ ὑπὸ πυρὸς φλεγόμενον, ὃς καταφλέγεται, οὐδενὸς αὐτῷ τὸ ἔξωθεν τοῦτο, καὶ εὔυλον πῦρ προσαγαγόντος· οὐχ εὑρήσεις ὄψει τὸ πῦρ ἐν αὐτῷ, ἔγκειται δὲ καὶ ἐκκαίει αὐτοῦ τὰ σπλάγχνα· οὕτως ἀπὸ τῶν ἁμαρτημάτων πυρέττων τις ἐκκαίεται.

ΚΕΙΜ. Κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον.

ΟΛΥΜΠ. καὶ ΠΟΛΥΧΡ. Τουτέστι, ξένος τις καὶ ἀλλογενής· τοῦτο δὲ εἰς ἔνδειξιν τῆς ἄγαν ἀσθενείας τοῦ ἀσεβοῦς παρείληπται. ἐπήλυτον καλεῖ τὸν ὑπολελειμμένον τοῦ οἴκου, οὐκ ἀσαφῶς δὲ μετενήνεκται εἰς τὸ ἑλληνικόν· ἵνα εἴπῃ, ὅτι καὶ μέχρι ἑνὸς χωρήσει ἡ τιμωρία, ὥστε μηδὲ μνημόσυνον αὐτοῦ περιλειφθῆναι.

ΚΕΙΜ. Ἀνακαλύψαι δὲ αὐτοῦ ὁ Οὐρανὸς τὰς ἀνομίας, γῆ δὲ ἐπανασταίη αὐτῷ.

Πᾶσα φησὶν, ἡ φύσις ἐχθραίνει τῷ θεοστυγεῖ· καὶ τὰ μὲν τῶν δεινῶν ἐξ Οὐρανοῦ ὑποστήσεται, τὸν Θεὸν ἔχων πολέμιον, τὰ δὲ ἐκ γῆς, τῶν ἀνθρώπων αὐτῷ ἐπανισταμένων· καὶ Οὐρανὸς μὲν ἀνακαλύψει τὰς ἀνομίας αὐτοῦ, τῆς θείας δίκης ἐκφανερούσης τὰ κατ' αὐτὸν, ἐν τῷ ἄνωθεν ἐπιπέμπειν τὴν ἐπὶ τοῖς ἁμαρτήμασι κόλασιν· αὐτὴ δὲ ἡ γῆ πολεμήσει αὐτῷ, ὁπλιτικὰς ἐκτάττουσα φάλαγγας. ταῦτα δὲ εἶπεν, ἐπειδὴ τῷ Ἰὼβ τὰ μὲν ποίμνια, καὶ οἱ παῖδες, τὰ μὲν τῷ ἄνωθεν ἐνεχθέντι μένῳ πυρὶ, οἱ δὲ καὶ τῷ ἀερίῳ πνεύματι, ὑφ' οὗ ἡ οἰκία δονηθεῖσα κατέπεσε, διεφθάρησαν· αἱ δὲ βοῶν Ἀγέλαι, καὶ ὄνων, καὶ τῶν καμήλων, κάτωθεν ὑπὸ τῶν πολεμίων διηρπάγησαν. κατασκευάζει οὖν ὁ Σωφὰρ, ὅτι πάντα δι' ἁμαρτίαν ἐπ' αὐτὸν ἐπηνέχθη.

ΚΕΙΜ. Ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος.

ΟΛΥΜΠ. Τουτέστι, πανωλεθρίᾳ διαφθαρήσεται, καὶ πάντα ἡ παρὰ Θεοῦ κόλασις ἐπιδραμεῖται, ἡνίκα ἂν Θεὸς καταψηφίσηται τὴν τιμωρίαν.

ΚΕΙΜ. Ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ.

ΩΡΙΓΕΝΟΥΣ. Καθ' ἣν ἡ θεία κατ' αὐτοῦ κινεῖται δίκη, εἴτε τοῦ ἐκ περιτομῆς εἰς Θεὸν ἀσεβήσαντος, εἴτε τοῦ ἑτεροδόξου, εἴθ' ὁπωσποτε ἀσεβοῦς, αὐτῷ μερίς ἐστιν ἡ δηλουμένη ἐν τοῖς προειρημένοις.

ΚΕΙΜ. Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.

ΟΛΥΜΠ. Τούτων, φησὶ, παρὰ τοῦ Θεοῦ τεύξεται ὁ ἀσεβὴς, καὶ τὸ πέρας τῆς πολλῆς κτήσεως ἡ τιμωρία. ἐπειδὴ γὰρ κτησάμενος τὰ ἀγαθὰ, οὐκ ᾔσθετο τῆς θείας εὐεργεσίας, δίδοται αὐτῷ κτῆμα καὶ μερὶς, τὸ πλήρωμα τῆς ὀργῆς παρὰ τοῦ τὰ πάντα ἐπισκοποῦντος Θεοῦ. ἀκούοντες δὲ οἱ ἐπίσκοποι, ὡς ὁ Θεὸς ταύτῃ κέκληται τῇ προσηγορίᾳ παρὰ τῇ γραφῇ πρεπόντω-

των

σαν τῆς προσηγορίας τὸ ἀξίωμα, ἐπαγρύπνως τὰ κατὰ τὴν ποίμνην ἐπισκοποῦντες, καὶ πίστει, καὶ βίῳ ἀνεπιλήπτῳ, καὶ διδασκαλίᾳ σεμνυνόμενοι· μαθέτωσαν τίς ἐπίσκοπος ἐνθάδε ὠνομάσθη, καὶ ἐκείνου εἰκόνα παντὶ τρόπῳ φιλοτιμήσθωσαν φορεῖν. ὥσπερ γὰρ ὁ μιμησάμενος εἰκόνα βασιλικὴν, τιμᾶται ἐπὶ τῷ καλῶς αὐτὴν μιμήσασθαι, τιμᾶται δὲ καὶ ἐπὶ τῷ αὐτὴν κεκοσμηκέναι· οὕτω μακάριος ἐπίσκοπος, ὁ νοήσας τὸν ἀληθινὸν ἐπίσκοπον, καὶ ζηλῶν αὐτὸν, καὶ γινόμενος ὡς ἐν ἀνθρώποις Θεὸς, καὶ ἔχων ἐπίσκοπον τὸν ποιοῦντα αὐτὸν ἀληθῶς ἐν Χριστῷ Ἰησοῦ ἐπίσκοπον.



ΠΡΟΘΕΩΡΊΑ

ΚΕΦΑΛΑΊΟΥ ΠΕΝΤΕΚΑΙΔΕΚΆΤΟΥ.

ὈΛΥΜΠΙΟΔΏΡΟΥ.

Οἱ φίλοι τοῦ Ἰὼβ ἐλθόντες ἐπὶ παράκλησιν, καὶ τῶν ἀνηκέστων συμφορῶν αὐτόπται γενόμενοι, ὡς μὲν ἀσεβεῖς οὐδὲν ἄτοπον περὶ Θεοῦ ἐλογίσαντο· ἀγνοοῦντες δὲ ὡς πεῖρά τις καὶ βάσανος ἀρετῆς ἡ πληγὴ, ἄμεινον ἔκριναν καταδικάσαι μὲν τὸν Ἰὼβ, ὡς ἐφ' ἁμαρτίαις πάσχοντα, δίκαιον δὲ τὸν Θεὸν ἀποφῆναι, ὡς οὐκ ἀδίκως αὐτὸν τιμωρησάμενον. ὁ δὲ ἀνδρειότατος Ἰὼβ, οὐ δὲ αὐτὸς μὲν ἄδικόν τι περὶ Θεοῦ ἐλογίσατο, οὐδὲ ἀπεμφαίνουσαν εἴληφε δόξαν περὶ τῆς πάντα καλῶς καὶ δικαίως διεπούσης προνοίας τοῦ Θεοῦ· οὐδὲν δὲ ἑαυτῷ συνειδὼς τῆς τηλικαύτης τιμωρίας ἐπάξιον, οὐκ ἀνέχεται τῆς ἀδίκου τῶν φίλων κατακρίσεως. πολλῶν δὲ περὶ τούτων γενομένων αὐτοῖς διαλέξεων, καὶ νῦν τοῦ Σωφὰρ ἐπ' ἀσεβείᾳ πάλιν αὐτὸν καταδικάσαντος, φησὶ πρὸς αὐτοὺς, ἀκούσατέ μου τῶν λόγων, ἵνα γνῶτε ὡς οὐ παρακλητικὸν προσηγάγετε λόγον, ἀλλ' ἐσφαλμένως καὶ κατ' ἄγνοιαν προφάσεις προεφέρετε. διελέγχων δὲ τὴν ἄγνοιαν, προβληματικῶς φησὶ πρὸς αὐτοὺς, εἰ οἴδατε τῆς προνοίας τοὺς λόγους, ἀποκρίνασθέ μοι, διατί ἀσεβεῖς οὐ θλίβονται; καὶ πανταχόθεν αὐτοῖς ἀφθόνως περιρρεῖ τὰ ἀγαθά; καὶ ἐν εὐπαθείᾳ διάγουσι, θεομάχα φθεγγόμενοι ῥήματα; πλὴν ἀλλὰ καὶ αὐτῶν ἡ εὐημερία μεταπίπτει· πῶς δὲ καὶ ὁ μέν τις ἐν πλούτῳ καὶ πάσῃ τῇ παρὰ ἀνθρώποις δόξῃ τελευτᾷ τὸν βίον, ὁ δὲ ἐν πικρίᾳ ψυχῆς, οὐδενὸς τῶν ἐν τῷ βίῳ μετασχὼν ἀγαθῶν; εἶτα διὰ μέσου παρενέθηκε, πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; δεικνὺς ὡς ἀνέφικτα καὶ ἀκατάληπτα τὰ τοῦ Θεοῦ κρίματα, καὶ οὐ πάντως ἡμῖν γνώριμοι τῆς πάντα καλῶς διοικούσης προνοίας οἱ λόγοι.

ΚΕΙΜΕ. Ὑπολαβὼν δὲ ὁ Ἰὼβ λέγει, ἀκούσατε, ἀκούσατέ μου τῶν λόγων, ἵνα μὴ ᾖ μοι παρ' ὑμῶν αὕτη ἡ παράκλησις.

Ο'ΛΥΜΠ. ὁ δὲ ΣΥ'ΜΜΑΧΟΣ, Καὶ γενέσθω τοῦτο μεταβούλημα ὑμῶν. ὁ μὲν διπλασιασμὸς, τοῦ, ἀκούσατέ μου, ἤτοι προσοχὴν ἐνεργάσασθαι βούλεται, ἢ καὶ τὴν τῆς ψυχῆς ἀθυμίαν ἐμφαίνει. ὁ δὲ νοῦς τοῦ στίχου τοιοῦτος· δέξασθε τὰ παρ' ἐμοῦ λεχθησόμενα, ἵνα μαθόντες ὅτι μὴ κατὰ λόγον ποιεῖσθε τὴν παράκλησιν, μεταβουλεύσησθε, καὶ ἀμείψητε τὴν τοῦ λόγου οἰκονομίαν καὶ μεταχείρησιν· ὡς νῦν γε ἡ παράκλησις ὑμῶν οὐκ ἔστι παράκλησις, ἀλλὰ προσθήκη τῶν ὀδυνῶν· Ἐπιξαίνετε γάρ μοι τὰ τραύματα, τὰς συμφορὰς ὀνειδίζοντες.

ΠΟΛΥΧΡ. Δέξασθέ, φησι, λέγοντα κἀμὲ, ὡς ἂν γνῶτε μὴ παρακλήσεως, ἀλλ' ἀγνοίας ἀφεῦντες λόγους· ὡς πρὸς ἅπαντας δὲ ἀποκρινόμενος λέγει, ἐπειδὴ καὶ μίαν εἶχον περὶ τῶν λεγομένων τὴν γνώμην· ὁ δὲ διπλασιασμὸς, τῆς ψυχῆς τὴν ἀθυμίαν ἐμφαίνει· τουτέστιν, ἵνα μάθητε, ὅτι οὐδὲν καρποῦμαι παρ' ὑμῶν, καὶ ὅτι, οὐχ οὕτως ἔχει ταῦτα.

ΚΕΙΜ. Ἄρατέ με, ἐγὼ δὲ λαλήσω· εἶτ' οὐ καταγελάσετέ μου.

Ο'ΛΥΜΠ. ὁ δὲ ΣΥ'ΜΜΑ. Καὶ μετὰ τοὺς λόγους μου στήσετε. διττὴ δὲ ἡ ἔννοια· ἤτοι γὰρ τοῦτο λέγει, ὑπομείνατε, καὶ βαστάσατέ με λέγοντα, καὶ οἶδα ὅτι ἐὰν ἐπιστήσητε τοῖς παρ' ἐμοῦ λεγομένοις, στήσεσθε, καὶ παυθήσεσθε καταγελῶντές μου. ἢ, ὅτι ἀναβαστάσατέ με, καὶ ἀνορθώσατε ὑπὸ τῆς νόσου συγκαμπτόμενον· μετὰ δὲ τὸ εἰπεῖν με ἃ βούλομαι, πάλιν με ἐπὶ τῆς προτέρας καταστήσατε κατακλίσεως.

ΔΙΔΥ'Μ. Ἀντὶ τοῦ, ἀνέγκατέ μου τοὺς λόγους, βαστάσατέ με λέγοντα, λογιζόμενοι ὅτι οὐχ ὑβριστικῶς χρῶμαι τῷ ἐλέγχῳ, ἀλλὰ πρὸς ἐπιστασίαν.

ΚΕΙΜ. Τί γάρ; μὴ ἀνθρώπου μου ἡ ἔλεγξις; ἢ διατί οὐ θυμωθήσομαι.

Ο'ΛΥΜΠ. Εἰς ὀργήν με, φησὶν ἐκκαλεῖσθε, τοιαῦτά μου καταψευδόμενοι. ἐπεὶ τὶς ἀνθρώπων ἐλέγξαι με δύναται ἀσεβῆ γεγονότα, ἢ ἅρπαγα, καὶ τῶν ἀλλοτρίων ἐραστὴν, ὡς ὑμεῖς ἀπεφήνασθε; ἐπεὶ οὖν μὴ ἔστι τις ὁ ἐλέγχων με, πῶς οὐ δικαίως θυμωθήσομαι καθ' ὑμῶν; ὅτι περὶ ὧν οὐκ οἴδατε, διαβεβαιοῦσθε, κατηγοροῦντές μου; ἢ κἀκεῖνο λέγει ὅπερ ὕστερον ὁ ἀπόστολος ἔφη, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστι. διὰ τοῦτο οὖν εἰς ὀργὴν κινοῦμαι, ὅτι τὸ σαφὲς οὐκ εἰδότες τὴν θείαν προλαμβάνετε κρίσιν.

ΚΕΙΜ. Εἰσβλέψαντες εἰς ἐμὲ, θαυμάσατε, (ὁ δὲ Ἀκύλας, ἐξαπορήθητε· ὁ δὲ Σύμμαχος, ἄφθογγοι γίνεσθε.) χεῖρα θέντες ἐπὶ σιαγόνι (οἱ λοιποὶ ἐπὶ στόματι).

ΥΟΥ.

ΤΟΥ ΑΥΤΟΥ. Οἱ μεθ' ἡσυχίας ἀκούοντες, ὡς τὰ πολλὰ τὸν ἀγκῶνα τῷ ἄκρῳ μηρῷ προσερείσαντες, καὶ τῇ χειρὶ τὸ πρόσωπον ἐπανακλίναντες, τοῖς λεγομένοις τὸν νοῦν προσέχουσι. λέγει οὖν ὅτι μεθ' ἡσυχίας καὶ προσοχῆς ἀκούσατέ μου, ἵνα θαυμάσητε τὰ λεγόμενα· καὶ οὕτω μὲν τινὲς τὸν στίχον ἐνόησαν. κατ' ἐμὲ δὲ κρεῖττον ἐκεῖνό φησιν· ἀναλογιζόμενοι τὰ κατ' ἐμὲ, θαυμάσατε, καὶ εἰς ἀμηχανίαν παρέστητε, μὴ εὑρίσκοντες αἰτίαν δι' ἣν πάσχω, καὶ ἐξαπορηθέντες, καὶ μὴ ἔχοντές τι εἰπεῖν, τὸν τῆς σιωπῆς δεσμὸν τῷ στόματι ἐπίθετε· οὕτω πέρα παντὸς λόγου τὰ ἐμὰ πάθη καθέστηκεν, ὡς ἄμεινον εἶναι ἐπὶ τούτοις σιγᾶν δι' ἀπορίαν, ἢ προπετῶς ἀποφαίνεσθαι, καὶ καταγινώσκειν μου.

ΚΕΙΜ. Ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα, ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι.

ΤΟΥ ΑΥΤΟΥ. Κἀνταῦθα οἱ ἑρμηνεύσαντες διήμαρτον. μετὰ σπουδῆς γάρ, φησὶν, ἐρῶ, καὶ συντόμως ἐπιμνησθήσομαι τῶν μελλόντων ῥηθήσεσθαι· οὐ γὰρ ἐῶσιν ἐμφιλοχωρῆσαι τῷ λόγῳ αἱ πολιορκοῦσαί μου τὰς σάρκας ὀδύναι. ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, ἐσπούδακα, ἐκδοὺς, θορυβοῦμαι, τοῦτο, οἶμαι, δηλοῖ, ὅτι ἐὰν καὶ μόνον μνησθῶ τῶν ἐμῶν κακῶν, ταράττομαι καὶ θορυβοῦμαι, καὶ οὐδὲ τὴν μνήμην ἀπαθῶς φέρω, ἀλλὰ καὶ ἡ ἀλγηδών μου τοῦ σώματος πρὸς ἑαυτὴν ἀντιπερισπᾷ, καὶ οὐκ ἐᾷ μετὰ τῆς προσηκούσης ἁρμονίας ποιεῖσθαι τοὺς λόγους.

ΧΡΥΣΟΣΤ. Ὅρα πανταχοῦ πῶς ἀπολογεῖται, πῶς τὰς ὀδύνας προτίθησι, πῶς λέγει τὴν αἰτίαν τῶν ῥηθησομένων ἐκείνων, ὅτι οὐκ οἴκοθεν, οὐδὲ ἀπὸ καταστάσεώς τινος, ἀλλ' ἀπὸ ταραχώδους ψυχῆς καὶ ἐσκοτισμένων λογισμῶν ταῦτα φθέγγεται.

ΚΕΙΜ. Διατί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ, καὶ ἐν πλούτῳ; καὶ τὰ ἑξῆς ἕως τοῦ στίχου ιζ'.

ΟΛΥΜΠ. Ἐπειδήπερ οἴεσθε σοφοί τινὲς εἶναι, καὶ τὰς αἰτίας εἰδέναι, καθ' ἃς ταῦτα πάσχω, ἐρωμένῳ μοι φράσατε. πόθεν πολλοὶ πολλάκις ἀσεβεῖς καταγηρῶσιν ἐν πλούτῳ; καὶ ἀφθόνως μὲν αὐτοῖς ἀνίησιν ἡ γῆ τοὺς καρπούς; ἐφήδονται δὲ τῇ εὐπαιδίᾳ, καὶ πανταχόθεν αὐτοῖς συντρέχει τὰ ἀγαθά; καὶ οὐδὲ ἡ ἄλογος αὐτοῖς φύσις ποτὲ ἐδυσπράγησε; μένουσι δὲ ἐν ταῖς εὐπραγίαις ὡς πρόβατα, ἀντὶ τοῦ, ἀφρόντιδες, οἱονεὶ θείας τινὸς καὶ ἀθανάτου μοίρας ἐπειλημμένοι, καὶ ἀνθρωπίνης τληπαθείας ἔξω τυγχάνοντες; ἐν εὐφροσύνῃ δὲ αὐτοῖς καὶ τὰ τέκνα διαπλεῖ, καὶ μουσικοῖς ὀργάνοις ἐπιτέρπεται; καὶ ἐν ἀφθονίᾳ πολλῇ τῶν δεόντων παρὰ πάντα τὸν βίον ἑορτάζονται, καὶ συμπλουτοῦσι τοῖς ἀγαθοῖς; καὶ ταῦτα ἐναργῶς θεομαχοῦντες, καὶ οὐδὲ μίαν τῶν θείων ἐντολῶν λαμβάνοντες ἔννοιαν; τοιαῦτα μὲν τῶν στίχων ἡ δύναμις· χρὴ δὲ ἴσως καὶ ἕκαστον στίχον καθ' ἑαυτὸν ἐξετάσαι.

ΚΕΙΜ. Διατί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ, καὶ ἐν πλούτῳ;

ΧΡΥΣΟΣΤ. Τοιοῦτόν τι καὶ Δαβὶδ ψάλλει, ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθ-

εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέχον πλοῦτον. καὶ νῦν ὁ Ἰὼβ οὐ τούτῳ μόνῳ, φησὶ, θαυμάσαι χρὴ, ὅτι ἀντὶ πονηρίας τοιαύτας λαμβάνουσι τὰς ἀμοιβὰς, ἀλλ᾽ ὅτι καὶ αὐτὴ ἡ εὐπραγία χείρονας αὐτοὺς ποιεῖ.

ΩΡΙΓΕ'ΝΟΥΣ. Τὸ μέντοι πεπαλαίωνται ἐν πλούτῳ, εἶπεν, ἀντὶ τοῦ, οὐκ εἰσὶ νεόπλουτοι, ἀλλ᾽ ἐκ νεότητος, καὶ μέχρι γήρως πλουτοῦντες διετέλεσαν.

ΚΕΙΜ. Ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς.

ΟΛΥΜΠ. Τουτέστιν, οὐδεὶς ἐν αὐτοῖς ἄγονος, ἀλλὰ πάντες γόνιμοι, σπέρμα, καὶ τέκνα ἔχουσι· τοῦτο γάρ ἐστι, τὸ, κατὰ ψυχὴν, ἀντὶ τοῦ, ὁ καθ᾽ ἕνα πατὴρ ἐστί. τὸ δὲ, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς, ὁ Σύμμαχος διαμένει ἔμπροσθεν αὐτῶν, ἐξέδωκε. γλυκὺ γὰρ πατράσι θέαμα παῖδες ὁρώμενοι, καὶ τοῖς παιδικοῖς αὐτοὺς ψελλίσμασι τέρποντες.

ΚΕΙΜ. Οἱ οἶκοι αὐτῶν εὐθηνοῦσι, φόβος δὲ οὐδαμοῦ, μάστιξ δὲ παρὰ Κυρίου οὐκ ἔστιν ἐπ᾽ αὐτοῖς.

Η῞ΔΟΝΤΑΙ, Φησι, τοῖς τέκνοις εὐθηνοῦσιν, οὐδεμίαν διαλαβοῦνται, οὐ δεδοίκασι τῆς εὐπραγίας μετάπτωσιν, οὐ δέχονται πληγὴν θεήλατον. τινὲς δὲ τὸ, ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν, οὐ περὶ τοῦ σπέρματος τῶν παίδων ἐνόησαν, ἀλλὰ περὶ τῶν ἐν τῇ γῇ καταβαλλομένων σπερμάτων· ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον· κομῶσιν αὐτοῖς τὰ λήϊα, οὐδαμοῦ ἀφορία· κατὰ ψυχὴν δὲ καὶ καθ᾽ ἕνα ἕκαστον παρ᾽ αὐτοῖς ἡ τῶν σπερμάτων δαψίλεια. ἀμείνων δὲ οἶμαι ἡ προτέρα ἐκδοχή.

ΚΕΙΜ. Ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν. (ὁ Σύμμαχος, οὐκ ἐξέτρωσε, τουτέστιν, ἀτελῆ, καὶ νεκρὰν γονὴν ἡ γεωργικὴ βοῦς οὐκ ἤνεγκε.) διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα, καὶ οὐκ ἔσφαλεν.

Ὁ δὲ Ἀκύλας, δάμαλις αὐτῶν· ἵνα πάλιν εἴπῃ, ὅτι ἡ βοῦς οὐκ ἐξέβαλλεν ἀτελὲς τὸ ἐγκυμονούμενον, οὐδὲ ἄωρον τὸ ἔμβρυον ἀπεκύησεν, ἀλλὰ διεσώθη, καὶ τέλειον ἔτεκε, καὶ οὐκ ἀπέτυχε. τινὲς δὲ περὶ γυναικὸς εἰρῆσθαι ταῦτα ὑπέλαβον, ὅτι καὶ αἱ παρ᾽ αὐτοῖς γυναῖκες οὐκ ἐξέτρωσαν ἀμβλωθρίδια.

ΚΕΙΜ. Μένουσι δὲ ὡς πρόβατα αἰώνια.

Ἤτοι τοῦτο, φησιν, ὅτι μένουσιν αὐτοῖς καὶ τὰ πρόβατα ὡς αἰώνια, μηδεμιᾶς λοιμώδους νόσου ἢ φθορᾶς αἰσθανόμενα· ἢ, ὅτι αὐτοὶ μένουσι μακρόβιοι, καὶ εἰς πλῆθος ἐπιδιδόντες, καθάπερ τὰ πρόβατα, καὶ ταῖς ἐπιγοναῖς τὴν ἀθανασίαν μιμούμενοι.

ΚΕΙΜ. Τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν, ἀναλαβόντα ψαλτήριον, καὶ κιθάραν, καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ.

ΩΡΙΓΕ'ΝΟΥΣ. Ἄλλη πατέρων εὐδαιμονία, τῶν παίδων ἡ εὐφροσύνη, ἣν ἀποπληροῦσιν αὐλοὶ, καὶ κιθάραι,

ϰ̀ τύμπανα, ὑφ' ὧν αἱ μὲν ἀκοαὶ καταυλοῦνται, αἱ δὲ τῆς ψυχῆς ἡδοναὶ διεγείρονται, ϰ̀ οἱ παρόντες τῇ ἀκολάστῳ μελῳδίᾳ κατακηλοῦνται, ἣν οἱ τῶν ἀσεβῶν παῖδες ἀσελγῶς ἐργάζονται, ταῖς ἐκπεταμέναις νάβλαις τὰς χεῖρας ἑαυτῶν ἐπιβάλλοντες, καὶ πρὸς τὴν φωνὴν τῶν ὀργάνων ἐπικροτοῦντες.

ΚΕΙΜ. Συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τουτέστιν, οὐδὲν διάλειμμα τῆς εὐπραγίας αὐτοῖς ἐγένετο, ἀλλ' ἐν βίῳ τελείῳ τοῖς σωματικοῖς ἀγαθοῖς ἐντρυφῶντες διετέλεσαν, ϰ̀ πέρας αὐτοῖς εὐδαιμονίας τὸ τῆς ζωῆς πέρας ἐγένετο, παραταθείσης μέχρι τελευτῆς τῆς εὐημερίας.

ΚΕΙΜ. Ε'ν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Α'ντὶ τοῦ, μέχρι θανάτου ἀναπαυόμενοι, ϰ̀ εὐθυμοῦντες ἀβασάνιστοι εἰς ᾅδην κατέρχονται· ἢ, ὅτι οὐδὲ αὐτὸς ὁ θάνατος πικρὸς αὐτοῖς γίνεται, ἀλλ' ὥσπερ ὑπνοῦντες, οὕτως ἀποθνήσκουσιν· ἢ ὅτι οἱ μὲν ἄλλοι ἐν τῷ ζῆν κακοπαθοῦσι καὶ ταλαιπωροῦνται, ἀποθανόντες δὲ ἀναπαύονται· οὗτοι δὲ περὶ ὧν ὁ λόγος, πᾶσαν τὴν ζωὴν ἐν εὐθυμίᾳ διηνυκότες, οὕτως εἰς τὴν ἐν τῷ θανάτῳ ἦλθον ἀνάπαυσιν.

ΚΕΙΜ. Λέγει δὲ Κυρίῳ, ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι.

Συνεκτεινομένην, φησὶ, βίῳ παντὶ τὴν εὐπάθειαν ἔχουσι, ϰ̀ ταῦτα τοῦ Θεοῦ ἐναργῶς ἀφιστάμενοι, καὶ ἀνερυθριάστως λέγοντες πρὸς αὐτὸν, τί παρενοχλεῖς ἡμῖν, νόμους ἐπιτάττων; τὰς ἐντολάς σου ἀπαναινόμεθα, ϰ̀ εἰδέναι ταύτας οὐ θέλομεν, οὐδὲ οἰκείως ἔχειν πρὸς αὐτὰς, ἢ περιπατεῖν ἐν αὐταῖς.

ΚΕΙΜ. Τί ἱκανὸς, ὅτι δουλεύσομεν αὐτῷ; καὶ τίς ὠφέλεια ὅτι ἀπαντήσομεν αὐτῷ;

Ο'ΛΥΜΠ. Ω'ς ἐκ προσώπου τῶν ἀσεβῶν ὁ λόγος· ἔοικε δὲ, τῷ, ὥσπερ ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. τίς γάρ ἐστι φησὶν, ὁ ἱκανὸς, τουτέστιν, ὁ παντοδύναμος λεγόμενος Θεός; τί δὲ πλέον ἡμῖν ἔσαι παρ' αὐτοῦ, ἵνα διὰ τοῦτο τὴν αὐτοῦ λατρείαν ϰ̀ θεραπείαν ἑλώμεθα; τί δὲ ὠφεληθησόμεθα, ἐὰν εἰς τὴν αὐτοῦ προσκύνησιν ἐπιπίπτοντες ἔλθωμεν; τὸ γὰρ, ὅτι ἀπαντήσομεν, φασὶν ἐκ μεταφορᾶς τῶν τοῖς ἐνδόξοις προσώποις προαπαντωμένων, καὶ τιμῆς χάριν εἰς ἀπάντησιν αὐτοῖς ἐρχομένων. εἶτα τίθησι τὴν αἰτίαν δι' ἣν τὰ τοιαῦτα λέγουσιν, ἵνα δείξῃ, ὅτι ἄπονον εἶχον τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν.

ΚΕΙΜ. Ε'ν χερσὶ γὰρ ἦν αὐτῶν τὰ ἀγαθά.

Ταῦτα διανοοῦντες φησὶν, ἐν ὅσῳ μὴ κολάζονται, ἀλλ' ἐν ἀφθόνοις διάγουσι τοῖς βιωτικοῖς ἀγαθοῖς, τοῦ Θεοῦ πως ἀνεξικακοῦντος, καὶ φασὶν, ἔχομεν πάντα ἐν χερσὶν, οἴκοθεν κτώμεθα τὰ ἴδια· τί πλέον ἡμᾶς ὠφελήσει Θεὸς, ἵνα τὰς ὁδοὺς αὐτοῦ καὶ τὰς ἐντολὰς τηροῦντες πονήσωμεν;

ΚΕΙΜ. Ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ.

ΤΟΥ ΑΥΤΟΥ Ἔδοξέ τισιν ὡς ἀπὸ τῶν ἀσεβῶν εἶναι καὶ οὗτος ὁ λόγος, φασκόντων, ὡς εἰκός, ταῦτα Θεὸς ἐφορᾷ; περὶ ταῦτα καταγίνεται; ἀμενοῦν· οὐδὲν αὐτῷ μέλλει τῶν παρὰ ἀνθρώποις πραττομένων. τάχα δὲ καὶ τῷ Ἰὼβ ἁρμόσει τὰ ῥήματα, θαυμάζοντι τοῦ Θεοῦ τὸ ἄγαν μακρόθυμον, καθ' ὃ οὐ κολάζει παρὰ πόδας τοὺς ἀσεβεῖς, ἀλλ' ἀτιμωρητὶ ἐᾷ τούτους ἁμαρτάνειν, ὡς ἂν εἰ μὴ ἑώρα τὰ παρ' αὐτῶν γινόμενα.

ΚΕΙΜ. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν λύχνος σβεσθήσεται, ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφή· ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς· ἔσονται δὲ ὥσπερ ἄχυρα ὑπ' ἀνέμου, ἢ ὥσπερ κονιορτὸς ὃν ὑφείλετο λαῖλαψ. ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ.

ΟΛΥΜ. Εἰ καὶ ἀνεξικακεῖ, φησίν, ὁ Θεός, ἀλλ' οὖν πάντως μετελεύσεται τοὺς ἀσεβεῖς, καὶ ἀποσβεσθήσεται μὲν αὐτοῖς ἡ τοῦ βίου λαμπρότης, ὥσπερ λύχνος ἀνέμου πνεύσαντος, ἢ τοῦ ἐλαίου ἐκλιπόντος· πικροὶ δὲ πόνοι αὐτοὺς διαμερίσονται, μιμούμενοι ὠδῖνας τικτούσης· λικμηθήσονται δὲ καὶ τὰ αὐτῶν ἅπαντα, καὶ εἰς ἑτέρους μετενεχθήσονται, ὥσπερ ἄχυρα ὑπὸ πνεύματος, ἢ κόνις ὑπὸ λαίλαπος, καὶ οὐ διαδέξονται ταῦτα οἱ παῖδες αὐτῶν. εἰς ταὐτὸν δὲ ἄγει, τό, ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ, κατὰ τοὺς Ἑβδομήκοντα, καὶ τό, ὁ Θεὸς κατακρύψει τοῖς υἱοῖς αὐτοῦ ἀδικίας αὐτοῦ, κατὰ Θεοδοτίωνα. ἐπειδὴ γὰρ τὰ τέκνα τοῦ ἀσεβοῦς κατὰ τὴν κακίαν πατρώζουσιν, εἰκότως, φησίν, αὐτόν τε τιμωρηθήσεται ὁ Θεός, καὶ τοῖς παισὶν αὐτοῦ ταμιεύσεται τὰς ἀδικίας αὐτοῦ, τουτέστι, τὴν ὑπὲρ τῶν ἀδικιῶν κόλασιν, καὶ οὐκ ἐάσει εἰς αὐτοὺς διαβῆναι τὸν πατρῷον κλῆρον. ὅμοιον, τό, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα.

ΚΕΙΜ. Ἀνταποδώσει πρὸς αὐτὸν καὶ γνώσεται.

ΤΟΥ ΑΥΤΟΥ Ὅμοιον, τό, γινώσκεται Κύριος κρίματα ποιῶν. ὅταν γὰρ ὁ ἀσεβὴς τῆς θείας ἀνταποδόσεως πειραθῇ, τότε αἰσθάνεται καὶ γινώσκει, ὅτι Θεὸς ἐφορᾷ τὰ πραττόμενα, καὶ ἔστι τις τοῖς ἀσεβέσιν ἀποκειμένη ποινή· ἐπειδὴ γὰρ ἐν ἀφθόνοις διάγων ἐξύβρισεν εἰς Θεόν, καὶ καὶ οὐκ ἐφορᾶν αὐτὸν ᾤετο τοὺς ἁμαρτάνοντας, ἀλλ' ἀτιμωρήτους ἐᾶν, τότε χάριν τῶν ἡμαρτημένων αὐτὸν εὐθύνας ἀπαιτεῖ, ὡς ἂν διὰ τῆς πληγῆς ἐπιγνῷ τήν τε τοῦ Θεοῦ δικαιοκρισίαν, καὶ τὴν ἑαυτοῦ ἀδικίαν καὶ ἀσέβειαν.

ΚΕΙΜ. Ἴδοισαν, οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγὴν ἀπὸ δὲ Κυρίου μὴ διασωθείη· ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν.

ΣΦΑΓΗ'Ν λέγει τὴν ἀπώλειαν, ἢ τὴν πτῶσιν, κατὰ Σύμμαχον. αὐτόπτης οὖν, φησί, τῆς ἰδίας ἀπωλείας καταστήσεται, οὐδὲ μίαν ἔχων ἐκ Θεοῦ

βοή-

βοήθειαν, ἐπειδὴ τὸ οἰκεῖον θέλημα πρὸς πονηρὸν, ἀλλ' οὐ τὸ τοῦ Θεοῦ τὸ ἀγαθὸν προέκρινεν· ἀλλὰ καὶ πρὸ καιροῦ τελευτήσει, φησὶ, διαιρεθήσεται γὰρ ὁ χρόνος αὐτοῦ τῆς ζωῆς, ἢ κατὰ Θεοδοτίωνα, καὶ Ἀκύλαν, ἡμισευθήσεται, καὶ ὀλιγοχρόνιος οἰχήσεται. τοιοῦτον καὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο περὶ τῶν ἀσεβῶν εἰρημένον, ὅτι οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.

ΚΕΙΜ. Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην;

Ὁ δὲ ΣΥΜΜΑΧ. Μὴ τὸν Θεὸν διδάξει τις ἐπιστήμην; ἐπειδὴ ἀνωτέρω εἶπε, τοὺς μὲν τῶν ἀσεβῶν παρ' αὐτὰ κολάζεσθαι, τοὺς δὲ παρ' ὅλον τὸν βίον ἀτιμωρήτους μένειν, ἔστι δὲ ὅτε καὶ τοὺς μηδὲν ἡμαρτηκότας συγχωρεῖσθαι πάσχειν· ᾧ τινι λόγῳ, φησὶ, Θεὸς ταῦτα ποιεῖ, οὐχ ἡμέτερον εἰδέναι, εἰ μήγε αὐτὸς ὁ Κύριος θελήσοι συνετίσαι τινὰ καὶ τὴν περὶ τούτων ἐπιστήμην χαρίσασθαι; ταύτης γὰρ τῆς δοκούσης παρὰ ἀνθρώποις ἀνωμαλίας τίς τοὺς λόγους οἶδε; τίς τοῖς τῆς προνοίας ἐμβατεύει κρίμασι; ἢ πάντως οὐδεὶς, εἰ μὴ ὁ τῶν γνώσεων Κύριος, ὁ μὴ δεόμενος τοῦ διδάξαντος, ἀλλὰ καὶ ἄλλους σοφίζων χάριτι.

ΚΕΙΜ. Αὐτὸς δὲ σοφοὺς διακρινεῖ.

Μόνος, φησὶ, τὰς τούτων αἰτίας οἶδεν ὁ πάνσοφος Θεὸς, ὁ καὶ τοὺς παρὰ ἀνθρώποις σοφοὺς διακρίνων, καὶ τοὺς μὲν θεοσόφους ἐγκρίνων, τοὺς δὲ τὴν ἀνθρωπίνην μετιόντας σοφίαν ἀποδοκιμάζων.

ΚΕΙΜ. Οὗτος ἀποθανεῖται ἐν κράτει ἀφροσύνης αὐτοῦ, ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν, τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος, μυελὸς δὲ αὐτοῦ διαχεῖται· ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς, οὐ φαγὼν οὐδὲν ἀγαθόν. ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται, σαπρία δὲ αὐτοὺς ἐκάλυψεν.

Τοῦ αὐτοῦ. Τούτων, φησὶ, τοὺς λόγους τίς οἶδεν, εἰ μὴ Θεός; πῶς ὁ μέν τις ἄφρων καὶ ἀσεβὴς ὢν, ἐν τῇ ἐπικρατείᾳ τῆς ἀφροσύνης ἀποθνήσκει, τῷ μυελῷ τῶν ὀστέων ἀρδόμενος, κατὰ Σύμμαχον, τουτέστι, πλήρης πάσης σαρκικῆς εὐπαθείας καὶ εὐεξίας· τοῦτο γὰρ σημαίνει διὰ τῆς πιότητος τῶν σαρκῶν καὶ μυελῶν. ἕτερος δέ, ἴσως που καὶ δίκαιος, μὴ γλυκανθεὶς, μηδὲ μετασχὼν μηδενὸς ἀγαθοῦ τῶν ἐν ἀνθρώποις, τελευτᾷ τὸν βίον, καὶ ἀμφότεροι τὸν κοινὸν ὑπομένουσι θάνατον, καὶ τὴν αὐτὴν τοῦ σώματος σῆψιν τε καὶ ἀνάλυσιν. πῶς ταῦτα γίνεται, καὶ διατί; πῶς ὁ μέν τις τελευτᾷ ἐπικρατησάσης αὐτοῦ τῆς ἀφροσύνης, τουτέστι, τῆς ἁμαρτίας, ὁ δὲ τοὐναντίον, καὶ ὁμοίως ἄμφω σήπονται; οὐχ οἷόν τε οὖν ἐκ τοῦ κοινοῦ τὸ ἴδιον συνιδεῖν. κοινὰ γὰρ ἀμφοῖν τὰ τῇδε συμβαίνοντα. Θεοῦ δὲ μόνου τὸ διακρίνειν τὴν τούτων διαφοράν.

ΚΕΙΜ. Ὥστε οἶδα ὑμᾶς, ὅτι τόλμῃ ἐπίκεισθέ μοι (ὁ δὲ Σύμμαχος, οἶδα τὰς ἐνθυμήσεις ὑμῶν, καὶ τὰς ἐννοίας

ὑμῶν

ὑμῶν τὰς ἀδίκως κατ' ἐμοῦ.) ὥστε ἐρεῖτε, ποῦ ἐστὶν οἶκος ἄρχοντος; καὶ ποῦ ἐστὶν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν;

ΟΛΥΜΠ. Ταῦτα συνορῶν, φησὶ, καὶ ὅτι μόνος ὁ Θεὸς τὴν ἀκριβῆ τούτων ἔχει κατάληψιν, οἶδα ὅτι ὑμεῖς οὐ γνώσει, ἀλλὰ θράσει καταπεμβαίνετέ μου, ὡς ἀσεβοῦς καὶ ἁμαρτωλοῦ, καὶ τὴν θείαν προλαμβάνοντες κρίσιν, λέγετε, ποῦ ἐστὶν ὁ οἶκος τοῦ πρὶν εὐδαίμονος; ποῦ τὸ γένος; ποῦ τὰ ὑπάρχοντα; ποῦ ὁ πολὺς πλοῦτος; ποῦ ἡ τῶν οἰκοδομημάτων κατασκευή; οἴχεται ταῦτα πάντα τοῖς ἀσεβέσι, διόλωλεν, ἐξηφάνισται· οὐδὲν οὐδαμοῦ περιλέλειπται, οὐκ ἴχνος, οὐ λείψανον, οὐ μνημόσυνον· παρὰ ταῦτα καὶ τὸ σὸν ἐξέταζε, καὶ ὅρα ποίας καὶ τὰ κατὰ σὲ μερίδος ἐστίν.

ΚΕΙΜ. Ἐρωτήσατε παραπορευομένους ὁδὸν, καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε· ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρὸς, εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται.

Πλὴν, φησὶ, εἰ καὶ ἀνωμαλία τις ἐν τῷ δὲ τῷ βίῳ ὁρᾶται, ἀλλ' ἐγὼ οὐ δίδωμι πλέον ἔχειν ἀρετῆς τὴν κακίαν· φημὶ δὲ, ὅτι ὥσπερ τοῖς ὁδοιπόροις τοῖς τὴν ὁδὸν παραπορευομένοις δῆλά ἐστι τὰ τῆς ὁδοῦ σημεῖα, καὶ τὰ καταγώγια τὰ μετὰ τὴν ὁδοιπορίαν ἕκαστον ὑποδεξόμενα· οὕτω καὶ οἱ τὴν ὁδὸν τοῦ βίου παροδεύοντες ποῦ τελευτήσουσιν, οὐκ ἀσυμφανές. κἂν γὰρ πρὸς καιρὸν ὁ πονηρὸς ἐπαίρηται, καὶ μετεωρίζηται, ἀλλ' ἄξιον πάντως τῆς αὐτοῦ πονηρίας καὶ κατάλληλον εὑρήσει τὸ κατάλυμα· ἡμέρα γάρ τις αὐτὸν ἀπωλείας καὶ θείας ὀργῆς ἀπεκδέχεται. τὸ δὲ, κουφίζεται, συντηρεῖται μὲν, ὁ Σύμμαχος, ὑπεξαιρεθήσεται δὲ, ὁ Ἀκύλας ἐκδέδωκε· δηλοῖ δὲ, ὅτι φυλάττεται καὶ ταμιεύεται εἰς ἡμέραν κολάσεως.

ΚΕΙΜ. Τίς ἀπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ; καὶ αὐτὸς ἐποίησε, τίς ἀνταποδώσει αὐτῷ; καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη, καὶ αὐτὸς ἐπὶ σορῶν ἠγρύπνησεν;

ΤΟΥ ΑΥΤΟΥ. Ὥσπερ, φησὶν, ἐὰν ἐρωτήσωμεν τοὺς τῶν ὁδῶν διαγνώμονας, ποῦ μὲν αὕτη ἡ ὁδὸς ἀπάγει, ποῦ δὲ ἐκείνη, καὶ ἀκούσωμεν, φέρε εἰπεῖν, ὅτι ἡ μὲν εἰς ἀναπαύσεις καταλήγει, καὶ χαριέσσας καταγωγὰς, ἡ δὲ εἰς ὄρη τελευτᾷ, καὶ ἐρημίας, καὶ βάραθρα, οὐκ ἀπαλλοτριοῦμεν αὐτῶν τὰ σημεῖα, τουτέστιν, οὐκ ἀποποιούμεθα, οὐδ' ἀποδοκιμάζομεν, ἀλλ' ὡς οἰκεῖα καὶ σαφῆ, καὶ ὁμολογούμενα, οὕτω ταῦτα δεχόμεθα καὶ πιστεύομεν, ὅτι πάντη καὶ πάντως τοιαῦτα εὑρήσομεν, οἷα καὶ ἠκούσαμεν· οὕτως ἔδει καὶ τοῖς παρανομοῦσι γνωρίζεσθαι τὸ τέλος τῆς αὐτῶν ζωῆς τε καὶ πολιτείας. τίς οὖν τοῦτο ποιήσει; τίς κατὰ πρόσωπον, καὶ μετὰ παῤῥησίας τῷ ἐν πονηρίᾳ ζῶντι καὶ ἀδρομοῦντι ἀπαγγελεῖ τὴν ὁδὸν αὐτοῦ, καὶ τὸ ταύτης συμπέρασμα; τίς δὲ ἄρα, κἂν ἀτάσθαλόν τι καὶ ὑβριστικὸν εἰς αὐτὸν ἐργάσαιτο, ἀμυνεῖται αὐτὸν, καὶ τοῖς ἴσοις ἀμείψεται; τίς δὲ μηδὲν ὑποστειλάμενος, διδάξει αὐτὸν

τῆς

τῆς φύσεως τὴν ἀτέλειαν, καὶ εἰς συναίσθησιν αὐτὸν ἀγάγοι, ὅτι βραχύν τινα δρόμον ἐν βίῳ δραμὼν, εἰς τάφους ἀπενεχθήσεται, καὶ τὰς πολλὰς αὐτοῦ φροντίδας καὶ ἀγρυπνίας ἡ σορὸς ἐκδέξεται, καὶ οἱ τρεῖς πήχεις, καὶ ὀλίγοι λίθοι, καὶ κόνις βραχεῖα τὸν τοῦ σώματος πηλὸν συγκαλύπτουσα; νοήσεις δὲ καὶ ὧδε· τίς τῷ ἀσεβεῖ εἰς πρόσωπον εἴποι, θάνατον εἶναι τὸ τέλος τῆς αὐτοῦ πολιτείας; ὥστε κατανυγῆναί τε αὐτὸν, καὶ τὴν σορὸν λογιζόμενον ὑπὸ φροντίδος ἀγρυπνῆσαι.

ΚΕΙΜ. Ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάρρου, καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελάσεται, καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι.

ΟΛΥΜΠ. Τί βούλεται ὁ χειμάρρους ἐνταῦθα, τί δὲ οἱ γλυκαινόμενοι χάλικες; τίς ὁ ἐν τούτοις κρυπτόμενος νοῦς, οὐκ ἔχω πῶς ἢ τὰς χάλικας τῷ κόλπῳ τῆς διανοίας ἀσφαλῶς ἐναποθῶμαι, ἢ τὸν χειμάρρουν ἀπροσκόπτως ναῶν διαβήσομαι, δίχα τινὸς ὁδηγοῦ καὶ συγκάμνοντος. αὐτὸς οὖν, ὦ μακάριε, ὁ πάντα φιλοσοφῶν, ὑπόλαβε ἡμᾶς, καὶ ξενάγησον, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἐπὶ τὴν λείαν ὁδὸν ἀπαγάγῃς, δι' ἧς ἀθυπορήσομεν, καὶ τῆς ἀληθείας οὐκ ἀποσφαλησόμεθα. ὡς νῦν γε καθάπερ ἐν τριόδῳ ἀπειλημμένοι, οὐκ οἴδαμεν ποίαν ὁδὸν ἐννοίας βαδίσομεν· ἆρα γὰρ τοῦτο λέγεις, ὦ σοφὲ καὶ γενναῖε; ὅτι τῷ ἀσεβεῖ καὶ φιλαμαρτήμονι καὶ αὐτὸ τὸ χειμαρροειδὲς ὄρυγμα, τὸ μετὰ τελευτὴν τὸ σῶμα αὐτοῦ ὑποδεξόμενον, καὶ οἱ ἐπιβληθησόμενοι ἄνωθεν λίθοι καὶ χάλικες γλυκύ τι δοκοῦσιν, ἀλλ' οὐκ ἀηδὲς οὐδὲ ξενίζον λογιζομένῳ, ὅτι οὐ μόνος αὐτὸς τεθνήξεται, ἀλλ' ἄπειροι μὲν ἤδη πρὸ αὐτοῦ τὸ ποτήριον τοῦτο ἔπιον, πάντες δὲ πάντως μετ' αὐτὸν πίονται· ἢ τοῦτο μὲν οὐχὶ, ἐκεῖνο δὲ φῇς; ὅτι κἂν τοσαύτη τὶς ἀφορία τῷ πονηρῷ γένηται, ὡς καὶ τὴν ἄκαρπον γῆν, ὁποία τις ἡ κεχαραδρωμένη καὶ λιθώδης, καρποφόρον αὐτῷ γενέσθαι· ὅμως οὐδὲν ἧττον θνητός ἐστιν, ὥσπερ πάντες ἄνθρωποι, ὅσοι τε γεγόνασι, καὶ ὅσοι γενήσονται. ἢ τούτων μὲν οὐδέτερον, ἄλλο δέ τι τυγχάνει παρὰ σοῦ μυστικῶς γνωμολογούμενον; ὅτι οἱ τοῦ χειμάρρου χάλικες, τουτέστιν, ἡ τραχύτης καὶ ἀνωμαλία τοῦ παροδικοῦ τοῦδε καὶ προσκαίρου βίου, καὶ δίκην χειμάρρου παρατρέχοντος, ἐν ἡδονῇ ἐστὶ τῷ ἀσεβεῖ, καὶ τοῖς ἡδέσι τοῦ κόσμου θελγόμενος, οὐδὲ ἐπὶ τῷ θανάτῳ ξενίζεται, ὧν οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, πάντες δὲ ὅμως ὑποστησόμεθα.

ΚΕΙΜ. Πῶς δὲ παρακαλεῖτέ με κενά; τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν.

ΤΟΥ ΑΥΤΟΥ. Οἱ χρηστοὶ, φησὶν, οὐδὲ ἀκαίρως τὴν πρὸς ἐμὲ παράκλησιν ἐποιήσατε· οὐ γὰρ ἐψυχαγωγήσατε, μᾶλλον ἢ τὰ τραύματα ἀνεξαίνατε, καὶ οὐδὲν ἰσχυρὸν εἰρήκατε, ὥστε με δυσωπηθέντα σιγῆσαι, καὶ παύσασθαι ἀφ' ὑμῶν· ἀλλ' αἱ ἀντιρρήσεις ὑμῶν ἀνεπιστημόνως ἐλήφθησαν, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθησαν ἤτοι τὴν ἐμὴν λύπην καταπαῦσαι, ἢ ἐμὲ κατασιγᾶσαι τῷ ἀναντιρρήτῳ τῆς ἀποδείξεως ἐπιστομισθέντα.



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΞΚΑΙΔΕΚΑΤΟΥ

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

Ἔσκωπτον μὲν οἱ φίλοι τὸν Ἰὼβ ἐφ' ἁμαρτίαις, τὰς κακώσεις ἐξ ἀνάγκης ἕπεσθαι τοῖς πλημμελοῦσιν, ἀποφαινόμενοι· ὁ δὲ τοῖς παρ' αὐτῶν ἀντικαθιστάμενος, προβληματικῶς αὐτοὺς ἠρώτησεν, εἰ ταῦτα οὕτως, ὡς ὑμεῖς φατὲ, πάντοτε καὶ πάντως γίνεται, τίνι τῷ τρόπῳ, πολλοὺς ὁρῶμεν τῶν ἀσεβῶν μέχρι τέλους εὐθηνηθέντας, καὶ τὸν βίον σὺν εὐημερίᾳ καταλύσαντας; πρὸς ταῦτα ὁ Ἐλιφὰζ ἀπορεῖ μὲν ἀνταποκρίνασθαι· εἰς ἑτέρας δὲ τρέπεται ὕβρεις, καὶ ἀπηνέστερον περιυβρίζει τὸν δίκαιον, ἐγκλήματα περιτιθεὶς αὐτῷ, ἃ τοῖς φαυλοτάτοις τῶν ἀνθρώπων μόλις κατείργασται. ἱκανῶς δὲ αὐτὸν πλύνας ταῖς ὕβρεσιν, εἰς παραίνεσιν τρέπεται, καὶ συμβουλεύει πρὸς μετάνοιαν ἐπιστρέφειν, ὡς ἂν τῆς θείας εὐμενείας ἐπιτυχὼν, τήν τε παλαιὰν εὐδαιμονίαν ἀπολάβοι, καὶ ἔλεων τὴν παντοδύναμον τοῦ Θεοῦ κτήσαιτο δεξιάν. πρὸς μὲν οὖν τὸν Ἰὼβ ταῦτα λεγόμενα, ἀναρμόστως ἔχει, χρήσιμα δὲ ἄλλως· οὐ γὰρ κακίας μόνον ἀποστῆναι διδάσκει, ἀλλὰ καὶ ἀγαθοεργεῖν ἐκπαιδεύει, ὡς τῆς θείας δίκης οὐ μόνον τοὺς ἐπιτηδεύοντας κακίαν, ἀλλὰ καὶ τοὺς μὴ τὰς ἀγαθὰς ἐκτελοῦντας πράξεις, ταῖς τιμωρίαις καθυποβαλλούσης. ἐπειδὴ τοίνυν, χρήσιμά εἰσι τὰ τῶν φίλων ῥήματα, κἂν ἐκμελῶς πρὸς τὸν δίκαιον εἴρηνται, διὰ τοῦτο, καὶ ἡ θεία χάρις γραφῇ παραδοθῆναι ταῦτα ᾠκονομήσατο· τὰ γὰρ οἰκονομούμενα ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἀναγραφῆς ἀξιωθῆναι, διὰ τοῦτο ἀναγράφεται, ὑπὲρ τοῦ τὸν ἐντυγχάνοντα ὠφελεῖσθαι ἐκ τῶν ἀναγινωσκομένων· εἰ μὴ οὖν χρήσιμοι ἦσαν οἱ λόγοι τῶν τριῶν τῶν παραγενομένων πρὸς τὸν Ἰὼβ, οὐκ ἂν ἡ πρόνοια εἰς τὴν βίβλον τοῦ Ἰὼβ ἐποίησεν ἀναγραφῆναι καὶ τοὺς λόγους τῶν τριῶν. ἔστιν οὖν ὠφεληθῆναι ἀπὸ τῶν λόγων αὐτῶν ὀρθοῦντα τοῖς δόγμασιν, ὁρᾷν δὲ τὸ ὑπαίτιον περὶ ἓν μόνον ὅτι αἰτιῶνται τὸν Ἰὼβ, οἰόμενοι αὐτὸν πάσχειν διὰ τὰ ἡμαρτημένα αὐτῷ, οὐχ ὁρῶντες, ὅτι καὶ ἄλλα πολλὰ αἴτιά ἐστι τοῦ συμβαίνειν ἀνθρώποις τὰ τοιαῦτα. ἀλλ' ἴδωμεν τί φησιν ὁ Ἐλιφὰζ πρὸς τὸν δίκαιον.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει, πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην.

ὈΛΥΜ. Τοῦτο τοῦ Ἰὼβ εἰρηκότος, συντρέχει τῷ λόγῳ καὶ ὁ Ἐλιφὰζ, καὶ φησὶν, οἶδα κἀγὼ ὅτι τοὺς λόγους δι' οὓς ὁ μέν τις ἀσεβὴς ὢν ἀθλεῖται, ὁ δὲ κολάζεται, ὁ μόνος σοφὸς οἶδε Θεός· οἶδα δὲ καὶ τοῦτο, ὅτι Θεὸς μὲν, ὡς καὶ αὐτὸς ἔφης, τῶν ἀγαθῶν ἐστὶ δοτὴρ, ἡ δὲ κακία τὰς κολάσεις δίδωσιν.

ὨΡΙΓΈΝ. Ὑγιὲς τὸ δόγμα τοῦτο, ὅτι ἀληθινὸς διδάσκαλος ἀρετῆς, οὐ δύναται εἶναι ἄνθρωπος· ὁ διδάσκων γὰρ ἄνθρωπον γνῶσιν, καὶ ἐν ψαλμοῖς ἀναγέγραπται, ὅτι οὐκ ἄλλος ἐστὶν ἢ Θεός. διδάσκει δὲ Θεὸς ἐλλάμπων τῇ ψυχῇ τοῦ μανθάνοντος ὑπ' αὐτοῦ, καὶ τὴν διάνοιαν φωτίζων τῷ φωτὶ τῷ ἀληθινῷ, τῷ ἑαυτοῦ λόγῳ· οὐκοῦν κἂν ἄνδρες δίκαιοι ἡμᾶς διδάσκωσι, διδασκαλικὴν εἰληφότες χάριν, πάλιν ὁ Κύριός ἐστιν ὁ δι' αὐτῶν διδάσκων ἡμᾶς· καὶ αὐτὸ δὲ τὸ συνιέναι, καὶ διανοιχθῆναι τὰς καρδίας ἡμῶν εἰς τὴν τῶν θείων μαθημάτων παραδοχὴν, κατὰ θείαν γίνεται χάριν.

ΚΕΙΜ. Τί γὰρ μέλλει τῷ Κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος; ἢ ὠφέλεια, ὅτι ἁπλώσῃς τὴν ὁδόν σου;

ὈΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, μὴ χρήζει ἱκανὸς ἵνα δικαιωθῇς; ἢ κερδαίνει ἐὰν ἄμωμος ἡ ὁδός σου; ἐπειδὴ, φησὶ, μέγα ἐπὶ σαυτῷ φρονεῖς, ὡς ἄμεμπτος, δεδόσθω εἶναί σε τοιοῦτον· τί οὖν, εἰπέ μοι, περιεποίησας Θεῷ, δίκαιος ὢν, καὶ ἐν ἁπλότητι καὶ ἀκακίᾳ ζῶν; τίς ἐντεῦθεν τῷ Θεῷ ὄνησις; μὴ γάρ τι εἰς τὴν αὐτοῦ ὠφέλειαν συντελεῖ, ἐὰν σὺ ἦσθα δίκαιος; ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν, ὅτι ὁ Θεὸς ταῦτα ἐποίησε, καὶ διὰ τοῦτον πάσχω, θέλει δεῖξαι, ὅτι οὐ παρὰ τοῦ Θεοῦ ταῦτα γίνεται, οὔτε γὰρ κερδαίνει ἐντεῦθεν, οὔτε βλάπτεται, οὔτε φοβεῖταί τινα· τοῦτο γὰρ δηλοῖ τὸ ἐπαγόμενον.

ΚΕΙΜ. Ἢ λόγον σου ποιούμενος ἐλέγξει σε, καὶ συνεισελεύσεταί σοι εἰς κρίσιν;

ὨΡΙΓΈΝ. Πρὸς τοῦτο εἴποιμεν ἂν, ὅτι οὐ φροντίζων ὁ Θεὸς μή ποτέ τι αὐτὸς βλαβῇ ἐλέγχει τὸν ἀσεβῆ, ἀλλὰ λόγον ποιούμενος τοῦ προνοουμένου, καὶ εὐεργετῶν αὐτόν.

ΧΡΥΣΟΣΤ. Οὕτως ἐστὶ φιλάνθρωπος, ὥστε καὶ κρίνων ἡμᾶς ἐπιτρέπει λέγειν πρὸς αὐτὸν, ὡς μεθ' ἡμῶν κρινόμενον, περὶ ὧν βουλόμεθα. φησὶ γοῦν ἐν Ἡσαΐᾳ, δεῦτε, καὶ διαλεχθῶμεν. τὸ δὲ, διαλεγχθῶμεν, τοιοῦτόν ἐστιν· εἴ τι με ἔχεις ἐξελέγξαι, ὡς μὴ τὰ δέοντα πεποιηκότα, λέγε, κἀγὼ, ὅ, τί ποτε ἔχω ἐρῶν, πείσω σε καταδικάζων σὲ ἄξιον εἶναι τοῦ καταδικασθῆναι.

ὈΛΥΜΠ. Ἕτεροι δὲ ἀναγνόντες, τί γάρ; εἶτα στίξαντες, τὰ ἑξῆς ἀποφαντικῶς ἐπάγουσι, μέλει τῷ Κυρίῳ ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος, τουτέστιν, ἐν φροντίδι τίθεται τὸ ἀμέμπτους εἶναι τοὺς ἀνθρώπους· καὶ ἀπρο-

σδεὶς ὢν, ἰδίαν ὠφέλειαν νομίζει τὸ ἡμᾶς ἐξηπλωμένως καὶ δαψιλῶς μετεῖναι τοῦ ἀγαθοῦ. διὰ τοῦτο καὶ σοῦ πολλὴν ποιούμενος πρόνοιαν, ἤλεγξέ σε, καὶ ὥσπερ εἰς κρίσιν αὐτικαθιςάμενος σοι, δικαίως ἐκέλευε. ἄμεινον δὲ οἶμαι, ἐν ἤθει τοὺς σίχους ἀναγινώσκειν, καὶ κατ' ἐρώτησιν.

ΚΕΙΜ. Πότερον οὐχ ἡ κακία σου ἐςὶ πολλὴ, ἀναρίθμητοι δέ σου εἰσὶν αἱ ἁμαρτίαι;

ΤΟΥ ΑΥΤΟΥ. Ἐκ τοῦ πλήθους τῶν συμφορῶν εἰκάζει τῶν ἁμαρτημάτων τὸ πλῆθος. σκόπει οὖν, φησὶ, τὰ κατὰ σαυτὸν, μὴ ἧττον πάσχεις ὧν ἠδίκησας. οὐκ ἀποφαινομένου δὲ ταῦτα, ἀλλ' ἀμφιβάλλοντος, ὡς ἂν εἴποι τις, μήποτε λαθὼν πολλὰ ἥμαρτες, καὶ διὰ τοῦτο ἴσως οὕτως ἀπέλαβες.

ΟΛΥΜΠ. Πάνυ πολλοὺς ὁρῶ ἁμαρτωλοὺς, καὶ οὐδεὶς αὐτῶν τηλικούτοις περιπέπτωκεν, οἵοις σύ· εἰκότως οὖν φημὶ, οὐχ ἁπλῶς γεγονέναι σε ἄδικον, ἐπεὶ πάσχεις τοιαῦτα, οἷα οὐδεὶς τῶν κακῶν, ἀλλ' ἐν τοιούτοις γεγενῆσθαι, δηλονότι, τῷ πλείονα κακίαν, ὑπὲρ τοὺς ἄλλους ἐγκηκέναι· εἰκὸς γὰρ διὰ τὸ ἀναρίθμητόν σου τῶν πταισμάτων ταῦτά σοι ἐπεληλυθέναι. οὐ πρότερον δὲ ὠνόμασε τὴν ἁμαρτίαν, εἶτα τὴν κακίαν, ἀλλὰ πρῶτον τὴν κακίαν, τὴν φαύλην ἕξιν, εἶτα τὰ ἀπὸ τῆς φαύλης ἕξεως ἁμαρτανόμενα, ἃ καὶ ἀναρίθμητά φησιν εἶναι· τίθησι δὲ αὐτὰ καὶ κατ' εἶδος.

ΚΕΙΜΕΝ. Ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διακενῆς.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ δὲ Σύμμαχος, ἀναιτίους· τουτέστι τοὺς μηδὲν ὀφείλοντας, ὡς ὀφείλοντας ἐνέχυρα τῶν δῆθεν κεχρεωστημένων σοι μάτην ἀπῄτεις, καὶ ταῦτα πένητας ὄντας. ὑπολαμβάνει δὲ τοῦτο περὶ τοῦ Ἰὼβ ἐντεῦθεν· ᾔδει αὐτὸν πλούσιον, καὶ ὑπώπτευεν ἀπὸ τοιούτων τινῶν πόρων πλουτεῖν αὐτόν· διό φησιν, ἠνεχύραζες διὰ κενῆς, τουτέστι, μηδὲν ἐπωφελούμενος. προσεπιτείνων δὲ πάλιν ἄλλην αὐτοῦ ἁμαρτίαν φησίν.

ΚΕΙΜ. Ἀμφίασιν δὲ γυμνῶν ἀφείλου.

Καὶ πῶς ἐκείνου τὸν γυμνὸν ἐκδύειν; γυμνοὺς οὖν τοὺς ἄγαν πένητας νοητέον, τοὺς γυμνουμένους, καὶ ἑτέρας ἐσθῆτος μὴ εὐποροῦντας, τουτέστιν, ἀπέτεινας αὐτοῖς τὴν πενίαν, ἀφελόμενος καὶ τὸ ἓν ὃ μόνον εἶχον ἱμάτιον. ἔςι ποτὲ λαβεῖν ἀμφιάσματα, οὐ γυμνοῦ, ἀλλὰ πλουσίου, ἔχοντος ἀποκείμενα ἐνδύματα πολλά· ἐὰν μέντοι γε χιτῶνα ἔχῃ τὶς ἕνα, καὶ τοῦτον τὸν χιτῶνα προφάσει τοῦ ἀπαιτεῖν τὸ ἐμὸν, ἐκδύσω, μὴ ἐλεήσας ἐκεῖνον τὸν γυμνὸν, ἀμφίασιν τοῦ γυμνοῦ ἀφειλόμην. πολλὰ δὲ τοιαῦτα ἐν ἡμῖν γίνεται. ὅταν δανείζωμεν, ὅταν πρὸς ὀφειλέτας πράγματα ἔχωμεν, πολλάκις ὀφειλέτης ἡμῶν εἰς ὑπερβολὴν πένεται, μὴ δυνάμενος ἀποδοῦναι· καὶ ἡμεῖς τὰ σπλάγχνα ἡμῶν ἀποκλείσαντες, καὶ μὴ βλέποντες ὅτι γυναῖκα τρέφει καὶ τέκνα, καὶ μόλις τρέφεται ἀπὸ τῶν πορειζομένων αὐτῷ ὀλίγων ὀβολῶν, ἀπαιτοῦμεν πικρῶς, ἔσθ' ὅτε καὶ περισσὰ ἔχοντες παρ' ἑαυτοῖς. ταῦτα οὖν λέγει ἐγκαλῶν τῷ Ἰὼβ, ὅτι ἀμφίασιν γυ-

μνῶν ἀφείλε. ἴσως δὲ καὶ τὸ μὴ δοῦναι τῷ γυμνῷ ἱμάτιον, ἀφαίρεσιν ὀνομάζει· ἀποςερητὴς γάρ ἐςι καὶ πλεονέκτης, καὶ ὁ μὴ ἐνδύων τὸν γυμνὸν, καὶ ὁ μὴ τρέφων τὸν ἄρτε δεόμενον.

ΚΕΙ'Μ. Οὐδὲ ὕδωρ διψῶντας ἐπότισας.

Ο'ΛΥΜΠ. Οὐκ ἂν ἐ μόνον τὸ ἀδικεῖν, ἀλλὰ καὶ τὸ μὴ εὐεργετεῖν ὑπεύθυνον. ἐπισήμηναι δὲ μέχρι πόσε τὰς εὐεργεσίας ἐκτείνειν ὀφείλομεν, ὁ πότε ὑπεύθυνον τὸ μὴ ποτίσαι διψῶντας, ὥσπερ ἂν καὶ ποτηρίε ψυχρε ὕδατος μισθὸν λαμβάνομεν. πολλὴν μέντοι ἀπανθρωπίαν τοῦ Ἰώβ καταψηφίζεται, ὡς μηδὲ ὕδωρ τὴν ἀδάπανον χέειν, παρέχοντος, καὶ τὸ μεῖζον κακὸν, τῷ διψῶντι. ταῦτα δὲ πάντα κατηγορήματά εἰσι, καὶ ἀληθῶς ψεκτά· ἀλλ' ἐκ ἀληθῆ ἐπὶ τε Ἰώβ, ἐδὲ καλῶς περὶ αὐτε ἐλέγετο.

ΚΕΙΜ. Α'λλὰ πεινώντων ἐςέρησας ψωμόν.

Τί λέγω, φησὶν, ὅτι ἐ παρέχες τῷ δεομένῳ, ὁπότε καὶ τὴν μικρὰν παραμυθίαν τε ἄρτε παρὰ τε πεινῶντος ἀφείλε; ψωμὸν γὰρ λέγει τὸ τμῆμα τε ἄρτε, ὥσπερ καὶ ἐν τῇ Ῥὲθ κεῖται, βάψεις τὸν ψωμόν σε ἐν τῷ ὄξει. λέγει ἂν, ὅτι καὶ τῶν ἀναγκαίων τροφῶν ἐςέρησας, ἢ ἐνεχυράζων, ἢ τῶν καμνόντων τὸν μισθὸν ἐ διδὲς, ἢ ἄλλο τι ἁμαρτάνων. τοιαῦτα γίνεται ἐν ταῖς πικραῖς ἀπαιτήσεσιν, ἐνίοτε αὐτὸν τὸν ψωμὸν ὃν ἔχει τις ἕνα, κἂν μὴ ἔχῃ ἄρτον ὁλόκληρον, ἀφαιρῦμεν ἀπ' αὐτοῦ λέγοντες, ἀλλ' ὀφείλεις.

ΚΕΙΜ. Ε'θαύμασας δέ τινων πρόσωπον.

Ο'ΛΥΜΠ. καὶ ὩΡΙΓΕ'Ν. Τετέςι, καὶ τὰς κρίσεις, οὐ δικαίως, ἐδὲ ἀπαθῶς, ἀλλ' ἀνθρωπαρέσκως ἐποίησας· προσωπολήπτης γὰρ γέγονας, καὶ δικάζων ἃς μὲν ἐξῇρες, ἃς δὲ ἐταπείνες, τὰς μὲν ταπεινὰς βιαζόμενος, τὰς δὲ ἐν δυναςείαις θαυμάζων καὶ τιμῶν. ἄλλο καὶ τῦτο ἁμάρτημα, ἁμάρτημα γὰρ καὶ τὸ θαυμάζειν πρόσωπον, ὁ δεῖνα ἐπεὶ πλέσιός ἐςι, θαυμάζω αὐτε τὸ πρόσωπον, τὸν δὲ πένητα καταπατῶ, ἐπειδήπερ ἀξίωμα ἐκ ἔχει.

ΚΕΙΜ. Ω'κισας δὲ πτωχὸς τὸς ἐπὶ τῆς γῆς.

Α'ντὶ τε, τὴν πενίαν ἀπέτεινας· τὸς γὰρ πτωχὸς καὶ χαμαιπετεῖς ἔτι πλέον ἐπὶ τῆς γῆς κεῖσθαι παρεσκεύασας. τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ τε ὤκισας, ἐκοίμησας, ἔχει· ἵνα εἴπῃ, καὶ αὐτὴν τῶν πτωχῶν τὴν ςρωμνὴν ἀφείλε, ὡς ἐπὶ τε ἐδάφες αὐτὸς ἐξ ἀνάγκης κοιμᾶσθαι, μηδὲν ἔχοντας ὑπεςορεσμένον· ὥςε διὰ ταῦτα, φησὶ, ταῖς πολλαῖς ταύταις περιπέπτωκας συμφοραῖς, καὶ πανταχόθεν οἱ πορθῦντες περιέςησαν, τὰ ἀδίκως ἁρπαγέντα λαμβάνοντες.

ΚΕΙΜ. Χήρας δὲ ἐξαπέςειλας κενάς.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Η', τῶν προσιόντων αὐτὰς ἐγύμνωσας, ἢ μᾶλλον προσελθέσας, καὶ ἐλεημοσύνην ζη-

τέσαις ἐδεν δέδωκας, ἀλλὰ ἀπεπέμψω μηδὲν λαβέσας ἀπὸ σε. ἐπικίνδυνον ἐν τὸ παρορᾶν τὰς κατὰ πενίαν αἰτἔντας τὶ λαβεῖν· ἰδὲ γὰρ, τὸ μὴ μεταδἔναι ταῖς χήραις, εἰς ἁμαρτίαν λογίζεται. προσέχωμεν, ἐὰν χήρα ἡμῶν εἰσέλθῃ εἰς τὴν οἰκίαν, μήποτε κενὴν αὐτὴν ἐξαποστείλωμεν· κατὰ δύναμιν ἕκαστος πρὸς ὃ ἔχει πληρωσάτω τὸν κόλπον τῆς χήρας.

ΚΕΙΜ. Ο'ρφανὲς δὲ ἐκάκωσας.

Οὐκ ἀπέχε, φησὶν, ἐδὲ τῆς πρὸς τὲς ὀρφανὲς βλάβης. τὸ δὲ τὲς ὀρφανὲς καὶ ἀβοηθήτες κακὲν, ἐσχάτης κακίας γνώρισμα. ἐδένα μὲν γὰρ δεῖ κακὲν, ἐξαιρέτως δὲ χρὴ φείδεσθαι τῶν ὀρφανῶν· περὶ γὰρ τῶν ἀβοηθήτων ψυχῶν πολεμεῖν ὁ Θεὸς ἐνετείλατο, πλέον γὰρ παρὰ τὲς ἄλλες ἀνθρώπες, πτωχοὶ, χῆραι, ὀρφανοὶ δέονται βοηθείας· διὸ καὶ διὰ Ἠσαΐε, φησὶν ὁ Θεὸς, ῥύσασθε ἀδικέμενον, ὅταν δηλαδὴ ἅρπαξι καὶ βιαίοις περιπεσὼν, ὥσπερ ὑπὸ χειμάῤῥε τῆς βίας αὐτῶν παρασύρηται. κρίνατε ὀρφανῷ· ἐπειδὴ γὰρ, διὰ τὸ εὐκαταφρόνητον τῆς ἡλικίας ἐδὲ ἀγαγεῖν εἰς κρίσιν τοῖς ὀρφανοῖς τὲς ἀδικἔντας ῥάδιον, ὑμεῖς τοῖς ἐστερημένοις τῶν συνηγόρων παρ' ἑαυτῶν τὸ ἐκ τῆς ἡλικίας ἐνδέον ἀναπληρώσατε. καὶ δικαιώσατε χήραν· καὶ τἔτο τὸ πρόσωπον ἐν πολλοῖς κατὰ τὸν βίον ἐλαττἔται· εὐεπίβατον γὰρ τοῖς βελομένοις ἀδικεῖν ἡ χηρεία, ἧς παντοίως ἀντιλαμβάνεσθε, τὸ ὀφειλόμενον δίκαιον ἀποδιδόντες αὐτῇ.

ΚΕΙ'Μ. Τοιγαρἔν ἐκύκλωσάν σε παγίδες, καὶ ἐσπέδασέ σε πόλεμος ἐξαίσιος.

Ο'ΛΥΜΠ. Ο' δὲ Σύμμαχος, καὶ ταράσσει σε φόβος ἐξαίσιος. παγίδας φησὶ τὰ συμβεβηκότα αὐτῷ, μονονεχὶ λέγων, ἐντεῦθεν περιεκύκλωσαν σε αἱ συμφοραὶ, ἐντεῦθεν ἡ τῶν ὑπαρχόντων διαρπαγὴ, ἐντεῦθεν ἡ ἄκρα πενία, καὶ τὸ θορυβεῖσθαί σε καὶ ταράττεσθαι ἐπὶ τῇ ὀξείᾳ μεταβολῇ τῆς εὐημερίας, ἀπὸ τὲ ἀδικῆσαι ἑτέρες, ἀπὸ τὲ ἀφιλοικτίρμονά σε εἶναι.

ΚΕΙΜ. Τὸ φῶς σοι σκότος ἀπέβη, κοιμηθεῖσα δὲ ὕδωρ σὲ ἐκάλυψε.

Οἱ δὲ ἄλλοι, καὶ πλῆθος ὑδάτων καλύψαι σε. διὰ τἔτο, φησὶν, ἐκ φωτὸς εἰς σκότος μετέστη τὰ κατὰ σὲ, ἐκ τῆς λαμπρᾶς εὐδαιμονίας εἰς τὴν συγνὴν καὶ σκυθρωπὸν δυσημερίαν· καὶ κοιμηθεῖσα, ἤγεν ἀμεριμνἔντα, καὶ μὴ νήφοντα, ἢ μὴ προσδοκῶντα, οἱ τῶν πειρασμῶν ἀπέκλυσαν καὶ ἐξετάραξαν χείμαῤῥοι. ἢ τὸ, κοιμηθεῖσα, εἶπε πρὸς ἔμφασιν τὲ ἀθρόον αὐτῷ πάντα συμβῆναι τὰ πειρατήρια, καὶ ἐν μιᾷ ἡμέρᾳ.

ΚΕΙ'Μ. Μὴ ἐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ; τὲς δὲ ὕβρει φερομένες ἐταπείνωσεν.

Ο'ΛΥΜΠ. Α'λλὰ νομίζεις ὅτι ἐ βλέπει Θεὸς τὰ γινόμενα; ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ μίαν πάντα σκοπῶν, τὲς ὑπὸ

τῆς

τῆς ὑβριστικῆς ἕξεως ἐπηρμένους τὸ φρόνημα καταφέρει καὶ ταπεινοῖ. ἐπεὶ οὖν καὶ σὺ τὰ ὑβριστικὰ ἐκεῖνα ἔπραξας, διὰ τοῦτο ταῦτα πέπονθας καὶ τεταπείνωσαι.

ΚΕΙ'Μ. Καὶ εἶπας τί ἔγνω ὁ ἰσχυρός; ἢ κατὰ τοῦ γνόφου κρινεῖ; νεφέλη ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται, καὶ γῦρον οὐρανοῦ διαπορεύεται.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Μεγάλην ἀσέβειαν καὶ ἄνοιαν τοῦ Ἰώβ, ὁ Ἐλιφὰζ καταψηφίζεται. εἰκὸς γάρ, φησίν, ὅτι σὺ ἔλεγες κατὰ σαυτὸν λάθρα ἁμαρτάνων, τί ἔγνω ὁ ἰσχυρός; δύναται πάντα ἐγνωκέναι ὁ Θεός; δύναται δὲ κρίνειν καὶ τὰ ἐν γνόφῳ, καὶ λεληθότως πραττόμενα; ὃς ἔθετο νέφος ἀποκρυφὴν αὐτοῦ, καὶ διὰ τοῦτο ὥσπερ οὐχ ὁρᾶται, οὕτως οὐδὲ ὁρᾷ· καὶ ταῦτα, ἄνωθεν ἀπ' οὐρανοῦ, καὶ τοῦ τοσούτου διαστήματος. ἄμεινον δὲ διελεῖν εἰς δύο τοὺς στίχους, καὶ τὰ μὲν πρῶτα τῷ Ἰὼβ ἀναθεῖναι, τὰ δὲ θάτερα τῷ Ἐλιφὰζ ἀπονεῖμαι. σὺ μὲν γάρ, φησίν, ὦ Ἰώβ, ὑπώπτευσας ὅτι λήσεις Θεόν, τὰ ἄτοπα ἐν κρυφῇ ἐργαζόμενος, καὶ ὅτι οὐ κρινεῖ ὁ Θεὸς τὰ ἐν σκότει πραττόμενα, ἅτε μηδὲ γνοὺς αὐτά· ἐγὼ δὲ ἀποφηναίμην ἄν, ὅτι πάρεστι πανταχοῦ ὁ Θεός, οὐχ ὁρᾶται δὲ νέφει καλυπτόμενος. ὅτι δὲ πάντα περιέχει, καὶ οὐδὲν αὐτὸν διαφεύγει, δῆλον ἐντεῦθεν· τὸν γὰρ κύκλον τοῦ οὐρανοῦ διαπορεύεται, καὶ ἐξ ἀπόπτου πάντα κατασκέπτεται, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται ἀπ' αὐτοῦ.

ΚΕΙ'Μ. Μὴ τρίβον αἰώνιον φυλάξεις, ἣν ἐπάτησαν ἄνδρες δίκαιοι, οἳ συνελήφθησαν ἄωροι; ποταμὸς ἐπιρρέων οἱ θεμέλιοι αὐτῶν, οἱ λέγοντες, Κύριος τί ποιήσει ἡμῖν; ἢ τί ἐπάξεται ἡμῖν ὁ παντοκράτωρ; ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν ἀγαθῶν.

Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, συνελήφθησαν ἄωροι, ἁλώσονται πρὸ καιροῦ, ἐξέδωκε· καὶ Θεοδοτίων μέν, ἀντὶ τοῦ, ἐπάξεται, ἐργᾶται, ἔλεγε· καὶ ἀντὶ τοῦ, ὃς δέ, αὐτὸς δέ. περισκελὲς καὶ τοῦτο τὸ χωρίον, καὶ τοῖς καθ' ἡμᾶς δυσδιόδευτον. τίνες γὰρ οἱ τὴν αἰώνιον τρίβον, καὶ ταύτην τινὰ οὖσαν πατήσαντες δίκαιοι, ὧν ποταμὸς οἱ θεμέλιοι, καὶ ὧν ἡ ἅλωσις ἄωρος, οὐκ ἔχομεν εὐστόχως νοῆσαι καὶ ἀποφήνασθαι. ὡς δ' οὖν εἰκάσαι οὐκ ἀρετὴν τῷ Ἰώβ, ἀλλ' ὑπόκρισιν ἀρετῆς μαρτυρεῖ, μονονουχὶ λέγων· μήποτε καὶ σὺ ὦ Ἰώβ, οὕτως ἐφύλαξας τὴν ἀρχαίαν ὁδὸν τῆς ἀρετῆς, ὥσπερ τινὲς μόρφωσιν εὐσεβείας περικείμενοι, καὶ δοκοῦντες πατεῖν τὴν ὁδὸν τῆς δικαιοσύνης, οὐ μὴν καὶ ἀληθῶς ταύτην βαδίζοντες· οἳ καὶ διὰ τὴν σκηνὴν ταύτην, καὶ τὴν πεπλασμένην εὐλάβειαν, πρὸ καιροῦ ἐξετμήθησαν, καὶ τοῦ βίου ἐξεθεμελιώθησαν, καὶ ἡ δοκοῦσα παρ' αὐτοῖς ἀσφαλῶς πεπηγέναι, καὶ οἷον τεθεμελιῶσθαι εὐπραγία, ὡς ὑπὸ ποταμῶν παρεσύρη. ταῦτα δὲ πεπόνθασι, διὰ τὸ μονονουχὶ λέγειν, ὅτι οὐ δύναται αὐτοῖς ὁ Θεὸς ἐπαγαγεῖν τιμωρίας, οὐδὲ ἀγαθοῖς ἀμείψασθαι, κακῶς εἰδότες. παρ' αὐτοῦ γὰρ ἦν αὐτοῖς τὰ ἀγαθὰ

ἐφ' οἷς ἐπήλπιζον, καὶ ἃ βεβαίως ἔχειν ἐπίςευον· εἰ οὖν καὶ σὺ κατ' ἐκείνους ἐφρόνεις, εἰκότως ταῦτα πέπονθας. τάχα δὲ τρίβον αἰώνιον τὰς οἰκονομίας τοῦ Θεοῦ ὁ Ἐλιφὰζ ὀνομάζει, καὶ φησί· μὴ δύνασαι ἐπιτηρῆσαι τὴν τρίβον τῆς θείας προνοίας, καὶ τοὺς λόγους καθ' οὓς καὶ δίκαιοι πολλάκις δυσημεροῦσι, καὶ πρὸ τῆς ὥρας ἐπαίρουσιν; εἶτα εἰκαστικῶς ἐπάγει, ὅτι τοῦτο ἴσως πάσχουσι, διὰ τὸ μὴ νομίζειν παρὰ Θεοῦ εἶναι αὐτοῖς τὰ ἀγαθά.

ΚΕΙΜ. Βουλὴ δὲ ἀσεβῶν πόῤῥω ἀπ' αὐτοῦ.

Ο'ΛΥΜΠ. Α῾ οἱ ἀσεβεῖς βούλονται μακρὰν εἰσὶ τοῦ Θεοῦ· βούλονται γὰρ οὐδὲν ὑγιὲς, ἀλλὰ πάντα ἐναντία τῷ καλῷ καὶ τῇ ἀληθείᾳ.

ΚΕΙΜ. Ἰδόντες δίκαιοι ἐγέλασαν, ἄμεμπτος δὲ ἐμυκτήρισεν· εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν, καὶ τὸ κατάλειμμα αὐτῶν καταφάγεται πῦρ.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τὴν βουλὴν, φησὶ, τῶν ἀσεβῶν φαύλην οὖσαν, ἰδόντες οἱ ἀσεβεῖς, διεπώθασαν αὐτούς. οἱ μὲν γὰρ ἀσφαλῶς αὐτοῖς ἡδράσθαι τὰ πράγματα νενομίκασι, συνέβη δὲ αὐτοῖς πᾶν τοὐναντίον· ἠφάνισται γὰρ αὐτοῖς ἡ ὑπόστασις, αὐτοὶ δὲ ἄρδην ἀπώλοντο· κἄν τις ὑπελείφθη, καὶ οὗτος πυρὸς δαπάνη γέγονε.

ΚΕΙΜ. Γνῶ δὴ σκληρὸς ἐὰν ὑπομένῃς· εἶτα ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς.

Ο'ΛΥΜΠ. Εἰπὼν δὲ γενικῶς περὶ τῶν ἀσεβῶν, ὅτι κακῶς βουλόμενοι ἐξολοθρεύονται, φησὶ, καὶ πρὸς τὸν Ἰὼβ, ὅτι εἰ καὶ σὺ σκληρυνεῖς τὴν καρδίαν, καὶ ἀντίτυπα βουλεύσῃ πρὸς Θεὸν, τῇ πείρᾳ μαθήσῃ, ὡς ἀνύποιςος ἡ θεία δίκη· καὶ οὐδὲ ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς, τουτέστιν οἱ παῖδες, οἳ τάχα εἰσὶ καὶ τὸ κατάλειμμα· εἰ οὖν ἐκεῖνοι, οἱ ἀσεβεῖς δηλονότι, ἐναντιούμενοι τῷ Θεῷ ὑπέστησαν, καὶ ἐξαπώλοντο αὐτοί τε καὶ τὸ κατάλειμμα αὐτῶν, ἤγουν τὰ τέκνα, πείρασον καὶ σὺ, καὶ ἐπίμενον τῇ σκληρότητι, ἐὰν ἄρα ὑποστήσῃς.

ΚΕΙΜ. Ε῎λαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν, καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Η῎ τοῦτο λέγει, ὅτι μετάβαλλε τὸν τρόπον, καὶ ἀνάλαβε τοὺς θείους νόμους· ἢ ὅτι ἐξαγόρευσον τὰ ἡμαρτημένα σοι, καὶ τοῦ λοιποῦ τοὺς λόγους τοῦ Θεοῦ φύλαττε. τῆς διπλῆς δὲ ταύτης ἐννοίας ἐκεῖθεν ἔχον τὰς ἀφορμάς. τὴν ἐξηγορίαν ἐζήτουν κατ' ἐμαυτὸν τί σημαίνει· καὶ εὗρον παρὰ τῷ Συμμάχῳ, ἀντ' αὐτῆς, ἐξομολόγησιν, παρὰ δὲ τῷ Ἀκύλᾳ, νόμον. φησὶν οὖν κατὰ μὲν τὸν ἕνα, ἐξομολόγησαι περὶ τῶν ἁμαρτημάτων σου, τὸν δὲ τρόπον τῆς ἐξηγορίας παρὰ τοῦ Θεοῦ διδάχθητι· κατὰ δὲ τὸν ἕτερον, δέξαι παρὰ Θεοῦ νόμον, καὶ τοὺς λόγους αὐτοῦ, ἐγκαρδίους ποίησαι.

ΚΕΙΜ. Ἐὰν δὲ ἐπιςραφῇς, καὶ ταπεινώσῃς σεαυτὸν ἐναν-

τίον Κυρίου, πόῤῥω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον.

Σκληρυνόμενος μὲν, φησὶν, εἰκότως πάσχεις τὰ τῶν ἀσεβῶν· ἐὰν δὲ μεταβάλῃς, καὶ ταπεινώσῃς σεαυτὸν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, οὐδέν σοι ἀπαιτήτεται ἄτοπον.

ΚΕΙΜ. Θήσῃ ἐπὶ χώματι ἐν πέτρᾳ, καὶ ὡς πέτρα χειμάῤῥου σωφείρ.

ΟΛΥΜΠ. Αὐθ' οὐ ὁ Σύμμαχος, καὶ ἐν τῷ ἀκροτόμῳ ὡς ὀχετοὺς χρυσίου πρωτείου. Βούλεται δὲ εἰπεῖν, ὅτι ἐὰν μετανοήσῃς, καὶ πόῤῥω ποιήσῃς ἀπὸ τῆς διαγωγῆς σου πᾶσαν ἀδικίαν, τεθείσῃ ἐπὶ τῆς γῆς ἐν πέτρᾳ, τουτέστιν οὐ μετακινηθήσῃ ἀπὸ τῆς εὐδαιμονίας, ἀλλ' ἐν ἀσφαλείᾳ καὶ βεβαίως οἰκήσεις τὴν γῆν, καὶ ἐκ σωφείρ, ἔνθα γίνεται χρυσὸς κάλλιστος, καὶ λίθοι τίμιοι, κατὰ χειμάῤῥουν ῥέων χρυσὸς ἐπελεύσεταί σοι. φασὶ δὲ τινὲς τῶν ἑρμηνευτῶν, τὴν σωφείρ, ἑρμηνευομένην κάλλιστον, τὴν ἀφελκὴν εἶναι· κέχρηται δὲ ἡ γραφὴ τῇ λέξει ταύτῃ, ὅταν περὶ πλούτου διαλέγηται.

ΚΕΙΜ. Ἔσται οὖν σου ὁ παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν, καθαρὸν δὲ ἀποδώσει σε, ὥσπερ ἀργύριον πεπυρωμένον. εἶτα παῤῥησιασθήσῃ ἐναντίον Κυρίου, ἀναβλέψας εἰς τὸν οὐρανὸν ἱλαρῶς· εὐξαμένου δέ σου πρὸς αὐτὸν, εἰσακούσεταί σου, δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχὰς, ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης, ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος.

ΩΡΙΓΕΝΟΥΣ. Ὑγιὲς ἐνθάδε δόγμα ὁ Ἐλιφὰζ λέγει· οἴεται γὰρ τὸν Ἰὼβ, διὰ τὰ ἁμαρτήματα πάσχειν, καὶ ὅτι ὑπομείνας καθαίρεται δι' αὐτοῦ τοῦ πάσχειν, καὶ καθαιρόμενος, ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ, δόκιμος ἀποδείκνυται, πᾶν τὸ ἀλλότριον ἀποθέμενος, καὶ πάσης κακίας ἀμιγὴς γεγονώς. φησὶν οὖν, ὅτι ἐὰν καὶ σὺ ὑπομείνῃς τὰ συμβεβηκότα σοι, ἀποδώσει σε καθαρὸν ὥσπερ ἄργυρον πεπυρωμένον ὁ Θεός· καὶ καθαρὸς γενόμενος παῤῥησίαν ἕξεις, ὡς ἀποθέμενος τὰ ἁμαρτήματα, καὶ ἱλαρῶς τὸ πρόσωπον ἐπαρεῖς εἰς τὸν οὐρανὸν ἀκαταγνώστῳ συνειδότι τὰς ἱκετείας ποιούμενος· κἄν τι εὔξῃ καὶ ὑπόσχῃ τῷ Θεῷ, αὐτὸς ἐνισχύσει σε πρὸς πέρας ἀγαγεῖν τὰς πρὸς αὐτὸν ὑποσχέσεις. αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. αὐτὶ μέντοι τοῦ, δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχὰς, ὁ Θεοδοτίων, καὶ ὀρεῖς ῥῆμα, καὶ σαθήσεταί σοι ἐξέδωκε, τουτέστιν, ἅπαν ὃ ἂν συντάξῃ καὶ τυπώσῃς, οὐ διαπεσεῖταί σοι, ἀλλὰ βεβαιωθήσεται καὶ κυρωθήσεται· καὶ ἁπλῶς εἰπεῖν, ἅπασάν σοι τὴν ἁρμόζουσαν δικαίῳ παρέξει διαγωγὴν, καὶ πᾶσαι αἱ ὁδοί σου κατευοδωθήσονται ὑπὸ τοῦ θείου ποδηγουμένου φωτός· ἢ καὶ αἱ πράξεις σου λαμπραὶ καὶ ἐπίδοξοι γενήσονται.

ΚΕΙΜΕ. Ὅτι ἐταπείνωσας σεαυτὸν, καὶ ἐρεῖς, ὑπερηφανεύσατο.

Ὡς μὲν περὶ ἑτέρου δοκεῖ λέγειν, πρὸς δὲ τὸν Ἰὼβ ὁ λόγος· διὰ τοῦτό, φησιν, ἔσαι ταῦτα τῷ μετανοοῦντι, ὅτι ἐταπείνωσεν ἑαυτὸν, καὶ εἶπεν, ὅτι ἐνδίκως αὐτὸς ὑπέςη ἃ πέπονθεν, ἐπειδὴ ὑπερηφανεύσατο.

ΚΕΙΜ. Καὶ κύφοντα ὀφθαλμοῖς σώσει, ῥύσεται ἀθῶον.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Ἀπὸ τῶν πειρασμῶν δηλονότι, καὶ τῶν θλίψεων, τὸν ταπεινόφρονα, τὸν κάτω βλέποντα διὰ τὸ δυσσυνείδητον, καὶ ἀπαῤῥησίαςον, καθάπερ ὁ ἐν Εὐαγγελίοις δικαιωθεὶς τελώνης.

ΚΕΙΜ. Καὶ διασώθητι ἐν καθαραῖς χερσί σου. (αὐθ' οὗ ὁ Σύμμαχος) καὶ διαφυλάξεται καθαρότητι χειρῶν ἕκαςος.

Τούτων, φησὶν, οὕτως ἐχόντων, καὶ ἑκάςου ἐκ τῶν οἰκείων καθαρῶν δικαιουμένου πράξεων, τί μέλλεις, καὶ τοῖς φαύλοις ἔργοις ἐναπομένεις; ἀλλ' οὐ καθαρὰς πλημμελημάτων τὰς χεῖρας τηρῶν, ἐκ τῶν ἐνεςηκότων δεινῶν σεαυτὸν περισώζεις; ὁ μὲν οὖν Ἐλιφὰζ ἐνταῦθα τὸν λόγον κατέπαυσεν· ἡ δὲ παραίνεσις πρὸς μὲν τὸν δίκαιον, τὸν ἀεὶ πρὸς Θεὸν νενευκότα, ἀκατάλληλός ἐςι· πρὸς ἡμᾶς δὲ ἐὰν λέγηται, δικαίως λεχθήσεται, μετανοεῖν ὀφείλοντας, καὶ Θεῷ ταπεινοῦσθαι νουθετουμένους.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ ΕΠΤΑΚΑΙΔΕΚΑ'ΤΟΥ.

ὈΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

Ὁ Μὲν Ἐλιφὰζ ἀνηκέςοις ὕβρεσι περιέβαλε τὸν δίκαιον, τὰς τῶν ἐκτόπως ἠσεβηκότων πράξεις αὐτῷ περιθείς· ὁ δὲ δίκαιος, οἶδα, φησὶν, ὡς οὐκ ἐκ τῶν ὑμετέρων λόγων, ἀλλ' ἐκ τῶν ἐμῶν ἔργων κριθήσεται τὰ κατ' ἐμέ. εἰ γὰρ καὶ τιμωρεῖται Θεὸς, ἡδέως ἐπ' αὐτοῦ τὰ ἐμὰ παραθήσομαι δίκαια, καὶ τὴν ἐξ αὐτοῦ περιμενῶ ἀπόφασιν, σφόδρα πεποιθὼς αὐτοῦ τῇ ἀληθείᾳ. εἶτα τοῦ Θεοῦ τὸν ἀόρατον εἰρηκὼς καὶ ἀκατάληπτον, πάλιν ἀπορεῖ πρὸς τοὺς φίλους, ἐπειδήπερ ἐπ' ἀσεβείᾳ με κρίνετε, καὶ δεῖγμα ποιεῖσθε τῶν ἡμαρτημένων τὰς ἐμὰς συμφορὰς, ἀποκρίνασθέ μοι, διατὶ πολλὰ καὶ ἀνήκεςα πραττόντων τῶν ἀσεβῶν οὕτω ὁ Θεὸς ἀνεξικακεῖ, ὡς μηδὲ ἐπισκοπῶν τὰ πραττόμενα; εἶτα ἐπαρασάμενος τοὺς τοιούτους, φησὶν, ὅτι δώσουσί ποτε καὶ αὐτοὶ δίκην, εἰ καὶ ἐπὶ πολὺ διήρκεσαν διὰ τὴν ἀνοχὴν τοῦ

Θεοῦ· Θαῤῥῶν δὲ τῇ τῶν οἰκείων λόγων ἀληθείᾳ, εἰμὴ ταῦτά, φησιν, ἀληθῆ, ὁ βουλόμενος ἐλεγχέτω. τοιοῦτος μὲν ὁ νοῦς τῶν τοῦ Ἰὼβ ῥημάτων· αὐτὰ δὲ λοιπὸν ἕκαστα ἴδωμεν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς ἐστι, καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐμῷ στεναγμῷ.

ΟΛΥΜΠ. Οἶδα, φησιν, ὅτι ἐκ τῶν ἐν χερσί, τουτέστιν, ἐκ τῆς πληγῆς, καὶ οὐκ ἀφ' ὧν ἔπραξα, δοκεῖτε τοὺς ἐλέγχους ἐπάγειν· καὶ γὰρ βαρέως ἐπέθετό μοι ὁ Θεός, ὥστε με στενάζειν. τινὲς δὲ οὕτως ἐξεδέξαντο τοὺς στίχους· οὐδένα, φησί, τῶν κατηγοριῶν ὑμῶν ποιοῦμαι λόγον, οὐ γὰρ ἐξ ὧν ὑμεῖς ψευδηγορεῖτε, ἀλλ' ἐξ ὧν ἐγὼ ἔπραξα κριθήσομαι· βαρέως μέντοι ὁ Θεός ἐτιμωρήσατό με.

ΚΕΙΜ. Τὶς δὲ ἄρα γνοίη, ὅτι εὕροιμι αὐτὸν καὶ ἔλθοιμι εἰς τέλος; (ὁ δὲ Σύμμαχος, ἕως τῆς ἕδρας αὐτοῦ.) εἴποιμι δὲ ἐμαυτοῦ κρίμα, (ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος, προθήσω ἔμπροσθεν αὐτοῦ κρίσιν.) τὸ δὲ στόμα μου ἐμπλῆσαι ἐλέγχων, γνοίην δὲ ἰάματα ἅ μοι ἐρεῖ· (ὁ δὲ Σύμμαχος, ῥήματα.) αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ, καὶ ἐν πολλῇ ἰσχύϊ ἐπελεύσεταί μοι. (ὁ Σύμμαχος, διαδικάζεταί μοι.) εἶτα ἐν ἀπειλῇ μοι οὐ χρήσεται. (ὁ Σύμμαχος, μόνον αὐτὸς μὴ ἐπιτιθέσθω μοι) ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ' αὐτοῦ. ἐξαγάγοι δὲ εἰς τέλος τὸ κρίμά μου.

ΧΡΥΣΟΣΤ. Τὸ μὲν ἐκ τοῦ λόγου συναγόμενον τοῦτό ἐστι· τίς ἄρα μοι δώῃ τὸν Θεὸν ἀκούοντά μου, καὶ ἀποκρινόμενόν μοι; ἐδικαίωσε γὰρ ἄν με· τὰ δὲ κατὰ μέρος, εἴθε ἦν, φησὶν, εὑρεῖν τὸν Θεόν· εἴθε ἦν ἄχρι τοῦ θείου θρόνου ἐλθεῖν, καὶ παραστῆναι, καὶ ἐντυχεῖν αὐτῷ, καὶ δικάσασθαι, καὶ τὴν ἐκεῖθεν ἀπόφασιν δέξασθαι· εἴθε παρὰ τὸ θεῖον ἐκεῖνο βῆμα γεγονὼς, ἀπωλοφυράμην πάντα τὰ κατ' ἐμὲ ἃ πέπονθα, εἴποιμι δὲ καὶ τὰ ἐμοὶ βεβιωμένα· ἵνα ἐπ' αὐτοῦ λέγων, ἅπερ ἔπραξα, καὶ ἃ πέπονθα, τῇ πείρᾳ μάθω ποίαν ἐκφέρει τὴν κρίσιν, καὶ τί πρὸς ταῦτα λέγει ἴαμα τῆς ἐμῆς ἀπορίας· καὶ πότερον ἰσχυρῶς ἐπεξέρχεταί με σφοδρότερον τιμωρούμενος, ἢ ἀνίησι τῆς ἀπειλῆς. εἰ γὰρ καὶ πολλῇ ἰσχύϊ χρήσεταί μοι, καὶ ἀπειλῇ, ἀλλ' ὅμως οἶδα ὅτι ἀλήθεια παρ' αὐτοῦ ἐστὶ, καὶ ἀπροσωπολήπτως τοὺς ἐλέγχους, τουτέστι, τὰς κρίσεις ἐξάγει· καὶ πέπεισμαι, εἴγε τούτῳ ἐνέτυχον, ὡς τὴν νικῶσαν ἂν καθ' ὑμῶν ἔλαβον ψῆφον. τὸ γὰρ εἰς τέλος, ἀντὶ τοῦ τετελειωμένην, λέγει. παρ' Ἑβραίοις γὰρ, τὸ τέλος, καὶ ἡ νίκη, διὰ μιᾶς σημαίνεται λέξεως· διὸ ἐν τισι τῶν ψαλμῶν, ἀντὶ τοῦ, εἰς τέλος, τῷ νικοποιῷ, ἐπιγράφεται. ἤθελον, οὖν, φησί, μαθεῖν, τί μοι ἔμελλεν ἐρεῖν ὁ Θεός, καὶ εἰ ἔμελλέ με ὁμοίως κολάζειν. ταῦτα δὲ λέγει, οὐχ ὡς καταγινώσκων τοῦ Θεοῦ ἀδικίαν,

ἀλλ' ὡς φίλους ἐλέγχων, οὐχ ὑγιῆ τὴν περὶ αὐτοῦ ὑπόληψιν ἔχοντας. ὁρᾷς πῶς ἐπέτυχεν, ὅπερ ηὔχετο, τοῦτο γὰρ ἔσχατον γέγονεν ἐν τῷ βιβλίῳ, καὶ θείας ἔτυχεν ὁμιλίας καὶ ἀποκρίσεως.

ΚΕΙΜ. Ἐὰν γὰρ τὰ πρῶτα πορεύσωμαι, καὶ οὐκ ἔτι εἰμί· τὰ δὲ ἐπ' ἐσχάτοις, τί οἶδα;

ΔΙΟΝΥ´. Ὁ μὲν Θεὸς ἐστὶν ἀεὶ, καὶ σύμπας ὁ αἰὼν ἐνέστηκεν ὅλος αὐτῷ, καὶ πάρεστιν· ἡμῖν δὲ ὃ λέγεται τὸ νῦν, καὶ τὸ παρὸν, οὔτε δύναται μένειν, οὐθ' ὅλως ὑφέστηκεν, ἅμα δὲ τῷ λεχθῆναι, τάχα δὲ καὶ πρὶν νοηθῆναι παρῆλθε, καὶ οὐκ ἔστι ποτὲ, οὐδ' ἂν κατάσχοι τις τῇ διανοίᾳ τὸ νῦν· φεῦγον γὰρ καὶ ὑπεξιὸν οἴχεται· τὸ δὲ ἀποδιδράσκον καὶ φροῦδον ἀεὶ, πῶς ἂν εἴποι τις παρεῖναι; ἀλλὰ καὶ τὸ ἐσόμενον μικρὸν φανισόμενον, καὶ εὐθέως ἀφανισθησόμενον, οὐδέ πω μὲν ἐστι, σπεύδει δὲ κἀκεῖνο πρὸς τὸ μηκέτι εἶναι. ὅθεν καὶ ὁ θαυμάσιος Ἰὼβ τὸ ἀκρατὲς καὶ ἄστατον ἐδήλωσε τοῦ χρόνου, φήσας, περὶ ἑαυτοῦ, εἰς γὰρ τὰ πρῶτα πορεύσομαι, καὶ οὐκέτι εἰμὶ, τὰ δ' ἐπ' ἐσχάτοις τί οἶδα; δεικνὺς ὅτι κατὰ τὸ ἐνεστὸς ζῶμεν οἱ ἄνθρωποι, τὸ δὲ παρελθὸν ἀπωλέσαμεν, καὶ τὸ μέλλον οὔπω ἔχομεν.

ΚΕΙΜ. Ἀριστερὰ ποιήσαντος αὐτοῦ, καὶ οὐ κατέχον· περιβαλεῖ δεξιὰ, καὶ οὐκ ὄψομαι.

ΟΛΥΜΠ. Σαφέστερον δὲ τὴν ῥητῶν τὴν ἔννοιαν ἑρμηνεύων ὁ Σύμμαχος, οὕτως ἐκδέδωκεν· Ἰδοὺ ἐὰν προέρχωμαι αὐτὸν, ἀφανής ἐστι, κἂν ἀκολουθῶ, οὐκ αἰσθήσομαι. ὁ δὲ νοῦς οὗτος· ἡδέως μὲν, φησὶν, ὑπὸ τοῖς θείοις ὀφθαλμοῖς ἔχω κριθῆναι τὰ κατ' ἐμὲ, ἀλλὰ τί πάθω; ἀόρατός ἐστι τὴν φύσιν ὁ Θεός· τί οὖν δράσω; ἐν τοῖς ἔμπροσθεν αὐτὸν ἐπιζητήσω; ἀφανής ἐστι, ἔμπροσθέν μου τυγχάνει, οὐκ αἰσθάνομαι· εἰς εὐώνυμα τραπέντος ἐπιλαβέσθαι ἀμηχάνως ἔχω, ἐκ δεξιῶν γεγενημένον παντελῶς οὐχ ὁρῶ. ταῦτα δὲ ἔφη, οὐχ ὡς σωματικῶς, ἢ μεταβατικῶς τοὺς τόπους τοῦ Θεοῦ περινοστοῦντος, ἀλλὰ δεῖξαι θέλων ὡς πανταχοῦ μὲν ὁ Θεὸς πάρεστιν, ἡμῖν δὲ ἀνέφικτός ἐστι καὶ ἀκατάληπτος. τὸ δὲ, οὐκ ἔτι εἰμὶ, ἢ κατὰ τὴν προτέραν ἐκδοχὴν νοήσεις, ὅτι ἐὰν εἰς τὰ πρῶτα πορεύσωμαι τῇ διανοίᾳ, καὶ ἀναλογίσωμαι τὸ παρελθὸν τοῦ χρόνου, εὑρίσκω ἐμαυτὸν οὐκ ὄντα, ἀλλ' ἀποβαλλόντα τὸ εἶναι, καθ' ὃ παρῴχηκεν· ἢ οὕτως αὐτὸ ἐκλήψῃ, ὅτι ἐὰν ἐπὶ πλέον ἐπεκτείνω τὴν ζήτησιν καὶ τὴν πολυπραγμοσύνην τοῦ νοὸς, καὶ τὰ πρῶτα, καὶ τὴν ἀρχὴν ζητήσω τοῦ Θεοῦ, ἔξω ἐμαυτοῦ γίνομαι, καὶ ἐν σκοτοδινίᾳ λογισμῶν καθίσταμαι, ζητῶν καταλαβεῖν τὸν ἀκατάληπτον.

ΚΕΙΜ. Οἶδε γὰρ ἤδη ὁδόν μου, διέκρινε δέ με ὥσπερ τὸ χρυσίον, ἐξελεύσομαι δὲ ἐν ἐνταλμασιν αὐτοῦ· ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα, καὶ οὐ μὴ ἐκκλίνω ἀπὸ τῶν ἐνταλμάτων αὐτοῦ, καὶ οὐ μὴ παρέλθω.

ΤΟΥ͂ ΑΥ`ΤΟΥ͂ Διὰ τοῦτο, φησὶν, ἐπὶ Θεοῦ θαῤῥῶ κρίνεσθαι, ὅτι καὶ πρὸ τῶν ἐμῶν λόγων τὰς ἐμὰς ἐπίσταται πράξεις, καὶ ὅτι τὸν νόμον αὐτοῦ καὶ τὰς ἐντολὰς ἐφύλαξα. ἐντολὰς δὲ νῦν λέγει, οὐ τὰς ἀκουστὰς, καὶ ἐγ-

γραμμάτων. (πρὸ τοῦ νόμου γὰρ ἦν ὁ Ἅγιος) ἀλλὰ καὶ τὰς ἀγράφους, τὰς τῇ φύσει συνεσπαρμένας, τὰς κατὰ διάνοιαν ὑπὸ Θεοῦ λαλουμένας. τὸ δέ, οὐ μὴ ἐκκλίνω, θαυμασίαν ἔχει τὴν ἔμφασιν· κἂν γὰρ μυρία, φησί, πάθω, οὐ παρατραπήσομαι τῆς εὐθείας ὁδοῦ, οὐδὲ ὑπερβήσομαι τὰ τῷ Θεῷ δοκοῦντα· ὅμοιον τῷ, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;

ΚΕΙΜ. Ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ.

Τουτέστιν, ἐν τῷ διανοητικῷ, ἐν τῷ βάθει τῆς διανοίας μου τὰς θείας ἐντολὰς ἔχων ἐφύλαξα, ἐνεκολπωσάμην αὐτάς, καὶ ὡς συναναπεπλασμένος καὶ πεποιημένος αὐταῖς, καὶ οἷον ἡνωμένος, οὕτω περιχαρῶς ἐξετέλεσα, ἐν ἀναπαύσει, ἐν προθέσει, οὐδὲ ἀνάγκῃ τὸ θεῖον ἐκπληρῶν βούλημα. τοιοῦτον κἀκεῖνο τὸ ψαλμικόν, ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, καὶ πάλιν καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. εἶτα ὥσπερ τινὸς ἀνθυπενεγκόντος, ὅτι οὖν ἕνεκα τοιούτοις περιπέπτωκας τοῖς δεινοῖς; ὀξέως ἐπάγει.

ΚΕΙΜ. Εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ; ὃ γὰρ αὐτὸς ἠθέλησε, καὶ ἐποίησεν.

ΧΡΥΣΟΣΤ. Οἶδε, φησί, τὴν ὁδόν μου, καὶ ὅτι ἀεὶ ἐσπούδασα ὑπακούειν αὐτῷ. ἀλλὰ τίς, ὅταν κρίνῃ, ἀντερεῖ αὐτῷ; ἃ μὲν γὰρ ἐμαυτῷ σύνοιδα, ταῦτά ἐστι. κρατείτω δὲ ὅμως τὸ τῷ Θεῷ δοκοῦν, καὶ μηδεὶς τοῖς αὐτοῦ κρίμασιν ἀντιπιπτέτω. εἰ γὰρ καὶ δικαιοπραγοῦντά με κατέκρινε καὶ ταῦτά με παθεῖν ἐδοκίμασε, τίς ἂν ἀντειπεῖν ἔχοι; ἢ πάντως οὐδείς· συντρέχουσαν γὰρ ἔχει τῇ θελήσει τὴν δύναμιν, καὶ τὸ δόξαν αὐτῷ γίνεται. μὴ ἀπαίτει με λόγους τῆς θείας προνοίας· εὖ οἶδα ὅτι οὐδὲν ἐμαυτῷ σύνοιδα· εἰ δὲ ἐν δεινοῖς ἐξετάζομαι, οὐκ ἀνακρίνω τὴν τοῦ Θεοῦ οἰκονομίαν, ἀλλὰ τὸν λόγον ἀγνοῶν, φημί, ὅτι ὃ ἠθέλησεν, ἐποίησε, καὶ κάτω κύπτων προσκυνῶ, μηδὲν πλέον περιεργαζόμενος.

ΚΕΙΜ. Διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα· νουθετόμενος δέ, ἐφρόντισα αὐτοῦ.

ΟΛΥΜΠ. Τὰ κατ' ἐμαυτόν, φησίν, ἀνασκοπῶν, ἐσπούδακα, τουτέστιν, ἐταράχθην, οὐκ εἰδὼς τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ἀγνοῶν ἐφ' οἷς ἔπληξέ με ὁ Θεός· πλὴν καὶ διὰ τῆς παρούσης πληγῆς νουθετόμενος καὶ ἐλεγχόμενος, οὐκ ἀπεδυσπέτησα, ἀλλ' εὐχαρίστως ἤνεγκα, καὶ ἐφρόντισα τοῦ μηδέν τι παλίμφημον περὶ Θεοῦ νοῆσαι, ἢ φθέγξασθαι.

ΚΕΙΜ. Ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ, κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ.

Πάλιν τὸ αὐτὸ ἐπαναλαμβάνει ῥῆμα καὶ νόημα, καὶ φησίν, ὅτι τοιαῦτα ἐμαυτῷ συνειδώς, εἶτα πληγείς, ἀμηχανῶ καὶ τεθορύβημαι, τὴν αἰτίαν τῆς κακώσεως οὐκ ἐπιστάμενος· πλὴν οὐδὲ πολυπραγμονεῖν βούλομαι, ἀλλ' ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἀπὸ μόνης τῆς αὐτοῦ ἐπιφανείας θροοῦμαι, κἂν

μόνον αὐτὸν καταινοήσω, πτοοῦμαι, καὶ ὀκνῶ ἐρευνᾷν διατί μεμαστίγωμαι.

ΧΡΥΣΟΣΤ. Οὐχ ἥμαρτον, φησι, καὶ τί τοῦτο; οὐ γὰρ μόνον δι' ἁμαρτήματα ἔξεστι κολάζειν Θεῷ, ἀλλὰ καὶ τούτων χωρίς.

ΚΕΙΜ. Κύριος δὲ ἐμαλάκυνε τὴν καρδίαν μου, ὁ δὲ παντοκράτωρ ἐσπούδασέ με· οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος, πρὸ προσώπου δέ μου ἐκάλυψε γνόφος.

ΟΛΥΜΠ. Τὸ μὲν, ἐμαλάκυνεν, ἀντὶ τοῦ, τῆς ψυχῆς, τοὺς τόνους διέλυσεν· τὸ δὲ, ἐσπούδασέ με ἀντὶ τοῦ, ἐθορύβησε. τὸ μὲν, οὐκ ᾔδειν, ἀντὶ τοῦ, οὐ προσεδόκων, λέγει. σκότος δὲ καὶ γνόφον πρὸ προσώπου καλεῖ τὸ τῶν συμφορῶν ἄδηλον, ἢ, ἀδιεξόδευτον· ὡς γὰρ πρὸ ὀφθαλμῶν, φησὶν, ἀορασίας οὔσης, ὑπερβαίνειν οὐκ ἔχω τὰ δεινὰ, ἃ καὶ ποιεῖ μοι τὴν ἀγωνίαν, καὶ ἐκλύει τοὺς τόνους τῆς ψυχῆς, ἀδοκήτως ἐπενεχθέντα μοι.

ΧΡΥΣΟΣΤ. Οὐ γὰρ κατὰ ἀκολουθίαν ἀνθρωπίνην γέγονε τοῦτο, φησιν, ἀπροσδόκητον τὸ κακόν· στοχάζομαι τῆς τοῦ Θεοῦ χειρὸς εἶναι τὴν πληγήν. καὶ καλῶς εἶπε, πρὸ προσώπου μου, οὐ γὰρ κοινὸν τὸ σκότος ἐστὶν, ἀλλὰ τῆς ἐμῆς ἀθυμίας.

ΚΕΙΜ. Διατί δὲ Κύριον ἔλαθον ὧραι; ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον σὺν ποιμένι ἁρπάσαντες; ὑποζύγιον ὀρφανῶν ἀπήγαγον, καὶ βοῦν χήρας ἠνεχύρασαν, ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας.

ΟΛΥΜΠ. Τὰ προρρηθέντα τοῦ Ἰὼβ λέγοντος, εἰκὸς ἦν τοὺς φίλους ἀντερεῖν, ὡς ταῦτα πάσχεις, οὐ καθαρὸς ὢν, ὡς σὺ φὴς, ἀλλὰ τῶν πλημμελημάτων ἐκτίνων δίκας· γοργῶς οὖν ἐπιλύων τὸ ἀντιπίπτον, ἐπάγει, πῶς οἱ μὲν ἀσεβεῖς τὰ τῶν πλησίων ἀφαιροῦνται, παρορίζοντες, καὶ λυμαινόμενοι τοὺς ἀγχιτέρμονας, καὶ ὅρια ὑπερβαίνοντες, ἢ κατὰ τὸν Ἀκύλαν, προσλαμβάνοντες, ἀνηλεῶς αὐτοῖς ποιμνίοις τὸν ποιμένα συναρπάζοντες, ὀρφανῶν καὶ χηρῶν τὰς τοῦ ζῆν ἀφορμὰς παραιρούμενοι, τὸν βοῦν, φημὶ, καὶ τὸ ὑποζύγιον, τοὺς ἀσθενεῖς καταδικάζοντες, καὶ τὰς τοῦ δικαίου παρατρέποντες ψήφους ἐν αὐτοῖς; παρέτρεψαν γὰρ πενήτων ὁδὸν, κατὰ Σύμμαχον, τουτέστι, τοὺς ἀσθενεστέρους τῷ λογισμῷ τὴν δικαίαν πολιτείαν καταλιμπάνειν, ἀναπείθουσιν ὁρῶντας τὴν κακίαν εὐοδουμένην καὶ εὐτυχοῦσαν, καὶ διὰ τοῦτο σκανδαλιζομένους, καὶ ἐκτρεπομένους ἀπὸ τῆς ἀρίστης καὶ ἐπαινουμένης ζωῆς ἐπὶ τὴν αἰσχίστην καὶ διαβεβλημένην· ὁ δὲ Θεὸς, ὥσπερ τῶν καιρῶν ἐπιλαθόμενος, ὑπερτίθεται τὰς τιμωρίας. καίτοι γε εἰ τοῖς ἁμαρτήμασι πάντως ἕπονται αἱ κολάσεις, εὔκαιρον ἦν ὁμοῦ τῷ πλημμελήματι τὴν ποινὴν ἐπάγεσθαι· νῦν δὲ οἱ μὲν ἀνήκεστα πράττουσιν, ὁ δὲ Θεὸς, ὥσπερ τῶν καιρῶν ἐκλελησμένος, ἀνέχει τὰς ἀνταποδόσεις. τὸ, διατί οὖν, οὐκ αἰτιολογικῶς, ἀλλὰ προβληματικῶς, ὡς πρὸς τοὺς φίλους εἴρηται.

ΚΕΙΜ. Ὁμοθυμαδὸν δὲ ἐκρύβυσαν πραεῖς γῆς.

Ἤτοι

Ἤτοι φεύγοντες τοὺς ἀδίκους, καὶ τὴν μετὰ θηρῶν μᾶλλον αἱρούμενοι διατριβήν· ἢ, τὸ ἀληθέστερον, ἐλαυνόμενοι, καὶ φονευόμενοι ὑπὸ τῶν ἀσεβῶν. τοῦτο καὶ ἡ τοῦ Συμμάχου παρίστησιν ἔκδοσις· ὁμοῦ γὰρ φησὶν, ἀφανεῖς ἐποίησαν ἀραιεῖς γῆς, τοὺς δρῶντας γὰρ λέγει ὁμοῦ καὶ τοὺς πάσχοντας. τοῦτο καὶ παρὰ τῷ Σολομῶντι τὸ πονηρὸν λέγει συνέδριον, κρύψωμεν γὰρ, φησὶν, εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως.

ΚΕΙΜ. Α'πέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ.

Α'δεῶς καταπατοῦντες τοὺς ἀνθρώπους, πάντων καταφρονοῦντες, πάντων καταγελῶντες, μετ' ἐξουσίας τὰ προστυχόντα ληϊζόμενοι· ὁ δὲ Θεὸς οὔπω ἐπισκοπὴν πεποίηται τούτων.

ΚΕΙΜ. Υ'πὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν τάξιν.

ΟΛΥΜΠ. Ο' δὲ Α'κύλας ἐξέρχονται ἐν κατέργῳ αὐτῶν, ὀρθρίζοντες εἰς ἅλωσιν. ὁ δὲ νοῦς οὗτος· οὗτοι, φησὶ, τὸ συνήθες αὐτοῖς καὶ ἐπ' ἐμοὶ ἔπραξαν, ὑπὲρ ἐμοῦ γὰρ ἐξῆλθον, τουτέστιν, ὑπὲρ τοῦ τὰ ἐμὰ λαβεῖν, καὶ ἰδιώσασθαι· τοῦτο δὴ ὃ πράττειν εἰώθασιν.

ΚΕΙΜ. Η'δυνήθη αὐτῷ ἄρτος εἰς νεωτέρους.

ΣΥΜΜΑΧΟΣ. Η'δὺς ἑκάστῳ αὐτῶν ἄρτος εἰς νεανίσκους. ἡδὺ, φησὶ, τοῖς ἀσεβέσι τὸ τρέφειν νεανίσκους τινὰς, ἐφ' ᾧ διώκεσθαι δι' αὐτῶν τοὺς ἐπηρείας ἐργάζεσθαι, καὶ τοῖς ἀσθενεστέροις ἐπιτίθεσθαι.

ΚΕΙΜ. Α'γρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν.

ΤΟΥ ΑΥΤΟΥ. Δύο κατ' αὐτὸ ἥμαρτον, πρὸ ὥρας τοὺς καρποὺς τέμνοντες, καὶ ταῦτα τοὺς ἀλλοτρίους. πεφύκασι δὲ τοῦτο ποιεῖν οἱ λῃστεύοντες, διὰ τὸ τῷ καιρῷ τοῦ θερισμοῦ φυλάττεσθαι τοὺς καρποὺς, μᾶλλον δὲ διὰ τὸ τοὺς δεσπότας τῶν ἀγρῶν καθ' ὥραν αὐτοὺς θερίζειν, προλαμβάνουσιν οἱ λῃσταὶ, καὶ ἄωρον ποιοῦνται τὴν τομὴν, ἵνα μὴ ἀναμένοντες πεπανθῆναι τοὺς καρποὺς, εὕρωσιν ἤδη θερισθέντας αὐτοὺς παρὰ τῶν Κυρίων τῆς γῆς.

ΚΕΙΜ. Α'δυνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἄσιτοι εἰργάσαντο.

ΟΛΥΜΠ. Μεγίστη καὶ αὕτη παρανομία, τὸ τοὺς πένητας ἀμισθὶ τοῖς πλουσίοις ἐργάζεσθαι· καὶ οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ χωρὶς τροφῆς. δύο οὖν ταύτας ἀδικίας δημοσιεύει, θερισμὸν ἄωρον ἀλλοτρίων ἀγρῶν, καὶ μισθοῦ ἀποστέρησιν πενήτων ἐργατῶν, οἳ τῇ δυναστείᾳ εἴκοντες, καὶ δίχα τροφῆς τοὺς τῶν ἀσεβῶν ἀμπελῶνας εἰργάσαντο. καίτοιγε ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.

ΚΕΙΜ. Γυμνοὺς πολλοὺς ἐκοίμησαν ἄνευ ἱματίων, ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο.

Κατὰ μὲν τὸν ἐμὸν λόγον, γυμνοὺς τινὰς καθεύδειν ἐποίησαν,

καὶ τὸ ἔχατον περιβόλαιον τὸ σκέπον τὴν ἀχημοσιώίω τῦ σώματος ἀφελόμενοι· κτ. δὲ τὸ δοκῦν ἑτέροις, γυμνώσαντες πολλὲς ἐκοίμησαν, τουτέςι, ἡσυχάσαι παρεσκεύασαν. ὑπὸ γδ τῦ δέες ἐκ αὐτέλεγον οἱ γυμνέμενοι.

ΚΕΙΜ. Ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται, παρὰ τὸ μὴ ἔχειν ἑαυτὸς σκέπίω, πέτραν περιεβάλοντο.

Ἐμοὶ δοκεῖ, ὅτι ἀπὸ τῶν δρώντων ἐπὶ τὸς πάχοντας, ἐνταῦθα τὸν λόγον μετήγαγε, καὶ φησὶν, ὅτι οἱ γυμνέμενοι, καὶ τῶν οἰκιῶν ἐξελαυνόμενοι, ὕπαιθροι ταλαιπωρέμενοι, τὰς ἐκ τῦ ἀέρ@ ψεκάδας γυμνοῖς τοῖς σώμασιν ὑπεδέχοντο· καὶ διὰ τὸ μὴ ἔχειν σκέπίω ἢ ςέγίω, ταῖς αὐτορόφοις πέτραις, καὶ τοῖς σπηλαίοις, ὡσεὶ οἰκίαις ἐκέχρηντο.

ΟΛΥΜΠ. Τινὲς δὲ περὶ τῶν βιαίων εἰρῆσθαι ταῦτα νοῦσι, καὶ φασὶν, ὅτι οἱ τοιῦτοι, τὴν ἐρημίαν καταλαμβάνοντες, αἴθριοι μὴν τὰ πολλὰ διατείβυσι, τὸν λῃςρικὸν ἐπανηρημένοι βίον· εἰδέ ποτε ἢ σκέπεσθαι δέοι, φωλεοὶ τέτοις ἡ σκέπη, καὶ πέτραι καὶ φάραγγες.

ΚΕΙΜ. Ἥρπασαν ὀρφανὸν ἀπὸ μαςῦ.

ΤΟΥ ΑΥΤΟΥ Ἐλεεινῶς καὶ ἀνοικτιρμόνως, ἔτι τὴν μητρώαν ἕλκοντα θηλίω τὸν ὀρφανὸν ἀφήρπασαν, ἐφ' ᾧ τῦτον ἑτέροις ἀπεμπολῆσαι. μεγίςης δὲ ὠμότητος, τὸ μηδὲ τῶν ὑπομαζίων φείδεσθαι.

ΚΕΙΜ. Ἐκπεπτωκότα δὲ ἐταπείνωσαν.

ΠΟΛΥΧΡ. Τὸν ἐκ πλέτε πεσόντα καὶ πτωχεύσαντα ἐπιπλέον αὐτοὶ ἐταπείνωσαν, καὶ τὴν μικρὰν αὐτὸν ἀφαιρέμενοι ἐπορίαν. ἀφιλοικτιρμον δὲ ἢ τῦτο, τὸ τοῖς ἀπόροις ἐπιτίθεσθαι, ἢ τὰ προσόντα αὐτοῖς ἴδιον ποιεῖσθαι κέρδ@· ἐκπεπτωκότα γὰρ, τὸν πτωχὸν ὀνομάζει. ὅτω ἢ Σύμμαχ@ ἐξέδωκε, καὶ πτωχὸν ἰχυρὸν ἐχύραζον.

ΚΕΙΜ. Γυμνὸς δὲ ἐκοίμησαν ἀδίκως.

Κατὰ τὸ προαποδοθέντα, ἐπὶ ψιλῦ τῦ ἐδάφες κεῖσθαι αὐτὸς παρεσκεύασαν, μὴ ἔχοντας μηδ' ὅπερ ὑποςορῶσιν· ἢ καθά τισιν ἔδοξε, μηδὲν ἐποφείλοντας ἀδίκως γυμνώσαντες, ἐκοίμησαν, τετέςι, κατεσίγασαν, μηδὲ γρύξαι τολμῶντας, ἢ τὴν ἀδικίαν ἀποδύρασθαι.

ΚΕΙΜ. Πεινόντων δὲ τὸν ψωμὸν ἀφείλαντο.

ΟΛΥΜΠ. Εἰς ἐχάτην αὐτὸς καταςήσαντες πενίαν τε καὶ τροφῆς ἔνδειαν, ὅπερ ἀπανθρωπίας ἐπίτασις, ἢ ἄκρας ὠμότητος, ἢ ὑπερβαλλέσης ἀδικίας τεκμήριον.

ΚΕΙΜ. Ἐν ςενοῖς ἀδίκως ἐνήδρευσαν.

Περὶ τὸς ἀμφικρήμνες λοχῶντες τόπος,

πυς, ἵνα μὴ δύνωνται φεύγειν οἱ ἐκδιδρασκόμενοι· ἐν γὰρ ταῖς πλατείαις ἴσως τῦ ἦν καὶ διαδρᾶναι τὺς ἐπιβυλλομένυς.

ΚΕΙΜ. Ὁδὸν δὲ δικαίαν ὐκ ἤδεισαν.

ΤΟΥ ΑΥΤΟΥ. Τυτέστιν, ὐκ ἠγάπησαν· τὸ γὰρ, ὐκ ἤδεισαν, ὐκ ἄγνοιαν αὐτοῖς ἐστὶ μαρτυρῦντος, ἀλλὰ τὸ μὴ ἔχειν αὐτὺς οἰκείως πρὸς τὴν τῶν δικαίων πολιτείαν διαβεβαιῦντος.

ΚΕΙΜ. Οἳ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλοντο.

Πάλιν τὺς δρῶντας ἀφεὶς, ἐπὶ τὺς πάσχοντας μεταβέβηκεν· οὗτοι γὰρ ὑπὸ τῶν παρανόμων ἐξηλαύνοντο ἐκ τῶν ἰδίων οἴκων καὶ πόλεων.

ΚΕΙΜ. Ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα.

ΟΛΥΜΠ. Τῶν δεδιωγμένων δικαίων τὰ βρέφη, κάτωθεν ἐκ τῦ τῆς καρδίας βάθυς μεγάλως ἐστέναζεν ἐπὶ τῇ τῶν τεκόντων ἐρημίᾳ, ἢ διὰ τὸ μὴ ἀπορεῖν αὐτοῖς τὺς γονεῖς μεταδῦναι τροφῆς.

ΚΕΙΜ. Αὐτὸς δὲ διατὶ τύτων ἐπισκοπὴν ὐ πεποίηται, ἐπὶ γῆς ὄντων αὐτῶν, καὶ ὐκ ἐπέγνωσαν.

Ὡς πρὸς τὺς φίλυς πάλιν διαπορῶν λέγει, εἰ δι' ἁμαρτήματα πάντως αἱ κακώσεις, διατὶ τὺς ταῦτα πράξαντας πολλάκις ἀνεπισκοπήτυς εἴασεν ὁ Θεὸς ἐνταῦθα; διὸ μὴ παιδευθέντες, ὐδὲ ἐπέγνωσαν ὅτι ἐπισκοπὴν ποιεῖται τῶν παρ' αὐτοῖς τολμωμένων ὁ Κύριος.

ΚΕΙΜ. Ὁδὸν δὲ δικαιοσύνης ὐκ ἤδεισαν, ὐδὲ ἀτραπὺς αὐτῶν ἐπορεύθησαν.

Τῇ πείρᾳ, φησὶν, ὐκ ἔμαθον τί ἐστὶ δικαιοσύνη, καθ' ὅτι ἐν αὐτῇ ὐκ ἐβάδισαν, ὐδὲ ἐπολιτεύσαντο· ἐπεὶ καὶ ὁδὸν ἀγνοῦμεν, ἐν ᾗ ὅλως μὴ διετρίψαμεν.

ΚΕΙΜ. Γνὺς δὲ αὐτῶν τὰ ἔργα, παρέδωκεν αὐτὺς εἰς σκότος.

Τὴν μέλλυσαν κόλασιν ἐμφαίνει, καὶ φησὶν, ὅτι ἐξετάσας καὶ βασανίσας τὰς τῶν ἀσεβῶν πράξεις ὁ Θεὸς, παραδώσει αὐτὺς τῷ σκότει. ἔθος γὰρ τῇ θείᾳ γραφῇ, τὰ μηδέπω γενόμενα, ὀφείλοντα δὲ πάντως γενέσθαι, ὡς παρόντα πολλάκις ἐκτίθεσθαι· ὥσπερ κἀνταῦθα, τὸ, παρέδωκεν, ἀντὶ τῦ, παραδώσει, εἶπεν. ἴσως δὲ ὐ τὴν ἐκεῖ κόλασιν δηλοῖ, εἰπὼν αὐτὺς παραδοθῆναι εἰς σκότος, ἀλλὰ τὴν ἐνταῦθα τῶν φρενῶν πήρωσιν ᾐνίξατο. παρέδωκε δὲ εἶπεν, ὐχ ὡς τῦ Θεῦ ἀναγκαστικῶς τῦτο ποιῦντος, μὴ γένοιτο· ἀλλὰ συγχωρῦντος αὐτοῖς διὰ τὸ αὐτεξύσιον, ὡς βύλονται πορεύεσθαι. τοιῦτον καὶ τὸ, παρέδωκεν αὐτὺς εἰς ἀδόκιμον νῦν· καὶ τὸ, ἐτύφλωσε τὺς ὀφθαλμὺς αὐτῶν καὶ τὰ νοήματα αὐτῶν. ὐχ ὅτι αὐτὸς ταῦτα ἔπραξεν, ἀλλ' ὅτι συνεχώρησεν.

ΚΕΙΜ. Καὶ νυκτὸς ἔσαι ὡς κλέπτης· καὶ ὀφθαλμὸς μοιχῦ

ἐρύ-

ἐφύλαξε σκότος, λέγων, οὐ προσνοήσει με ὀφθαλμός, καὶ ἀποκρυβὴν προσώπου ἔθετο. διώρυξεν ἐν σκότει οἰκίας.

ΟʼΛΥΜΠ. Πάλιν ἐπὶ φαύλους ἐπανατρέχει, καὶ φησὶν, ὅτι πᾶς ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, τὴν δὲ νύκτα συνεργὸν ἔχει πρὸς τὸ σπουδαζόμενον, ἐπειδὴ καὶ σκότους ἄξια πράττει, καὶ σπουδάζει λαθεῖν. καὶ κλέπτης οὖν καὶ μοιχὸς τῷ ζόφῳ, οἱονεί τινι σκεπαστηρίῳ, καλύψας τὸ πρόσωπον, ἀφ' οὗ ὁ γνωρισμὸς γίνεται, ὁ μὲν τοίχους, ὁ δὲ γάμους ἀλλοτρίους διορύττει, σκέπαστρον προσώπου, κατὰ Σύμμαχον, περιθέμενος, τουτέστιν, ἐπιτηρῶν τὸ σκότος, ὡς ἐν τούτῳ σκεπασθησόμενος, καὶ λησόμενος. διατὶ δὲ, οὐχὶ κλέπτης, ἀλλ' ὡς κλέπτης; ὅτι ἀνθρώπους μὲν ἔκλεπτε, Θεὸν δὲ οὐκ ἐλάνθανεν· ὡς οὖν πρὸς αὐτὸν, ὡς κλέπτης, ὡς δὲ πρὸς ἡμᾶς, κλέπτης. ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας, οὐ λήσεις δὲ Θεὸν, οὐδὲ λογιζόμενος,

ΚΕΙΜ. Ἡμέρας ἐσφράγισαν ἑαυτοὺς, οὐκ ἐπέγνωσαν φῶς, ὅτι ὁμοθυμαδὸν αὐτοῖς τὸ πρωῒ σκιὰ θανάτου, ὅτι ἐπιγνώσεται ταραχὰς σκιᾶς θανάτου.

ΤΑΥ'ΤΑ Σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος, ὡς ἐν σφραγῖδι κρύψουσιν ἑαυτοὺς, ἐὰν γένηται αὐτοῖς ὄρθρος, σκιὰ θανάτου· φωραθέντες γὰρ ἀνύπαρκτοι ἔσονται, σκιασθέντες θανάτῳ. τοῦτο δὲ δοκεῖ λέγειν, ὅτι καὶ κλέπτης καὶ μοιχὸς ἐν νυκτὶ μὲν τολμῶσι τὰ ἄτοπα, ἡμέρας δὲ κρύπτονται, καὶ φεύγουσι τὸ φῶς· ἐὰν γὰρ φωραθῶσι, θάνατος αὐτοῖς εὐθὺς τὸ ἐπιτίμιον· καὶ ὁ ἁλοὺς τοιαύτας ἐπιγνώσεται καὶ ὑπομενεῖ ταραχὰς, καὶ οὕτω θορυβηθήσεται, ὡς καὶ πρὸ τοῦ θανάτου τῷ δέει μικροῦ ἀποθανεῖν· σκιὰ γὰρ θανάτου παρὰ τῇ γραφῇ, πολλάκις οἱ κίνδυνοι ὀνομάζονται, οἱ ἐγγὺς τοῦ θανάτου ἄγοντες. οἱ τοίνυν κακοῦργοι, ἵνα μὴ ἁλόντας αὐτοὺς θάνατος καλύψῃ, κατακλείσαντες ἑαυτοὺς, ἐν ἡμέρᾳ προϊέναι δεδοίκασιν.

ΠΟΛΥΧΡ. Ἐναποκλείουσι, φησὶν, ἑαυτοὺς τὴν ἡμέραν, προϊέναι δεδοικότες εἰς φῶς, ἵνα μὴ ἁλῶσιν. ὥσπερ γὰρ ἡ σκιὰ προτρέχει τοῦ σώματος, καὶ πλησίον εἶναι τοῦτο δηλοῖ· οὕτω καὶ οὗτοι, διαυγάσης ἡμέρας τῷ συνειδότι βαλλόμενοι, πλησίον εἶναι προσδοκῶσι τὸν θάνατον· ἡ δὲ τοιαύτη προσδοκία ταραχῆς αὐτῶν ἐμπίπλησι τὰς ψυχάς.

ΚΕΙΜ. Ἐλαφρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος.

ΟʼΛΥΜΠ. Ὁ δὲ Σύμμαχος ἐπιπλέων ὕδατι. ὥσπερ, φησὶ, τὰ κοῦφα, τὰ ἐπιπολάζοντα, καὶ ἐπιπλέοντα τῷ ὕδατι, ὑπὸ τῆς φορᾶς τῶν ὑδάτων εὐκόλως παρασύρεται. οὕτω καὶ πᾶς κακοῦργος ὑπὸ τῶν πειρασμῶν ἕλκεται, καὶ ῥᾳδίως ἀφανίζεται· οὐ γὰρ διασώσει κακουργία, καὶ ἀδικία, τὸν παρ' αὐτῆς. εἶτα ὁ φιλόθεος Ἰὼβ, οὐ διὰ τὴν ἀνοχὴν τοῦ Θεοῦ ἀνέχεταί τι πλέον ἔχειν ἀρετῆς κακίαν, ἀλλ' ἀραῖς βάλλει τὴν μερίδα τῶν ἀσεβῶν, καὶ φησὶ, τὰ αὐτοῖς συμβησόμενα, ὡς ἐν εἴδει κατάρας, λέγων.

ΚΕΙΜ.

ΚΕΙΜ. Καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς, ἀναφανείη δὲ τὰ φυτὰ αὐτῶν ἐπὶ γῆς ξηρά.

Ο̑ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ ἀλλοτρίους ἀγροὺς ἐθέρισαν, καὶ τοὺς αὐτῶν ἀμπελῶνας ἕτεροι ἀμισθὶ εἰργάσαντο, μὴ ὄναιντο τῶν οἰκείων, ἀλλ' ἄκαρπα καὶ ξηρὰ καὶ τὰ λήϊα καὶ τὰ φυτὰ ἑαυτῶν εὕροιεν, τὴν ἐπὶ τῷ Κάϊν κατάραν δρεψάμενοι, τὴν φάσκουσαν, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, μὴ ἀμειβομένη τοὺς γεωργικοὺς ἱδρῶτας τῇ ἀφορίᾳ.

ΚΕΙ'Μ. Α'γκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν.

Ο'ΛΥΜΠ. Τοῖς θερίζουσιν ὀρφανοὶ πολλάκις ἑπόμενοι, καὶ τοὺς ἐκπίπτοντας συλλέγοντες στάχυας, εἰς ἀγκαλίδας δεσμεύουσιν· φησὶν οὖν, ὅτι εἰς τοσοῦτόν τινες ἀπανθρωπίας ἐληλάκασιν, ὡς καὶ τὴν τῶν καλαμωμένων δι' ἀπορίαν ὀρφανῶν μερίδα μετρίαν ἁρπάζειν.

ΚΕΙΜ. Εἶτ' ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία, ὥσπερ δὲ ὁμίχλη δρόσου, ἀφανὴς ἐγένετο. ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν.

ΤΟΥ̃ ΑΥ'ΤΟΥ̃. Τουτέστιν, εἰς μνήμην ἐγράφη, τὰ τῶν ἀσεβῶν ἁμαρτήματα· διὸ καὶ ἀναπόδραστος αὐτοῖς ἔσται ἡ τιμωρία, εἰ καὶ ἐν τῷ τέως ὁ Θεὸς διὰ χρηστότητα τὰς κολάσεις ὑπερτίθεται. ὥσπερ οὖν, φησὶ, ἡ ἐκ τῆς δρόσου συμβαίνουσα ὁμίχλη, ἡλιακῆς ἀκτῖνος ἐπιλαμψάσης, καὶ τὸν ἀέρα διαθερμανάσης, ἀφανὴς γίνεται, ἀναλωμένου τοῦ θερμοῦ τὸ ὑγρὸν, καὶ ἀναλίσκοντος τὴν ἰκμάδα· οὕτω καὶ τῆς θείας δίκης ἐπελθούσης, ὁ ἀσεβὴς ἀναλίσκεται καὶ ἀφανίζεται, ἀπολαμβάνων πικρὰ τὰ τῶν πονηρῶν πράξεων ἐπίχειρα. τοιοῦτόν τι περὶ τοῦ ἀσεβοῦς καὶ Δαβὶδ ψάλλει, ζητηθήσεται γὰρ, φησιν, ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ, ἀφανιζομένου δηλαδή.

ΚΕΙΜ. Συντριβείη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ.

Α'νίατον λέγει ξύλον, ὃ μετὰ τὴν συντριβὴν θεραπείαν οὐκ ἐπιδέχεται, ὥστε ὑγιασθῆναι, ἀλλ' ἄχρηστον ἔτι λοιπόν. τούτῳ, φησὶν, ὁμοίως καὶ ὁ τῇ ἀδικίᾳ ἐπιμένων συντριβήσεται· λέγων γὰρ, ἀποδοθείη αὐτῷ, καὶ συντριβείη, οὐκ ἐπαρᾶται ὁ δίκαιος, ἀλλὰ τὸ ἐσόμενον πάντως, λέγει· ἕκαστος γὰρ κομιεῖται πρὸς ἃ ἔπραξε.

ΚΕΙΜ. Στεῖραν δὲ οὐκ εὖ ἐποίησε καὶ γυναῖκα οὐκ ἠλέησε· θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους.

Ο'ΛΥΜΠ. Στεῖραν, ἔφη, καὶ γύναιον, ἵνα εἴπῃ τὰς οἴκτου ἀξίας. στεῖραν δὲ, τὴν δι' ἀπαιδίαν ἀβοήθητον· γύναιον, τὸ διὰ τὴν φύσιν ἐπικουρίας δεόμενον. ἀσθενὲς γὰρ τὸ θῆλυ καὶ εὐκαταφρόνητον. προσέθηκε δὲ τούτοις καὶ τὸ μεῖζον κακόν. τὴν μετ' ὀργῆς συντριβὴν τῶν ἀσθενῶν. οὐ γὰρ ἔκ τινος, φησὶν, αἰτίας εὐλόγου, ἀλλὰ ψυχῆς ἀλόγῳ κινήματι, τῷ θυμῷ χρώμενος κατέστρεψε, καὶ εἰς παντελῆ περιέστησεν ἀπορίαν τοὺς ἀδυνάτους καὶ ἀνεπικουρήτους.

ΚΕΙΜ. Ἀναςὰς τοιγαροῦν οὐ μὴ πιςεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς.

Τὸ δυσσυνείδητον ἐνταῦθα τοῦ τὴν κακίαν ἐργαζομένου δηλοῖ· οὕτω γάρ, φησί, καταγινώσκει αὐτοῦ ἡ συνείδησις, ὅτι καθ' ἑκάςην ὡς τεθνηξόμενος οὕτω διάκειται. ἀεὶ γὰρ ἀνιςάμενος, οὐκ ἐλπίζει ζήσεσθαι, ἀλλὰ μένει δεδοικώς, καὶ περίφοβος ὤν· οὐδὲν γάρ ἐςι φόβος, εἰμὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων.

ΚΕΙΜ. Μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ· πολλοὺς γὰρ ἐκάκωσε τὸ ὕψωμα αὐτοῦ.

Κἂν ἐκ νόσου, φησίν, ἀνάςῃ ὁ μοχθηρός, ἄπιςον ἡγεῖται καὶ ξενίζον τὸ πρᾶγμα, καραδοκεῖ γὰρ διὰ τὰς πράξεις αὐτοῦ τὸν θάνατον· κἂν μαλακισθῇ, δύσελπίς ἐςι, καὶ οὐδὲν χρηςὸν προσδοκᾷ, ἀλλ' ὑπὸ τῆς ἰδίας συνειδήσεως βαλλόμενος, ἀποθανεῖσθαι οἴεται πάντως. τὸ δ' αἴτιον τοῦ οὕτως αὐτὸν διακεῖσθαι, καὶ τοιαῦτα φαντάζεσθαι, ὅτι ὑψωθείς, καὶ δόξαν ἔχων καὶ δυναςείαν, εἰς κάκωσιν ἑτέρων τῇ ἰσχύϊ ἐχρήσατο.

ΚΕΙΜ. Ἐμαράνθη δὲ ὥσπερ μολόχη ἐν καύματι, ἢ ὥσπερ ςάχυς ἀπὸ καλάμης, αὐτομάτως ἀποπεσών.

Τό, ἐμαράνθη, ἀντὶ τοῦ, μαρανθήσεται. ἕτερα δὲ τῶν ἀντιγράφων, ἀντὶ τοῦ, ὥσπερ μολόχη, ὥσπερ χλόη, ἔχουσι· κατὰ τό, ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. μαραίνεται δὲ ἄςαχυς ἐκτιναχθεὶς ἀπὸ τῆς φερούσης αὐτὸν καλάμης, καὶ μηκέτι τὴν ἐκεῖθεν ἰκμάδα καὶ πιότητα ὑφ' ἧς ἐτρέφετο, δεχόμενος· ἀπόλλυται δὲ καὶ ὁ ἀσεβής, τῆς ἀρδεύσης αὐτὸν καὶ θάλλειν ποιούσης ἀπημερίας ἐκπεπτωκώς. κάλλιςα δὲ εἴρηται, τό, αὐτομάτως ἀποπεσών, ἑκάςῳ γὰρ ἡ ἰδία ἁμαρτία τιμωρὸς γίνεται.

ΚΕΙΜ. Εἰδὲ μή, τίς ἐςιν ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου;

Ἐγὼ μέν, φησί, ταῦτα δοξάζω περὶ τῆς τῶν ἀσεβῶν καὶ ἀδίκων ἀπωλείας, καὶ τῆς δικαίας τοῦ Θεοῦ ἀνταποδόσεως· εἰδὲ ψευδῆ τὰ εἰρημένα, καὶ παραςοχάζομαι τῆς ἀληθείας, ὁ βουλόμενος παρελθέτω, καὶ ἐλεγξάτω τὸν λόγον, καὶ ἀκυρωσάτω. τί δὲ ἐκ τῶν εἰρημένων εἰσάγει; ὅτι περιττῶς ἐκ τῶν συμφορῶν ἀσέβειαν αὐτοῦ οἱ φίλοι καταψηφίζονται, καταλιπόντες τὴν ἐκ τῶν ἔργων ἐξέτασιν.





ΠΡΟΘΕΩΡΊΑ

ΚΕΦΑΛΑΊΟΥ ὈΚΤΩΚΑΙΔΕΚΆΤΟΥ.

ὈΛΥΜΠΙΟΔΏΡΟΥ.

Ὥσπερ ὁ Ἐλιφὰζ, ἀπορήσας πρὸς τὰ προβληματικῶς ὑπὸ τοῦ Ἰὼβ εἰρημένα, οὐκ εὐθυδικίαν ἠγωνίσατο, ἀλλ' ἐπὶ τὰς κατὰ τοῦ δικαίου διαβολὰς ἔτρεψε τὸν λόγον· οὕτω καὶ Βαλδὰδ οὐκ ἔχων ἐλέγχειν τοῦ Ἰὼβ τοὺς λόγους, μετοχετεύει τὴν ἀπολογίαν, καὶ ὡς ἐπαιρόμενον κατὰ Θεοῦ, καὶ μέγα φρονοῦντα ἐπὶ τῇ οἰκείᾳ θεοσεβείᾳ διαβάλλει, θαυμαστῶς μὲν τὰ περὶ Θεοῦ φιλοσοφῶν, ἐξευτελίζων δὲ τὴν ἀνθρώπου φύσιν, καὶ μηδὲν τῶν καθαρωτάτων καθαρὸν εἶναι διισχυριζόμενος, συγκρίσει τῆς θείας καθαρότητος.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει, τί γὰρ προοίμιον ἢ φόβος παρ' αὐτοῦ;

ΧΡΥΣΟΣΤ. Ἐντεῦθεν ἄρξομαι, φησὶν, τοῦ λόγου, καὶ προοιμιάσομαι. πάντα φόβου γέμει καὶ τρόμου, καὶ οὐκ ἔστιν οὐδεὶς, ὃς δυνήσεται τὴν χεῖρα ἐκείνην διαφυγεῖν. πρὸς γεμὴν εἰρηκέναι τὸν Ἰὼβ, τίς γὰρ ἂν γνοίη ὅτι πορεύσομαι πρὸς αὐτόν; φησὶν, ὅτι πρὸ πάντων καὶ τὸ μνησθῆναι Θεοῦ φοβερόν.

ὈΛΥΜΠ. Τάχα δὲ καὶ τοιοῦτόν τι αἰνίττεται. ἐπειδὴ, φησὶ, μέγα φρονεῖς ἐπὶ θεοσεβείᾳ, μάνθανε ὡς ἀρχὴ πάσης ἀρετῆς ὁ θεῖος τυγχάνει φόβος· σὺ δὲ ἀφόβως διαλέγῃ· ὁ τοίνυν τὸ προοίμιον τῆς θεοσεβείας μὴ κτησάμενος, πῶς τοῖς ἄλλοις αὐτῆς μέρεσι σεμνύνεσθαι δύναται; ὅρα δὲ, οὐκ εἶπε, φόβος αὐτοῦ, ἀλλὰ παρ' αὐτοῦ· ὁ μὲν γὰρ αὐτοῦ φόβος ἔργον ἡμέτερον, ἐκ τοῦ ἐφ' ἡμῖν ἐρχόμενος· ὁ δὲ παρ' αὐτοῦ, χάρις καὶ δωρεά ἐστιν αὐτοῦ, τὸ λοιπὸν ἡμῖν ἀναπληροῦσα.

ΚΕΙΜ. Ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ.

Τουτέστιν, ἐν ἀπορρήτῳ, μετ' οὐδενὸς συσκοπήσας· εἰς φόβον δὲ ἐνάγων, ὡς οἴεται, τὸν Ἰὼβ, τοῦ Θεοῦ τὴν δύναμιν ἐξηγεῖται, καὶ φησὶν, ὅτι ὁ Θεὸς ὑπεράνω πάντων ὢν, καὶ ἐν τοῖς ὑψίστοις, τὰ πάντα ἐδημιούργησεν· ἢ τὸ,

ἐν ὑψίςῳ, ἀντὶ τοῦ, ἐν τῷ ὕψει· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.

ΚΕΙΜ. Μὴ γάρ τις ὑπολάβοι, ὅτι ἐςὶ παρέλκυσις πειραταῖς.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Πειραταὶ κυρίως εἰσὶν οἱ τὴν θάλασσαν πρὸς βλάβην ἑτέρων πλέοντες, καὶ λῃςεύοντες. καθόλου οὖν φησὶν, ὅτι μηδεὶς ἐννοείτω ὡς εἰς τέλος, κἂν ἐπὶ πολὺ διαμένει Θεὸς ὑπερτιθέμενος τὰς κατὰ τῶν ἀδίκων τιμωρίας· ἀλλ' ὥσπερ οἱ ἐνεδρεύοντες, οὕτως αὐτοῖς ἐπέρχεται, καὶ οὐκ ἔςι τινὰ τῶν ἀσεβῶν τὴν θείαν διαδρᾶναι δίκην. ὅθεν ἐπάγει.

ΚΕΙΜ. Ε'πὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ;

Ο' δὲ Σύμμαχος, ἀντὶ μὲν τοῦ, μὴ ἐςὶ παρέλκυσις πειραταῖς, μὴ ἐςὶν ἀριθμὸς τῶν ςρατιῶν αὐτοῦ, ἐξέδωκεν· ἀντὶ δὲ τοῦ, ἔνεδρα παρ' αὐτοῦ, ἐπιτάγματα, εἰς ἔμφασιν τῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἐξουσίας· μονονουχὶ λέγων, ἀναρίθμητους ἔχει τὰς λειτουργούσας αὐτῷ ςρατιὰς, τὰς δεχομένας παρ' αὐτοῦ ἐπιτάγματα, καὶ ἀποςελλομένας εἰς κόλασιν τῶν ἀσεβῶν.

ΚΕΙΜ. Πῶς γὰρ ἔςαι δίκαιος βροτὸς ἔναντι Κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι αὐτὸν γεννητὸς γυναικός;

Ο' δὲ Σύμμαχος, διὰ τίνος ἄῤῥυπος ἔςαι τεχθεὶς ὑπὸ γυναικός; εἰ καὶ τῇ ἀνθρωπίνῃ, φησὶ, κρίσει πολλοὶ νομίζονται δίκαιοι, ἀλλά γε τῷ πανεπισκόπῳ Θεοῦ ὀφθαλμῷ οὐδεὶς δίκαιος, οὐδεὶς δυνάμενος εἰπεῖν, ὅτι καθαρός εἰμι. ἀμήχανον γὰρ μὴ ἐντισι γενέσθαι παραπτώμασιν, ὅπου γε καὶ ἐνθυμημάτων, καὶ λόγων, καὶ πράξεων εὐθύνας ἀπαιτούμεθα, τὸν πάντα ἐφορῶντα Θεὸν λαθεῖν οὐ δυνάμενοι.

ΧΡΥΣΟΣΤ. Ε'πειδὴ γὰρ ὁ Ἰὼβ ἔλεγεν, ἠβουλόμην ἐλθεῖν εἰς κρίσιν· καὶ ὅτι εἰ καὶ μὴ ἥμαρτον, ἀλλ' ὅμως κολάζομαι· πρὸς τοῦτο πάλιν οὗτος, φησὶν, ὅτι οὐκ ἔςι δίκαιος οὐδεὶς ἐν ἀνθρώποις, οὐδὲ καθαρὸς καθόλου, ὥςε περιττῶς ζητεῖς τὴν κρίσιν καὶ τὴν ἐξέτασιν.

ΚΕΙΜ. Εἰ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσει, ἄςρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ· ἔα δὲ, ἄνθρωπος σαπρία, καὶ υἱὸς ἀνθρώπου σκώληξ.

Ο'ΛΥΜΠ. Ταῦτα λέγει, οὐ τὴν ἡμετέραν φαυλίζων φύσιν, ἀλλὰ τὸν Θεὸν ὑψῶν, καὶ τὴν αὐτοῦ δεικνὺς δύναμιν. εἰ γὰρ τῇ σελήνῃ, φησὶν, ἐπιτάσσειν δύναται, ὥςε τὸ οἰκεῖον μὴ ἐκλάμπειν σέλας, καὶ τὰ ἄςρα οὐ καθαρὰ ὡς πρὸς τὴν θείαν καθαρότητα, καίπερ ὄντα λαμπρά· καὶ οὐδὲν τῶν ποιημάτων ὡς πρὸς τὴν ἀξίαν τοῦ πεποιηκότος, ἀλλ' οὐδὲ πολιτείας λόγῳ μέγα φρονεῖν ἐπὶ καθαρότητι δύναται· πόσῳ μᾶλλον ἄνθρωπος, σαπρίας οὐδὲν διαφέρων καὶ σκωλήκων; εἰ γὰρ τὸ τῶν ἄςρων φῶς, καθαρώτερον ὂν τοῦ ἀνθρακώδους καὶ παρ' ἡμῖν, οὐ καθαρὸν πρὸς τὴν θείαν καθαρότητα, περιττὸν λογίσασθαι περὶ ἀνθρώπου. ὅλος

γὰρ ἐστὶ σαπρία, καὶ ὡς σκώληξ περὶ τὴν σαπρίαν εἰλούμενος· ἔγκειται γὰρ ἡ διάνοια τοῦ ἀνθρώπου ἐκ νεότητος ἐπιμελῶς ἐπὶ τὰ πονηρά. ταῦτα δὲ εἶπεν, ἐκ τοῦ περιόντος κατασκευάζων τὸν λόγον, καὶ πλήττων τὸν Ἰὼβ ὡς ἐπὶ καθαρότητι σεμνυνόμενον.



ΠΡΟΘΕΩΡΊΑ

ΚΕΦΑΛΑΙ'ΟΥ ἘΝΝΕΑΚΑΙΔΕΚΑ'ΤΟΥ.

Ὀ'ΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

ἘΠΕΙΔΗ' περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως ὁ Βαλδὰδ διελέχθη, οἷά τις Θεοῦ συνήγορος· πρὸς τοῦτο ὁ Μακάριος Ἰὼβ ἀπαντᾷ, καί φησι, τί συνηγορεῖν σπουδάζεις Θεῷ, ὡς δεομένῳ τῆς ἐκ λόγων κατασκευῆς, ἵνα δειχθῇ σοφὸς καὶ δυνατός; εἶτα ἵνα δείξῃ, ὅτι κάλλιον αὐτῶν καὶ ὑψηλότερον δοξάζει τὰ περὶ τοῦ Θεοῦ, περὶ τῆς αὐτοῦ σοφίας διεξοδικώτερον διαλέγεται, καὶ τὴν ἀκατάληπτον αὐτοῦ ὑμνεῖ δύναμιν, καὶ προφητεύει περὶ τοῦ μονογενοῦς, καὶ τὴν τυραννικὴν τοῦ διαβόλου προλέγει καθαίρεσιν. ταῦτα δὲ προοιμιασάμενος, φησὶν, ὅτι ἀμήχανόν με πᾶν ὅ,τι ἂν πάθω, ἄνομα λαλῆσαι περὶ Θεοῦ, ἕως ἂν εἰς θάνατον φθάσω· καὶ ὅρκῳ πιστοῦται τὴν ὑπόσχεσιν· εἶτα καὶ μετὰ καθαρᾶς συνειδήσεως παῤῥησιασάμενος, λέγει, ὅτι αὐτὸς μὲν οὐδὲν σύνοιδεν ἄτοπον ἑαυτῷ πράξαντι, διαλήψεται δὲ ἡ θεία δίκη τοὺς ἀσεβεῖς. καὶ πάλιν ἀναλαμβάνει περὶ τῆς θείας σοφίας, τῆς ἐν τοῖς δημιουργήμασι φαινομένης, καὶ ἐν τοῖς λογικοῖς κατεσπαρμένης· καὶ τὸ, σοφὸν εἶναι, πάντων ἀποφαίνει τιμιώτερον. πολλὰ δὲ περὶ τῆς Θεοδωρήτου ταύτης σοφίας διεξελθὼν, καὶ ὡς οὐδὲν αὐτῇ παραβληθήσεται διδάξας, καὶ τοῦτό φησιν, ὡς τὸ μὲν τῆς σοφίας κλέος εἰς πάντας διαδέδοται, τοὺς δὲ περὶ αὐτῆς λόγους εὑρεῖν ἀμήχανον· καὶ μάθημα παραδίδωσι κάλλιστον, ὅτι ἀρκεῖ ἀνθρώπῳ εἰς τὸ εἶναι σοφὸν, οὐ τὸ ζητεῖν τὰ ἀνεξερεύνητα, ἀλλὰ τὸ θεοσεβεῖν, καὶ παντὸς εἴδους κακίας ἀπέχεσθαι· καὶ ταύτην ἀνάληψιν σοφίας καὶ ἐπιστήμης εἶναι ὁρίζεται. ταῦτα δὲ διεξῆλθεν, ὁμοῦ μὲν τὰ περὶ Θεοῦ δοξάζων καλῶς, ὁμοῦ δὲ καὶ τοὺς φίλους πείθων μὴ πάντως οἴεσθαι δι' ἁμαρτίας αὐτὸν πάσχειν, ἀλλὰ τοὺς περὶ τῶν τοιούτων λόγους τοῖς ἀνεξιχνιάστοις τοῦ Θεοῦ καταλιμπάνειν κρίμασιν.

ΚΕΙΜ.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, τίνι πρόσκεισαι, ἢ τίνι μέλλεις βοηθήσειν; πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς, καὶ ᾧ βραχίων κραταιὸς ἐστί; τίνι συμβεβούλευσαι; οὐχ ᾧ πᾶσα σοφία; τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις; τίνι ἀπήγγειλας ῥήματα; πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ;

ΟΛΥΜΠ. Τίνι τὴν παρὰ σαυτοῦ, φησὶ, δύναμιν εἰσφέρεις, καὶ τῇ αὐτοῦ σαυτὸν συντάσσεις μερίδι ἢ τίνι συνηγορεῖν σπουδάζεις, ὡς δὴ τῆς σῆς ἐπικουρίας δεομένῳ; ἄπαγε ὦ ἄνθρωπε· ἅπαντες ἴσμεν, ὡς ἀνενδεής τε καὶ παντοδύναμός ἐστιν ὁ Θεὸς, καὶ μέντοι καὶ πάνσοφος. τί οὖν, ὡς κοινωνῶν αὐτῷ τῶν βουλευμάτων, τοὺς ὑπὲρ αὐτοῦ ποιεῖσθαι λόγους ἐσπούδασας; τίνι συμβεβούλευσαι; μήτι οἷός τε εἶ διδάσκειν αὐτὸν οὐκ εἰδότα; τίνι δὲ ἕπεσθαι σπεύδεις, ὡς δῆτινα συμμαχίαν εἰσοίσων; οὐ τῷ παντοδυνάμῳ καὶ πανσθενεῖ; ἐπὶ τίνος δὲ τὴν σαυτοῦ σοφίαν ἐπεδείξω, καὶ τὰ τοσαῦτα ἐξέχεας ῥήματα; οὐκ οἶσθα ὅτι καὶ αὐτὸ τὸ λαλεῖν, καὶ τὸ ἀναπνεῖν ἐκ Θεοῦ λαβὼν ἔχεις; ἀὴρ δὲ καὶ πνεῦμά ἐστι τό τε τῆς ἀναπνοῆς, καὶ τὸ τῆς φωνῆς αἴτιον· σπῶντες γὰρ τὸν ἀέρα ἀναπνέομεν, καὶ ὅταν λαλῆσαι θελήσωμεν, ὁ αὐτὸς ἀὴρ πληττόμενος φωνὴ γίνεται. προσφυῶς οὖν εἶπεν ὁ Ἰὼβ πρὸς τὸν Βαλδὰδ, ὅτι τῷ δόντι σοι τὴν πνοὴν, τῷ ψυχώσαντί σε, τούτῳ ἐδάνεισας τὰ ῥήματα, αὐτῷ δῆθεν συνεπιστάμενος καὶ συνηγορῶν.

ΧΡΥΣΟΣΤ. Οὐδὲ ἐγὼ, φησὶν, ἐγκαλῶ, ὅτι τοῦ Θεοῦ τὸ μέρος ἀνεδέξω, καὶ γὰρ οὕτως ἔδει· ὑμῖν ἐμὲ καταδικάζειν ἐχρῆν· καὶ γάρ ἐστι καὶ τὸν ὑπὲρ τοῦ Θεοῦ λόγον εἰπεῖν, καὶ τοῦτον μὴ ἀφεῖναι γενέσθαι ἐγκλήμασιν ὑπεύθυνον, ταῦτα πρὸς ἐκεῖνον σκωπτικῶς εἰρηκὼς, ὡς καινότερον θέλοντα φαίνεσθαι τοῦ Θεοῦ συνήγορον, περὶ οὗ πάντες διάληψιν ὡς σοφοῦ καὶ δυνατοῦ ἔχουσι, τρέπει τὸν λόγον ἐπὶ τὴν τοῦ Θεοῦ δύναμιν, δεικνὺς, ὡς ἄμεινον αὐτοῦ τὰ περὶ τῆς ἰσχύος δοξάζει τοῦ Θεοῦ, καὶ φησίν.

ΚΕΙΜ. Μὴ γίγαντες μαιωθήσονται ὑποκάτωθεν ὕδατος, καὶ τῶν γειτόνων αὐτοῖς.

ΟΛΥΜΠΙΟΔ. Πάλαι καθαίρων ὁ Θεὸς τὴν γῆν τῷ κατακλυσμῷ ὡς κατεφθαρμένην, τοὺς θεομάχους ἐκείνους ἄνδρας, τοὺς καλουμένους κατέκλυσε γίγαντας· φησὶν οὖν, ὅτι μὴ δύνανται ἐκεῖνοι οἱ γίγαντες, ἢ οἱ γείτονες αὐτοῖς, τουτέστιν, οἱ ὅμοιοι αὐτοῖς κατὰ τὴν κακίαν, ἀφανισθέντες αὖθις μαιωθῆναι, καὶ ἰδίᾳ δυνάμει ἑαυτοὺς ἀναστῆσαι. μήτι αὐτοὺς ὤνησεν ἡ πολλὴ δύναμις ἀντιπράξαντας τῇ ἀμάχῳ ἰσχύϊ καὶ βουλῇ τοῦ Θεοῦ; οἱ μὲν γὰρ οὔτε ἄλλους, οὔτε ἑαυτοὺς τεθνεῶτας ἐξαγαγεῖν καὶ ζωοποιῆσαι δύνανται ἄν· Θεὸς δὲ μετ᾽ ἐξουσίας καὶ νεκροὺς ἀνίστησι.

ΚΕΙΜ. Γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ.

Μόνον, φησὶν, προστάττει Θεὸς, καὶ τοὺς ἀποθανόντας ὁ ᾅδης ἐκλέγεται, καὶ οὐδεὶ τῶν ἀπολομένων κρυβῆναι δύ-

νεται, τῆς ἀνικήτε αὐτῦ δυνάμεως πάντα, ἢ τὰ πώποτε διαφθαρέντα, εἰς μέσον ἀγέσης. ταῦτα δὲ προφητικῶς εἰς τὴν διὰ σαρκὸς οἰκονομίαν τῦ μονογενῦς εἴρηται· αὐτῦ γὰρ ἐνώπιον γυμνὸς ἐςὶν ὁ ἀφεγγὴς ἢ σκοτεινὸς ᾅδης, καὶ ἡ γήτων τῦ ᾅδε ἀπώλεια, ἤγουν ὁ θάνατος, ἐκ ἔχει ἀποκρυβὴν· ἐκ ἔςι γὰρ κτίσις ἀφανὴς ἐνώπιον αὐτῦ. αὐτὸς ἄνθρωπος γεγονὼς, ἢ τὸν ᾅδην ἐσκύλευσε, ἢ τὲς ἐκεῖσε ἐν ἀνδρείᾳ ἐξήγαγεν, εἰπὼν τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύφθητε· ἢ ἐδὲν περιβόλαιον αὐτέφραξε τῷ θεϊκῷ κελεύσματι, ἀλλ' εὐθέως ἀνεκαλύφθησαν. εἴρηται δὲ ἢ ἐν παροιμίαις, ᾅδης ἢ ἀπώλεια φανερὰ παρὰ Κυρίῳ· ἐκ ἐκρύβη γὰρ ἀπ' αὐτοῦ ὅτε τὸ χωρίον ἐν ᾧ αἱ ψυχαὶ κατείχοντο πρὸ τῆς αὐτῦ ἐπιδημίας, ὅτε οἱ ἀπολεῖσθαι δόξαντες διὰ τὴν φθορὰν ἢ τὸν θάνατον· ἀλλὰ ἢ εἰς ᾅδε κατῆλθε, καὶ τὰς ἀπ' αἰώνων ψυχὰς αἰωνίων δεσμῶν ἀπέλυσεν.

ΚΕΙΜ. Ἐκτείνων βορέαν ἐπ' ἐδέν.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Ὁ δὲ Ἀκύλας, ἐπὶ κενώματι· ἐμοὶ δὲ δοκεῖ βορέαν ἐνταῦθα ἀνηρτημένον πνεῦμα λέγειν αὐτὸν τὸν ἀέρα· ἐδὲν δὲ ὀνομάζειν τὸ κενόν. ἐξέχεεν οὖν, φησὶ, τὸν ἀέρα ἐπ' ἐδὲν, τετέςι, ἐπὶ τὸ κενόν, ἀὴρ γὰρ ἐςὶ κενῦ πλήρωμα· κενὸν δὲ ἐςὶ τὸ ἀπ' ἐρανῦ μέχρι γῆς διάςημα πεπληρωμένον ἀέρος. βορέαν δὲ εἶπε μόνον, ἀπὸ τέτε καὶ τὲς λοιπὲς ἀνέμες δηλῶν, ὥσπερ ἢ ἕσπερος ἢ ἀρκτῦρος ἀντὶ πάντων ἀςέρων ἀλλαχῦ μνημονεύονται, καὶ νεοσσοὶ κοράκων, ἀντὶ τῆς πτηνῆς φύσεως.

ΚΕΙΜ. Κρεμάζων γῆν ἐπ' ἐδενός.

ΓΡΗΓΟΡ. τῦ ΘΕΟΛΟΓ. Καὶ τί, φησὶ, λέγω περὶ ἀνέμων, ὅτε γε τὴν ἅπασαν γῆν ἀοράτῳ δυνάμει κατέχει, μηδενὸς ἐρείσματος ὑποκειμένε· πῶς γὰρ ἕςηκε παγία καὶ ἀκλινής; ἐπὶ τίνος ὀχεμένη; καὶ τίνος ὄντος τῦ ὑπερείδοντος; ἢ τίνος ἐκεῖνο πάλιν; ἐδὲν γὰρ ὁ λόγος ἔχει ἐφ' οὗ ἐρεισθῆ, πλὴν τῦ θείε θελήματος; αὐτῷ γὰρ κρεμᾶται ἢ ὑπεςήρικται, καὶ ἐκ ἔςιν ὄχημα τῆς γῆς ἕτερον, ἢ ὑποςήριγμα.

ΚΕΙΜ. Δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτῦ, ἢ ἐκ ἐῤῥάγη νέφος ὑπὸ κάτω αὐτῦ.

ΟΛΥΜΠ. Ἅπερ ἡμεῖς ἐκ ἐξηπιστάμεθά ποτε, ἐδὲ ἐθαυμάσαμεν διὰ τὴν συνήθειαν, ταῦτα ὁ Ἰὼβ ἐν μεγάλῳ πεποίηται θαύματι. τίς ἡ τῶν ἀνέμων ἕδρα, ἐπὶ τίνος ἡ γῆ ἕςηκεν, πῶς τὸ ὕδωρ ἐν νεφέλαις κατέχεται· εἰ μὴ γὰρ προςάξει ταύτας ὁ Θεὸς, ἐκ ἐπαφιᾶσι τῇ γῇ ὑετὸν, ἢ ὅταν δὲ ἐπαφιῶσι, καθ' ὅσον ἂν κελευθῶσι μέτρον ἐπαφιᾶσι. τὸ δὲ παράδοξον, ὅτι ὁ μανώτατος ἀὴρ, καὶ ἀνέμοις διαῤῥηγνύμενος, φέρει τῶν ὑδάτων τὸ βάρος, ἢ ἐλαυνόμενος ὑπὸ ἀνέμων ἐκ ἐκχέει τὸν ὄμβρον· εἰ δὲ ἢ ἐκχέει ἐκ ἀθρόως, ἀλλ' ἰσομερῶς, ἐκ ἐῤῥάγη γὰρ νέφος ὑπὸ κάτωθεν αὐτοῦ, τοῦ ὕδατος δηλαδὴ, ταῦτα θαυμάζει ὁ ἅγιος, ἐπὶ τέτοις δοξά-

ζει τὸν ποιητὴν, ὅτι περιήγαγεν οὐρανὸν, ἥπλωσεν ἀέρα, γῆν ὑπέθηκε, φύσιν ὑγρὰν ἔχεε καὶ συνήγαγεν, ἀνέμους ἀφῆκε, καὶ οὐκ ἐπαφῆκεν, ὕδωρ ἔδησεν ἐν νεφέλαις, καὶ οὐ κατέχεν, ἀλλ' ἔσπειρεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς ἀτάκτως καὶ ὁμοτίμως. ἐν μὲν οὖν τῷ εἰπεῖν, κρεμάζων βορέαν ἐπ' οὐδὲν, τὸν ἀέρα ᾐνίξατο, τὸ μέσον τῆς γῆς καὶ τοῦ οὐρανοῦ πληροῦντα διάστημα· ἐν δὲ τῷ εἰπεῖν, κρεμάζων γῆν ἐπὶ μηδενὸς, τῆς τοῦ Θεοῦ μεγαλουργίας ὑμνητὴς ἀναδείκνυται, οὐκ ἔχων οὔτε γνῶναι οὔτε φράσαι τὶ τὸ βάθρον, ἐφ' οὗ τὸ μέγα τοῦτο στοιχεῖον ἐρήρεισται. ἰλιγγιάσας δὲ ἐν τούτοις, ἀπὸ τῆς γῆς αὖθις εἰς τὸν ἀέρα μεταβαίνει, καὶ ἀπορεῖ πῶς ὕδωρ ἐν νεφέλαις δεσμεῖται καὶ στέγεται, καὶ τὸ μὲν ἵσταται ἐπὶ τῶν νεφελῶν, ὢ τοῦ θαύματος, ὅτι λόγῳ κρατεῖται φύσις ἡ ῥέουσα, τὸ δὲ ἐκχέεται ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ σπείρεται καιρίως καὶ ὁμοτίμως.

ΚΕΙΜ. Ο' κρατῶν πρόσωπον θρόνου, ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ.

Ο'ΛΥΜΠ. Θρόνος τοῦ Θεοῦ, ὁ οὐρανὸς πολλαχοῦ τῆς γραφῆς ὀνομάζεται· κατὰ πρόσωπον δὲ τοῦ οὐρανοῦ κεῖται ὁ ἀήρ. φησὶν οὖν, ὅτι διακρατῶν τὸν ἀέρα, καὶ ἐφαπλῶν τὰς νεφέλας, οὐκ ἐᾷ στάζειν τὸν ὑετὸν, εἰμὴ καθ' οὓς οἶδεν αὐτὸς συμφέροντας λόγους. εἶτα κάτεισιν εἰς τὴν γῆν, καὶ φησίν.

ΚΕΙΜ. Πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος. (ὁ δὲ Σύμμαχος. ὅρον περιέγραψεν.)

ΓΡΗΓΟΡ. τοῦ ΘΕΟΛ. Θαυμάζει τῆς θαλάσσης καὶ τὸ μέγεθος, καὶ τὸ ἥμερον, καὶ τὴν ἐν ἀμφοτέροις δύναμιν, πῶς ἵσταται λελυμένη τῶν ἰδίων ὅρων ἐντὸς, τί τὸ συναγαγὸν, τί τὸ δῆσαν, πῶς ἐπαίρεταί τε καὶ ἵσταται, ὥσπερ αἰδουμένη τὴν γείτονα γῆν, πῶς καὶ δέχεται ποταμοὺς ἅπαντας, καὶ ἡ αὐτὴ διαμένει διὰ πλῆθος περιουσίαν. ἢ οὐκ οἶδ' ὅ, τι χρὴ λέγειν, πῶς ψάμμος ὅριον αὐτῇ, τηλικούτῳ στοιχείῳ· ἔχουσι τὶ λέγειν οἱ φυσικοὶ, καὶ σοφοὶ τὰ μάταια, καὶ ὡς κυάθῳ μετροῦντες οὕτως τὴν θάλασσαν, τὰ τηλικαῦτα ταῖς ἑαυτῶν ἐπινοίαις· ἢ συντόμως παρὰ τῆς γραφῆς ἐγὼ τοῦτο φιλοσοφήσω, καὶ τῶν μακρῶν λόγων πιθανώτερόν τε καὶ ἀληθέστερον, πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος· τοῦτο τῆς ὑγρᾶς φύσεως ὁ δεσμός.

Ο'ΛΥΜΠ. Τὸ οἰκεῖον γὰρ πρόσταγμα κυκλοτερῶς περιστήσας τοῖς ὕδασι, καὶ ταῦτα οἱονεὶ χαλινώσας, ὑπερβαίνειν, καὶ ἐπικλύζειν τὴν γείτονα γῆν οὐκ ἐᾷ. παρατείνει δὲ ἡ θεία πρόνοια, ἕως τόδε τὸ πᾶν συνέστηκεν· ὅθεν ἐπάγει.

ΚΕΙΜ. Μέχρι συντελείας φωτὸς μετὰ σκότους.

Τουτέστι, τοῦτο τὸ θεῖον πρόσταγμα κρατεῖ, ἕως τὸν οἰκεῖον δρόμον ἡμέρα καὶ νὺξ ἀνύουσιν, ἀλλήλαις ἀντιπαραχωροῦσαι.

ΚΕΙΜ. Στύλοι οὐρανοῦ ἐπετάσθησαν, (Α'κύλας διεκινήθησαν) καὶ ἐξέστησαν ἀπὸ τῆς

ἐπιτιμήσεως αὐτοῦ. (ὁ δὲ Σύμμαχος, θαμβοῦνται.)

Καὶ αὐτὰ, φησὶ, τοῦ οὐρανοῦ τὰ στηρίγματα, καὶ οἱονεὶ ὑποβάθραι, καὶ οἱ θεμέλιοι, ἐξίστανται καὶ σαλεύονται, ὅταν αὐτὸς ἐπιτάξῃ, ὁ τανύσας τὸν οὐρανὸν, ὁ ἐκπετάσας, ὁ ἐκτείνας ὡσεὶ δέῤῥιν. γίνεται δὲ ὁ σεισμὸς οὗτος καὶ ἡ μεταβολὴ, ἐν τῇ συντελείᾳ· ὡσεὶ περιβόλαιον γὰρ, φησὶ, ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται.

ΚΕΙΜ. Ἰσχύϊ κατέπαυσε τὴν θάλασσαν, ἐπιστήμῃ δὲ ἔστρωται τὸ κῆτος.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Ὁ δὲ Σύμμαχος, συγκλᾷ ἀλαζονείαν, εἶπεν. εἰς τὸν περὶ τῆς θαλάσσης ἐκβεβηκὼς λόγον, ἐναργέστατον γνώρισμα τῆς τοῦ Θεοῦ ποιεῖται δυνάμεως, τὸ τὴν ὑγρὰν φύσιν, οἷον μαινομένην, καὶ ἴσα ὄρεσιν ἐγείρουσαν κύματα, καὶ ὠρυομένην, συστέλλεσθαι αὖθις καὶ καταπαύεσθαι. τοῦ αὐτοῦ δὲ θαύματος τίθεται, καὶ τὸ τὰ μέγιστα κήτη ὑπεστορέσθαι, καὶ ὑποτετάχθαι αὐτοῦ τῷ προστάγματι. οὕτω καὶ Δαβὶδ ἐποίησεν· εἰρηκὼς γὰρ, αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, καὶ τοῦ κήτους ἐμνήσθη ἐπαγαγὼν, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. ὑψηλότερον δὲ, τὴν τε ἁλμυρὰν τῆς ἀπιστίας καὶ ἁμαρτίας θάλασσαν ὁ μονογενὴς τῇ θείᾳ δυνάμει κατέπαυσε, καὶ τὸ κῆτος, τὸν διάβολον, τοῖς ποσὶ τῶν πιστῶν εἰς τὸ πατεῖσθαι ὑπέστρωσεν.

ΚΕΙΜ. Κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν.

Τροπικώτερον καὶ μεταφορικώτερον, τὸν ἀέρα οὕτως ὠνόμασε· συνάγει γὰρ τοῦτον, καὶ πάλιν διαλύει, καὶ κλείει, καὶ ἀνοίγει, ὡς ἂν ἐθέλῃ Θεός, ὑψηλότερον δὲ, αἱ ἐν ταῖς οὐρανίαις πύλαις ἐφεστῶσαι δυνάμεις, πρὸς ἃς καὶ εἴρηται, ἄρατε πύλας, ὡς Θεὸν τὸν μετὰ σαρκὸς ἀναδραμόντα πεφρίκασιν.

ΚΕΙΜ. Προστάγματι δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην.

Ὁ Σύμμαχος, τὸν ὄφιν τὸν συγκλείοντα· καὶ τὸν ἀντίχριστον ὁ Κύριος ἀνελεῖ τῷ ῥήματι τοῦ στόματος αὐτοῦ, κατὰ τὸν Ἀπόστολον, καὶ τὸν ἀρχέκακον ὄφιν, τὸ θεομάχον θηρίον, ὃς αὐτός τε ἀπέστη ἀπὸ Θεοῦ, καὶ τοὺς πειθομένους αὐτῷ εἰς ἀπώλειαν συγκλείει, τῷ ἡτοιμασμένῳ παραπέμψει πυρί.

ΚΕΙΜ. Ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ· σθένος δὲ βροντῆς αὐτοῦ, τίς οἶδεν ὁπότε ποιήσει;

ὈΛΥΜΠ. Ἀνθ' ὧν ὁ Σύμμαχος, τί δὲ ψιθύρισμα τῶν λόγων αὐτοῦ, ἀκούσομεν, ὅταν βροντὴν δυναστείας αὐτοῦ οὐδεὶς ἐννοήσει; ὁ δὲ νοῦς οὗτος· ἐξεπλάγημεν, φησὶ, ἐπὶ τοῖς εἰρημένοις, πῶς κατὰ τοῦ κενοῦ οἱ ἄνεμοι φέρονται, πῶς ἐπ' οὐδενὸς ἡ γῆ πέπηγε, πῶς τὸ ὕδωρ ἐν νεφέλαις κατέχεται, πῶς τὰ νέφη ἐν τῷ ἀέρι τέτακται, πῶς ἡ θάλασσα μαινομένη τὴν ψάμμον οὐχ ὑπερβαίνει, καὶ τὰ ἄλλα ὅσα εἴπομεν· ἀλλὰ ταῦτα μοῖρά τίς ἐστι μετρία τῶν τοῦ Θεοῦ ἐνεργειῶν, καὶ μι-

κράν τινα ἰκμάδα τοῦ περὶ τούτων λόγου ἀκηκόαμεν, καὶ μέρος τι μικρὸν τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως ἐξηγησάμεθα, καθ' ἣν ἐφοδεύων καὶ περιπολῶν τὸν Κόσμον διέπει, καὶ οἷον ἰκμάς τις βραχεῖα τὰ ἀπαριθμημένα. ὅλον γὰρ τὸ χύμα τῆς αὐτοῦ σοφίας γεννητὴν φύσιν παραδέξασθαι ἀμήχανον· ἐπεὶ, ἵνα τἆλλα παρῶ, τίς δι' ἀέρος καὶ νεφῶν τῆς βροντῆς φερόμενον ψόφον ἱκανὸς ἑρμηνεῦσαι, κατὰ τίνας γίνεται λόγους;

ΓΡΗΓΟΡ. τοῦ ΘΕΟΛ. Τί μοι φιλοσοφήσεις περὶ ἀστραπῶν καὶ βροντῶν, ὁ βροντῶν ἀπὸ γῆς, καὶ μηδὲ μικροῖς σπινθῆρσι τῆς ἀληθείας λαμπόμενος; τίνας ἀτμοὺς ἀπὸ γῆς αἰτιάσῃ νέφους δημιουργούς; ἢ ἀέρος πύκνωσίν τινα; ἢ νεφῶν τῶν μανωτάτων θλῖψιν, ἢ σύρρηξιν, ἵνα ἡ μὲν θλῖψις τὴν ἀστραπὴν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται; ποῖον δὲ πνεῦμα στενοχωρούμενον, εἶτα οὐκ ἔχον διέξοδον, ἵνα ἀστράψῃ θλιβόμενον, καὶ βροντήσῃ ῥηγνύμενον.

ΟΛΥΜΠ. Κατὰ δὲ τὴν τοῦ Συμμάχου ἔκδοσιν τοῦτο νοῶ, ἤτοι, ὅτι εἰ τὸν τῆς βροντῆς ἦχον ἀδοκήτως ἐμπίπτοντα ταῖς ἀκοαῖς, οὐχ ὑπομένομεν, ἀλλ' ἐξιστάμεθα, πῶς οἴσομεν ἐὰν Θεὸς φθέγξηται, καὶ ταῦτα, μὴ μέγα τι φθέγμα, ἀλλ' οἷον ψιθύρισμα; ἢ, ὅτι ἐὰν τὴν βροντὴν, ὅπως γίνεται οὐκ ἂν δυνάμεθα κατανοῆσαι, τί ἂν εἴποιμεν περὶ τῶν ὁδῶν αὐτοῦ καὶ τῶν οἰκονομιῶν; τὰ γὰρ νῦν πως εἰρημένα, βραχεῖά τις ἐστὶν ἰκμὰς καὶ ῥανὶς, ἣν ἀπὸ τῆς μεγάλης ἐκείνης καὶ ἀκενώτου πηγῆς ἠρυσάμεθα.

ΚΕΙΜ. Ἔτι δὲ προσθεὶς ὁ Ἰὼβ, τῷ προοιμίῳ εἶπε.

ΩΡΙΓΕΝ. Ἔλαβεν ἐξουσίαν τοῦ Ἰὼβ ὁ διάβολος, καὶ ἤτασεν αὐτὸν νυκτὸς καὶ ἡμέρας, πρότερον μὲν διὰ τῶν ἐκτὸς, ὕστερον δὲ δι' αὐτοῦ τοῦ σώματος, μετὰ ταῦτα καὶ διὰ τῶν φίλων· ὅτε γὰρ αὐτὸν ἐδοκίμαζε διὰ τῆς γυναικὸς, καὶ οἶδεν ὅτι οὐ νενίκηται ὁ Ἰὼβ, τρεῖς φίλους ἤνεγκεν, οὐκ ἐχθροὺς, οὐκ ἐπίβουλα δόγματα ἔχοντας, ἀλλ' ἀληθεῖς μὲν λόγους, οὐ καλῶς δὲ οὐδὲ ἐν καιρῷ προφερομένους· καὶ ἐβούλετο διὰ τούτων ποιῆσαι τὸν δίκαιον φθέγξασθαί τι κατὰ τῆς προνοίας, ἀσεβῆσαι διὰ τοὺς πόνους, ἐκκακῆσαι διὰ τὰς ἀλγηδόνας· ἀλλ' ὁ στερρὸς ἀδάμας οὕτως. ὅρα τί λέγει μετὰ τοὺς λόγους τῶν τριῶν, ὅτε ἐτέλεσεν ὁ Ἐλιφὰζ τρεῖς διαλέξεις, ὁ Βαλδὰδ τρεῖς, ὁ Σωφὰρ δύω.

ΟΛΥΜΠ. Τούτων γὰρ τετελεσμένων, καὶ αὐτοῦ μὲν ὀλίγα ἀποκρινομένου διὰ τὸ καὶ τὸν Βαλδὰδ ὀλίγα εἰπεῖν, μηδενὸς δὲ τῶν φίλων ἀντειπόντος, ἀλλὰ τῶν τριῶν ἡσυχίαν ἀγόντων, αὖθις τῷ λόγῳ προστίθησι, καὶ τοῖς προτέροις ἐπισυνάπτει τὰ ἐφεξῆς· τὰ πρότερον δὲ εἰρημένα ὡς προοίμιον πρὸς τὰ ἑξῆς. ὁ δὲ Ἀκύλας οὕτως ἐκδέδωκεν, καὶ προσέθηκεν Ἰὼβ ἆραι τὴν παραβολὴν αὐτοῦ. παραβολὴ δὲ εἴρηται παρὰ τῇ γραφῇ, οὐ μόνον ὁ καθ' ὁμοίωσιν λόγος, ἀλλὰ καὶ ἅπας λόγος σοφός. οὕτω γοῦν καὶ ὁ Βαλαὰμ, ἀναλαβὼν τὴν παραβολὴν, ἔλεγε· καὶ ὁ Δαβὶδ, ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, οὐκ ὁμοιώματα διεξιόντες, ἀλλὰ λόγους σοφούς. ἀλλ' ἴδωμεν τί

Ἰὼβ ἀποκρίνεται μετὰ τὸ εἰρημένον ἐπ' αὐτοῦ προοίμιον, προχωρῶμεν τῇ λέξει.

ΚΕΙΜ. Ζῇ ὁ Θεὸς ὃς οὕτω με κέκρικε. (Σύμμαχος, ὃς παρεῖδε τὴν κρίσιν μου,) καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν. εἰ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥινί, μὴ λαλήσει τὰ χείλη μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.

ΤΟΥ ΑΥΤΟΥ. Οἶδα, φησὶ πόθεν κεκίνησθε εἰς τὸ ἐρεθίσαι με· ὄμνυμι δὲ κατὰ τοῦ ζῶντος Θεοῦ, αὐτοῦ τοῦ κρίναντός με ταῦτα παθεῖν κατὰ τοὺς ἀνεφίκτους αὐτοῦ λόγους, αὐτοῦ τοῦ παραδόντος με ταύταις ταῖς περιστάσεσι, τοῦ οἰκονομήσαντος τοιούτοις με ἐξετασμοῖς πικραίνεσθαι, ὅτι μέχρις οὗ ἡ ἀναπνοή μου ἐν ἐμοὶ καὶ ἕως ἂν ζῶ καὶ ἐμπνέω, παρὰ Θεοῦ τοῦτο λαβών, κἂν ἐπὶ πλείονα βασανίζωμαι χρόνον, κἂν τούτων πάθω δεινότερα, οὐκ ἂν ἀπηχές τι ἢ παλίμφημον φθεγξαίμην, ἢ διανοησαίμην κατὰ Θεοῦ, ἀντικαθιστάμενος μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν· τὸ γάρ, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα, ἀντὶ τοῦ, ἐπὶ τῆς αὐτῆς στήσομαι ψήφου, οὐδείς με παρατρέψαι δυνήσεται, οὐδεὶς ἐκκροῦσαι, οὐδεὶς ἀπαγαγεῖν τοῦ προκειμένου. τινὲς δὲ ἔφασαν ὡς ἐνταῦθα τῆς τριάδος μέμνηται· ζῇ γὰρ Κύριος, φησί, καὶ ὁ παντοκράτωρ, καὶ τὸ πνεῦμα τὸ θεῖον. καὶ γὰρ τῶν ἑβδομήκοντα, τὸ ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ ἀνθρώπου πνοὴν ζωῆς, ἐκδεδωκότων περὶ τοῦ πνεύματος τοῦ Ἁγίου, οἱ λοιποὶ τῶν ἑρμηνευσάντων, ἐνεφύσησεν εἰς τοὺς μυκτῆρας αὐτοῦ πνοὴν ζωῆς, ἐκδεδώκασιν· ὥστε κἀνταῦθα, τὸ μέν, ἔτι τῆς πνοῆς μοι ἐνούσης, εἰς τὴν ἀναπνοὴν ἐκληπτέον· τὸ δέ, πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισίν, εἰς τὸ πνεῦμα τὸ Ἅγιον. Μεθόδιος δέ, πνεῦμα θεῖον πᾶσιν ἀνθρώποις ὑπὸ Θεοῦ δοθέν, περὶ οὗ καὶ Σωλομὼν ἔφασκεν, τὸ γὰρ ἄφθαρτόν σου πνεῦμα ἐστὶν ἐν πᾶσι, τὸ συνειδὸς ἐκλαμβάνει, ὃ καὶ καταγινώσκει τῆς ψυχῆς ἁμαρτανούσης.

ΚΕΙΜ. Μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω.

ὈΛΥΜΠ. Τουτέστιν, οὐ κατηγορήσω ἐμαυτοῦ, οὐδὲ μεταθήσομαι, κἂν μυρία λέγητε, οὐ προήσομαι τὴν ψῆφον. μὴ γὰρ δὴ γένοιτό μοι δυσωπουμένῳ ὑμᾶς, παραχαράττειν τὸ ἀληθές, καὶ φάσκειν, ὡς δικαίως μου καταψηφίζεσθε· ἐὰν γὰρ συγκατάθωμαι οἷς λέγετε, ὅτι νενοήκατε διατί ταῦτα πέπονθα, δικαίους ὑμᾶς ἀπέφηνα.

ΚΕΙΜ. Οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν μου.

Ὁ δὲ Σύμμαχος, οὐκ ἐκστήσομαι τῆς ἁπλότητός μου, ἐκσταίην δ' ἂν καὶ προδώσω ταύτην, ἐὰν ἕτερα μὲν νοῶ, ἕτερα δὲ λέγω.

ΚΕΙΜ. Δικαιοσύνῃ δὲ προσέχων οὐ μὴν προῶμαι.

Ὃ λέγει τοιοῦτόν ἐστιν· ὁ ἀδικῶν, φησίν, οὐκ ἔχει παῤῥησίαν, οὐδὲ φθέγ-

ξαιθαι, ἐδὲ εἰπεῖν, ἅπερ ἐγὼ νῦν, ἀλλ' ἀφῄρηται καὶ ἐπεςόμισαι· ἐγὼ δὲ τῦτο ἐκ ἔπαθον, ἀλλὰ λέγω, καὶ ἀντιλέγω.

ΚΕΙΜ. Οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας.

Τῦτο καὶ Παῦλος ὕςερον ἐφθέγξατο, καὶ προσέθηκεν, ἀλλ' ἐκ ἐν τέτῳ δεδικαίωμαι. πολλὴ ἡ παῤῥησία τῦ δικαίε, καὶ ἐπὶ τῷ προτέρῳ βίῳ, καὶ ἐπὶ τοῖς κατὰ τὸν καιρὸν τῆς πειράσεως, ὥςε αὐτὸν εἰπεῖν, ἐδὲν ἐμαυτῷ συνοιδα.

ΚΕΙΜ. Οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί με ὥσπερ ἡ καταςροφὴ τῶν ἀσεβῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιςάμενοι, ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων.

ΟΛΥΜΠ. Ἀπόλοιντο, φησὶν, οἱ ἐχθροί με, συκοφαντῦσι γάρ με. ἢ καὶ ὅτως, ἐγὼ μὲν ἐκ οἶδα ὅτι ἔπραξα ἄτοπα, ἃ δὲ ἀσεβῶς με καταψηφίζεσθε, εἰς ἐχθρῶν τρέποιτο κεφαλάς· οἱ γὰρ τοιέτῳ γε ὄντι μεμφόμενοι καὶ ἐπεμβαίνοντες, ἀσεβεῖς ἂν εἶεν, καὶ τοῖς ἀσεβέσι συγκατακριθείησαν.

ΚΕΙΜ. Καὶ τίς γάρ ἐςιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει; (οἱ λοιποὶ, ὅτι πλεονεκτεῖ.) πεποιθὼς ἐπὶ Κύριον ἆρα σωθήσεται; ἢ τὴν δέησιν αὐτῦ εἰσακέσεται ὁ Θεός; ἢ ἐπελθέσης αὐτῷ ἀνάγκης, μὴ ἔχει τινὰ παῤῥησίαν ἔναντι αὐτῦ; ἢ ὡς ἐπικαλεσαμένε αὐτῦ, εἰσακέσεται αὐτῦ;

Ποίαν, φησὶν, ἐλπίδα ἔχει ὁ ἀσεβὴς, κἂν τέως ἀντέχῃ; μετὰ ποίας πεποιθήσεως τὴν ἐκ Θεῦ σωτηρίαν προσδοκᾷ, καθάπερ ἐγὼ προσδοκῶ σώζεσθαι; πῶς δὲ ἀνάγκῃ περιπεσὼν, σὺν παῤῥησίᾳ τὸν Θεὸν ἐπικαλέσεται, ὡς μελλέσης αὐτῦ τῆς εὐχῆς εἰσακέεσθαι; ταῦτα ἔν, φησὶ, πλέον ὑμῶν οἶδα.

ΚΕΙΜ. Ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐςιν ἐν χειρὶ Κυρίε, ἅ ἐςὶ παρὰ παντοκράτορι ἐ ψεύσομαι.

Ἐγὼ, φησὶν, ὑμῖν οἵαν ἔχω περὶ Θεῦ δόξαν ἐρῶ, καὶ τὰ ἐκ χειρὸς Κυρίε τοῖς ἀσεβέσιν ἐπιφερόμενα, σὺν ἀληθείᾳ ἀναγγελῶ.

ΚΕΙΜ. Ἰδὲ πάντες οἴδατε, ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. αὕτη ἡ μερὶς ἀνθρώπε ἀσεβῦς παρὰ Κυρίε, κτῆμα δὲ δυναςῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτός.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Ὁ Θεοδοτίων δὲ, καὶ Σύμμαχος, καὶ κληρονομία, ἣν οἱ ἀκαμπεῖς παρὰ τῦ ἱκανῦ κομίσονται. ὑμεῖς μὲν οἴδατε, ὅτι ματαίες ματαίοις ἐπισυνείρητε λόγες, ἀσεβείας με γραφόμενοι· φημὶ δ' ἔγωγε ποία τίς ἐςιν ἡ τῦ ἀσεβῦς μερὶς, καὶ ποῖον κτῆμα, καὶ τίς ὁ κλῆρος τῶν ἐπὶ κακίᾳ μέγα δυναμένων, καὶ

τὶ αὐτοῖς ἐπελαύνεται παρὰ τοῦ πάντα δυναμένου Θεοῦ. εἶτα ἐπάγει τὰ τῶν ἀσεβῶν ἐπιχειρήματα.

ΚΕΙΜ. Ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται· ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προσαιτήσουσιν· οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χήρας δὲ αὐτῶν οὐδεὶς ἐλεήσει.

Τὰ ὡς εἰκὸς συμβησόμενα τοῖς ἀσεβέσιν ἀπαριθμεῖται· παρέλκουσι γὰρ ἔσθ' ὅτε τὴν εὐδαιμονίαν καὶ μέχρι τελευτῆς, ὡς ἐν τοῖς ἀνωτέρω πρὸς τοὺς φίλους ἀπορῶν αὐτὸς ἐδίδαξε. νῦν δὲ, σφαγὴν μὲν, τὴν διὰ πολεμίων, φησὶ, θάνατον δὲ, τὸν αἰφνήδιον καὶ ἄωρον· ἵνα εἴπῃ, ὅτι οἱ τοῦ ἀσεβοῦς παῖδες οὐ καλῶς ἀπαλλάξουσιν, ἀλλὰ μετὰ τοῦ ἀπαιτεῖν, βίαιον, καὶ πρόωρον ὑποστήσονται θάνατον, καὶ οὐδὲ τὸ ἐλεεινὸν χρῆμα, ἡ χηρεία ἐνταῦθα ἐλέους τεύξεται.

ΚΕΙΜ. Ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον, ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον, ταῦτα πάντα δίκαιοι περιποιήσονται, τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσι.

Τοῦτο καὶ ἐν παροιμίαις εἴρηται, ὅτι θησαυρίζεται δικαίοις πλοῦτος ἀσεβῶν· καθάπερ καὶ Ἑβραῖοι τὰ τῶν ἐν Παλαιστίνῃ ἐθνῶν ἐκληρονόμησαν διὰ τὰς ἐκείνων ἁμαρτίας. κἀνταῦθά, φησιν, ὅτι κἂν ὡς χοῦν, κἂν ὡς πηλὸν, θησαυρίζῃ χρήματα ὁ ἀσεβὴς, εἰς τοὺς ἀθώους, καὶ ἀναιτίους, καὶ καλῶς αὐτοῖς χρησομένους καὶ σωτηρίως, μεταπεσοῦνται. ἴσως γὰρ, τὸ, περιποιήσονται, οὐ τὸ, κτήσονται, ἀλλὰ τὸ, εἰς δέον χρήσονται, δηλοῖ.

ΚΕΙΜ. Ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες, καὶ ὥσπερ ἀράχνη.

ΟΛΥΜ. Τουτέστιν, ὑφ' ἑαυτῶν δαπανηθήσονται· ἡ γὰρ ἀσέβεια δίκην ἰοῦ, δαπανᾷ τοὺς ἔχοντας, ὥσπερ οἱ σῆτες ἔρια, καὶ ὥσπερ τὰ ἀράχνεια νήματα οὐδὲ μιᾶς ἐργωδίας δεῖται πρὸς τὸ ἀφανισθῆναι, ἀλλὰ ῥαδίως οἴχεται, καὶ ἀπόλλυται· οὕτω καὶ τὰ ὑπὸ τοῦ ἀσεβοῦς συντηρούμενα τὸ τῆς ἀράχνης μιμεῖται σαθρὸν καὶ εὐδιάλυτον, ὡς ὑπὸ ἰοῦ καὶ σητὸς δαπανώμενα.

ΚΕΙΜ. Πλούσιος κοιμηθήσεται καὶ οὐ προσθήσει.

Κοιμηθεὶς, φησὶ, πλούσιος ὁ ἐν ἀσεβείᾳ ζῶν, ἀνέστη πένης· ἵνα εἴπῃ, ὅτι ὁ ἀδίκως πλουτῶν πρὸς βραχὺ εὐπραγήσει, καθάπερ ἐν ὀνείροις τὸν πλοῦτον κτησάμενος, ἅμα δὲ τῇ ἕω ἔχων οὐδέν.

ΚΕΙΜ. Ὀφθαλμοὺς αὐτοῦ διανοίξει, καὶ οὐκ ἔστι.

Ὄναρ ἐστὶ, φησὶν, ὁ πλοῦτος τῶν ἀσεβῶν. ὥσπερ γάρ τινες πένητες καθευδήσαντες εἶδον ἑαυτοὺς τραπέζης βασιλικῆς ἀπολαύοντας, ἀλλ' ἦν ὕπνος καὶ ὀνείρων ἀπάτη τὰ φαινόμενα, διαγρηγορήσαντες δὲ, καὶ τοὺς ὀφθαλμοὺς ἀνοίξαντες εὗρον οὐδὲν, οὕτω καὶ ὁ ἀσε-

βῆς

βῆς πάσχει· ὡς γὰρ ἐν ὀνείροις ἀτυχῶν, δείλαιός ἐστι, διανοίξας γὰρ τοὺς ὀφθαλμοὺς, ὥστε ἰδεῖν ἃ συνήγαγεν, οὐχ ὁρᾷ· οὐκ ἔστι γὰρ ἐκεῖνα, ἀλλ᾽ ᾤχετο καὶ διόλωλεν· οὕτως ἄπαρος ὁ αὐτῷ καὶ ὀξύῤῥοπος ἡ τοῦ πλούτου ἀπόλαυσις.

ΚΕΙΜ. Συνήντησαν αὐτῷ, ὥσπερ ὕδωρ αἱ ὀδύναι.

ΤΟΥ ΑΥΤΟΥ πάντοθεν αὐτὸν δηλαδὴ συνέχουσαι καὶ ἀποπνίγουσαι, καὶ μέχρι τῶν ἐγκάτων ἱκνούμεναι. ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, ὀδύναι, ἀνυπαρξίαν, εἶπε, τὴν τῶν ὑπαρχόντων στέρησιν οὕτω καλῶν, ἑξῆς καὶ τὸ ὀδυνᾶσθαι.

ΚΕΙΜ. Νυκτὶ δὲ ὑφείλετο αὐτὸν γνόφος.

Ὥσπερ, φησὶ, τὸ τῆς νυκτὸς σκότος ἀφανῆ πάντα ποιεῖ, οὕτω καὶ ὁ ἀσεβὴς, καθάπερ νυκτὶ, τῇ περιστάσει κρυβεὶς, οὐχ ὁρᾶται, οὐδὲ εἶναι δοκεῖ.

ΚΕΙΜ. Ἀναλήψεται δὲ αὐτὸν καύσων, καὶ ἀπελεύσεται, καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

Διαφόροις εἰκόσι τὴν τοῦ ἀσεβοῦς διαγράφει ἀπώλειαν καὶ τὸν ἀφανισμόν· διόλλυται γὰρ, φησὶν, ὡς ἔριον ὑπὸ σητὸς, ὡς ἀράχνη διαλύεται, ὡς τὰ ἐν ὕπνοις φαντάσματα οὐχ ὑφίσταται, γνόφος αὐτὸν ὑπολαμβάνει, οἴχεται ὥσπερ ὑπ᾽ ἀνέμου καύσωνος ἀποῤῥιπιζόμενος, διαλικμᾶται ὥσπερ κόνις ὑπὸ λαίλαπος, ὡς ἄχυρα ταῖς ἐλαφραῖς τοῦ πνεύματος αὔραις, κολαστικῆς τινος αὐτὸν δυνάμεως ἐπιστάσης, καὶ ἁρπαζούσης, καὶ μετατιθείσης αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ· ὡς ἀληθεύεσθαι κἀνταῦθα, τὸ, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

ΚΕΙΜ. Καὶ ἐπιῤῥίψει ἐπ᾽ αὐτὸν, καὶ οὐ φείσεται.

Ἄφνω, φησὶν, ἐπελεύσεται ἐπὶ τὸν ἀσεβῆ καὶ ἐπιπεσεῖται αὐτῷ, καθάπερ λῃστὴς, ὁ κολάζων καὶ τιμωρούμενος, καὶ οὐ φείσεται ἐπάγων αὐτῷ τὰ τῆς ὀργῆς.

ΚΕΙΜ. Ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται· κροτήσει ἐπ᾽ αὐτοὺς χεῖρας αὐτῶν, καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

ΟΛΥΜΠ. Εἴωθεν ἡ γραφὴ ὡς πολέμιον σχηματίζειν τὸν Θεὸν, ὅταν βούληται τὴν κατὰ τῶν ἀσεβῶν θείαν ἐνδείξασθαι κίνησιν. αὐτίκα γοῦν ὁ Δαβὶδ, καὶ ὅπλον αὐτῷ περιτίθησι, καὶ ἀκόντιον δίδωσιν, ἐν οἷς ψάλλων, φησὶν, ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ. καὶ πάλιν ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον. καὶ ἀλλαχοῦ τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ τὰ βέλη ἡτοίμασε. τοῦτο κἀνταῦθα ποιεῖ, τὸν μὲν Θεὸν δίκην πολεμίου, καταδιώκοντα, φεύγοντα δὲ τὸν ἀσεβῆ, τὸν δὲ ὡς νικήσαντα, καὶ ἐπαγγελλόμενον τῇ νίκῃ, τὰς χεῖρας ἐπικροτοῦντα, καὶ τὸν ἀσεβῆ ἐκ τοῦ τόπου αὐτοῦ ἐξέλκοντα, τουτέστιν, ἐκ τῆς παλαιᾶς εὐδαιμονίας, καὶ διαίτης, καὶ κατοικίας· ὅρα δὲ, ὅτι ὁ μὲν δίκαιος ἁγιοπρεπῶς βοᾷ πρὸς Θεὸν, ποῦ πορεύθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ὁ δὲ ἀσεβὴς φεύγει, ὡς Θεὸν διαδράσων, καὶ τὴν

πανταχοῦ φθάνουσαν χεῖρα διαφεύξόμενος. πλὴν ἀλλὰ καταλαμβάνεται, καὶ ἁλίσκεται καὶ ἡττᾶται, καὶ τὰ τῶν ἀλαλαζόντων ἐπ' αὐτῷ γίνεται, κρότος χειρῶν, καὶ συριγμὸς, καὶ τῆς ἀρχαίας διαίτης ἀπελασία.

ΚΕΙΜ. Ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται, τόπος χρυσίῳ ὅθεν διηθεῖται. (οἱ δὲ λοιποὶ, ὅθεν χωνευθῇ.) σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. (ὁ δὲ ἑβραῖος, ἀπὸ λίθων χωνεύεται, ἔφη,) τάξιν ἔθετο σκότει, καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται.

ΟΛΥΜΠ. Ἀνθ' οὗ Ἀκύλας, Θεοδοτίων, καὶ Σύμμαχος, ὁ μὲν τέλος, ὁ δὲ πέρας, ὁ δὲ προθεσμίαν, ἐξέδωκε. τοῦτο βούλεται εἰπεῖν, ὅτι ὁ ἐν τοῖς τυχοῦσι τάξιν ὁρίσας, πολλῷ μᾶλλον ἐν τοῖς ἀνθρωπίνοις, καὶ ὅτι προνοεῖ, καὶ μέλει τῶν πραγμάτων αὐτῷ, καὶ οὐδὲν ἁπλῶς οὐδὲ εἰκῇ γίνεται. ἢ μᾶλλον ἐκεῖνό, φησι, ὅτι τὰ μὲν ἄλλα δῆλά ἐστιν, ἡ δὲ τοῦ Θεοῦ οἰκονομία, ἀτέκμαρτος καὶ ἄγνωστος, καὶ ὅμως μὲν διδάσκει τὴν τοῦ δημιουργοῦ λόγου σοφίαν, καὶ τὴν ἁρμονίαν ἣν τοῖς πᾶσιν ἐπέθηκεν, ὑπερφυῶς καὶ σοφῶς αὐτὰ ἐξεργασάμενος, καὶ τάξιν ἑκάστῳ δεδωκώς· ὅμως δὲ καὶ ὅπως ἡμᾶς ἐτίμησε, λογισμῷ κοσμήσας καὶ γνώσει λογικῇ, καὶ ὅτι οὐδὲν ἄκριτον παρ' αὐτοῦ πεποίηται, ἀλλὰ τόπον ἑκάστοις ἀφώρισεν. οὔτε γὰρ ἡ χρυσῖτις γῆ ἄργυρον φέρει, οὔτε ἡ ἀργυρεῖτις χρυσίον. καὶ ἐξ ἄλλης μὲν σίδηρος μεταλλεύεται, χαλκὸς δὲ ἐξ ἑτέρας λατομεῖται. τοῦτο δὲ εἶπεν, οὐχ ὅτι χαλκᾶ ὄρη τυγχάνουσιν, ἀλλ' ὅτι λατομούμενα κατὰ τὴν δοθεῖσαν ἀνθρώποις ὑπὸ Θεοῦ μεταλλευτικὴν τέχνην, χαλκὸν καὶ σίδηρον φέρουσι, τῶν προειρημένων ὑλῶν ὑπὸ γῆς κρυπτομένων. καὶ τὸ μὲν τῆς νυκτὸς σκότος παραχωρεῖ τῷ φωτὶ πλησιάζοντι, ἡ δὲ ἡμέρα τῇ νυκτὶ ὑπεξίσταται κατὰ τὴν θείαν διάταξιν, καὶ γίνεταί τις τούτων πρόσληψίς τε καὶ ἀνθυφαίρεσις, καὶ τῆς ἀνισότητος ἰσότης, ἵνα εἴπω τι καὶ παράδοξον.

ΧΡΥΣΟΣΤ. Καλῶς εἶπε, τάξιν ἔθετο σκότει, δεικνὺς ὅτι οἶδε παραχωρεῖν, καὶ ὑπεξίστασθαι. τίς ἀπελαύνει τὸν ζόφον ἐκεῖνον; πόθεν εὐταξία τοσαύτη ἐν πράγματι τοιούτῳ; εἶτα τὴν δύναμιν, εἶτα τὴν σοφίαν αὐτοῦ διηγεῖται, πείθων μὴ θέλειν ἀπαιτεῖν αὐτὸν εὐθύνας· πάντων γὰρ, φησὶ, τὰ πέρατα, καὶ τὰς ἐκβάσεις σοφῶς ὁ Θεὸς ἐξακριβάζεται, ἐν τῇ ἀπεριλήπτῳ προνοίᾳ τὰ πάντα συμπεριλαμβάνων· οὐκοῦν οὐδὲ τὰς τιμωρίας, τὰς κατὰ τῶν ἀσεβῶν, ἢ διακενῆς ὑπερτίθεται, ἢ μάτην ἐπάγει, ὁ πάντα μέτρῳ καὶ τάξει, καὶ ἁρμονίᾳ διαταξάμενος.

ΚΕΙΜ. Λίθος, σκοτία, καὶ σκιὰ θανάτου, διακοπὴ χειμάρρου ἀπὸ κονίας.

ΟΛΥΜΠΙΟΔ. Λίθοι μὲν, φησὶν, οἱ μεταλλευόμενοι ἐν βάθει πρόκεινται, καὶ ὑπ' αὐτὴν τοῦ θανάτου τὴν σκιὰν, ἵνα εἴπῃ, ἐν τοῖς κατωτάτω, καὶ ἐν σκοτίᾳ βαθείᾳ· ἡ δὲ τῆς γῆς τοιάδε κόνις, ἀφ' ἧς διυλιζομένης, σίδηρος ἢ ἄλλη τις ὕλη μεταλλικὴ γίνεται.

ὑπὸ

ὑπὸ χειμάῤῥου καὶ κονίαν κρύπτεται. ἢ σαφέστερον εἰπεῖν, ἢ εἰς γένεσιν τυχὸν σιδήρου χρήσιμος ὕλη, πολλάκις ἐν ὕδασιν εὑρίσκεται, καὶ διακοπτομένη κονία τις ὑπὸ χειμάῤῥου τὸν σίδηρον ἔθρεψεν. ἴσως δὲ ἄλλην ὠδίνει διάνοιαν τὰ προκείμενα, ὅτι καὶ λίθους τοὺς ἐν βάθει κειμένους, καὶ οἷον ἐῤῥιζωμένους, φορὰ χειμάῤῥου εἰς τοὐμφανὲς ἤγαγε, τὴν ὑποκειμένην γῆν διακόψασα, καὶ τὴν ἀσήμαντον κονίαν κατασύρασα.

ΚΕΙΜ. Οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν, ἐκ βροτῶν ἐσαλεύθησαν.

Τὸ Συμβαῖνον περὶ τὰς τῶν ποταμῶν χαράδρας, εἰκόνα καὶ παράδειγμα τοῦ ὀλέθρου τῶν ἀσεβῶν πεποίηται. ὥσπερ γὰρ, φησὶν, ἡ κονία ὑπὸ τοῦ χειμάῤῥου διακόπτεται καὶ παρασύρεται· οὕτω καὶ οἱ μὴ ἡδρασμένοι ἐν τῷ καλῷ, μηδὲ μεμνημένοι τῆς εἰς ἀρετὴν φερούσης ὁδοῦ, ὥστε ἐν αὐτῇ περιπατεῖν, ἀσθενοῦσί τε, καὶ τῆς ἐν ᾗ ἑστήκασιν εὐδαιμονίας ἀποπίπτουσι, καὶ ἐξ ἀνθρώπων ἁρπάζονται.

ΚΕΙΜ. Γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος, ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ πῦρ.

ΤΟΥ͂ ΑΥ͂ΤΟΥ͂. Εἰπὼν ὅτι γῆ ἡ μέν τις χρυσὸν, ἡ δὲ ἄργυρον, ἡ δὲ χαλκὸν, ἡ δὲ σίδηρον φέρει· προστίθησι νῦν ὅτι ἑτέρα πάλιν γῆ καταπειρομένη, καὶ ἐν ταῖς ἰδίαις λαγόσιν ὑποδεχομένη τὰ σπέρματα, εἶτα ὥσπερ πυρὶ τῇ οἰκείᾳ θέρμῃ διαλύσασα τὸ καταβληθὲν, καὶ τοῦτο τῇ ἐνέσῃ αὐτῇ σπερματικῇ δυνάμει πολυπλασιάσασα, ἀναδίδωσι τὸν ἄσταχυν εἰς ἄρτου ποίησιν. ἔστι δὲ καὶ εἰς δύο ἐννοίας τὸν στίχον μερίσαντας οὕτω νοῆσαι, ὅτι γῆ ἡ μὲν εἰς σπερμάτων ὑποδοχὴν ἐπιτηδεία, ἡ δὲ θειώδης ἐστί. τὸ γὰρ, ὡσεὶ πῦρ ἐστράφη ὑπὸ κάτω αὐτῆς, ἀντὶ τοῦ, οὕτω τρέφει τὸ θεῖον, ὡς δοκεῖν ὅτι πῦρ κάτωθεν αὐτῆς ὑπεστόρεσται.

ΚΕΙΜ. Τόπος σαπφείρου οἱ λίθοι αὐτῆς, καὶ χῶμα χρυσίον αὐτῷ.

Γῆ, φησὶν, ἡ μὲν τοὺς τιμίους λίθους ἀναδίδωσι, τῆς δὲ ἐστί τι χῶμα, ὅπερ ἑψόμενον, εἰς χρυσοῦ σύμβαλλεται γένεσιν.

ΚΕΙΜ. Τρίβος οὐκ ἔγνω αὐτὴν πετεινὸν, καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπὸς, καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων.

ΟΛΥΜΠ. Ταύτην, φησὶ, τὴν ὁδὸν τῆς μεταλλευτικῆς τέχνης, οὐ γυψὶ τοῖς ὀξυωπεστάτοις, καὶ ἄνωθεν ἐξ ὕψους τὰ ἐν βάθει κείμενα καθορῶσιν, οὐδὲ τοῖς λοιποῖς πετεινοῖς ὁ Θεὸς ἐδωρήσατο· οὐδὲ λέουσι, ἢ τὰ ἕτερα μεγάλα θηρία, ταῦτα γὰρ υἱοὺς ἀλαζόνων καλεῖ, ταύτην εἰλήφασι παρὰ Θεοῦ σοφίαν, ἀλλ' ἢ μόνος ἄνθρωπος.

ΚΕΙΜ. Ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ, κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη, δίνας δὲ ποταμῶν διέῤῥηξε.

Ἀντὶ δὲ τοῦ, θῖνας, Θεοδοτίων μὲν, ὀχυρώματα, Σύμμαχος δὲ ῥεῖθρα, ἐξέδωκεν. ἥ γε μὴν τῶν ῥητῶν διάνοια κατά μέν τινας αὕτη, ὅτι ὁ ὑπὸ Θεοῦ συνετισθεὶς ἄνθρωπος, οὐδὲ τὰς τῶν ὀρῶν κορυφὰς ἀνεπάφους εἴασεν, ἀλλὰ τὰς ἀκροτόμους ἀνασομώσας, καὶ ἀναῤῥήξας, ῥοιζηδὸν ἐκεῖθεν πηγὰς ὑδάτων ἐξεκαλέσατο, καὶ ὄρη δέ τινα ἀνεστηκότα πρὸς τὴν λοιπὴν γῆν ἐξωμάλισε. κατ' ἐμὲ δὲ, καὶ τὴν ἐμὴν δόξαν, οὐχὶ πηγὰς ὑδάτων μαστεύων ὁ ἄνθρωπος, ταῖς ἀκροτόμοις πέτραις ἐπιβάλλει τὸ ἐγχειρίδιον, καὶ ὄρη καταστρέφει, καὶ ποταμῶν ὄχθας ῥήγνυσιν· ἀλλὰ φλέβας τινὰς χρυσίτιδας, ἢ ἀργυρίτιδας, ἢ ἑτέραν ὕλην μεταλλικὴν πολυπραγμονῶν, καὶ λίθους περιεργάζεται, καὶ ὄρη διορύττει, καὶ βάθη ποταμῶν ἐρευνᾷ.

ΚΕΙΜ. Πᾶν δὲ ἔντιμον οἶδεν ὁ ὀφθαλμός μου.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Εἶπεν, ὅτι τὰ τοιαῦτα μόνος ὁ ἄνθρωπος ἐσοφίσθη· ἐπεὶ καὶ ὁ αὐτὸς ὁ ταῦτα λέγων ἄνθρωπος ἦν, τὸ κοινὸν εἰς ἑαυτὸν ἀναδεχόμενος, φησὶν, ὅτι οὐδὲν τῶν παρὰ ἀνθρώποις καλῶν, καὶ τιμίων τὴν ἐμὴν εὕρεσιν καὶ κατάληψιν διαπέφευγεν, ἀλλὰ πάντα ζητήσας εἶδον καὶ κατέλαβον.

ΚΕΙΜ. Βάθη δὲ ποταμῶν ἀνεκάλυψεν.

Ὁ δὲ Θεοδοτίων, ἐξηράνησεν· ἵνα εἴπῃ, οὐδὲν ἀφῆκεν ἀζήτητον, ἀλλὰ καὶ αὐτὰ τὰ ὑπὸ τὸ ὕδωρ λανθάνοντα εἰς γνῶσιν αὐτῷ ἧκεν, ἐκ πολλῆς ἄγαν πολυπραγμοσύνης, ἢ καὶ θεοσδότου σοφίας.

ΚΕΙΜ. Ἔδειξε δὲ αὐτοῦ δύναμιν εἰς φῶς.

Τουτέστιν, εἰς τὸ φανερὸν ἐξήγαγε, καὶ δήλην ἔθηκε τὴν δοθεῖσαν αὐτῷ παρὰ Θεοῦ δύναμιν καὶ χάριν.

ΚΕΙΜ. Ἡ δὲ σοφία πόθεν εὑρέθη; (οἱ δὲ λοιποὶ εὑρεθήσεται;) ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης; οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς, οὐδὲ μὴν εὑρέθη ἐν ἀνθρώποις.

ἈΚΥ'ΛΑΣ δὲ, καὶ Θεοδοτίων, καὶ Σύμμαχος, ὁ μὲν τάξιν, ὁ δὲ σύνεσιν, ὁ δὲ τίμημα, ἐξέδωκε. σοφίαν ἐνταῦθα, καθάπερ ἐμοὶ ἔδοξε, τοὺς δημιουργικοὺς λόγους καλεῖ, καθ' οὓς τὰ ὄντα πεποίηται, καὶ διεξάγεται. ταύτην γὰρ, φησὶ, τὴν σοφίαν, ἀχώρητον οὖσαν τοῖς ἀπὸ γῆς, οὐκ ἐν τόπῳ τινὶ δυνατὸν εὑρεῖν, ὡς τὰς προῤῥηθείσας ὕλας τυχὸν, ἀλλ' ἰδικῶς Θεοῦ διδασκάλου δεόμεθα, ἐφ' ᾧ μέρει γοῦν αὐτῆς ἐπιλαβεῖν ἁπλανῶς· οὐ γὰρ ἐν τῷ νῦν βίῳ τὸ τέλειον, ἀλλὰ βλέπομεν ἐν αἰνίγματι. διὰ τοῦτο, ὡς δεῖ εἰδέναι, φησὶν, οὐκ οἶδε βροτὸς τὴν ὁδὸν αὐτῆς.

Μεθοδίου. ἴσως δὲ, ἐπεὶ οἱ φίλοι τοῦ Ἰὼβ ᾤοντο τὴν αἰτίαν κατειληφέναι δι' ἣν ταῦτα ἔπασχε, πρὸς ἐκείνους ἀποτεινόμενος ὁ δίκαιος, τὴν περὶ τῶν κριμάτων τοῦ Θεοῦ σοφίαν ἄληπτον εἶναι ὁμολογεῖ, οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ, καὶ τὴν ἐπιστήμην

τῆς βουλῆς τοῦ Θεοῦ μὴ ἱκανὸν εἶναι παραδέξασθαι τὸν περίγειον τόπον, ἀποφαίνεται. φαίη δ᾽ ἄν τις σοφίαν ἐνταῦθα τὴν τελείαν εὐσέβειαν εἰρῆσθαι, πρᾶγμα θεῖον, ὑπὸ μόνου τοῦ Θεοῦ τοῖς ἀνθρώποις δωρούμενον. ὁ δὲ νοῦς τῶν ῥητῶν οὗτος· μεγάλα, φησὶν, ὁ Θεὸς τοῖς ἀνθρώποις ἐδωρήσατο, ἐν τῇ φύσει, κατασπείρας αὐτῶν τὸ ἐρευνητικὸν, καὶ σοφὸν, καὶ τεχνικὸν, ὅπερ λαβόντες οἱ ἄνθρωποι, γῆν τε μεταλλεύουσι καὶ γεωργοῦσι· τὴν δὲ κατὰ θεοσέβειαν σοφίαν οὐκ ἐν τόπῳ τινὶ ἔστιν εὑρεῖν, οὐκ οἴκοθεν ἄνθρωπος ταύτην ἀναλαβεῖν δύναται, οὐκ ἄλλοις παραδοῦναι. ὅθεν καὶ οἱ τῶν ἑλλήνων σοφοὶ ἰδίᾳ δυνάμει τὴν θεοσέβειαν ζητήσαντες, ἠστόχησαν· τὸ γὰρ πρᾶγμα, ὡς ἔφημεν, οὐκ ἀνθρώποις ἐστὶν ἐφικτὸν, ἀλλὰ τῆς θείας δωρεᾶς τε καὶ χάριτος· διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ὁ Θεὸς τὰ μὲν δι᾽ ὀπτασιῶν, τὰ δὲ δι᾽ Ἀγγέλων ἐπιφοιτήσεως, τὰ δὲ διὰ τῶν θεοφορουμένων Ἁγίων προφητῶν, τὴν θεοσέβειαν τοὺς ἀνθρώπους ἐξεπαίδευσε. καὶ ἡ θεωρητικὴ δὲ σοφία, Θεοῦ δῶρον, ἐξ ἧς κινούμεθα περὶ τὰς τέχνας, καὶ τὰ ἐπιτηδεύματα, καὶ ἣν κοινῶς ἅπαντες ἔχομεν, ἄδικοί τε, καὶ δίκαιοι· εἰ γὰρ ζῶα γεγόναμεν λογικὰ, ταύτην εἰλήφαμεν· ταύτῃ τοι καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, πότερον οὐχ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; ὡς τοῦ κτήματος θεοδωρήτου τυγχάνοντος.

ΔΙΟΝΥ. ἈΛΕΞ. Μία μὲν ἡ τῆς σοφίας πηγὴ ὁ Θεὸς, ἧς τῆς εὑρέσεως καὶ ὁ Ἰὼβ ὀρέγεται, λέγων πολλάκις, ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως; καὶ τὸ ἀνέφικτον αὐτῆς καὶ ἀπερινόητον τοῖς πολλοῖς διαγράφων, προστίθησι, λέληθε πάντα ἄνθρωπον· ὅτι δὲ μόνοις ἐστὶ τοῖς Ἁγίοις γνώριμος συνεὶς, ἐπιλέγει, ὁ Κύριος συνέστησεν αὐτῆς τὴν ὁδὸν, καὶ τὰ ἑξῆς. ποῦ δὲ, καὶ πόθεν ἐστὶν αὕτη, πάλιν λέγει, παρ᾽ αὐτῷ σοφία καὶ δύναμις, αὐτῷ βουλὴ καὶ σύνεσις. εἷς οὖν ὁ τῆς σοφίας γενεσιουργὸς καὶ δοτὴρ, καὶ εἴτις αὐτῆς μετέχει, ἔχει παρ᾽ ἐκείνου λαβὼν, ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις, ὡς ἡ σοφὴ βίβλος ἐμήνυσεν, καὶ ὡς ἕτερον ὅμοιον γράμμα ἐδίδαξε, φῆσαν, ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη· οὐ γὰρ ἀλλοθέν ποθεν ἥκει εἰς ἡμᾶς τῶν ἀγαθῶν καὶ θαυμασίων οὐδὲν, ἀλλ᾽ ἔστι ἀγαθὸν αὐτοῦ, καὶ καλὸν· παρ᾽ αὐτοῦ, φησὶν, ὁ Ζαχαρίας, τότε σύστημα καὶ τὸ πλήρωμα τῶν ἀρετῶν ἐξέκυψε, καὶ προεφάνη παρ᾽ αὐτοῦ. διὸ καὶ πάσας ὁμοθυμαδὸν περιλαμβάνοντες, καὶ καθ᾽ ἑκάστην διορίζοντες, ἀνατιθέασιν αὐτῷ, καὶ πρώτην γε τὴν σοφίαν, ἣ πρεσβυτάτη καὶ προηγουμένη τῶν ἄλλων, ἐν ἡμῖν γίνεται ὥσπερ θεμέλιος, τοῖς λοιποῖς ἐποικοδομουμένοις ὑποκειμένη. ὡς γὰρ μόνος ἀγαθός ἐστιν, οὕτω καὶ σοφός· εἷς γὰρ, φησὶν, ἐστὶ δυνατὸς, σοφὸς σφόδρα, καθήμενος ἐπὶ θρόνου αὐτοῦ· καὶ τὴν αἰτίαν δι᾽ ἣν τὸ ἐξαίρετον αὐτῷ τοῦτο καὶ μονοειδὲς ἀνῆψεν ὄνομα, προστέθηκεν εἰπὼν, Κύριος αὐτὸς ἔκτισεν αὐτὴν, καὶ ἐξηρίθμησεν αὐτὴν, καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. καὶ ἐπὶ ταύτην ἡμᾶς τὴν μακαρίαν ἐπίγνωσιν καὶ ὁ Βαροὺχ παρεκάλει, λέγων, μάθε ποῦ ἐστὶ φρόνησις, ποῦ ἐστὶν

ἰσχὺς

ἰσχὺς, ποῦ ἐστὶ σύνεσις, τοῦ γνῶναι ἅμα ποῦ ἐστὶ μακροβίωσις καὶ ζωὴ, ποῦ ἐστὶ φῶς ὀφθαλμῶν καὶ εἰρήνη. τίς εὗρε τὸν τόπον αὐτῆς; καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῆς; τοῦτο γὰρ ὁ γόνιμος αὐτῆς, καὶ θησαυρὸς ὅθεν προέισι, καὶ τοῖς δεξαμένοις ἐπιμετρεῖται, ὁ Θεός ἐστι· διὸ καὶ προητιάσατο τοὺς οὐ μεταλαμβάνοντας αὐτοῦ· ἐγκατέλιπες γὰρ, φησὶ, τὴν πηγὴν τῆς σοφίας. τῇ ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα. ταῦτα μὲν διὰ μακροῦ τοῖς ἄλλοις ἡρμήνευται, σοφίαν νοοῦσιν, ἤτοι τὴν τῶν ὄντων γνῶσιν καὶ θεωρίαν, ἢ τὴν θεοσέβειαν· ἐγὼ δὲ τὸ δοκοῦν μοι περὶ τῆς λεγομένης ἐνταῦθα σοφίας, συντόμως καὶ σαφῶς παραστήσω· ἡγοῦμαι γὰρ τὸν σοφὸν καὶ Ἅγιον Ἰὼβ τοιοῦτόν τι λέγειν, ὅτι τὰ μὲν ἄλλα διὰ τῆς σοφίας εὗρεν ὁ ἄνθρωπος, οἷον ὕλας μεταλλικὰς, τέχνας, ἐπιστήμας, καὶ ὅσα μετὰ θαύματος αὐτὸς ἀπηριθμήσατο· αὐτὴν δὲ τὴν σοφίαν πόθεν εὗρε; μήποτε γῆν ἀνώρυξεν, ἢ θαλάττης ὑπέδυ μυχοὺς, ἵνα ταύτην εὕρῃ; ἄπαγε· Θεοῦ γὰρ δῶρον τὸ χρῆμα.

ΚΕΙΜ. Ἄβυσσος εἶπεν, οὐκ ἔνεστιν ἐν ἐμοί· καὶ ἡ θάλασσα εἶπεν, οὐκ ἔνεστι μετ' ἐμοῦ.

ΓΡΗΓΟΡΙΟΥ τοῦ Θεολόγου. Πολλὰ ἡ γραφὴ προσωποποιεῖν οἶδε καὶ τῶν ἀψύχων· ὡς δὲ τὸ, οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· καὶ ῥομφαία τὶ διακελεύεται· καὶ ὄρη καὶ βουνοὶ λόγους ἐρωτῶνται σκιρτήσεως. τοιοῦτον, καὶ τὸ, ἡ ἄβυσσος εἶπεν, οὐκ ἔστιν ἐν ἐμοὶ σοφία, ἵνα εἰς ἐμέ τις καταδὺς εὕρῃ ταύτην· καὶ ἡ θάλασσα εἶπεν, οὐκ ἔστι μετ' ἐμοῦ, ὡς οἱ μαργαρῖται τυχὸν, ὥστε παρ' ἐμοὶ ταύτην ἀνερευνᾶν· ἵνα εἴπῃ, οὐκ ἐν ἀβύσσῳ, οὐκ ἐν θαλάσσῃ, οὐκ ἐν ἄλλῳ τινὶ τόπῳ ζητεῖν χρὴ τὴν σοφίαν. ταμίας δὲ καὶ δοτὴρ αὐτῆς ὁ Θεός.

ΚΕΙΜ. Οὐ δώσει συγκλεισμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς, καὶ οὐ συμβασταχθήσεται χρυσίῳ Σωφείρ.

ΟΛΥΜΠ. Ἀκύλας δὲ καὶ Σύμμαχος, ὁ μὲν ἀντὶ τοῦ, οὐ συμβασταχθήσεται, οὐκ ἀναβληθήσεται εἶπεν· ὁ δὲ, ἀντὶ τοῦ, Σωφείρ, πρωτείῳ, ἐξέδωκε. Σωφεὶρ δὲ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται, χώρα τίς ἐστιν ἐν Ἰνδοῖς, περὶ ἣν οἱ πολύτιμοι τῶν λίθων πεφύκασι γίνεσθαι, καὶ χρυσίον κάλλιστον. συγκρίνει δὲ τὴν σοφίαν πᾶσι τοῖς ὑπὸ τοῦ λογισμοῦ αἱρεθεῖσι, καὶ δείκνυσι ταύτην κατὰ πολλὴν περιουσίαν ὑπερφέρουσαν, καὶ ὅτι ὤνιον, οὐκ ἔστιν, ὡς τὰ ἄλλα, οὔτε ταῖς τιμιωτάταις τῶν ὑλῶν ὅλως ἐρχομένην εἰς σύγκρισιν· οὐ γὰρ, εἰ δώσει τις ἀντ' αὐτῆς ὅλους τοὺς θησαυροὺς, ὥστε αὐτὴν ὠνήσασθαι δύναται. συγκλεισμὸν γὰρ ὀνομάζει τὰ χρήματα, διὰ τὸ ταῦτα ἀσφαλῶς ἡμᾶς συγκλείειν· οὐδὲ ἀντισταθμήσεταί τι αὐτῇ, τοῦτο γὰρ, τὸ, οὐ συμβασταχθήσεται, ὡς ἐπὶ πλαστίγγων· οὐδὲ ἀντιπτωθήσεται αὐτῇ χρυσίον πρωτεῖον, οὐκ ἀργυρίου πλῆθος ἀντιταλαντευθήσεται· οὐδὲν γὰρ τούτου τοῦ κτήματος ἴσον, οὐδὲν ἀντάξιον τῆς σοφίας λέγει.

ΚΕΙΜ. Ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ· ὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος.

Οὐδὲ τῷ λεγομένῳ ὄνυχι λίθῳ, εἴτουν σαρδόνυχι, ἡ σοφία παραβληθήσεται, ἢ σαπφείρῳ, ἢ χρυσίῳ, ἢ τῷ διαυγεῖ κρυςάλλῳ, τοῦτον γὰρ ἐκάλεσεν ὕαλον· διὰ γὰρ τὸ απαύγον εἶναι τὸ τῆς σοφίας χρῆμα, καὶ θεόσδοτον, διὰ τοῦτο καὶ πάσης τιμίας ὕλης ἐπέκεινα.

ΚΕΙΜ. Καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ.

Ἀνθ' ὗ ὁ Σύμμαχος, οὐδὲ ἀντικαταλλαγήσεται σκεύεσι χρυσοῖς· ὐδὲ γὰρ δύναται ταῦτα τῆς σοφίας εἶναι ἀντάλλαγμα.

ΚΕΙΜ. Μετέωρα καὶ γαβὶς ὐ μνησθήσεται.

ΟʼΛΥΜΠ. Τὸ, γαβεὶς, τὰ ἐπηρμένα ἔοικε σημαίνειν· ὕτω γῦν λέγεται καὶ τὸ ὑπερέχον τῦ χείλυς τῦ μεδίμνυ· ὁ γὰρ Σύμμαχος, ὕτως ἐκδέδωκε, ὑψηλὰ καὶ ἐπηρμένα ὐ μνησθήσεται· ἵνα εἴπῃ, ὅτι πρὸς σύγκρισιν τῆς σοφίας οὐδὲ μνήμης εἰσὶν ἄξια πάντα τὰ παρὰ ἀνθρώποις δοκῦντα ὑψηλά τε εἶναι καὶ τίμια.

ΚΕΙΜ. Καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα.

Ἐσώτατα δὲ, τὰ ἐν τοῖς ταμείοις ἔνδον ἀποκείμενα χρήματα, φησίν· ὅθεν Ἀκύλας ὕτως ἐκδέδωκε, γλυκὺ δὲ σοφία παρὰ τὰ περίβλεπτα, παραδηλῶν, ὅτι κειμήλια ἐνόησε τὰ ἐσώτατα· τὰ γὰρ μάλιςα τιμιώτατα, ὐκ ἐν τῷ προχείρῳ, ἀλλ' ἐν τοῖς ἔνδον καὶ ἀποκρύφοις ἀποτιθέμεθα· ὑπὲρ ταῦτα οὖν, φησὶ, τὴν σοφίαν ἀπάσου καὶ κάτεχε.

ΚΕΙΜ. Οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον αἰθιοπίας, χρυσίῳ καθαρῷ ὐ συμβαςαχθήσεται.

Λίθος διαυγέςατος τὸ τοπάζιον. τὸ δὲ, οὐ συμβαςαχθήσεται, ἀντὶ τῦ, ὐκ ἀντιςαθμηθήσεται· τὰ γὰρ ἀντιςαθμώμενα, εἰς ἑκατέρας τὰς πλάστιγκας κείμενα, συμβαςάζεται· ἤ, ὅτι ὁ ταύτην κτησάμενος, ὐκ ἂν ἀνάσχοιτο σὺν χρυσίῳ καὶ αὐτὴν ἐπιφέρεσθαι, ἀλλὰ ταύτην μόνην.

ΚΕΙΜ. Ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐςὶ τῆς συνέσεως; λέληθε πάντα ἄνθρωπον, καὶ ἀπὸ πετεινῶν τῦ ὐρανῦ ἐκρύβη. ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν, ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.

ΟʼΛΥΜΠ. Αἱ μὲν μεταλλικαὶ, φησὶν, ὕλαι, καὶ πάντα τὰ ἀπηριθμημένα, ἐν τόποις τισὶν εὑρίσκονται, τὸ δὲ τῆς σοφίας κλέος ἔφθασε μὲν καὶ μέχρι τῶν καταχθονίων· αὐτὴν δὲ τὴν σοφίαν, πρᾶγμα θεῖον καὶ ἀόρατον, καὶ ἐκ μόνης θείας δωρεᾶς ἀνθρώποις χορηγύμενον, ὐκ ἔςιν εὕποι τόπῳ καταλαβεῖν, ὔτε ἀνθρώπυς, οὔτε πολλῷ μᾶλλον τὴν ἄλογον φύσιν, διὰ

τῶν πετεινῶν δηλουμένην. τινὲς δὲ φασὶν, ὅτι οὐ περὶ τῆς αὐτῆς διαλέγεται σοφίας· ἀλλ᾿ ἀνωτέρω μὲν περὶ τῆς τῶν ὄντων γνώσεως ἔλεγεν, ἐνταῦθα δὲ περὶ τῆς κατὰ Θεὸν πολιτείας, ἣν καὶ σύνεσιν εἰκότως καλεῖ, ἅτε περὶ τὸ αἱρετὸν, στρεφομένην. ταύτης οἵτε ἄνθρωποί, φησιν, ἐπελάθοντο καὶ οἱ τῶν οὐρανῶν ἐκπεσόντες ἄγγελοι, ὅθεν θανάτῳ καὶ ἀπωλείᾳ κεκράτηνται καταλλήλως ταῖς φύσεσιν.

ΚΕΙΜ. Ὁ Θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν, (ὁ δὲ Σύμμαχος συνῆκεν, ἐκδέδωκεν.) αὐτὸς δὲ οἶδε τὸν τόπον αὐτῆς.

Τουτέστι, τὴν ῥίζαν αὐτῆς, καὶ ὅπως καὶ ὅθεν ἀναβλύζει τε καὶ πηγάζει.

ΚΕΙΜ. Αὐτὸς γὰρ τὴν ὑπ᾿ οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰδὼς τὰ ἐν τῇ γῇ, πάντα ἃ ἐποίησεν.

Ὁ πάντα, φησὶν, εἰδὼς, ἅτε καὶ ποιήσας αὐτὰ, οὗτος καὶ τῆς σοφίας τὴν ὁδὸν ἐπίσταται.

ΚΕΙΜ. Ἀνέμων σταθμὸν, ὕδατος μέτρα ὅτε ἐποίησεν. (ἀνθ᾿ οὗ ὁ μὲν Σύμμαχος, ὕδωρ δὲ ἐξίσωσε μέτρῳ· ὁ δὲ Ἀκύλας, καὶ ὕδωρ ἐσταθμήσατο ἐν καταμετρήσει.) οὕτως ἰδὼν ἠρίθμησε, καὶ ὁδὸν ἐν τινάγματι φωνάς. (ὁ δὲ Σύμμαχος. εἰς κτύπον φωνῶν.)

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὗτος ἡτοίμασε καὶ τὰς βροντὰς, ἃς πνασσόμενος ἀὴρ ἀποτελεῖ· ταύτας γὰρ καλεῖ, φωνὰς ἐν τινάγματι. ἡ δὲ σύνταξις αὕτη, οὗτος ἰδὼν τὰς ἐν τινάγματι φωνὰς, ἠρίθμησε καὶ τὴν ὁδὸν αὐτῶν, τουτέστι, γινώσκει καὶ τοὺς λόγους, καὶ τὰς αἰτίας καὶ τὴν πορείαν, καὶ κίνησιν τῶν κατὰ τὰς βροντὰς ψόφων.

ΚΕΙΜ. Τότε εἶδεν αὐτὴν καὶ ἐξηγήσατο αὐτήν· ἑτοιμάσας ἐξιχνίασεν.

ὈΛΥΜΠ. Ἀνθ᾿ οὗ Θεοδοτίων, διέταξεν αὐτὴν, καὶ ἐξηρεύνησεν αὐτήν, ὁ πάντα, φησὶ, τὰ ποιήματα συμμέτρως καὶ ἀναλόγως δημιουργήσας, ὡς μήτε ἀνέμους τῇ ἀμετρίᾳ τοὺς ἐπὶ γῆς λυμαίνεσθαι, μήτε τῶν ὑδάτων τὴν φορὰν ἐξ ὑπερβολῆς διαλύειν, ἢ καὶ ἐπικλύζειν τὴν γῆν, καὶ τὰς βροντὰς δὲ χρησίμως κατασκευάσας, καὶ ἁπλῶς πάντα σοφῶς ἑτοιμάσας, καὶ ἀκριβῶς ἐξιχνιάσας, εἶτα εἰδὼς, εἶτα καὶ εἰς φανερὸν ἀγαγὼν, καὶ θεωρήσας, καὶ ἰδὼν ὅτι καλὰ λίαν· τότε καὶ ἡμῖν ἐξηγήσατο τὴν σοφίαν, πίνακά τινα προθεὶς αὐτῆς τὰ δημιουργήματα, ἵν᾿ ἐκ τῆς τούτων καλλονῆς καὶ μεγέθους, τὰ τῆς σοφίας αὐτοῦ ἀόρατα καταλάβωμεν. τὸ δὲ, ἑτοιμάσας ἐξιχνίασεν, οὐ λέγει, ὅτι προεβουλεύσατο περὶ τῶν ποιημάτων, οὐ γὰρ δεῖται προβουλίων ὁ Θεὸς εἰς τὸ δημιουργεῖν, ὁμοῦ δὲ θέλει, καὶ παράγει, ἀλλ᾿ ᾔδει μὲν ἃ πράττειν ἔμελλεν, ἕτοιμα δὲ πάντα καὶ ἕδραια, καὶ κατὰ πάσης ἀναλογίας ἐξιχνιασθέντα, ἐκ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναι παρήγαγεν. οἱ δὲ νοοῦντες σοφίαν τὴν θεοσέβειαν, φασὶν, ὅτι αὐτοὺς ἀπηκριβωμένως ἐδίδαξεν, ὅπως μὲν

περὶ Θεοῦ δοξαστέον, ὅπως δὲ τοῖς ὁμογενέσι προσιτέον,

ΚΕΙΜ. Εἶπε δὲ ἀνθρώπῳ, ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστὶν ἐπιστήμη.

ΙΣΙΔΩΡ. Οὔ μοι δοκεῖ ὁ ἀοίδιμος Ἰὼβ, ὁριζόμενος τὴν σοφίαν, καὶ τὴν ἐπιστήμην ταῦτα εἰρηκέναι· τῷ ὄντι γὰρ ἡ ἀκροτάτη σοφία ἐστὶν, ἡ ὀρθὴ περὶ Θεοῦ διάληψις· καὶ ἡ θειοτάτη ἐπιστήμη, ἡ ἀρίστη πρᾶξις· ἡ μὲν τὸ θεῖον ὀρθῶς δοξάζουσα, ἡ δὲ κακῶν ἀπεχομένη· ἡ μὲν διὰ ῥημάτων θεολογοῦσα, ἡ δὲ διὰ πράξεων ἀδοκιμοῦσα. εἰ τοίνυν ὁ θεοφιλὴς, καὶ φιλόθεος καὶ σοφός ἐστι καὶ ἐπιστήμων, καὶ τὴν θεωρητικὴν ἔχει ἀρετὴν τὴν πρακτικὴν, τὴν μὲν ὡς ψυχὴν, τὴν δὲ ὡς σῶμα· περιττὰ δοκοῦσι φιλοσοφεῖν οἱ πολιτείας μὲν ἀρίστης ὀλιγωροῦντες, γλωττίας δὲ μόνης ἐπιμελούμενοι.

ΓΡΗΓΟΡΙΟΥ τοῦ Θεολόγου. Σοφία γὰρ πρώτη, βίος ἐπαινετὸς, καὶ Θεῷ κεκαθαρμένος.

ΧΡΥΣΟΣΤ. Τοῦτο μεγίστη σοφία, τὸ θεοσεβεῖν, οὐ τὸ περιεργάζεσθαι, καὶ αἰτίας ἀπαιτεῖν τῶν γινομένων· οὐδὲν ταύτης τῆς τέχνης ἴσον, οὐδὲν ταύτης τῆς σοφίας δυνατώτερον, οὐδὲν θεοσεβείας ἄμεινον.



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΘΑΥΜΑΣΙΩΣ τοῦ Ἰὼβ τὰ περὶ δυνάμεως Θεοῦ καὶ σοφίας ἐξηγησαμένου, καὶ διδάξαντος ὡς πάντων τιμίων ἡ σοφία τιμιωτέρα, καὶ σοφὸς ἐκεῖνος, ὁ θεοσεβὴς καὶ ἄκακος· πάλιν οἱ φίλοι ἡσύχασαν, οὐδὲν ἀντιλέγειν ἔχοντες. διὸ πάλιν ὁ Ἰὼβ ἐξ ἑτέρας ἀρχῆς ποιεῖται τὸν λόγον, ἐρῶν μὲν γενέσθαι ἐν τῇ πρώτῃ εὐδαιμονίᾳ, καὶ ὑπὸ τὴν ἐπισκοπὴν τοῦ Θεοῦ· πολλὰ δὲ τῶν φίλων αὐτὸν ἐπ᾽ ἀσεβείᾳ, καὶ ἀδικίᾳ διαβεβληκότων, τῶν ἰδίων ἀνδραγαθημάτων ποιεῖται κατάλογον, μονονουχὶ λέγων, ὅπερ ὕστερον ὁ Ἀπόστολος ἔφη, γέγονα ἄφρων καυχώμενος, ὑμεῖς με ἠναγκάσατε. εἰ γὰρ καὶ γέγραπται, ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὰ σὰ χείλη· ἀλλὰ μάλιστα μὲν τοὺς τελείους πρὸς τοὺς τοιούτους ἐξάγει λόγους ἡ ἀνάγκη πολλάκις, ἀπαθῶς καὶ ἀτύφως τὰ καθ᾽ ἑαυτοὺς ἐξηγουμένους. οἰκονομεῖ δὲ καὶ Θεὸς ταῦτα γίνεσθαι πρὸς οἰκοδομὴν ἡμε-

τέραν

τέραν, ἵνα τῶν Ἁγίων ἀνδρῶν τοὺς βίους ἀπεξεσμένας εἰκόνας ἀρετῆς ἔχοντες, καὶ πρὸς αὐτὰς ἐνατενίζοντες, τὸν ἡμέτερον ῥυθμίζωμεν βίον. Ἐκτραγῳδεῖ δὲ καὶ τὰ καθ' ἑαυτὸν, ἵνα ἡμεῖς ἐν ταῖς περιστάσεσι πρὸς τὰ αὐτοῦ παθήματα βλέποντες, παραμυθώμεθα. διδάσκει δὲ καὶ δόγμα κάλλιστον, τὸ μὴ δεῖν ἑαυτὸν ἐξάγειν τοῦ σώματος διὰ τὸν συνδήσαντα. πάλιν δὲ, οὐχ ὅτι δίκαιος ὢν πάσχει, προστίθεται τῇ μερίδι τῶν ἀσεβῶν, ἀλλὰ καὶ ταλανίζει τούτους, καὶ ἐφεξῆς κατάλογον ποιεῖται τῶν οἰκείων κατορθωμάτων, εἰς ἡμετέραν διδασκαλίαν τε καὶ ὠφέλειαν. ταῦτα εἰρηκὼς ὁ Ἰὼβ, τὸν λόγον κατέλυσεν· ἡσύχασαν δὲ καὶ οἱ φίλοι δι' ἀπορίαν ἀντιῤῥήσεως, συνεπίσαντο γὰρ καὶ αὐτοὶ τῷ δικαίῳ κατορθώματα, ἦν γὰρ, φησὶν, Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.

ΚΕΙΜ. Ἔτι δὲ προσθεὶς Ἰὼβ τῷ προοιμίῳ εἶπε, τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ Θεὸς ἐφύλαξεν;

ΙΟΥΛΙΑΝΟΥ. Σύμμαχος δὲ, καὶ Ἀκύλας, τίς δῴη με κατὰ τοὺς μῆνας τοὺς πρώτους, κατὰ τὰς ἡμέρας ἃς ὁ Θεὸς ἐφύλασσέ με; τίς ἄν μοι δῴη, φησὶν, ἡμερῶν μίαν κατὰ τὴν προϋπάρξασάν μοι εὐπραγίαν; ἵνα πείσω τοὺς καταψηφισαμένους μου, ὅτι οὐκ ὀρθῶς ἐξ ὧν ἐπλήγην τὰ κατ' ἐμὲ ἔκριναν, ἀλλ' ἔχειν ἅμα ἐμοὶ περὶ τῆς αἰτίας ἀπορεῖν· εἰ γὰρ ἐξ ὧν ἔπαθον, ἄδικος ἐκρίθην παρ' αὐτοῖς, ἐξ ὧν ἔμελλον εὐπραγεῖν, δίκαιος ἂν ἐγνωριζόμην. ὅτι γὰρ διὰ τοῦτο ἐζήτει τὴν προτέραν εὐπραγίαν ἵνα δειχθῇ τοῦ Θεοῦ ἡ πρόνοια, δῆλον ἐκ τοῦ λέγειν, ὅτι ὁ Θεὸς ἐφύλαξέ με.

ΟΛΥΜΠ. Θείαν φυλακὴν λέγει καὶ ἀντίληψιν, οὐ μόνον τὴν εὐπαιδίαν, καὶ τοῦ πλούτου τὴν περιουσίαν, ἀλλ' ὅτι καὶ ἐν τοσαύτῃ περιφανείᾳ τὸ δίκαιον ἄκρως ἐφύλαξεν, ὑπὸ τῆς ἐπισκοπῆς τοῦ Θεοῦ φρουρούμενος· διὸ καὶ ἐν ἐκείνοις εὔχεται γενέσθαι, οἷα φιλόθεος ὑπὸ τὴν τοῦ Θεοῦ σκέπην εἶναι ποθῶν.

ΚΕΙΜ. Ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου, ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει.

Ὁ θεῖος νόμος καὶ λόγος ἐν τῇ διανοίᾳ τοῦ Ἰὼβ ὑπὸ Θεοῦ λαλούμενος, παρεσκεύασεν αὐτὸν ἐν τῇ σκοτομήνῃ τοῦδε τοῦ βίου, ὡς ἐν φωτὶ πορεύεσθαι, καὶ τὰς κατ' ἀρετὴν ἐκτελεῖν πράξεις, οἷά τις λύχνος ὑπὲρ κεφαλῆς, τουτέστιν], ἄνωθεν λάμπων· φησὶν οὖν, ὅτι καὶ πᾶσι τοῖς ἀνθρωπίνοις ἐκόμων ἀγαθοῖς, καὶ ἀσφαλῶς τὰς κατ' εὐσέβειαν ὥδευον τρίβους, τῷ θείῳ φωτὶ καταλαμπόμενος. φωτὸς γὰρ ὡς ἀληθῶς τρίβους ὁδεύουσιν ἐν τῷ σκότει τοῦ βιωτικοῦ κλύδωνος, οἳ, καθάπερ πρὸς ἀειφανεῖς ἀστέρας, τὰς θείας ἐντολὰς ὁρῶντες, κἀκεῖθεν αὐγαζόμενοι καὶ ὁδηγούμενοι.

ΚΕΙΜ. Ὅτε ἤμην ἐπιβρίθων ὁδοῦς.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ δὲ Σύμμαχος, ὥσπερ ἤμην ἐν ἡμέραις νεότητός μου. τουτέστιν, ὅτε πανταχόθεν, ὥσπερ τὰ εὔκαρπα τῶν δένδρων, κατεβαρούμην τοῖς ἀγαθοῖς διὰ πάσης ὁδοῦ, τῇ τε περιουσίᾳ τοῦ πλούτου, καὶ ταῖς κατ'

ἀσέβειαν πράξεσιν, ὁ κῶφός τις ὢν καὶ ἄλαλος, ἀλλ' ἐμβριθὴς, καὶ στερεὸς τὸ ἦθος, καὶ ἀκλονήτως τὸ καλὸν μετερχόμενος.

ΚΕΙΜ. Ὅτε ὁ Θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου.

Ὁ δὲ Σύμμαχος, ὁ πότε περιέφρασεν ὁ Θεὸς τὴν σκηνήν μου. ὁρᾷς ὅτι τοῦτο ἐπεθύμει, τὴν ἐπισκοπὴν καὶ τὴν πρόνοιαν δεῖξαι τοῦ Θεοῦ.

ΚΕΙΜ. Ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες.

ὈΛΥΜΠ. Τουτέστιν, ὅτε τοῦ Θεοῦ ἐπισκοπῆς ἀξιοῦντος τὰ κατ' ἐμὲ, πολλὴν εἶχον τὴν ὕλην τῆς περιουσίας, καὶ τὸν πλοῦτον ὕλην ἀρετῆς ἐποιούμην, καὶ τὴν εὐπαιδίαν, κοινωνῶν μὲν τοῦ πλούτου τοῖς πένησι, τοὺς δὲ παῖδας κατὰ θεῖον ἐκτρέφων βούλημα, ἀγομένους ὑπ' ἐμοῦ, καὶ πρὸς ἐμὲ καθάπερ εἰς κέντρον ὁρῶντάς τε καὶ συννεύοντας.

ΚΕΙΜ. Ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ, τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι.

Διὰ τούτων τὸ πλῆθος σημαίνει τῶν βοσκημάτων ὡς πανταχοῦ νεμομένων εἴτε ὄρεσι καὶ ἐν τοῖς πεδίοις. ἀπὸ γὰρ βουτύρου καὶ γάλακτος, τῶν βουκολίων τὸ πλῆθος, καὶ τῶν θρεμμάτων τὰς ἀγέλας ἐμήνυσε· πρὸς δὲ διάνοιαν· ὁδοὶ τοῦ Ἰὼβ ἃς ὥδευσεν, ἀρεταὶ ἦσαν, δι' ὧν καὶ τοὺς νηπιάζοντας ἔτρεφεν, ὄρη δὲ, τὰ ὑψηλὰ νοήματα.

ΚΕΙΜ. Ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τὴν περιουσίαν λέγει, καὶ τὴν ἀξίαν τὴν προτέραν, εἶτα τὴν δόξαν, καὶ ὅτι διδασκαλίᾳ, καὶ ὠφελείᾳ ἑτέρων ἐσχόλαζεν, οὐχ ὡς φίλαυτος, ἀλλ' ὡς ἀγάπην ἔχων ζητοῦσαν τὸ κοινῇ συμφέρον. οἷά γάρ τις ἄρχων καὶ διδάσκαλος ἀρετῆς, οὐχ ὕπνῳ καὶ μέθαις ἐσχόλαζεν, ἀλλ' ἐξ ἀγάπης ἑωθινὸς ἐν ταῖς πλατείαις καθῆστο, νόμος καὶ τύπος τοῖς ἐν τῇ πόλει γινόμενος.

ΚΕΙΜ. Ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται δὲ πάντες ἔστησαν.

Οἱ μὲν νέοι τὴν ἡλικίαν, ἢ καὶ νεωτερικὸν ἦθος ἔχοντες, αἰδούμενοι τοῦ δικαίου τὴν ἀρετὴν, ὑπέστελλον ἑαυτοὺς, καὶ ἀπεκρύπτοντο· οἱ δὲ πρεσβῦται καθ' ἡλικίαν, ἢ καὶ φρόνησιν ἔχοντες πρεσβυτικὴν, ἵσταντο καὶ παρίσταντο, τιμῶντες τὸν δίκαιον, καὶ τῶν αὐτοῦ λόγων ἐπακροώμενοι· οὕτω πᾶσιν αἰδέσιμος ἦν τοῖς συνιέναι δυναμένοις, νεανίσκοις, φημὶ, καὶ γέρουσιν. ἐμοὶ δὲ δοκεῖ καὶ τοὺς φίλους πλήττειν αὐτῷ ἐπεμβαίνοντας, δεικνὺς ὅτι πρὸ τούτου φοβερὸς ἦν αὐτοῖς καὶ ἐπίδοξος.

ΚΕΙΜ. Ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στόματι.

Ἁδροὶ οἱ πλούσιοι· ἢ κατὰ τὴν τῶν λοιπῶν ἔκδοσιν, οἱ ἄρχοντες ἤτοι

παραχωροῦντες τῷ δικαίῳ τοῦ λόγου, αὐτοῦ παρόντος, ἐσίγων.

ΩΡΙΓΕ'ΝΟΥΣ. Δέξει μὲν οὖν καὶ σημεῖον εἶναι σιωπῆς, τὸ, δάκτυλον ἐπιθεῖναι ἐπὶ τῷ στόματι. τάχα δὲ, ἐπεὶ ἡ χεὶρ ἀντὶ ἔργων λαμβάνεται, δηλοῖ, ὅτι τὸ ἔργον αὐτῶν ἐφίμου αὐτοῖς τὰ χείλη, καὶ οἱονεὶ δεσμός τις τῷ στόματι ἀπέκειτο· ᾐσθήθησαν γὰρ ὅτι οὐκ εἰσὶν ἄξιοι τοῦ λαλεῖν, παρόντος τοῦ Ἰώβ, μείζονα ἔργα πεποιηκότος, αὐτοὶ ὀλίγα πεπραχότες· ὁ γὰρ δάκτυλος τὴν ἐλαχίστην σημαίνει πρᾶξιν καὶ ἐνέργειαν.

ΚΕΙΜ. Οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη.

Ο'ΛΥΜΠ. Ἐν τούτοις σιωπὴν ἅμα, καὶ φόβον, καὶ θάμβος παρίστησιν. ἐμακάριζον μὲν γὰρ αὐτὸν ἐπὶ τοῖς λόγοις τῆς χάριτος οἱ ἀκούοντες, καὶ οἱ ἔχοντες ἀκοὴν εἰς νοῦν πετρημένην, πρὸς οὐδὲν δὲ ἀντέλεγον· ὥσπερ ἂν εἰ ἐκεκόλλητο αὐτοῖς ἡ γλῶσσα, καὶ μὴ ἠδύναντο στρέφεσθαι, ὥστε λόγους τυποῦν καὶ μορφοῦσθαι, οὕτως ἐθαύμαζον τίνα τρόπον τὰ τοιαῦτα νοεῖ, καὶ καταλαμβάνει, καὶ λέγει τὰ σφόδρα παράδοξα, καὶ δυνάμενα ὠφελεῖν τοὺς ἀκούοντας.

ΚΕΙΜ. Ὅτι οὖς ἤκουσε καὶ ἐμακάρισέ με, ὀφθαλμὸς δὲ ἰδών με ἐξέκλινεν.

Οὐκ ἴσχυον δηλαδὴ ἀντειπεῖν· Ἀκύλας δὲ καὶ Σύμμαχος, ἐμαρτύρησε περὶ ἐμοῦ, ἐκδεδώκασι. τί δὲ ἐμαρτύρησεν; ὅτι ὑπερβολὴ τὴν προκοπῆς τῆς ἐν σοφίᾳ τοῦ Ἰώβ, ὥστε τοὺς ἀκούοντας αὐτοῦ μὴ δυναμένους ἐνορᾶν τῇ μαρμαρυγῇ τῶν νοημάτων αὐτοῦ, ἐκκλίνειν τοὺς ὀφθαλμοὺς αὐτῶν, μὴ παρακολουθοῦντας τῇ βαθύτητι τῆς διανοίας αὐτοῦ εἶτα δεικνὺς τίνος εἵνεκεν ἐμακάριζον αὐτὸν, ἐπιφέρει.

ΚΕΙΜ. Διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ ᾧ οὐκ ἦν βοηθὸς, ἐβοήθησα.

ΧΡΥΣΟΣΤ. Ἀλλὰ πρῶτον ἀναθεὶς τῷ Θεῷ τὴν ἐπισκοπὴν καὶ τὴν φυλακὴν αὐτοῦ, τότε καυχᾶται ἐν Κυρίῳ. ὅρα δὲ αὐτὸν, οὐκ ἐπὶ τῇ τῶν κακῶν ἀποχῇ μέγα φρονοῦντα, οὐκ ἐπὶ ταῖς θυσίαις, καθάπερ Ἰουδαῖοι, ἀλλ' ἐπὶ τούτῳ ᾧ βούλεται ὁ Θεὸς, κρίνατε γὰρ, φησὶν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ ἐπὶ τῇ πράξει τῶν ἀγαθῶν, διέσωσα γὰρ, φησι, πτωχὸν, καὶ ἐβοήθησα ὀρφανῷ.

Ι'ΣΙΔΩ'ΡΟΥ. Μὴ θαύμαζε δὲ, εἰ ὁ μὲν Φαρισαῖος μεγαληγορήσας, προσέκρουσεν· ὁ δὲ Ἰὼβ, πλείονα καὶ μείζονα εἰρηκὼς, εὐδοκίμησεν. ὁ μὲν γὰρ μηδενὸς παρακινοῦντος, μηδὲ ἐρεθίζοντος, μεγαληγορῶν, καὶ τῆς οἰκουμένης ἁπάσης φρονῶν μεῖζον, εἰκότως προσκρούει, ὑπερηφανίαν γὰρ νοσεῖ· ὁ δὲ ἐν μὲν τῷ εὐδοκιμεῖν κρύπτων τὰ οἰκεῖα πλεονεκτήματα, ἐν δὲ τῷ κατηγορεῖσθαι, φράζων πρὸς τὸ ἀπολύσασθαι τὰ ἐπιφερόμενα ἐγκλήματα, ὥσπερ ὁ ἀοίδιμος, καὶ πάσης εὐφημίας κρείττων πεποίηκεν ὁ Ἰὼβ, πάσης αἰτίας ἔξω καθέστηκεν, εἰς τοὺς οὐ δέοντας κατηγορήσαντας τῆς αἰτίας πα-

λινδρομούσης· ψυχρὸν μὲν γὰρ τὸ σεμνύνειν ἑαυτὸν, μηδὲ μιᾶς ἀνάγκης ἐκβιαζομένης· εἰ δέ τις ἄκων ἃ μὴ προσῆκεν, εἰς τοιούτους ἄκων ἐμπέσοι λόγους, τοῖς τὴν ἀνάγκην κατεσκευακόσιν ἡ αἰτία προσρίπτεται. διόπερ καὶ ἡ θεία ψῆφος τὸν μὲν, ἑαυτὸν μηδενὸς παρακινοῦντος δικαιώσαντα, καὶ τῶν ἄλλων ἁπάντων καταψηφισάμενον, οὐκ ἀπεδέξατο· τὸν δὲ, ἐξ ἀνάγκης εἰς τοῦτο ἀχθέντα, τί γὰρ τῶν ἐρεθίσαι δυναμένων οἱ φίλοι παραλελοίπασι; μεγίστοις ἐγκωμίοις ἐστεφάνωσεν.

ΚΕΙΜ. Εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι. (ὁ δὲ Σύμμαχος, καταῦτα) στόμα δὲ χήρας με εὐλόγησεν.

ΟΛΥΜΠ. Ἀνθ' οὗ Θεοδοτίων, καὶ καρδίαν χήρας εὔφρανα. ὁ δὲ νοῦς τῶν στίχων οὗτος· ὁ κινδυνεύων, φησὶν, ἀπολέσθαι, μὴ ἀπολόμενος δὲ, διὰ τὸ τῆς ἐμῆς τυχεῖν ἐπικουρίας, καὶ ἡ χήρα ἡ ἀπροστάτευτος, προστάτην με εὑραμένη, ταῖς εὐλογίαις καὶ τοῖς ἐπαίνοις ἠμείβετο· οὐκ ἐπειδὴ ταύτῃ τῇ ἐλπίδι ἐποίουν, ἀλλ' ὅτι προσεδόκων ἐκ τοῦ βοηθεῖν τοῖς τοιούτοις γῆρας μακρὸν, ἀπὸ συνειδότος καλοῦ καὶ χρηστῶν ἐλπίδων.

ΧΡΥΣΟΣΤ. Ἴστε δὲ, ὅτι ἀχάριστόν πως τὸ γένος ἐστὶ τῶν χηρῶν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, οὐδὲ προαίρεσιν, ἀλλὰ παρὰ τὴν ἀνάγκην τῆς πενίας, κάμινος γὰρ πτωχείας ἐστίν· καὶ ὅτι πρᾶγμα δύσκολον ἐπαινέσαι τὸν εὐποιοῦντα· ἀλλὰ τὸν Ἰὼβ καὶ αὗται εὐλόγουν. ἀναγράφεται δὲ τὰ τούτου ἀνδραγαθήματα, ἵνα ζηλώσωμεν.

ΚΕΙΜ. Δικαιοσύνην δὲ ἐνεδεδύκειν, ἠμφιεσάμην δὲ κρίμα ἴσα, διπλοΐδι.

ΩΡΙΓΕΝΟΥΣ. Καλὸν χιτῶνα ὕφαινεν ἑαυτῷ ὁ Ἰὼβ, ἵνα ἐνδύσηται τὴν δικαιοσύνην αὐτῷ χιτῶνα. ἴδε αὐτοῦ καὶ τὸ ἱμάτιον. δικαιοσύνη ὁ χιτών· κρίμα ἡ διπλοΐς.

ΟΛΥΜΠ. Ἀντὶ πάσης τιμίας ἐσθῆτος, δικαιοσύνῃ καὶ δικαιοκρισίᾳ ἐκαλλωπίζετο· καὶ ταῦτα μὲν τὰ θαυμαστὰ τοῦ Ἰὼβ ἄμφια. τὰ ἐξ ἐναντίας δὲ τὰ τῶν ἀσεβῶν, ἐνδύονται γὰρ κατάραν ὡς ἱμάτιον, καὶ περιβάλλονται, ὡσεὶ διπλοΐδα τὴν αἰσχύνην αὐτῶν.

ΧΡΥΣΟΣΤ. Εἰκότως δὲ, μετὰ τὸ εἰπεῖν, διέσωσα πτωχὸν ἐκ χειρὸς δυνάστου, ἐπήγαγεν, τὸ, ἐνεδεδύκειν δικαιοσύνην, εἰσὶ γὰρ οἱ ἑτέρων μὲν προΐστανται, αὐτοὶ δὲ ἀδικοῦσι πολλάκις. οὗτος δὲ οὐχ οὕτως, ἀλλ' ἠμφιεσάμην, φησὶ, κρίμα, ὥστε ἐνεκαλλωπισάμην. καίτοι ἕτεροι τὸ πρᾶγμα δυσχεραίνουσιν, ἀγανακτοῦσι, φορτικὸν εἶναι καὶ βαρὺ νομίζουσιν, ἀλλ' οὐκ ἐγὼ, φησίν. ἀλλ' ὥσπερ ἐπὶ διπλοΐδι τις καλλωπίζοιτο, οὕτως ἐγὼ ἐπὶ τῇ δικαιοκρισίᾳ· οὐχὶ σήμερον μὲν, αὔριον δὲ οὐκέτι, ἀλλ' ὥσπερ ἀνάγκη τὰ ἱμάτια διὰ παντὸς ἔχειν, οὕτω καὶ τὴν τῶν ἀδυνάτων ἐκδίκησιν. καίτοι τίς αὐτὸν κατέστησε δικαστήν; αὐτοχειροτόνητος κριτὴς παρὰ τῆς ἀρετῆς γέγονεν αὐτῆς, καθάπερ Μωϋσῆς· τοιούτους ἐχρῆν εἶναι τοὺς ἄρχοντας. εἶδες τοῦτον ἐν τοῖς πειρασμοῖς, ἴσον ἰδεῖν σοι δυνατὸν ἦν· τὴν γὰρ εὐσέβειαν, οὐδὲ αὐτὸς ὁ λόγος παραστῆσαι

ἰσχυ-

ἴσχυσεν· ὀδύνην γάρ, καὶ βασάνους, καὶ ἀθυμίας τυραννίδα, καὶ τὴν ἐκ τῶν τοσούτων νιφάδων ἐγγινομένην ταραχήν, οὐδὲ μία λόγου δύναμις ἑρμηνεῦσαι δύναται τοῖς ἀκηκοόσιν, ὡς αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα. φέρε, σοὶ δείξω πάλιν αὐτόν, οὐδὲ γὰρ τοῦτο μικρόν, ἀλλὰ καὶ σφόδρα φιλοσοφωτάτης δεόμενον ψυχῆς, ἐν πλούτῳ καὶ ἐν εὐημερίᾳ πολλὴν ἐπιδεικνύμενον φιλοσοφίαν. τίς οὖν ἦν, πλούσιος ὤν; κοινὸς ἁπάντων λιμήν, κοινὸς ἁπάντων πατήρ, κοινὸς ἰατρός, μᾶλλόν δε καὶ ἰατροῦ μείζων. ἄκουσον οὖν αὐτοῦ λέγοντος.

ΚΕΙΜ. Ὀφθαλμὸς ἤμην, τυφλῶν, ποὺς δὲ χωλῶν.

ΤΟΥ ΑΥΤΟΥ. Ὁρᾷς πῶς ἰατροῦ μείζων· ἀντὶ τῆς φύσεως τοῖς πεπηρωμένοις ἐγίνετο, καὶ ἅπερ οὐκ ἴσχυσαν τῇ τέχνῃ διορθῶσαι, ταῦτα αὐτὸς ἀνεκτᾶτο τῇ παρακλήσει, διὰ τὴν πολλὴν εἰς αὐτοὺς πρόνοιαν ἀντὶ τῶν μελῶν αὐτοῖς γινόμενος· ὡς γὰρ ὑγιεῖς, καὶ ἀρτίποδες, καὶ βλέποντες, οὕτω διέκειντο οἱ τὰ μέλη ταῦτα κεκολοβωμένοι, οὐκ αἰσθανόμενοι τῆς χωλείας, οὐδὲ τῆς πηρώσεως, διὰ τὴν πολλὴν τούτου πρόνοιαν. διὰ δὴ τοῦτο οὐδὲ εἶπεν, ὅτι ἐγὼ παρεμυθούμην χωλούς, καὶ τυφλούς, οὐκ εἶπεν, ἐπεκούφισα τὴν συμφοράν, οὐδὲ τῆς πηρώσεως τὴν αἴσθησιν ἀνῄρουν, ἀλλ' ὀφθαλμὸς αὐτῶν ἤμην, ἔβλεπον δι' ἐμοῦ, οὐκ ἐλάμβανον πεῖραν τῆς οἰκείας αὐτῶν συμφορᾶς δι' ἐμέ, οὐκ ἐπεζήτουν τοὺς χειραγωγοῦντας, τοὺς ὁδηγοῦντας, πανταχοῦ τὸ σκότος αὐτοῖς ἐποίουν φῶς. ὅρα σημεῖα ἀποστολικά· ὀφθαλμὸς ἤμην τυφλῶν, οὐκ ὀφθαλμοὺς ἀποδιδούς, οὔπω γὰρ ἦν αὕτη ἡ χάρις, ἀλλὰ μηδὲ αἰσθέσθαι τῆς συμφορᾶς ποιῶν· οἱ δὲ νῦν καὶ τοὺς βλέποντας, τυφλοὺς ποιοῦσιν· ἀλλ' ἐγὼ αὐτὸς τῆς φύσεως τὰ ἁμαρτήματα διώρθουν, οὐ τὰ παρὰ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τὰ παρ' αὐτῆς τῆς φύσεως, τὰ γὰρ λείποντα τοῦ σώματος μέλη προσανεπλήρουν τοῖς δεομένοις τῇ τῶν ἀναγκαίων ἐπιχορηγίᾳ, καὶ τῇ πολλῇ προμηθείᾳ. πρὸς δὲ νοῦν, τυφλοὺς διανοίας, διήνοιγε, καὶ ὠφέλει τοὺς πεπηρωμένους τὴν ψυχήν, καὶ αὐτὸς αὐτῶν ἐγίνετο ὀφθαλμός· πόδας δὲ ἐχαρίζετο τοῖς κεχωλωμένοις τὰς βάσεις τῆς ψυχῆς, καὶ τῷ λόγῳ ἐγίνετο αὐτῶν πούς, καὶ ἐχειραγώγει ἑκατέρους. εἴληπται δὲ ὁ μὲν ὀφθαλμὸς ἐπὶ τῆς νοητικῆς ὁδηγίας, ὁ δὲ πούς, ἐπὶ τῆς ἠθικῆς.

ΚΕΙΜ. Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων.

ΤΟΥ ΑΥΤΟΥ. Οὐδὲ ἐνταῦθα εἶπε, παρεμυθούμην ὀρφανούς· ἀλλ' οὐδὲ αἴσθησιν ἀφῆκα γενέσθαι τῆς ὀρφανίας, οὐδὲ φανῆναι τὸ δεινόν· καθάπερ ἐκεῖ τὴν πήρωσιν τῇ περιουσίᾳ τῆς προνοίας, τῶν τὰ τοιαῦτα πεπονθότων καὶ αὐτὴν τῶν δεινῶν ἀνῄρουν τὴν αἴσθησιν. ἐν τούτοις φωναὶ δηλοῦνται τοῦ ὠφελοῦντος τοὺς ἀδυνάτους, τοὺς ἀσθενεῖς. ὅρα δὲ μετὰ πόσον χρόνον ταῦτα λέγει.

Σεβήρου. Καιρὸς γάρ, φησί, τοῦ σιγᾶν, καὶ καιρὸς τοῦ λαλεῖν, τοῦ ἐκκλησιαστικοῦ λόγος. ἐπεὶ οὖν καὶ ὁ μέγας Ἰὼβ πολὺν χρόνον τὰς συμφορὰς ἤνεγκε σιωπῇ, αὐτῷ τούτῳ τὴν ἀνδρείαν ἐπιδεικνύμενος, τῷ ἐγκαρτερεῖν τοῖς

δυσφορωτάτοις πάθεσι, καὶ αὐτάρκης τῆς σιωπῆς ἐγένετο χρόνος, καὶ διέμεινεν ἐν τῷ βάθει τῆς καρδίας ἀποστέγων τὴν ἀλγηδόνα· τότε ἀνοίξας τὸ στόμα φθέγγεται ταῦτα, οὐχὶ καυχώμενος, οὐδὲ μέγα φρονῶν, ἀλλ' ἀναγκαζόμενος εἰπεῖν τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ ἐπὶ τίσιν ἀπήλαυεν αὐτῆς, καὶ ἐν τίσιν ἐστὶ νῦν· οὐ σώματα δὲ μόνον κεκολοβωμένα ἐθεράπευεν, οὐδὲ ὀρφανίας διώρθου, τοῖς μὲν ἀντὶ μελῶν, τοῖς δὲ ἀντὶ γονέων γινόμενος· ἀλλὰ καὶ δικαστὴς αὐτοχειροτόνητος καθίστατο, μᾶλλον δὲ καὶ δικαστοῦ πλέον· φησὶ γάρ.

ΚΕΙΜ. Δίκην δὲ ἣν οὐκ ᾔδειν, ἐξιχνίασα.

ΧΡΥΣΟΣΤ. Τοῦτο δικαστοῦ πολὺ πλέον· οἱ μὲν γὰρ δικάζοντες κάθηνται ἀναμένοντες τοὺς ἠδικημένους, καὶ μετὰ τὴν παρ' ἐκείνων ἔντευξιν, τότε τὴν παρ' ἑαυτῶν παρέχουσι συμμαχίαν οἱ δοκιμώτατοι τῶν δικαζόντων· ὡς οἵ γε πολλοὶ οὐδὲ τοῦτο. οὗτος δὲ καὶ τοὺς δοκιμωτάτους ἐνίκησε, καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισεν· οὐδὲ γὰρ ἀνέμενε τοὺς ἀδικουμένους ἐλθεῖν πρὸς αὐτὸν, οὐδὲ μετὰ τὴν ἐκείνων ἔντευξιν ἐποίει τὴν συμμαχίαν, ἀλλ' αὐτὸς προλαμβάνων περιῄει ζητῶν τοὺς ἠδικημένους· καὶ οὐδὲ ἁπλῶς ζητῶν, ἀλλὰ μετὰ πολλῆς τῆς ἀγρυπνίας, μετὰ πολλῆς τῆς φροντίδος. καὶ τοῦτο εἴσῃ σαφῶς, τῆς λέξεως καταμαθὼν τὴν δύναμιν· οὐ γὰρ εἶπεν, ἐζήτησα, ἀλλὰ δίκην ἣν οὐκ ᾔδειν ἐξιχνίασα, ἠρεύνησα, περιειργασάμην, πολυπραγμονῶν διετέλεσα, πάντα κινῶν, ὥστε εὑρεῖν μήπου τις ἠδικημένος λανθάνῃ· ὁρᾷς τὴν προστασίαν, οὐ μέχρι χρημάτων, οὐδὲ μέχρι τροφῆς καὶ ἐνδυμάτων, ἀλλὰ καὶ μέχρι κινδύνων ἀλλοτρίας προϊσταμένην κρίσεως.

ΟΛΥΜΠ. Ἐνταῦθα διδάσκει ἡμᾶς πῶς δεῖ δικάζειν, ἐάν ποτε κληθῶμεν ἐπὶ δίαιταν ἀδελφῶν, ὥστε διαιτῆσαι τὰ κατ' αὐτούς· ἐν γὰρ τῷ δικάζειν φησὶν, οὐδὲν προμεμαθηκὼς ἔκ τινος τῶν μερῶν, οὐδὲ προδιαφθαρεὶς τὴν ἀκοὴν, ἀλλ' ἐπιμελῶς ἀναζητήσας καὶ ἐξιχνιάσας, κατείληφα τὸ δίκαιον. τοῦτο λεκτέον πρὸς τοὺς ἀπερισκέπτως ἀποφαινομένους, καὶ κατακρίνοντας ὅ, τι Ἰὼβ, φησὶ, δίκην ἣν οὐκ ᾔδειν, ἐξιχνίασα· εἶδες τὴν ἄγρυπνον ψυχὴν, ὅρα καὶ τὴν ἀνδρείαν καὶ τὴν σπουδήν.

ΚΕΙΜ. Συνέτριψα δὲ μύλας ἀδίκων.

Τὸ δηκτικὸν αὐτῶν τὴν δυναστείαν κατέλυσα, φησὶν, ὥστε λοιπὸν καὶ εἰς ἑτέραν ἀδικίαν ἀχρήστους γενέσθαι. ἀμφοτέρους τοίνυν ὠφελεῖ, τοὺς μὲν τοῦ παθεῖν κακῶς, τοὺς δὲ τοῦ ποιεῖν κακῶς ἀπαλλάττων, καὶ σωφρονεστέρους ποιῶν, τὸ ἀποστολικὸν ἐκεῖνο πληρῶν, ὁ προϊστάμενος ἐν σπουδῇ. εἶτα βλέπε τὴν εὐτονίαν, καὶ τὴν καρτερίαν.

ΚΕΙΜ. Ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξήρπασα.

ΧΡΥΣΟΣΤ. Ὅρα τὴν δυσκολίαν τοῦ πράγματος. καταποθὲν, φησὶν, ἤδη καὶ προληφθὲν τὸ πρᾶγμα ἀνώρθωσα· οὐ γὰρ ἀπεγίνωσκον, οὐδὲ ἀπηγόρευον, εἰ καὶ τὸ πρᾶγμα προκατειλημμένον ἦν, ἀλλ' ἤδη καὶ τὸ καταποθὲν ἀνιμώμην, ποιμένος τινὸς ἀ-

εἰσε

είσε καὶ νήφοντος πρόνοιαν περὶ τοὺς σιωδέλες ἐπιδεικνύμενος, καὶ ἑκατῶν, κατὰ τὸ εἰρημένον, ἐκ σόματος λέοντος σκέλη προβάτε, καὶ λοβὸς ὠτίων.

ΚΕΙΜ. Εἶπα δὲ, ἡ ἡλικία μου γηράσει ὥσπερ σέλεχ© φοίνικ©· πολὺν χρόνον βιώσω.

Ο'ΛΥΜΠ. Α'νθ' ὧν ὁ Σύμμαχος, ἔλεγον δὲ, μετὰ τῆς νοσσιᾶς μου γηράσειν, ἡ δόξα μου ἀνανεάσει παρῦσά μοι. ταῦτά, φησι, κατ' ἐμαυτὸν ἐλογιζόμην, καὶ ἤλπιζον ὅτι δικαιοσύνῃ συζῶν ἀειθαλὴς ἔσομαι, καὶ πολυχρόνι©· τοιῦτον γὰρ ὁ φοίνιξ· ἵνα εἴπῃ, τοιαῦτα ποιῶν, ἤλπισα μέχρι τέλους ἔχειν τὰ ἀγαθὰ, τῆς θείας ἀπολαύων ἐπικυρείας.

ΚΕΙΜ. Η' ῥίζα διήνοικται ἐπὶ ὕδατος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου.

Μεταφορικῶς τῷ λόγῳ ἐχρήσατο, ὡς ἐπὶ φυτοῦ, ταῖς ῥίζαις ποτιζομένε, καὶ τρεφομένε, καὶ καρπὸν πολὺν ἐκ τῆς ἀρδείας φέροντος, καὶ πεπαινόμενον πρὸς θερισμόν. ὥσπερ γὰρ, φησὶ, τὰ δένδρα τὰ ἐπὶ ὑδάτων τὰς ῥίζας ἔχοντα, καὶ παρὰ τὰς διεξόδους τούτων πεφυτευμένα, οὕτως ἤλπιζον αὐθηρὸς εἶναι καὶ κατάκαρπ©. καὶ ὡς καρποὶ δρόσου καὶ ὑετῶν ἀπολαύσαντες, καὶ πλήρεις γενόμενοι, καθ' ὥραν θερίζονται· οὕτω προσεδόκων καταγηράσας τοῖς ἀγαθοῖς μεταλλάξειν τὸν βίον.

ΚΕΙΜ. Η' δόξα μου καινὴ μετ' ἐμοῦ.

Α'λλὰ ματαία μοι, φησὶ, γέγονεν ἡ ἐλπὶς, εἰς τὸ ἐναντίον μοι τῶν πραγμάτων περιτραπέντων.

ΚΕΙΜ. Καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τοῦτο διχῶς νοητέον· ἢ, ὅτι τὸ κατ' ἐμοῦ τεταμένον τόξον οἱονεὶ παρὰ τῆς χειρὸς τοῦ Θεοῦ κατέχεται, καὶ δι' αὐτοῦ ἐπ' ἐμὲ οἱ τῶν πειρασμῶν ἄτρακτοι, καὶ τὰ βέλη ἐπαφίενται· ἢ, ὅτι ὑπὸ τῆς θείας χειρὸς ὑπενόουν εὐθύνεσθαι τὰ κατ' ἐμὲ, καὶ οὕτω μοι πάντα κατὰ σκοπὸν ἐκβαίνειν καὶ εὐοδοῦσθαι, ὡς τὸ βέλ© ὑπὸ εὐφυοῦς τοξότου πεμπόμενον, εὐθὺ τοῦ σκοποῦ φέρεται· ἀλλὰ διήμαρτον τῆς ἐλπίδ©. ταῦτα μεταξὺ εἰπὼν, πάλιν ἐπαναλαμβάνει τὸν ἀνωτέρω λόγον, καὶ δεικνὺς ὡς ἅπασιν ὑπῆρχε δημηγορῶν, αἰδέσιμός τε καὶ προσηνής, φησι.

ΚΕΙΜ. Ε'μοῦ ἀκούσαντες προσέχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ· ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο.

Προσεῖχον μὲν οἷς ἔλεγον, ἐμφαίνοντες ὅτι ἡδέως ἤκουον· ἐσιώπων δὲ, μηδὲν ἀντιθεῖναι, ἢ ἀντειπεῖν ἔχοντες. οὐ προσετίθεσαν δὲ, νόμον ἡγούμενοι καὶ κανόνα, καὶ σάθμην τὰ ἐμὰ ῥήματα· καὶ διὰ τοῦτο οὔτε προσθεῖναί τι τούτοις, οὔτε ἀφελέσθαι δυνάμενοι, οὕτω πάντες ἡττῶντο τῆς ἐμῆς διανοίας· κατείχετο γάρ μου ἡ καρδία καθάπερ τόξον τῆς θείας χειρὸς, καὶ διὰ τοῦτο τοῦ ὀρθοῦ σκοποῦ τῶν νοημάτων οὐκ ἀπετύγχανον.

ΚΕΙΜ. Περιχαρεῖς δὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλυν· ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετὸν, ὅτως ὅτοι τὴν ἐμὴν λαλίαν.

ΧΡΥΣΟΣΤ. Ο῎ρα τί, φησιν· ὐχ ὁ πλῦτος αὐτὸν ἐπίφθονον ἐποίει, ὐ τὸ τῶν ἀδικεμένων προΐςαωθαι, ὐκ ἄλλο τοιῦτον ὐδεν, ἀλλὰ πάντες αὐτῦ ἡδέως ἤκυον.

Ο'ΛΥΜΠ. Ε῎γκαρπα γὰρ ἦν αὐτῦ τὰ ῥήματα, καὶ δραςήριον εἶχον δύναμιν ἐν ταῖς τῶν ἀκυόντων ψυχαῖς· πρῶτον γὰρ ἐποίει, εἶτα ἐδίδασκεν. ἔπαινος δὲ καὶ τῦ λέγοντος, ὅταν ἐμπράκτυς ἔχει τὺς λόγυς· καὶ τῦ ἀκύοντος, ὅταν μετὰ δίψης ἀκύῃ καὶ πόθυ.

ΚΕΙΜ. Ε'ὰν γελάσω πρὸς αὐτὸς, ὐ μὴ πιςεύσωσι.

Ο' δὲ Σύμμαχος, προσεγέλων αὐτοῖς, οἱ δὲ ὐκ ἐπίςευον. διατί δὲ ὐκ ἐπίςευον; διὰ τὸ ἐμβριθὲς τῦ ἤθυς, πεῖραν εἶναι τὸ πρᾶγμα νομίζοντες. ἐν τύτοις δὲ ἦθος ὑπέγραψε διδασκαλικόν· ὕτω γὰρ ἐμβριθῆ προσήκει τὸν θεῖον εἶναι διδάσκαλον, ὡς καὶ προσγελῶντα καὶ χαριεντιζόμενον μὴ πιςεύεσθαι.

ΚΕΙΜ. Καὶ φῶς τῦ προσώπυ μυ ὐκ ἀπέπιπτεν.

Α'λλὰ καὶ θεία χάρις, φησὶ, τῦ προσώπυ μυ ἀπέλαμπε, τῆς κατὰ ψυχὴν εἰρήνης προφαίνυσα τὸ κάλλος διὰ τῶν παρειῶν. ἢ καὶ τῦτο λέγει, ὅτι τῶν ἐμῶν λόγων ὐδεὶς ἦν σκοτεινὸς καὶ ἀφεγγὴς, ἀλλὰ πάντες φωτὸς πεπληρωμένοι, καὶ τῷ σαφεῖ λαμπρυνόμενοι· πρόσωπον γὰρ τῶν διδασκάλων, ἡ αὐτῶν διδαχή· εἰκόνες γὰρ τῶν ψυχῶν οἱ λόγοι, καὶ διὰ τῦ χαρακτῆρος τὸν πατέρα τῦ λόγυ γνωρίζομεν, ὐχ ἧττον ἢ ἀπὸ τῆς μορφῆς τῶν παίδων τὺς τεκόντας. τάχα δὲ, ἐπειδὴ ἔδειξε τὸ ἐμβριθὲς ἑαυτῦ, καὶ τὸ πρὸς τὺς φαύλυς ἐπιτιμητικὸν, οἱ δὲ τοιῦτοι ςυγνοὶ καὶ ἀμειδεῖς, διὰ τῦτο ἐπήγαγεν, ὅτι ἡ ἱλαρότης τῆς ἐμῆς ὄψεως ὐκ ἀπέπιπτεν, ἀλλ' οἷον ἥνωτο τὸ φαιδρὸν καὶ ἡ ἐμβρίθεια.

ΚΕΙΜ. Ε'ξελεξάμην ὁδὸν αὐτῶν, καὶ ἐκάθισα ἄρχων. καὶ κατεσκήνυν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις.

Ο' δὲ Σύμμαχος, ἀντὶ μὲν τῦ, ἐξελεξάμην ὁδὸν αὐτῶν, εἰ προειλόμην ὁδεῦσαι πρὸς αὐτὺς, ἐξέδωκεν· ἀντὶ δὲ τῦ, ἐν μονοζώνοις, ἐν ςρατοπέδῳ. ὁδὲ νῦς ὅτος· ἐγὼ μὲν, φησὶν, εἰς ἐξ αὐτῶν ἤθελον δοκεῖν, καὶ ὕτω πρὸς αὐτὺς ἐβάδιζον, ὡς εἷς τῶν πολλῶν· οἱ δὲ ἄρχοντά με ᾕρυντο. ὐ γὰρ βίᾳ τὴν αὐτῶν ἀρχὴν ἥρπασα, ὐδὲ τυραννικῶς· ἀλλ' ἐπειδὴ τὰ συμφέροντα ἐκλεγόμενος αὐτοῖς εἰσηγύμην, καὶ τὴν κατ' ἀρετὴν ὁδὸν ὑπεδείκνυον, ἄρχοντά με ἑαυτῶν ἀνέδειξαν, καὶ ὅπως ὑπετάγησάν μοι, ὥσπερ ςρατιῶται βασιλεῖ· ἵνα εἴπῃ, καὶ παρὰ ξένοις βασιλικῆς ἀπέλαυον τιμῆς. μονόζωνοι δὲ εἰσὶν οἱ τίμιοι τῶν ςρατιωτῶν, οἱ μὴ τὸν αὐτὸν τοῖς ἄλλοις ζωςῆρα φορῦντες· ἢ οἱ ἀσύντακτοι, καὶ ὡσανεὶ λῃςαί.

ΓΣΙ-

ἸΣΙΔΏΡΟΥ. Οἶμαι ὅτι ἐπειδὴ οἱ μονόζωνοι στρατιωτικὰ τάγματα μηνύουσιν, ἢ βαρβαρικὰ στίφη, ἢ λῃστρικὰ συγκροτήματα, τοιοῦτόν τι τὸν Ἰὼβ εἰρηκέναι· ἢ ὡς στρατιωτῶν νομίμως ἦρχον, ἢ ὡς βαρβάρων ἀνδρείως κατεκράτουν, ἢ ὡς λῃσταῖς φόβον ἐνεποίουν, καὶ ἐκώλυον τοῖς αὐτῶν χρῆσθαι τρόποις. εἰδὲ μὴ ἐπείθοντο, εἰς τὴν τῶν νόμων σαγήνην συνέκλειον.

ΚΕΙΜ. Ὃν τρόπον συμπαθεῖς παρακαλῶν.

ὈΛΥΜΠ. Ἀλλὰ καὶ ἐν πάθεσι, φησὶν, ὄντας τοῖς κατὰ ψυχὴν, ἢ τοῖς ἔξωθεν, λόγοις τε καὶ ἔργοις παρεμυθούμην, καὶ ἀνεκτώμην. ὁ δὲ Σύμμαχος, καθὼς ἀπάγει αὐτοὺς ὁδηγῶν, ἐξέδωκεν, ἕτερόν τι τάχα αἰνιττόμενος, ὅτι παρεκάλουν αὐτοὺς, καὶ προετρεπόμην ἐπὶ τὰ πρακτέα ἡμέρως καὶ προσηνῶς, καὶ οἷον διαβαστάζων σφᾶς, καὶ τῆς αὐτῶν ἀνεχόμενος ἀσθενείας, ὥσπερ τις ὁδηγῶν ἀνθρώπους πάσχοντας καὶ ἀῤῥωστοῦντας. δέονται γὰρ, ὥσπερ οἱ νοσοῦντες κατὰ τὸ σῶμα οἰκονομίας τινὸς, καὶ δεξιᾶς μεταχειρήσεως, οὕτω καὶ οἱ κατὰ ψυχὴν οὐ καλῶς διακείμενοι, ἀλλὰ διεφθαρμένοι, καὶ τὴν μισητὴν νόσον κακίαν ἔχοντες.

ΚΕΙΜ. Νυνὶ δὲ κατεγέλασαν μου ἐλάχιστοι.

ὈΛΥΜΠ. Θεοδοτίων δὲ, καὶ Ἀκύλας, ὁ μὲν, νεώτεροί μου ἡμέραις, ὁ δὲ, βραχεῖς παρ' ἐμὲ ταῖς ἡμέραις, ἐξέδωκε. λυπηρὸν δὲ τὸ παρὰ νεωτέρων νουθετεῖσθαι γέροντα, τὸν πολλοὺς πρότερον νουθετήσαντα.

ΚΕΙΜ. Νῦν νουθετοῦσί με ἐν μέρει, ὧν ἐξουδένουν τοὺς πατέρας αὐτῶν· οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων.

Οἱ δὲ λοιποὶ μετὰ τῶν κυνῶν τῶν προβάτων μου. τὸ δὲ δηλούμενον, τοῦτο· εἶχε μὲν ἐμοὶ, φησὶ, καλῶς τὰ πράγματα πρότερον, καὶ λέγοντι πάντες ὑπεξίσταντο, καὶ ὡς βασιλεῖ ὑπετάσσοντο· νῦν δὲ εἰς τοσαύτην περιετράπη τὰ κατ' ἐμὲ μεταβολὴν, ὡς τοὺς ἐλαχίστους καὶ ἀτελεῖς δι' ἀπορίαν, καὶ δυσγένειαν, καὶ τὸ τῆς ἡλικίας νεώτερον, καὶ τὸ παντάπασιν ἀχρείους εἶναι, καὶ οὐδενὸς ἀξίους διὰ τὸ πονηροὺς εἶναι, νουθετεῖν με ἐν μέρει· οὐ γὰρ ἔδει με, ὡς ἔοικεν, ἀεὶ τινὰς νουθετεῖν, ἀλλὰ καὶ αὐτὸν ἐν μέρει νουθετεῖσθαι, οἷον ἀμοιβὰς τῆς πρὸς ἑτέρους νουθεσίας κομιζόμενον. τὸ μέντοι μηδὲ κυσὶν αὐτοὺς παραβάλλειν, οὐκ ἀλαζονείας ῥῆμα, ἀλλὰ δεῖγμα τῆς ἐκείνων παντελοῦς ἀχρειότητος· ἵνα εἴπῃ, ὅτι εἴπερ τὴν ἐμαυτοῦ τιμὴν καὶ ἀξίαν ἐλογιζόμην, οὐδὲ προσβλέπειν ἂν ἠξίωσα τοὺς πατέρας τῶν νῦν ἐπιγελώντων μοι, οἵτινες οὐδὲ ὅσην οἱ τῆς ἐμῆς ποίμνης κύνες ἀφθονίαν εἶχον.

ΧΡΥΣΟΣΤ. Ἐξουδένουν δὲ εἶπεν, οὐ χρώμενος ἀλαζονικῶς τῇ ἐξουδενώσει, ἀλλὰ σαφῶς αὐτοὺς εἰδὼς πονηρούς· κατὰ τὸ, ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος. τοὺς γὰρ τοιούτους οὐδὲν ἡγεῖτο. τὸ δὲ, νουθετοῦσι με ἐν μέρει, κατάγε ἐμὲ, οὐχ ὅτι μέρος εὐεργεσίας κατετίθεντο, ἀλλ' ἐπειδὴ αὐτὸς ἄλλους ἐνουθέτει, νῦν δὲ οὗτοι αὐτόν· διὰ τοῦτο οὕτως εἴρηται, καὶ τὸ μὴ ἀξίους δὲ εἶναι κυνῶν, οὐχ ὅτι χείρους εἰσὶ καὶ τοῦ

ὑλακτικὸν τόδε ζῶον, ἀλλ' ὅτι οὐδὲ τοῦ κυνοκομεῖν ἀξίους αὐτοὺς ἔκρινεν· οὐχ ἡγούμην γάρ, φησιν, αὐτοὺς ἀξίους τοῦ ἄγειν τοὺς κύνας τῆς ἐμῆς ποίμνης. ἀπεποιήσατο μὲν οὖν τὴν νουθεσίαν αὐτῶν, ὡς μήτε ἀπὸ τῆς ἡλικίας ἐχόντων τὸ αἰδέσιμον, μήτε ἀπὸ τῆς ἀρετῆς. ἐνουθέτουν γάρ, φησί· τίνες; τίνα; οἱ νεώτεροι τὸν ὑπὲρ αὐτούς· οἱ φαῦλοι τὸν μὴ τοιοῦτον· οἱ εὐτελεῖς καὶ ἄδοξοι, τὸν λαμπρόν ποτε, καὶ ἐπίσημον. ἐν δὲ τοῖς κατὰ πόδας καὶ ἐφεξῆς, καὶ τὴν αὐθεντείαν αὐτῶν αἰνίττεται, λέγων.

ΚΕΙΜ. Καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι;

ΟΛΥΜΠ. Τουτέστιν, οὐδὲ τῆς αὐτῶν ἐπικουρίας ἐδεήθην ποτέ, ἵνα διὰ τοῦτο τοιούτοις πρὸς ἐμὲ χρήσωνται ῥήμασιν.

ΚΕΙΜ. Ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια.

Ἢ τοῦτο, φησιν, ὅτι πάλαι δίκην ἐχρεώστουν πονηροὶ ὄντες, καὶ τρόπον τινὰ ἀπέπτη ἀπ' αὐτῶν ἡ τιμωρία· ἤ, ὅτι θανάτου διὰ τὴν ἄκραν πενίαν ἐπιθυμοῦντες, οὐδὲ τούτου ἐτύγχανον. ἤ, ὅτι οὐδὲ ποτέ τι χρηστὸν συνετέλεσαν. αὐτὸς δὲ τῇ τοῦ Συμμάχου προσχὼν ἑρμηνείᾳ, ἐκδόντος, ἀπώλετο αὐτοῖς πᾶν τὸ πρὸς ζωήν, συντέλειαν νοῶ πάντα τὰ πρὸς τὸ ζῆν συντελοῦντα, ὧν ἐνδεεῖς ἦσαν οἱ τῷ Ἰὼβ ἐπιτιθέμενοι· ἐπ' αὐτοὺς γὰρ ἀπώλετο ἡ συντέλεια, τουτέστιν, ἡ τῶν συντελούντων πρὸς τὴν ζωὴν ἀπορία· δηλοῖ δὲ τοῦτο καὶ τὰ ἑξῆς, ἐπάγει γάρ.

ΚΕΙΜ. Ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἕκαστος αὐτῶν οὕτως ἦν ἄγονος, τουτέστιν, ἄπορος, καὶ οὐδεμίαν ἔχων γονὴν καρπῶν, ὥστε καὶ σφόδρα ἐνδεεῖς ἦσαν, καὶ ἐλίμωττον. ἢ τὸ, ἄγονος, ἀντὶ τοῦ, οὐδὲ εὑρεῖν καὶ γεννῆσαι τρόπον ποριστικὸν ἠδύνατο.

ΚΕΙΜ. Οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν.

ΤΟΥ ΑΥΤΟΥ. Οἱ χθές που, φησί, καὶ πρώην ἐν συνοχῇ καὶ ταλαιπωρίᾳ ὄντες, καὶ τὴν ἐνεγκαμένην ἀπολιπόντες, ὡς λυπρὰν, καὶ χέρσον, καὶ ἔρημον. ἔοικε δὲ ὡς ἀγενεῖς αὐτοὺς διαβάλλειν, καὶ ἐξ ἀδόξων ὄντας χωρίων, καὶ πατέρων πενήτων. ταῦτα δὲ ὁ Μακάριος διηγεῖται, ἵνα ἐὰν καὶ ἡμεῖς ὑπὸ εὐτελῶν τινων καὶ ἀτίμων ὑβρισθῶμεν, μὴ ὡς μόνοι τοῦτο παθόντες δυσχεραίνωμεν, ὅπου γε ὁ τοσοῦτος τὴν ἀρετὴν, τοιοῦτος δὲ τὴν περιουσίαν καὶ περιφάνειαν, τὰ αὐτὰ ἡμῖν, ἢ καὶ χείρονα πεπονθὼς ἀναγράφεται.

ΚΕΙΜΕ. Οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι.

Ὁ δὲ Σύμμαχος, ἀποκνίζοντες φλοιοὺς φυτῶν· ἅλιμα βοτάνη τίς ἐστιν, ὥς φασι ταχὺ πληροῦσα τὸν ἐσθίοντα, καὶ κόρον ἐμποιοῦσα. ἐπὶ ἠχοῦντι δέ, τουτέστιν, ἐπὶ φάραγξι, καὶ πετρώδεσιν· εὔηχοι γὰρ οἱ τοιοῦτοι τόποι, καὶ ἀντηχοῦσι τοῖς φθεγγομένοις. ἢ καὶ

ἠχοῦ-

ἠχοῦντα λέγει, τὸν ἀλσώδη τόπον, ἐν ᾧ περ ἡ πνοὴ τῶν ἀνέμων κινοῦσα τὴν ὕλην, ἦχον ἀποτελεῖ. φησὶν οὖν, ὅτι περιενόστουν ἤτοι τὰς ὕλας καὶ τὰς φάραγγας, καὶ τοὺς τόπους παρ' οὓς ὕδατα ῥέοντα ἠχεῖ τε καὶ κελαρύζει, ὑπὸ τῆς ἄγαν ἐνδείας τὰς βοτάνας ἀνερευνώμενοι, καὶ τὰς ῥίζας τῶν ξύλων περιξέοντες εἰς τροφῆς παραμυθίαν.

ΚΕΙΜ. Οἵτινες ἅλιμα αὐτῶν ἦν τὰ σῖτα. ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ῥίζας ξύλων ἐμασσῶντο ὑπὸ λιμοῦ μεγάλου. (ὁ δὲ Σύμμαχος. καὶ ῥίζα ξύλων ἀγρίων ἡ σίτησις αὐτῶν).

ΟΛΥΜ. Μαρτυρεῖ δὲ αὐτοῖς ἀμφότερα, ἄκραν τε πενίαν, καὶ κακίαν ὑπερβάλλουσαν. τὴν μὲν ἐν τῷ εἰπεῖν, φλοιοὺς δένδρων, καὶ ῥίζας ἐσιτοῦντο· τὴν δὲ ἐν τῷ ἐνδεεῖς ὀνομάσαι παντὸς ἀγαθοῦ. εἰ μή τις ἐνταῦθα, καὶ τὴν τοῦ ἀγαθοῦ προσηγορίαν ἐπὶ τῶν τροφίμων νοήσῃ. ἑτέρα δὲ πονηρία, τὸ, καὶ ἐν πενίᾳ τοιούτους εἶναι.

ΚΕΙΜ. Επανέστησάν μοι κλέπται, ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν· ἀναμέσον εὐήχων βοήσονται· (ὁ δὲ Σύμμαχος, μεταξὺ φυτῶν ἀγρίων, ἠχοῦντες λιμώδεις.) οἱ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο, ἀφρόνων υἱοὶ, καὶ ἀτίμων· ὄνομα καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς.

Οὗτοι, φησὶ, καὶ εἰς λῃστείαν ἐτρέποντο, οἴκους ἔχοντες τῶν πετρῶν τὰ κοῖλα, ἐν ἐρήμοις διαιτώμενοι, καὶ ὑπὸ φρυγανίων σκεπόμενοι, ἵνα λάθωσι τοὺς παροδεύοντας, ἐξ ἀφρόνων ἄφρονες, ἐξ ἀτίμων ἄτιμοι, ἀνώνυμοι, καὶ ἄδοξοι ἐπὶ τῆς γῆς.

ΚΕΙΜ. Νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσι.

ΤΟΥ ΑΥΤΟΥ. Ὠδὴ, φησὶν, αὐτοῖς ἐγενόμην, καὶ παρῴδημα, καὶ τὰς ἐμὰς συμφορὰς, ἀντ' ἄλλης τινὸς ὁμιλίας, ἀνὰ στόμα ἔχουσιν. ὁρᾷς τίνα ἐστὶ τὰ μάλιστα αὐτὸν λυποῦντα, τὸ παρὰ τοιούτων σκώπτεσθαι, ἐπὶ βλάβῃ τῇ ἐκείνων.

ΚΕΙΜ. Ἐβδελύξαντο δέ με ἀποστάντες μακράν· ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφείσαντο πτύελον.

Ἐπὰν δέ μοι πλησιάσωσι, φησὶν, ἐμπτύοντές μοι, μακρὰν ἀφίστανται, βδέλυγμά με καὶ ἀηδίαν ἡγούμενοι.

ΚΕΙΜ. Ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ, ἐκάκωσέ με· καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλαν.

Πλήττει μὲν κἀν τούτῳ τὸν διάβολον ὁ δίκαιος, μὴ φάσκων αὐτὸν δύνασθαί τι κατ' αὐτοῦ, τὸν δὲ Θεὸν ἐπενηνοχέναι αὐτῷ τὰς πληγάς. λέγει δὲ ὅτι καὶ χαλινόν μοι ἐξαπέστειλεν, οἱονεὶ δεσμεύσας τὸ πρόσωπόν

μȣ. ἵνα εἴπῃ, ὅτι ἐπεσόμισέ με, ἀφείλετό μȣ τὴν παῤῥησίαν, πάντων τὰς συμφορὰς εἰς ἀπόδειξιν ἀσεβείας μοι προφερόντων.

ΚΕΙΜ. Ἐπὶ δεξιῶν βλαςȣ̃ ἐπανέςησαν.

ὈΛΥΜΠ. Ἢ τȣτό, φησιν, ὅτι ἐμοί, τῷ ποτὲ τοῖς δεξιοῖς ἀνθαλȣ̃ντι ἐπέθεντο· ἢ ὅτι τοῖς ἔργοις μȣ τοῖς ἀγαθοῖς καὶ τοῖς δικαιώμασιν ἐπεμβαίνȣσι, λέγοντες, ὡς ȣ̓ καθαρῶς τὴν εὐσέβειαν μετῄει.

ΚΕΙΜ. Πόδα αὐτῶν ἐξέτειναν, καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβȣς ἀπωλείας αὐτῶν.

Κινήσαντος ἑαυτὸν κατ' ἐμȣ̃ τȣ̃ Θεȣ̃, φησίν, ἔχον καὶ αὐτοὶ ὁδὸν ἐφόδȣ, αὐτȣ̃ παραχωρήσαντος, καὶ οἷον τρίβον αὐτοῖς τεμόντος τῆς κατ' ἐμȣ̃ ἐπιθέσεως. Ἀκύλας δὲ ἀντὶ τȣ̃, ἀπωλείας, ἐπικλυσμȣ̃, ἐξέδωκε· ἵνα εἴπῃ, ὅτι ὥσπερ ὕδατι ἀσχέτως φερομένῳ, ταῖς κατ' ἐμȣ̃ γλωσσαλγίαις, καὶ ἐπιθέσεσιν, τὴν τῶν πολλῶν ὁρμὴν ὁ Θεὸς ἐξωμάλισεν.

ΚΕΙΜΕ. Ἐξετρίβησαν τρίβοι μȣ, ἐξέδυσαν γάρ μȣ τὴν ςολήν.

Πᾶσαι αἱ ὁδοί μȣ αἱ τῆς εὐπραγίας ἐξηφανίσθησαν, τȣ̃ Θεȣ̃ περιδύσαντός με τῆς εὐπρεπείας τὴν ςολήν, ἤγȣν περιελόντος τὴν οἰκείαν βοήθειαν.

ΚΕΙΜ. Βέλεσιν αὐτȣ̃ κατηκόντισέ με· κέχρηται δέ μοι ὡς βȣ́λεται.

Τὸ σφοδρὸν τȣ̃ ἐπισμȣ̃ διὰ τȣ́των δηλοῖ. τὸ δέ, ὡς βȣ́λεται, ἵνα εἴπῃ, ἐγὼ τὴν αἰτίαν ȣ̓κ οἶδα.

ΚΕΙΜ. Ἐν ὀδύναις πέφυρμαι, ἐπιςρέφονταί μȣ αἱ ὀδύναι· ᾤχετό μȣ ἡ ἐλπὶς ὥσπερ πνεῦμα, καὶ ὥσπερ νέφος ἡ σωτηρία μȣ παρῆλθε.

Περιεςοίχισμαι, φησί, τοῖς δεινοῖς, καὶ συμφύρομαι τοῖς ἀλγεινοῖς, καὶ αἱ ὀδύναι μȣ ἀνακαινίζονται· εἶτεν ἐπιςρεφῶς ὀδυνῶμαι, τȣτέςι, μετ' ἐπιτάσεως, καὶ κατ' αὔξησιν· ἀπέπτη δέ μȣ πᾶσα ἐλπὶς χρηςοτέρα, ἢ κατὰ σύμμαχον, τὰ καταθύμιά μȣ, δίκην ἀνέμȣ παρεληλυθότος, καὶ νέφȣς διαλυθέντος.

ΚΕΙΜ. Καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μȣ, ἔχȣσι δέ με ἡμέραι ὀδυνῶν· νυκτὶ δέ μȣ τὰ ὀςᾶ συγκέχυται, τὰ δὲ νεῦρά μȣ διαλέλυται.

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃. Τό, ἐκχυθήσεται ἡ ψυχή μȣ, ἀντὶ τȣ̃, συγχεῖται· ἵνα εἴπῃ, ὅτι διαπορȣ̃μαι τοῖς λογισμοῖς, ȣ̓́τε τὸν Θεὸν ἄδικον ἀποφήνασθαι ἔχων, ȣ̓́τε ἐμαυτῷ τὶ συνειδὼς ἄτοπον, ἐν ἡμέρᾳ δὲ καὶ νυκτὶ ὀδυνῶμαι, ὡς καὶ τὰ ὀςᾶ μȣ φρυγῆναι, καὶ τὰ νεῦρα, καὶ τȣ̀ς τόνȣς τῆς ψυχῆς διαλυθῆναι ὑπὸ τῆς ἄγαν κακοπαθείας, καὶ τῶν πιεζόντων με καὶ συγκλονȣ́ντων παθῶν.

ΚΕΙΜ. Ε'ν πολλῇ ἰχύϊ ἐπελάβετό μυ τῆς ςολῆς, ὥσπερ τὸ περιςόμιον τῦ χιτῶνός μυ περιέχέ με.

Μεταφορικὸς, ὁ λόγος· οἱ γὰρ τὸ περιςόμιον τῦ ἱματίυ περὶ τὸν τράχηλόν τινος περισφίγγοντες, ἄγχυσι αὐτὸν καὶ ἀποπνίγυσι. φησὶν ὖν, ὅτι ἰσχυρῶς μυ περιδραξάμενος, πιέζει καὶ πνίγει με, καθάπερ ςενὴ χιτῶνος ὤα τὸν τράχηλον σφίγγυσά τε καὶ θλίβυσα.

ΚΕΙΜ. Η"γησαι δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ σποδῷ μυ ἡ μερίς· κέκραγα δὲ πρὸς σὲ, καὶ ὐκ ἀκύεις μυ.

Ὡς υἱὸς πρὸς πατέρα, πρὸς τὸν Θεὸν ἀποδύρεται, καὶ τὸ ἄπλετον τῆς φύσεως εἰς δέησιν προτείνει· λόγισαι γάρ, φησὶν, ὦ δέσποτα, ὅτι γῆ τέ εἰμι, καὶ εἰς γῆν ἀναλύομαι, καὶ μὴ ἀποςρέψῃς τὴν ἱκετείαν μυ. τὸ δὲ, ὐκ ἀκύεις μυ, πολλὴν ἔμφασιν τῆς εἰς Θεὸν ἀγάπης ἔχει· ὡς γὰρ ἀκύεσθαι πιςεύων, ὕτως ἔφη, κατάγει μὲν τὴν ἐμὴν δόξαν, τὸ, ἥγησαί με ἴσα πηλῷ, καὶ τὰ ἑξῆς, φησὶν, ὁ Ἰὼβ, ὐ τὴν τῆς φύσεως προοιχόμενος ἀπώλειαν, ἀλλ' οἷον παθαινόμενος, ὅτι ἀκαταφρόνητός ἐςιν ὡς πηλὸς, ὅτι ὐδενὸς ἀξιῦται λόγου, ὅτι ἡμεῖς αὐτῦ παρὰ Θεῷ, ὐκ ἐν τοῖς τιμίοις, ἀλλ' ἐν τοῖς ἀπλεςάτοις λελόγισαι, ἐν τέφρᾳ καὶ κόνει τοῖς πατυμένοις, καὶ διὰ τῦτο ὐκ εἰσακύεται.

ΚΕΙΜ. Ε"ςησαν δὲ καὶ κατενόησάν με.

Η" χλευάζοντες, ἢ καὶ τὸ τῆς συμφορᾶς θαυμάζοντες μέγεθος.

ΚΕΙΜ. Ε'πέβησαν δέ μοι ἀνελεημόνως· χειρὶ κραταιᾷ με ἐμαςίγωσας. ἔπαξας δέ με ἐν ὀδύναις, καὶ ἀπέῤῥιψάς με ἀπὸ σωτηρίας.

Ο'ΛΥΜΠ. Ι'σασιν οἱ Α'γιοι τὸ μέγα τῦ Θεῦ καὶ ἄφατον ἔλεος, καθὸ καὶ Δαβὶδ αἰτεῖ ἐλεηθῆναι. πρὸς τῦτο οὖν καὶ Ἰὼβ ἀποβλέπων, φησὶ, πρὸς Θεὸν, ἐπέβης μοι ἀνελεημόνως. εἰ γὰρ ἐτύγχανον τῦ μεγάλυ συ ἐλέυς, ὐκ ἂν ἐν ταῖς παρύσαις συμφοραῖς ἐζημιύμην. πονυμένυ τοίνυν εἰσὶ, καὶ ἀξιῦντος τυχεῖν ἐλέυς τὰ ῥήματα, ὐχὶ αὐθαδιαζομένυ, ὐδὲ ἀποδυσπετῦντος·

ΚΕΙΜ. Οἶδα γὰρ ὅτι θανατός με ἐκτρίψει· οἰκία γὰρ παντὶ θνητῷ γῆ. εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρυ καὶ ποιήσει μοι τῦτο.

Οἶδα, φησὶ, θνητὸς γεγονὼς, καὶ πάντως τελευτήσειν μέλλων· παντὶ γὰρ ἀνθρώπῳ οἶκός ἐςιν ἡ εἰς ταφὴν ἑτοιμασθησομένη γῆ. ὥςε ἡδέως ἂν συντομώτερον τῶν συμφορῶν ἀπηλλαττόμην, ἢ αὐτόχειρ ἐμαυτῦ γενόμενος, εἰ τῦτο ἐξῆν δίχα ἁμαρτίας, ἢ ἕτερον ἱκετεύσας ἐπὶ τὴν ἐμὴν ἐλθεῖν σφαγήν. εἴθε γὰρ ἐξῆν μοι τῦτο, καὶ

ἐποίησα ἄν· νυνὶ δὲ οὐ δύναμαι, ἀπηγορευμένον γὰρ τὸ ἑαυτόν τινα ἀνελεῖν. ὁρᾷς ὅτι, τὸ, δυναίμην, οὐ δι' ἀσθένειαν λέγει, ἀλλὰ διὰ τὸ κεκωλῦσθαι· ἀθέμιτον γὰρ καὶ ἐξάγιστον, τὸ ἑαυτὸν ὑπεξάγειν τοῦ βίου. ἐκ τῶν τοιούτων οὖν καὶ τὸ τῆς πληγῆς δύσφορον ἐνεδείκνυτο, καὶ τὸ περὶ τὴν ἑαυτοῦ ἐπιβουλὴν ἀβλαβὲς διεσώζετο· τοῖς γὰρ βιαίως ἑαυτοὺς ὑπεξάγουσι κατάκρισις ἀνδροφονίας ἐπίκειται.

ΚΕΙΜ. Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα. ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις· ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂ Μετὰ τὰ πολλὰ τῶν ἑαυτοῦ κατορθωμάτων κατέλεξεν, ὅπως τε τῇ ποικιλίᾳ τῶν ἐν ἀσθενείᾳ ἡρμόζετο, τοὺς μὲν ἐν ἐνδείᾳ τῇ τῶν δεόντων χορηγίᾳ παραμυθούμενος, τοῖς δὲ ἀδικουμένοις ἐπικουρῶν, καὶ τοὺς ἐν ἀρρωστίαις ἰατρεύων τὸ κατὰ δύναμιν. ἐπείπερ ἑώρα λοιπὸν καί τινας ἀνίατα νοσοῦντας, ἔνθα καὶ πᾶσα ἡ παρὰ ἀνθρώπων ἡττᾶτο ἐπικουρία, τὸ συμπαθὲς ἑαυτοῦ δεικνὺς, καὶ τοῖς τοιούτοις ἐπεκτεινόμενον, φησὶν, ὅτι ἐν οἷς οὐκ εἶχον ἐπικουρεῖν, μόνης δὲ ἦν τῆς θείας χειρὸς τὸ κατόρθωμα, συνήλγουν, ἔκλαιον, ἐπεστέναζον, καὶ τὰ τοιαῦτα τοῖς κάμνουσι συνεισέφερον, καίτοι γε αὐτὸς ἐπέχων ἀγαθοῖς, τουτέστιν, ἐν εὐδαιμονίᾳ ὢν· ὡσανεὶ ἔλεγεν, οὐ τρυφαῖς σχολάζων, οὐδὲ ἀπατώμενος τῷ πλούτῳ, τὰς ἐν συμφοραῖς παρέτρεχον, ἀλλὰ τὰ τούτων ᾠκειούμην δεινὰ, τῶν ἐν χερσὶ ταῦτα προτιθεὶς ἀγαθῶν· νυνὶ δὲ αὐτὸς κακῶς πάσχων, οὐχ εὑρίσκω τὴν ὁμοίαν συμπάθειαν, οὐ γὰρ ἔχω τὸν συναλγοῦντα ἐν ἀνάγκαις ὤν.

ΧΡΥΣΟΣΤ. Καίτοι γε ἐν πλούτῳ ὢν, οὐδὲν τοιοῦτον ἐποίησα, οὐκ ἐφήσθην ταῖς ἀλλοτρίαις συμφοραῖς, ὅπερ πάσχω νῦν, πολλοὺς εὑρίσκων τοῖς ἐμοῖς κακοῖς ἐπιχαίροντας· τοὐναντίον μὲν οὖν καὶ ἔκλαυσα, καὶ ἐστέναξα. οὐ μικρὸν δὲ καὶ τοῦτο, ἀγαπητὲ, τὸ συμπαθητικὴν ἔχειν διάνοιαν. ἐγὼ δὲ, τὸ, ἐπεῖχον ἀγαθοῖς, συνήντησαν δέ μοι ἡμέραι κακῶν, οὕτως ἐκδέχομαι, ὅτι διὰ τὴν εἰς τοὺς ἄλλους συμπάθειαν προσεδόκων ἀγαθὰ, εἰς τοὐναντίον δέ μοι τὰ τῶν ἐλπίδων ἐξέβη. ἔτι καὶ Σύμμαχος ἐξέδωκεν, ἀγαθὰ προσεδεχόμην, ἦλθε δὲ κακά.

ΚΕΙΜ. Ἡ κοιλία μου ἐξέζεσε, καὶ οὐ σιωπήσεται.

ΟΛΥΜΠ. Τουτέστιν, φλέγομαι τὰ ἐντὸς, καὶ ἡσυχίαν ἄγειν οὐ δύναμαι· ἡ γὰρ ὑπερβολὴ τῶν ὀδυνῶν βοᾶν με ἀναγκάζει, καὶ ἀποδύρεσθαι, καὶ οὐδὲ βουλόμενον ἡσυχάσαι συγχωρεῖ, αἰτίαν δὲ παρατίθεται τοῦ τὰς συμφορὰς ἐκτραγῳδεῖν, καὶ τὰ οἰκεῖα καταλέγειν ἀνδραγαθήματα, τὸ πεπληρῶσθαι τὴν ψυχὴν αὐτοῦ κακῶν, ταύτην γὰρ κοιλίαν καλεῖ. ἐκζέσαι δέ ἐστι, τὸ ὑπὸ πυρὸς ἐκβράζειν καὶ ἀνακαχλάζειν τὸ θερμαινόμενον ὕδωρ· οὕτω μοι, φησὶν, ἡ καρδία τεθέρμανται, καὶ φλεγμαίνει, καὶ σιωπᾶν οὐ δύναμαι. ὁ μέντοι Σύμμαχος, ἀντὶ τοῦ, οὐ σιωπήσεται, εἰπὼν, οὐκ ἐπαύσατο, ἑτέραν ἐκδοχὴν τοῦ ῥητοῦ ἡμᾶς ἀπαιτεῖ, ὅτι ἀδιάλειπτος ἡ ὀδύνη καὶ συνεχής. ἐπεὶ γὰρ εἰκὸς ἦν ἐκζέσασαν τὴν ψυχὴν πάλιν καταστῆναι, παραδηλῶν

ὅτι

ὅτι ἐπιμένει ἡ φλεγμονὴ τῆς καρδίας· ἐπήγαγεν ὅτι οὐκ ἐπαύσατο.

ΚΕΙΜ. Προέφθασάν με ἡμέραι πτωχείας· σείων πεπόρδ... μαι ἄνευ φιμοῦ, ἕστηκα δὲ ἐν Ἐκκλησίᾳ κεκραγώς.

Τίθησι τὰς αἰτίας τοῦ μὴ λήγειν φλεγμαίνουσαν τὴν ἑαυτοῦ καρδίαν· κατέλαβε γάρ με, φησὶν, ἡ ἐσχάτη πτωχεία, διὰ τοῦτο καὶ ἄνευ φιμοῦ στενάζω, τουτέστι, οὐ δύναμαι ἐπέχειν τῇ ὑπομονῇ, οἷον τινὶ χαλινῷ, τὴν τοῦ στεναγμοῦ ἐπίτασιν καὶ συνέχειαν, ἀλλ' ἀκρατῶς, καὶ ἀσχέτως, καὶ τὸ ὅλον ἀχαλίνως στενάζω, οὐδὲ πλῆθος Συνόδου αἰσχυνόμενος, ἀλλὰ καὶ πολλῶν περιεστηκότων ἀνακράζων.

ΚΕΙΜ. Ἀδελφὸς γέγονα σειρήνων, ἑταῖρος δὲ στρουθῶν.

ΤΟΥ ΑΥΤΟΥ. Σειρῆνας λέγει ᾠδικούς τινας ὄρνιθας, ἀλκύονας, ἢ γλαῦκας, ἄμφω γὰρ θρηνιτικά· στρουθοὺς δὲ, τοὺς στρουθοκαμήλους, ὡς καὶ Σύμμαχος, ἐξέδωκε· φιλέρημα δὲ τὰ ζῶα· φησὶν οὖν ταῦτα, ὡς ἔξω πόλεως καὶ αἴθριος κείμενος, εἰς τὴν τῶν ὀρνίθων θρηνῳδίαν ἐξέπεσον, ἠγνόησα τὴν φύσιν τὴν οἰκείαν, οὐδὲν ἄμεινον ἐκείνων διάκειμαι.

ΚΕΙΜ. Τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως.

Οἱ λοιποὶ, ἐμελανώθη εἰς βάθος· τοῦτο δὲ πέπονθεν, οὐ τοσοῦτον ὑπὸ τοῦ ἡλίου, ὅσον ὑπὸ τῆς νόσου καὶ τῆς πληγῆς· σεσηπυῖα γὰρ ἡ σάρξ μελαίνεται.

ΚΕΙΜ. Τὰ δὲ ὀστᾶ μου συνεφρύγη, ἀπὸ καύματος.

Ἐν κοπρίᾳ γὰρ καθήμενος αἴθριος, τῷ τῆς ἡμέρας καύσωνι συνεκαίετο, πλέον δὲ τῇ ἐκ τῆς πληγῆς παρὰ φύσιν θερμασίᾳ καὶ ζέει.

ΚΕΙΜ. Ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα, ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.

Ἐστράφη μοι τὰ τῆς εὐφροσύνης εἰς πένθος· ταῦτα δὲ, φησιν, εἰς οἶκτον τὸν Θεὸν ἐκκαλούμενος. εἶτα πάλιν τῶν οἰκείων κατορθωμάτων ποιεῖται κατάλογον.

ΚΕΙΜ. Διαθήκην ἔθεμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον. (ὁ δὲ Σύμμαχος. καὶ οὐδὲν ἐνενόησα περὶ παρθένου.)

ΧΡΥΣΟΣΤ. Εὐαγγελικὴν ἀκρίβειαν ὁ Ἰὼβ ἐφύλαττεν· ἃ γὰρ μετὰ ταῦτα ἐλθὼν ὁ Χριστὸς ἐπέταξε, ταῦτα οὗτος διὰ τῶν πραγμάτων κατώρθου. καὶ ἐπειδὴ ὁ ἐμβλέψας γυναικὶ, πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν, ἐπαιδαγώγει τὸν ὀφθαλμὸν εἰς τὸ μὴ τὰς ὥρας τῶν παρθένων περιεργάζεσθαι. τί ἂν ἐποίουν οἱ τὰς συνεισάκτους ἔχοντες, καὶ διαβεβαιούμενοι ἀπαθῶς αὐταῖς συνοικεῖν, καὶ μὴ βλάπτεσθαι; ὅτου γε εἰ καὶ τοῦτο ἦν, ἔδει τῶν σκανδαλιζομένων φείδεσθαι· ἔστω γάρ σε καὶ συνοικοῦντα παρθένῳ καθαρὸν εἶναι πάσης ἐμπαθείας πονηρᾶς, ἀλλ' ἑτέρους πλήττεις ἀσθενεστέρους. καί-

τοί γε ὁ Μακάριος Ἰὼβ οὐκ ἐτόλμα ἑαυτῷ τοσαύτην μαρτυρῆσαι δύναμιν καὶ φιλοσοφίαν· ἀλλ' ὁ πᾶσαν μετελθὼν ἀρετὴν, καὶ πάντων ὑπερενεχθεὶς τῶν τοῦ διαβόλου δικτύων, καὶ πρῶτος, καὶ μόνος τοσαύτην ἐπιδειξάμενος καρτερίαν, καὶ παντὸς σίδηρον καὶ ἀδάμαντα τῇ τῆς ψυχῆς παρελθὼν ἐγκρατείᾳ, καὶ κατακόψας τοῦ διαβόλου τὴν ἰσχύν· οὗτος ἐδεδοίκει τὴν τοιαύτην πάλην, καὶ ἐνόμιζεν ἀδύνατον εἶναι συνοικοῦντα παρθένῳ μένειν ἁγνὸν καὶ καθαρόν· ὡς μὴ μόνον τῆς συνοικήσεως ταύτης πόῤῥω καὶ μακρὰν ἑαυτὸν καταστῆσαι, ἀλλὰ καὶ τῆς ὄψεως τῆς ἁπλῶς καὶ ἀπὸ συντυχίας γινομένης, καὶ νόμον ἔθηκε τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ, ἁπλῶς εἰς παρθένον μὴ ἰδεῖν· διαθήκην γὰρ, φησὶν, ἐθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον, τουτέστιν, οὐ κατανοήσω, οὐ βλέψω· ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι οὐ μόνον τὸν συνοικοῦντα, ἀλλὰ καὶ τὸν βλέποντα περιέργως εἰς ὄψιν παρθενικὴν, δύσκολον, τάχα δὲ καὶ ἀδύνατον, τὴν ἐκεῖθεν διαφυγεῖν βλάβην. εἰ δὲ μικρός σοι πρὸς ἅμιλλαν ὁ Ἰὼβ, καίτοιγε οὐδὲ τῆς κοπρίας ἐσμὲν ἄξιοι τῆς ἐκείνου, πλὴν ἀλλ' εἰ ἔλαττόν σου τῆς μεγαλοψυχίας εἶναι νομίζεις τὸ ὑπόδειγμα· ἐννόησον τὸν μακάριον Παῦλον, τὸν μετὰ τὴν ἠκριβωμένην φιλοσοφίαν ὑπωπιάζοντα τὸ σῶμα, καὶ δουλαγωγοῦντα, καὶ ἐναγώνιον τὸν βίον δεικνύντα. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῦ πράγματος δηλῶν τὴν δυσκολίαν, οὐδὲ ἐμβλέπειν ἁπλῶς εἰς τὰς τῶν γυναικῶν ὄψεις· ἀλλὰ καὶ τῇ τῶν μοιχῶν κολάσει τοὺς οὕτως ὁρῶντας κολάζειν ἠπείλησε· καὶ οὐκ ἐνομοθέτησεν ἀγαμίαν, ἀλλὰ δηλῶν τοῦ πράγματος τὴν φύσιν, ἔλεγεν, ὁ δυνάμενος χωρεῖν, χωρείτω.

ΚΕΙΜ. Καὶ τί ἐμέρισεν ὁ Θεὸς ἄνωθεν, καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων;

ὈΛΥΜΠΙΟΔ. Διατί οὖν, φησὶ, μετὰ τοσαύτην ἀκρίβειαν, τοιαύτην μοι μερίδα καὶ τοιοῦτον κλῆρον, ὁ δυνατὸς καὶ ὕψιστος Θεὸς ἄνωθεν ἐπεμέρισεν, ἀγνοῶ τοὺς λόγους. οὐ γὰρ ἔχει τὶς εἰπεῖν, φησὶν, ὅτι τῷ πλούτῳ καὶ τοῖς ἀγαθοῖς τοῖς ἔμπροσθεν εἰς ῥᾳθυμίαν καὶ διάχυσιν ἀποχρησάμενος, ταύτην τὴν δίκην, καὶ μεταβέβλημαι, τοῦ Θεοῦ κατάλληλόν μοι φάρμακον ἐπιθέντος· τὸν μὲν γὰρ φιλογέλωτα, καὶ φιλοπαίγμονα, καὶ τρυφῇ προσεσχηκότα, εἰκότως ἄν τις εἰς τὴν ἐναντίαν καταστήσειε τάξιν, γοερῷ τινι, καὶ πολυθρήνῳ παραδοὺς αὐτὸν βίῳ· τὸν δὲ καὶ πρὸ τούτου φεύγοντα μὲν κώμους, ἀπωθούμενον δὲ ἀνθρώπους παίζοντας, καὶ γελωτοποιοῦντας, ποῖον ἂν ἔχοι λόγον ἐμπεσεῖν εἰς σκυθρωπὸν καὶ κατηφῆ βίον;

ΚΕΙΜ. Οὐαὶ, ἀπώλεια τῷ ἀδίκῳ, καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν.

Ὤετο μὲν οὐ δι' ἁμαρτίας πάσχειν ὁ Ἰὼβ, καὶ ἀληθὴς ἡ ὑπόνοια, πεῖρα γὰρ ἦν ἀρετῆς, οὐ κακῶν ἀνταπόδοσις. πλὴν οὐ διὰ τοῦτο προστίθεται τῇ μερίδι τῶν ἀσεβῶν, ἀλλὰ καὶ ταλανίζει τούτους, τὸ οὐαὶ αὐτοῖς ἐπιλέγων, καὶ τὴν ἐκ Θεοῦ ἀλλοτρίωσιν, ἴσως δὲ ἀκολουθίαν ἔχει ὁ στίχος ὡς πρὸς τὸν προηγούμενον· εἶπε γὰρ, τί ἐμέ-

εἶπεν ὁ Θεός; αἰνιττόμενος, ὅτι παρὰ τὴν ἀξίαν πάσχει, καὶ οὐχ αὕτη ὀφειλομένη τῇ ἀρετῇ μερὶς, ὀδύναι, καὶ πόνοι, καὶ στεναγμοὶ, καὶ πενία· ὅθεν ἐπάγει, ὅτι τοῖς ἀνόμοις καὶ τὸ οὐαὶ, καὶ ἡ ἀπώλεια, καὶ τὸ ἀπηλλοτριῶσθαι, καὶ οἷον ἀπεῤῥίφθαι προσήκει.

ΚΕΙΜ. Οὐκ αὐτὸς ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται.

Καίτοιγε οὐδὲν τῶν κατ᾽ ἐμὲ Θεὸς ἠγνόησεν, οὐδὲ μέχρι τῶν ψιλῶν κινημάτων· πῶς οὖν ἐπλήξέ με, φησὶν, οὐκ οἶδα. οὐ γὰρ ἔχει τὶς εἰπεῖν, ὅτι ῥαθυμίαν μὲν, καὶ διάχυσιν, καὶ τὸν ὑγρὸν τοῦτον ἔφυγον βίον, ἐπειδὴ κατεσκληκὼς ἤμην καὶ κατεστυγμένος ἐπὶ τὰς διαφερούσας ἐκείνῳ τῷ βίῳ κακίας, πονηρίαν λέγω, καὶ δόλον ἐξέκλινα· ἀλλ᾽ ἑκατέρας ὁμοίως τῆς πονηρίας ἀπέστην μακράν.

ΚΕΙΜ. Εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν.

Ὁ δὲ Σύμμαχος, μετὰ ματαιότητος, τουτέστιν, οὐδὲ τὰς συνουσίας ταύτας ἐδίωκον τὰς τῶν γελωτοποιῶν.

ἸΟΥΛΙΑΝ. Δοκεῖ δὲ τοῦτο πως ἐναντίον εἶναι τῷ πρὸ ὀλίγου ῥηθέντι, ἀπέβη δὲ εἰς πένθος ἡ κιθάρα μου, ἀλλ᾽ οὐκ ἔστιν· οὐδὲ γὰρ κεχρῆσθαι ὀργάνοις ἀπείρηται, μετ᾽ εὐσεβείας γινόμενον, ὅπου γε ἐν τῷ ναῷ τούτοις ἐκέχρηντο. γελοιαστὰς τοίνυν λέγει τοὺς κώμοις καὶ μέθαις προσέχοντας.

ὈΛΥΜΠ. Καὶ σημείωσαι, ὡς ἁμαρτίαν λέγει, τὸ συνεῖναι γελοιασταῖς· διὸ καὶ τὴν εὐτραπελίαν αἱρεῖσθαι ἀφ᾽ ἡμῶν ὁ θεῖος Ἀπόστολος παραινεῖ, ὥστε οὐδὲ τὰ ἀστεῖα δεκτέον.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον.

Ὁ ποὺς, ὁ τῆς ψυχῆς, λέγει δὲ ὅτι οὐκ ἐκινήθην ποτὲ εἰς τὸ δόλῳ χρήσασθαι κατά τινος.

ΚΕΙΜ. Ἕσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ.

Καὶ ὁ Ἀκύλας, σταθμήσει με ἐν ζυγῷ δικαίῳ, ἵνα εἴπῃ ἐν τῷ καλῷ καὶ τῇ μεσότητι τῆς ἀρετῆς ἕστηκα, φεύγων τὰς ἐφ᾽ ἑκάτερα ἐκτροπὰς, καὶ μήτε εἰς ὑπερβολὴν ἐκκλίνων, μήτε εἰς ἔλλειψιν, ἀλλὰ τιμῶν τὴν ἰσότητα. κατὰ δὲ τὸν Ἀκύλαν, σταθμίσει με, ὁ Θεὸς δηλονότι. ἔοικε γὰρ ὁ δίκαιος τὴν οἰκείαν ἀρετὴν τῷ Θεῷ ἀνατιθέναι.

ΚΕΙΜ. Εἶδε δὲ ὁ Κύριος τὴν ἀκακίαν μου.

Τοῦτον, οὐκ ἄνθρωπον, φησι, καλῶ μάρτυρα, τὸν καὶ χαρίσασθαι δυνάμενον, τὸν καὶ ἀγνοοῦντα πολλὰ, ἀλλὰ καὶ τὸν τὰ ἀπόῤῥητα μετὰ ἀκριβείας ἐπιστάμενον, ὃς καὶ τὴν ἐμὴν δικαιοσύνην ἐστάθμησε, καὶ τὴν ἀκακίαν μου οἶδε· ταῦτα καὶ ἡ γραφὴ τῷ Ἰὼβ προεμαρτύρησεν, ὅτι ἦν ἄκακος, δίκαιος, θεοσεβής.

ΚΕΙΜ. Εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ.

Τῆς κατ' ἀσέβειαν καὶ ἀρετὴν δηλονότι· ὅπερ εἶπεν, ἔστηκα ἐν ζυγῷ δικαίῳ, καὶ τῆς ἀληθείας ἐκ ἐξετράπην. ἔτι τοῦτο μικρὸν, καὶ μέγα μὲν οὖν, ὡς ἐν ἐκείνοις τοῖς χρόνοις, τάχα δὲ, καὶ ἐς ἐν τοῖς παροῦσι· τὸ μὲν γὰρ μηδὲ ἐπιθυμῆσαι, μέγα· καὶ τοῦτο δὲ οὐκ ἔλαττον, τὸ, δεξάμενον τὴν ἐπιθυμίαν μὴ προσθεῖναι τὴν πρᾶξιν. προϊὼν δὲ, καὶ τὸ τούτου μεῖζον, φησιν, ὅτι οὐδὲ οἱ ὀφθαλμοὶ ἔπαθόν τι τοιοῦτον, ἐπάγει γάρ.

ΚΕΙΜ. Εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τουτέστιν, οὐκ ἐπεθύμουν ὧν ἔβλεπον, οὐδὲ ἐμπαθῶς περὶ αὐτὰ διεκείμην. οὐκ εἶπεν ὁ ὀφθαλμός μου, ἀλλ' οὐδὲ ἡ καρδία μου· οὐδὲ τὴν διάνοιάν μου, φησὶν, εἴασα διαφθαρῆναί ποτε, μήτοι γε τὸ σῶμα, φησιν, ὁ θεῖος Ἰωάννης, ὅτι πᾶν τὸ ἐν Κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου. λέγει οὖν ὁ Ἰὼβ, ὅτι οὐδέ ποτε προχωῶν, καὶ ἐπαινέσας ἐπεθύμησε. ἀπαθείας δὲ τοῦτο, ἐπαινεῖν μὲν τὰ ἐν Κόσμῳ ἐπαίνου ἄξια, οἷον συμμετρίαν σωμάτων, καὶ ἀναλογίας καὶ μίξεις χρωμάτων, καὶ λίθων αὐγὰς καὶ χάριτας, μὴ πίπτειν δὲ αὐτῶν εἰς ἐπιθυμίαν.

ΚΕΙΜ. Εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων· σπείραιμι ἄρα, καὶ ἄλλοι φάγοισαν, ἄῤῥιζος δὲ γενοίμην ἐπὶ γῆς.

Ὁ δὲ Σύμμαχος, σαφέστερον, καὶ τὰ ἔκγονά μου ἐκριζωθείη. τοῦτο νῦν ὁ Ἰὼβ λέγειν οὐ δύναται, πένης ὢν, καὶ τὰ τέκνα ἀποβεβληκώς. τί οὖν ἐστὶν εἰπεῖν; ὅτι πρὸ τῆς συμφορᾶς ταῦτα ἔλεγεν; ἢ καὶ ὡς δίκαιος πάλιν ἤλπιζέ πως τὴν ἀθυμίαν; πρὸς δὲ διδασκαλίαν ἡμετέραν, οὕτως εἰπεῖν ᾠκονομήθη παρὰ Θεοῦ, ἵνα ἡμεῖς ἀναγινώσκοντες, ἑαυτοῖς ἐπαρώμεθα, λέγοντες, εἰ δῶρα ἐλάβομεν, εἰ τόδε ἐποιήσαμεν, τάδε πάθοιμεν.

ΚΕΙΜ. Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς· ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ, τὰ δὲ νήπιά μου ταπεινωθείη.

Οἱ λοιποὶ, ἀντὶ τοῦ ἐγκάθετος, ἐνήδρευσα εἶπον. ἐπειδὴ ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, καὶ αὐτὴν, φησὶν, ἐκ τῆς καρδίας τὴν ἐπιθυμίαν ἐξέκοπτον, ἐφ' ᾧ μὴ λαβεῖν ὁδὸν τὴν ἁμαρτίαν. τὸ δὲ, ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ, ἰσότητος ἕνεκεν λέγει· ἐμαυτῷ γὰρ, φησὶν, παρήνουν πρὸ τῆς συμφορᾶς, ὅτι εἰ περὶ ἕτερον κακῶς διατεθείην, τοῖς αὐτοῖς καὶ αὐτὸς ὑποπέσοιμι, καὶ ἀπολάβοιμι πρὸς ἃ ἔπραξα. ὅτι δὲ περὶ τῶν πρὸ τῆς νόσου λέγει, δῆλον ἐξ ὧν φησὶ, τὰ δὲ νήπιά μου ταπεινωθείη, καὶ γὰρ ἦσαν ἤδη τεθνηκότες οἱ παῖδες αὐτῷ. πῶς δὲ ταπεινοῦνται τὰ νήπια; ἢ δῆλον ὅτι μοιχαλίδος μητρὸς ὀνομαζόμενα, καὶ διὰ τοῦτο ἐγκαλυπτόμενα. δυσλοιδοροῦσι γὰρ τὸν παῖδα, ὅταν εἰς τὰ τῆς μητρὸς ἴδῃ κακά.

ΚΕΙΜ. Θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος τὸ μιᾶναι ἀνδρὸς γυναῖκα.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ γὰρ μοιχεία, φησὶ, τὸν Θεὸν παροργίζει, καὶ ἄφυκτον ἐπάγει τιμωρίαν τῷ δεδρακότι. μᾶλλον δὲ οὐ τὴν ἐκεῖ φησὶν ἐνταῦθα, ἀλλὰ τὴν τοῦ ἀνδρὸς ἐνταῦθα ζηλοτυπίαν, ἣν καὶ Σολομὼν ἐν παροιμίαις αἰνίττεται λέγων, ὅτι οὐδὲ ἐν δώροις τὴν ἔχθραν ἀνέχεται λῦσαι, ὁ περὶ τὴν γυναῖκα ἀδικηθεὶς ἀνὴρ, οὗ τὴν ἰδίαν ἄλλος ἐμίανε. τοῦτο καὶ νῦν τὰ ἐπαγόμενα δηλοῖ.

ΚΕΙΜ. Πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν.

Τοῦτο μῖσος, τοῦτο ὑπερβάλλουσα ἀδικία, ὁ γὰρ ἀλλότριον διορύττων γάμον, φλόγα μεγάλην ἐξάπτει κακῶν, ἄνδρα ἀδικεῖ, μιαίνει γυναῖκα, ὑπόπτους ποιεῖ τοὺς παῖδας καὶ ἀμφιβόλους, μάχεται τῇ προνοίᾳ, διαιρεῖ τὴν σχέσιν, ἐπιβουλὰς ἀρτύει κατὰ τοῦ ἀνδρός. τοσοῦτος ἐσμὸς κακῶν ἐκ τῆς ἀκολάστου φύεται μοιχείας.

ΚΕΙΜ. Οὗ δ᾽ ἂν ἐπέλθῃ ἐκ ῥιζῶν ἀπώλεσε.

Ἤδειν, φησὶ, τῆς ἀδικίας τὸ μέγεθος. ἐκριζοῖ γὰρ τὴν οἰκίαν οὗ ἂν εἰσέλθῃ τὸ πάθος. εἶδες σωφροσύνην, ὅρα καὶ ταπεινοφροσύνην, καὶ ἐννόησον ἡλίκη καὶ αὕτη.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου, ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με. τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ποιῆται ὁ Κύριος; ἐὰν δὲ καὶ ἐπισκοπὴν τινα, ἀπόκρισιν ποιήσομαι; πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρὶ, καὶ ἐκεῖνοι γεγόνασι; γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ.

ΟΛΥΜΠ. Εἶδες συντετριμμένην διάνοιαν, καὶ τῶν ἀνθρώπων τὴν φύσιν ἐπισκεπτομένην μετὰ ἀκριβείας, καὶ εἰδυῖαν τί δοῦλος, τί ἐλεύθερος, τοῦτο τὸ ὑπὸ πολλῶν περιφερόμενον. ταύτην οὖν ἐκβαλὼν τὴν ἀνωμαλίαν, ἀπὸ τῆς ὁμοτιμίας τῆς κατὰ τὴν γέννησιν, τὸν περὶ τῆς φιλοσοφίας εἰσάγει λόγον· καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ, ὅτι ταῦτα ποιῶν, οὐδὲ ταπεινοφρονεῖν ἐνόμιζεν, ἀλλ᾽ ὀφειλὴν πληροῦν· διὸ καὶ λογισμὸν ἔθηκε, τὸν ἅπαντας ἀνθρώπους πείθοντα, μηδὲν πλέον σωφρονεῖν τῶν οἰκετῶν, κἂν μυριάκις ὦσι δεσπόται· τὰ γὰρ ὀνόματα ταῦτα, ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ὀνόματά ἐστι μόνον ψιλὰ, πραγμάτων ἔρημα· ἡ δὲ δουλεία ἐν ἁμαρτίᾳ, καὶ ἡ ἐλευθερία ἐν δικαιοσύνῃ ὁρίζεται. ὅρα δὲ, πῶς ὑποτέμνεται αὐτοῦ τὰ ἐγκώμια πανταχοῦ, καὶ καθαιρεῖ τὰ κατορθώματα· οὐδὲν μέγα ἐποίησα, φησίν· τοῦτο αὐτὴ ἡ φύσις βούλεται, κοινωνοῦμεν ἀλλήλοις, ἁπάντων ἡ αὐτὴ γέννησις, ἡ αὐτὴ εἰς τὸν βίον εἴσοδος, πάντα κοινὰ, οὐ σεμνότερος ἐγὼ τῆς ἐκείνων φύσεως. ἐν τῇ αὐτῇ κοιλίᾳ γεγόναμεν, τουτέστιν, ἐν ὁμοίῳ τρόπῳ, κατὰ Σύμμαχον· διὰ τοῦτο οὔτε δοῦλος, οὔτε ἐλεύθερος παρ᾽ ἐμοῦ ἠδίκηται· ἀλλὰ καὶ τοῖς οἰκέταις τοῖς ἐ-

μοῖς παῤῥησίαν ἐδίδων δικαιολογεῖσθαι πρός με, εἴτι ὑπώπτευον μὴ δίκαιον πάσχειν ὑπ' ἐμοῦ καὶ οὐκ ἐφαύλισα, ἢ κατὰ τὸν Ἀκύλαν, ἀπέῤῥιψα, ἢ ὑπερεφρόνησα τὸ κρίμα αὐτῶν, τουτέστι, τὴν δικαίωσιν, ἡγούμενος δὲ εἰς τὸ οὕτω ποιεῖν ὑπὸ τῆς φύσεως, κατ' ἐμαυτὸν λογιζόμενος, ὡς πάντες ἄνθρωποι, εἴτε δοῦλοι, εἴτε δεσπόται, μίαν ἔχομεν γενέσεως ἀρχὴν, καὶ ἕνα πάντες Κύριον ἐν οὐρανοῖς, ὅς γε ἀπροσωπολήπτης ὢν, ἕκαστον ἀπαιτεῖ τὴν πρὸς τὸν πέλας ἰσότητα. ἐὰν οὖν ἔτασιν ποιήσηται, ἢ κατὰ Σύμμαχον, ἐὰν ἐπιζητῇ, τί ἀποκρινοῦμαι αὐτῷ; ἔτασιν γὰρ τὴν ἐξέτασιν, ἐπισκοπὴν δὲ θείαν, τοὺς ἐλέγχους καλεῖ, ἐκ ταύτης τῆς ἰσότητος ὁρμώμενος, ἐπὶ Θεοῦ κρίνεσθαι ἐπόθει, τῇ αὐτοῦ πεποιθὼς δικαιοκρισίᾳ, εἶδες αὐτοῦ ἑτέραν ἰσότητα· καὶ θαυμασίαν δικαιοσύνην· ὅρα καὶ τὴν συμπάθειαν, καὶ φιλοπτωχείαν.

ΚΕΙΜ. Ἀδύνατοι δὲ χρείαν ἥν ποτε εἶχον οὐκ ἀπέτυχον.

ΧΡΥΣΟΣΤ. Ὁρᾷς πῶς οὐκ ἦν ὑπερόπτης, πῶς μέτριος, πῶς κοινὸς ἁπάντων ἰατρὸς, καὶ κοινὸς λιμὴν, καὶ κοινὴ καταφυγὴ τῶν ἐν ἀνάγκαις ὄντων, ἥνπερ εἶχον χρείαν, φησὶν, οὐχὶ τὴν μὲν ναὶ, τὴν δὲ οὔ· ἀλλ' οἵαν δήποτε, εἰ καὶ κινδύνων ἔγεμεν, εἰ καὶ δαπανηρά τις ἦν, εἰ καὶ ἐπισφαλής· καὶ ὅρα τούτοις ἐβοήθει, παρ' ὧν οὐδὲν προσεδόκα, χήραις, καὶ ὀρφανοῖς, καὶ ἀδυνάτοις.

ΚΕΙ. Χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα.

ΟΛΥΜΠ. Ἔφη περὶ Θεοῦ ψάλλων ὁ μελῳδὸς, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν· καὶ πάλιν ὀρφανῷ σὺ ἦσθα βοηθός. οἷα τοίνυν τὴν εἰκόνα σώζων ἀκέραιον, ὁ Ἰὼβ ἀπεμιμεῖτο τὸ ἀρχέτυπον. τὸ δὲ οὐκ ἐξέτηξα, ἤτοι οὐκ εἴασα ὑπὸ πενίας ἐκτήκεσθαι, ἢ ὑπὸ τῶν δακρύων, ἢ ὑπὸ τοῦ συνεχῶς ἀτενίζειν, καὶ μὴ ἐπιτυγχάνειν ἀλλ' ὑπερορᾶσθαι.

ΚΕΙΜ. Οὐδὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα· ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς Πατὴρ καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα.

Ὅρα τῆς ἐλεημοσύνης τὸ δαψιλὲς ὅτι καὶ τὸν ψωμὸν ἐπεμέριζε τοῖς δεομένοις. τὸ δὲ, ἐκ γαστρὸς ὡδήγησα, ἵνα εἴπῃ, ὅτι κομιδῇ νήπια τὰ ἀπορφανισθέντα παραλαμβάνων, μέχρις ἡλικίας ἐξέτρεφον, καὶ ἀνῆγον, καὶ τέχνας ἐπαίδευον, ἕως ὅτε τῆς ἐμῆς ἐπικουρίας μὴ σφόδρα δέοιντο, μέχρις ἐκείνου χειραγωγῶν. νοήσεις δὲ ὅτι καὶ πρὶν ἐφάψασθαι τῆς κακίας, ἐπὶ τὴν ἀρετὴν ὡδήγει τοὺς νέους· οὕτω γὰρ ἀληθὲς ἐστι, τὸ, ἀπὸ γαστρὸς ὡδήγησα. ὁ δὲ καὶ ἀνωτέρω ἐλέγομεν ἐπισημαίνεσθαι χρεὼν, ὅτι τὸ μὴ εὐεργετεῖν, μετὰ τοῦ ἀδικεῖν τάττει· καὶ δεῖ μὴ μόνον κακίας ἀπέχεσθαι, ἀλλὰ καὶ ἀρετῆς ἀντέχεσθαι· οὐ γὰρ μόνον εἶπεν, ὅτι οὐκ ἠδίκουν τοὺς ὀρφανοὺς ὅπερ ἐστὶν ἀποχὴ κακοῦ, ἀλλ' ὅτι καὶ δίκην πατρὸς τὴν αὐτῶν κηδεμονίαν ἀνελάμβανον, ὅπερ ἐστὶν ἀνάληψις τοῦ ἀγαθοῦ.

ΚΕΙΜ. Εἶδε δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα αὐτόν· ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με.

Οὐ μόνον, φησὶ, ἔτρεφον τοὺς ἐνδεεῖς, ἀλλὰ καὶ περιέστελλον τοὺς γυμνοὺς, καὶ ἀπολέσθαι τῷ ψύχει κινδυνεύοντας, καὶ τῆς παρὰ τῶν ἀδυνάτων εὐφημίας ἀπήλαυον τὴν δέουσαν αὐτῶν προμήθειαν ποιούμενος.

ΚΕΙΜ. Ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν.

ΤΟΥ ΑΥΤΟΥ. Ἀπὸ τῶν ὤμων τὸ πᾶν ἐσήμανε σῶμα, ἐξ αὐτῶν γὰρ τὸ ὅλον ἱμάτιον ἤρτηται. ἐοίκασι δέ πως καὶ εὐπαθέστεροι πρὸς τὸ κρύος τυγχάνειν οἱ ὦμοι. διὰ τοῦτο αὐτῶν ἐμνημόνευσε. δεικνὺς δὲ τὸ περὶ τὴν εὐποιΐαν περισπούδαστον ἅμα καὶ ἐπίπονον, καὶ ὅτι οὐ παρέργως οὐδὲ ἀμελῶς ταύτην ἐποιεῖτο, ἐκ τῶν ἐρίων τῶν αὐτοῦ θρεμμάτων ἔφη τὰς τῶν γυμνῶν ἀμφιάσεις κατασκευάζεσθαι, ὥστε πᾶν αὐτῶν τὸ σῶμα θερμαίνεσθαι.

ΚΕΙΜ. Εἰ ἐπῆρα ὀρφανῷ χεῖρα (ὁ δὲ Σύμμαχος, κατ᾽ ὀρφανῶν) πεποιθὼς, ὅτι πολλή μοι βοήθεια περίεστιν· ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδὸς, ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβείη.

Κλεῖδά, φησι, τὸν σύνδεσμον τοῦ ὤμου πρὸς τὸν τράχηλον. Θεοδοτίων δὲ καὶ Σύμμαχος, ἀντὶ τῆς κλειδὸς, ὁμοῦ, τοῦ αὐχένος, ὁ δὲ, τοῦ ἀκρωμίου, ἐξέδωκεν. εἰ οὖν κατ᾽ ὀργὴν, φησὶ, χεῖρας ἐπέβαλον ὀρφανῷ, πεποιθὼς τῇ προσούσῃ μοι δυναστείᾳ, ἐκπέσοι τοῦ συνδέσμου, τοῦ περὶ τὸν αὐχένα, ἡ τοῦτο τολμήσασα χείρ.

ΚΕΙΜ. Φόβος γὰρ Κυρίου συνέσχε με, ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω.

Ταῦτα δὲ ἔπραττον, φησι, τῷ θείῳ συνεχόμενος φόβῳ, ἐννοῶν, ὡς εἰ ἐπιλάβοιτό μου Θεὸς ἢ ἀδικήσαντος, ἢ μὴ εὐεργετήσαντος, ἀνύποιστον ὑφέξω τὴν τιμωρίαν. ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ λήμματος, τὸ βάρος, ἐξέδωκεν.

ΧΡΥΣΟΣΤ. Ἀλλὰ τοιαύτη μὲν ἡ τοῦ δικαίου φιλανθρωπία· τί δ᾽ ἄν τις εἴποι τὴν τῶν χρημάτων ὑπεροψίαν; καὶ γὰρ καὶ τοῦτο μεθ᾽ ὑπερβολῆς αὐτῷ κατωρθοῦτο· οὐ γὰρ δὴ μόνον τῶν ἀλλοτρίων οὐκ ἐφίετο, ὅπερ πάσχουσιν οἱ πολλοὶ νῦν, ἀλλ᾽ οὐδὲ τῶν οἰκείων, ἀλλὰ καὶ αὐτῶν ἠλλοτρίωτο μετὰ πάσης ὑπερβολῆς διὸ καὶ ἔλεγεν.

ΚΕΙΜ. Εἰ ἔταξα χρυσίον εἰς χοῦν μου, (ὁ δὲ Σύμμαχος, ἀφοβίαν μου) εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα, εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου.

ΤΟΥ ΑΥΤΟΥ. Διὰ δὴ τοῦτο καὶ ἀφαιρεθέντων μετὰ πολλῆς ἔφερε τῆς εὐκολίας· καὶ παρόντων, δαψιλῆ τὴν ἐλεημοσύνην εἰργάζετο, πᾶσαν γὰρ ἀρετὴν μετῆλθε· καὶ τῶν οὐδὲν ἐχόντων ἀκριβέστερον διέκειτο, τοσαῦτα

περιβεβλημένος. ὁ γὰρ οὕτως ὁ μηδὲν ἔχων ἀπήλλακτο χρημάτων, ὡς ἐκεῖνος, ὁ τοσαῦτα ἔχων· πανταχοῦ γὰρ ἡ γνώμη ἐςὶν ἡ ςεφανωμένη.

ΣΕΒΗ'ΡΟΥ. Οὕτω καὶ Α'βραὰμ ἐπλούτει, περιῤῥεόμενος κτήσει παντοδαπῇ, τῇ δὲ διανοίᾳ πτωχεύων, καὶ ὁσημέραι τὴν ὕλην ἀποτιθέμενος, καὶ ἀποπλουτῶν τοῖς δεομένοις. καὶ οὗτος δὲ, ὅτι μὲν διέπτυε τὴν ὕλην, διὰ τούτων παρέςησε. πίστει δὲ δαπάναις ἐχρῆτο, κατεπειγόμενος πτωχεύειν τῷ πνεύματι, καὶ πλουτεῖν τὸ ἐπὶ φιλανθρωπίᾳ φιλότιμον, παρέςησε μὲν καὶ ἐν τοῖς ἤδη ῥηθεῖσιν· ἀκούσῃ δὲ αὐτοῦ καὶ ἐν τοῖς ἐφεξῆς λέγοντος.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου.

Τουτέςιν, οὐδὲ ἀπέραντον ἔχον τῆς κτήσεως τὴν ἐπίδοσιν· ἴσως οὖν διατοῦτο ἀριθμῷ ἦσαν αὐτῷ τὰ πρόβατα περικλειόμενα, καὶ αἱ κάμηλοι, καὶ τὰ λοιπὰ, ὡς τῶν περιττῶν ἀεὶ τὴν τῶν πενήτων χρείαν ἀποπληρούντων, καὶ εἰς ταύτην δαπανωμένων. εἰ γὰρ καὶ πλούσιος ἦν κατὰ θείαν χάριν, ἀλλὰ τὴν ἄμετρον ἐπιθυμίαν ἐνέκοπτεν, ὅπουγε οὐδὲ τοῖς οὖσιν, ὡς προηγουμένοις ἀγαθοῖς ἔχαιρεν. εἰ γὰρ καὶ ἔσθ' ὅτε ὡς παρακολουθήματα ταῦτα τοῖς Α'γίοις δέδοται, πλοῦτος, καὶ δόξα, ἀλλ' οὐ πρωτοτύπως ἐπὶ τούτοις χαίρουσιν· ἑτέρα γάρ ἐςιν αὐτῶν ἡ πρωτότυπος χαρὰ, ἡ πνευματική.

ΧΡΥΣΟΣΤ. Ο'τι γὰρ οὐδὲ παρόντων τῶν Χρημάτων ὁ Ι'ὼβ σφόδρα ἀντείχετο, ἄκουσον τί, φησιν, εἰδὼς καὶ εὐφρανθεὶς πολλοῦ μοι πλούτου γενομένου· τί λέγεις ἄνθρωπε; οὐκ εὐφραίνου τοῦ πλούτου περιῤῥέοντος; οὐδαμῶς, φησί. τί δήποτε; ὅτι ἤδειν αὐτὸ τὸ ἄςατον καὶ παραῤῥέον, ἤδειν ὅτι τὸ κτῆμα οὐ μόνιμον.

ΚΕΙΜ. Η" οὐχ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα, ἐκλάποντα, σελήνην δὲ φθίνουσαν; οὐ γάρ ἐπ' αὐτοῖς ἐςίν.

ΤΟΥ" ΑΥ'ΤΟΥ". Ο" λέγει τοιοῦτόν ἐςιν· εἰ τὰ κατ' Οὐρανὸν ἄςρα, καὶ διηνεκῶς λάμποντα, δέχεταί τινα μεταβολὴν, ἥλιος μὲν ἐκλείπων, σελήνη δὲ φθίνουσα· πῶς οὐκ ἐσχάτης ἀνοίας, τὰ ἐπίγεια εἶναι νομίζειν μόνιμα καὶ πεπηγότα; διὰ τοῦτο, οὔτε παρόντων εὐφραίνετο, οὔτε ἀπελθόντων ἤλγησεν, ἐπειδὴ καλῶς ᾔδει τὴν φύσιν αὐτῶν. τὸ λαμπρὸν τοῦτο φῶς ἀπόλλυται, καὶ ἀφανίζεται, καὶ οὐχ ὁρᾶται. ὁρᾷς οἵαν αἰτίαν, φησί, τῆς μεταβολῆς τῶν φωςήρων. ἄρα ἀρκεῖ καὶ πρὸς φιλοσοφίαν ἡ κτίσις ἡμῖν, οὐχὶ πρὸς θεογνωσίαν μόνον. ὅταν ἴδῃς ὅτι μέγας ὁ ἥλιος, θαύμασον τὸν δημιουργόν· ὅταν ἴδῃς ὅτι ἐκλείπει, τῶν ἀνθρωπίνων πραγμάτων τὸ εὔφθαρτον καταμάνθανε. εἰ γὰρ ὁ πάντων ἐςὶ λαμπρότερος τῶν ἐπὶ τῆς γῆς, τοῦτο λήγει, καὶ μειοῦται, καὶ πάσχει, πολλῷ μᾶλλον τὰ λοιπὰ πάντα· εἰ τὸ οὕτω χρήσιμον καὶ ἀναγκαῖον, καὶ οὗ χωρὶς ζῆν οὐκ ἔνι, μεταβολὴν δέχεται, πολλῷ μᾶλλον τὰ περιττὰ, καὶ οὐκ ἀναγκαίως ἡμῖν προσκείμενα.

Ο'ΛΥΜΠ. Ταῦτα καὶ ὁ Ι'ὼβ συνέ-

νόει· διελογιζόμην γάρ, φησί, κατ' ἐμαυτὸν, ὅτι εἰ μεγάλα ταῦτα καὶ λαμπρὰ στοιχεῖα ἐκλείπει κατὰ θείαν πρόσταξιν, ποία ὠφέλεια κἂν πάνυ πλουτήσω; δεῖ γὰρ πάντως τὸν πλοῦτον ἐξ ἡμῶν ἀπελθεῖν, ἢ τῶν χρημάτων καὶ ζῶντας ἡμᾶς καταλιμπανόντων, ἢ ἡμῶν τὸν βίον μεταλλαττόντων. ὡς γὰρ ἥλιος ἐκλείπει, καὶ νὺξ ἡμέραν διαδέχεται, καὶ σελήνη λήγει κατὰ θείαν πρόσταξιν, καὶ ἁπλῶς οἱ μεγάλοι οὗτοι φωστῆρες φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπόκεινται, καὶ πρὸς τὸ νεῦμα ἄγονται τοῦ δημιουργοῦ, οὐ γὰρ ἐπ' αὐτοῖς ἐστιν, ἀλλ' ἐπὶ τῷ τάξαντι· οὕτως ἐννοῶν, καὶ περὶ πλούτου, ὡς περὶ ἀστάτου πράγματος, καὶ ἐπαιδεύθην μὴ προσέχειν ἐπὶ τῇ τούτου ἀδηλότητι, ἀλλὰ δεόντως αὐτὸν δαπανᾷν.

ΚΕΙΜ. Καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου.

Ὁ δὲ Σύμμαχος, ἐπλατύνθη· οὐδὲ ἴσως οὕτως· οὐδὲ ἡ καρδία μου, φησίν, ἀνετυπώσατο πλατυσμὸν καὶ πλῆθος περιουσίας, καὶ τὴν ἐντεῦθεν ἡδονήν, οὐδὲ ἡ ψυχή μου εὐρυχωρίαν παρέσχε τῇ τοιαύτῃ ἐπιθυμίᾳ. διὰ δὲ τοῦ, λάθρα, ἔοικε σημαίνειν, ὅτι οὐδὲ κατὰ συναρπαγὴν τοιοῦτόν τι πέπονθεν. ἤ, ἐπειδὴ πολλοὶ ἐν μὲν τῷ φανερῷ προσποιοῦνται τὴν τῶν χρημάτων καταφρόνησιν, ἐν δὲ τῇ διανοίᾳ λάθρα τὴν ἐρασιχρηματίαν τρέφουσι καὶ κρύπτουσι, διὰ τοῦτο εἶπεν, ὅτι οὐδὲ λάθρα τὸν ἄτοπον τοῦτον ὠδίνησα ἔρωτα.

ΚΕΙΜ. Εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου, ἐφίλησα. (ὁ δὲ Σύμμαχος, καὶ προσεκύνησεν ἡ χείρ μου περὶ τὸ στόμα μου.) καὶ τοῦτο μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη, ὅτι ἐψευσάμην ἐναντίον Κυρίου τοῦ ὑψίστου.

ΤΟΥ ΑΥΤΟΥ. Πολλάκις τινὲς τὰς ἰδίας ἐπαινοῦντες πράξεις, τὴν ἰδίαν καταφιλοῦσι χεῖρα, φησὶν οὖν ὅτι εἰ ἐπὶ τῇ ἐμῇ δυναστείᾳ καὶ ταῖς ἐμαῖς πράξεσιν ἐθάρρησα, καὶ μὴ ἐπὶ τῷ Θεῷ, ἐψευσάμην τὸ ἀληθές· οὐ γὰρ ἐξ ἑαυτῶν ἡ ἡμετέρα βοήθεια, ἀλλ' ἐκ τῆς θείας χάριτος. εἰ οὖν ἀπατηθεὶς πέπονθά τι τοιοῦτον, λογιζέσθω μοι τοῦτο εἰς ἀνομίαν μεγίστην. ἄλλοι δὲ οὕτως ἐξεδέξαντο τὸ ῥητόν· εἰ προσεκύνησα, φησίν, ἡλίῳ καὶ σελήνῃ, τοῖς αὐτῶν ἀπατηθεὶς φέγγεσι καὶ μὴ ἐλογισάμην, ὅτι καὶ ἐκλείπουσι, καὶ δεσποτικοῖς ὑπηρετοῦνται προστάγμασιν, ἀλλ' ἐπὶ τῷ τούτων θαύματι τὴν ἐμὴν κατεφίλησα χεῖρα, ἀνομία μοι ἡ μεγίστη λογισθείη. οὕτω μέν τινες περὶ εἰδωλολατρείας φασί, τοῦτο εἰρῆσθαι· ἀλλ' οὐ πείθομαι· οὐ γὰρ ἐν τοῖς μεγίστοις κατορθώμασι τοῦτο τέθεικεν. ἀλλ' ἐμοὶ δοκεῖ, ὅπερ πάσχουσιν οἱ ἐρωτικῶς διακείμενοι, ἀπαντώντων τῶν ἐρωμένων, τὰς χεῖρας αὐτῶν καταφιλοῦσι τῷ στόματι, ἢ περὶ πλούτου, ἢ περὶ πραγμάτων ὧν ἂν θαυμάζωσιν.

ΝΕΙΛΟΥ. Τί τοίνυν τὴν ἐλπίδα ἀφιστῶντες ἀπὸ Θεοῦ, τῆς σαρκὸς τὸν βραχίονα στηρίζομεν, τὴν τοῦ δεσπότου πρόνοιαν ταῖς ἑαυτῶν χερσὶν ἐπιγράφοντες; καὶ ὅπερ εἰς μεγίστην

ἀμα-

ἁμαρτίαν ἑαυτῷ λογισθῆναι ὁ Ἰὼβ ἐπηράσατο, τὸ, ἐπιτιθέντα τὴν χεῖρα τῷ στόματι καταφιλεῖσθαι, τοῦτο ποιοῦντες. οὐ δεδοίκαμεν; ἔθος γὰρ τοῖς πολλοῖς τὰς χεῖρας καταφιλεῖν, ἐξ ἐκείνων ἔχειν τὴν ἀπορίαν οἰομένοις. ὡς αἰνιττόμενος διὰ συμβόλων ὁ νόμος, φησὶν, ὃς πορεύεται ἐπὶ χειρῶν, ἀκάθαρτος, καὶ ὃς πορεύεται ἐπὶ τεσσάρων διὰ παντὸς, καὶ ὃς πολυπληθεῖ ποσί. πορεύεται δὲ ἐπὶ χειρῶν μὲν, ὅτι ταῖς χερσὶν ἐπερειδόμενος, καὶ πᾶσαν ἐπ' αὐταῖς ἔχων τὴν πεποίθησιν· ἐπὶ τεσσάρων δὲ, ὁ τοῖς αἰσθητοῖς πράγμασι προσπεπονθὼς, καὶ τῇ τούτων ἀσχολίᾳ διὰ παντὸς ἐπισύρων τὸ ἡγεμονικόν· πολυπληθεῖ δὲ ποσὶν, ὁ ἀπρὶξ τῶν σωματικῶν περιεχόμενος.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου, καὶ εἶπεν ἡ καρδία μου, εὖγε· ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου, θρυλληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος.

ΟΛΥΜΠ. Τοῦτο καὶ ἀλλαχοῦ διδασκόμεθα· ἐὰν γὰρ, φησὶ, πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου. ὁ μέντοι Σύμμαχος, ἀντὶ τοῦ εὖγε, καὶ ἐπανέστην ὅτε κατέλαβεν αὐτὸν κάκωσις, ἐξέδωκε. τὸ δὲ, εὖγε, ἐπιχαρτικὸν καὶ γελαστικόν ἐστιν ἐπίφθεγμα. κατὰ τὸ, εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. ἀλλ' ἐγὼ, φησὶν, εἴποτε ἐπεχάρην πτώματι ἐχθρῶν, ἀκούσαιμι καὶ αὐτὸς ἑτέρων καταρωμένων με, καὶ κακούμενος θρυλληθείην, ὡς πρὸς ἃ ἔπραξα ἀπειληφώς.

ΚΕΙΜ. Εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου, τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; λίαν μου χρηστοῦ ὄντος.

ΟΛΥΜΠ. Οἱ δὲ λοιποὶ οὕτως ἐξεδώκασιν· εἰ μὴ πολλάκις εἶπον οἱ ἄνδρες τῆς σκηνῆς μου, τίς δῴη τῶν σαρκῶν αὐτοῦ, καὶ ἐμπλησθησόμεθα; ὥστε τὸ μὲν, ἀπανθρώπου ὠμότητος, τὸ δὲ, ἄκρου τινὸς καὶ ἀκορέστου ἔρωτος τεκμήριον εἶναι, καὶ ἀνωτέρω τῶν θεραπόντων ἐμνήσθη, ὅτε ἔλεγεν, οὐκ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης· καὶ τὴν αἰτίαν προστέθεικεν, ὅτι ὡς οὗτοι ἐγένοντο, καὶ ἐγὼ ἐγενόμην· καὶ ἔδειξε τὴν ἀνυπέρβλητον ἑαυτοῦ ταπεινοφροσύνην.

ΧΡΥΣΟΣΤ. Ἆρα οὖν ταπεινὸς μὲν οὗτος ἦν, οὐχὶ δὲ ποθητὸς καὶ ἀπέραστος; σκόπει κἀνταῦθα τὴν ὑπερβολήν· ὥσπερ γὰρ ἐν τοῖς δεινοῖς μετὰ πάσης σφοδρότητος τὰ ἐπενεχθέντα ἤνεγκεν, οὕτω καὶ ἐν τῇ ἐπιμελείᾳ τὴν ἀρετὴν ἑκάστην μετὰ πολλῆς κατώρθωσε τῆς περιουσίας, οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πρὸς αὐτὸ τὸ ἄκρον ἀφικόμενος· οὕτω καὶ ἥμερος οὐ μόνον πρὸς τοὺς ἄλλους, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας ἐδείκνυτο· ἐντεῦθεν γὰρ ἐπιείκεια ἅπασα, ὅταν πρὸς τὸν ὑποτεταγμένον φιλάνθρωπός τις ᾖ, καὶ μὴ βίαιος. ἔλεγον οὖν οἱ θεράποντες, τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; ἐνταῦθα τὸν ἔρωτα διηγεῖται τῶν οἰκετῶν τὸν μανικὸν, ὃν περὶ αὐτὸν εἶχον, διακαεῖς αὐτοῦ καταστάντες ἐρασταί, ἀφ' ὧν αὐτὸς εἰς αὐ-

τοὺς

τοὺς ἐπεδείκνυτο. οὔπω γάρ, φησί, ἐξεκρέμαντό μου, οὔπως ἀντείχοντο, οὔπως ἦσαν προσηλωμέναι, οὔπως ἐρῶντες, ὡς ἐπιθυμεῖν καὶ αὐτῶν ἐμπλησθῆναι τῶν σαρκῶν καταπιεῖν καὶ καταφαγεῖν, διὰ τὸ σφόδρα φιλεῖν καὶ ἐκκαίεσθαι· οὕτω λίαν ἤμην ταῖς θεραπαίναις χρηστὸς καὶ γλυκύς, ὡς εἰ οἷόν τε ἦν καὶ αὐτῶν μου τῶν σαρκῶν ἐμφορηθῆναι, ἡδέως ἂν τοῦτο ἐποίουν.

ΟΛΥΜΠ. Ἕτεροι δὲ οὕτως ἡρμήνευσαν· οὐδὲ ἐπαχθής, φησί, ταῖς θεραπαίναις γέγονα, ὡς διὰ τὴν ἐμὴν ὠμότητα καὶ αὐτὰς ἐξαγριωθείσας τῶν ἐμῶν ἐπιθυμεῖν ἀπογεύσασθαι σαρκῶν· τὸ δὲ ἐναντίον ἅπαν, καὶ λίαν αὐταῖς χρηστὸς ἐγενόμην. ἐμοὶ δὲ ἀρέσκει, κατὰ μὲν τοὺς ἑβδομήκοντα ἐκδόντας, εἰ εἶπον αἱ θεράπαιναί μου, ἡ δευτέρα ἑρμηνεία. κατὰ δὲ τὴν τῶν λοιπῶν ἔκδοσιν ἔχουσαν, εἰ μὴ εἶπον, ἡ προτέρα ἐξήγησις, πάθοιμι γάρ, φησι, τάδε, εἰ εἶπον αἱ θεράπαιναί μου κατ' ἐμοῦ θυμούμεναι, διαμερισώμεθα αὐτόν, καὶ ὠμὰς τὰς σάρκας αὐτοῦ δαπανήσωμεν· ἀλλὰ μὴν τοῦτο οὐκ εἶπον, λίαν μου χρηστοῦ ὄντος. πάλιν δέ, εὔχεται κρατῆσαι καὶ βεβαιωθῆναι τὰς καθ' ἑαυτοῦ ἀράς, εἰ μὴ εἶπον ἀπὸ θερμῆς ἐρωτικῆς διαθέσεως αἱ θεράπαιναι, καταφάγωμεν αὐτόν.

ΚΕΙΜ. Ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο.

ΧΡΥΣΟΣΤ. Τοῦτο τῆς φιλοξενίας, καὶ Ἀβραμιαίας εὐγενείας τὸ ἐπίσημον· κοινὴν, φησίν, ἐκεκτήμην τὴν οἰκίαν, κοινὴν τὴν τράπεζαν, οὐκ ἴδια τὰ ἐμὰ ἡγούμενος, ἀλλὰ δεσποτικά· ὁ Κύ-κος ἔδωκεν, οὐκοῦν διανεμέσθω τοῖς συνδούλοις τὸ σιτομέτριον. εἶδες τὸ ταπεινόν, εἶδες τὸ φιλάνθρωπον, εἶδες τὸ χρηστόν, εἶδες τὸ δαψιλές, ὅτι κοινὸν ἦν ἀγαθόν, πᾶσι τὴν δεξιὰν ἁπλώσας, καὶ τὴν οἰκίαν ἀνοίξας. οὐ γὰρ ὃ πάσχουσιν οἱ πολλοὶ περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες τοὺς λαμβάνοντας, ἐποίει τοῦτο· ἀλλ' ἡ θύρα μου, φησί, παντὶ ἠνέῳκτο, καὶ οὐδεὶς ἔξω ηὐλίζετο.

ΚΕΙΜ. Εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου, οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν.

ΟΛΥΜΠ. Ἑκούσιον μὲν οὐδὲν ἑαυτῷ συνῄδει πλημμέλημα, οὕτως ἄκρως τὸν κατ' ἀρετὴν ἐξήσκει βίον. ἐπεὶ δὲ ἄνθρωπον ὄντα οὐκ ἦν μὴ καὶ ἄκοντα περιπίπτειν παραπτώματι, μετανοίᾳ καὶ ἐξομολογήσει ἐξιᾶτο γνωσθὲν τὸ ἁμάρτημα, οὐκ ἐπαισχυνόμενος τὸ μὴ κατὰ τὸν ὀρθὸν λόγον πεπραγμένον ἐξαγορεύειν.

ΧΡΥΣΟΣΤ. Λέγε σὺ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς, τῶν μὲν οὖν κατορθωμάτων, φησίν, οὐδένα μάρτυρα ἐποιούμην, τῶν δὲ πταισμάτων πάντας ἐβουλόμην εἶναι τοὺς συνειδότας· διὸ οὐ διετράπην πολυοχλίαν πόλεως ἐπ' αὐτῶν ἐξαγορεῦσαι τὸ ἴδιον πταῖσμα.

ΚΕΙΜ. Εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλ-

πῳ

πῳ κενῷ· τίς δῴη ἀκούοντά μου.

Ὃ λέγει τοῦτό ἐστιν, εἰ παρέβλεψάμην τὸν δεόμενον, μηδὲ ἐμοῦ τις ἀκουσάτω. ὅρα δὲ, οὐκ εἶπεν, ὅτι ἐλθόντι ἔδωκα, ἀλλ' οὐδὲ μὴ βουλομένῳ συνεχώρησα. βίαν ἐπῆγε τοῖς καὶ ἑκουσίως βουλομένοις αὐτὸν παρατρέχειν· ᾔδει γὰρ τὸ πρᾶγμα ὅτι ἐμπορεία ἐστίν. ὅσοι τοίνυν οἱ πένητες αὐθάδην ἐποίουν διενοχλοῦντες τοὺς δυναμένους χεῖρα ὀρέξαι, τοιαύτην ἐκεῖνος ἐτίθετο διενοχλῶν τοὺς εὖ παθεῖν ὀφείλοντας, καὶ οὐκ εἴα ἐξελθεῖν κόλπῳ κενῷ· οὐ γὰρ μόνον ἐθεράπευεν αὐτοὺς ὑποδεχόμενος, ἀλλὰ πρὸς τὸ τρέφειν, καὶ ἐφόδια τῆς μετὰ ταῦτα πενίας παρεῖχε πλουσίως καὶ ἱλαρῶς.

ΙΟΥΛΙΑΝΟΥ. Τινὲς δὲ, τὸ, τίς δῴη ἀκούοντά μου, φασὶ μεταξὺ παρεμβεβλῆσθαι, καὶ καθ' ἑαυτὸ ἐκπεφωνῆσθαι, καὶ ἴδιον κεκτῆσθαι νοῦν. διὰ γὰρ τὸ πλῆθος, φησὶ, τῶν λεχθέντων ἀποκνήσαντες, οὐ μόνον ἀηδέστερον ἤκουον οἱ φίλοι, ἀλλὰ καὶ διὰ τὸν ἔλεγχον δακνόμενοι τὸ συνειδὸς, ἀπεστρέφοντο· διὸ λέγει πρὸς αὐτοὺς, τίς δῴη ἀκούοντά μου; ἀλλὰ καὶ μὴ ὑμᾶς, τοὺς ὄχλον ἡγουμένους τὰ ἐμὰ ῥήματα, τοὺς ἀδίκως κρίνοντας.

ΟΛΥΜΠΙΟΔ. Τάχα δὲ ἀκροατὰς ἔοικεν ἐπιζητεῖν συνετοὺς, δυναμένους χωρῆσαι τὰ παρ' αὐτοῦ λεγόμενα, δι' ὧν ἡ τῆς πολιτείας ἀκρότης παρεδείκνυτο· οὐ γὰρ εἶπε ταῦτα σοβαρευόμενος ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασιν, ἀλλ' ἡμῖν καταλιμπάνων ὑπογραμμὸν ὅπως βιῶναι χρὴ, ὥστε τὸ ἀγίου πνεύματος γραφῆναι οἰκονομήσαντος εἰς γενεὰς ἡμετέραν.

ΚΕΙΜ. Χεῖρα δὲ Κυρίου εἰ μὴ ἐδεδοίκειν.

Τουτέστι, καὶ τὰ πρὸς τὸν Θεὸν ἀκριβῶς διεκείμην· καὶ οὐχ ἁπλῶς ταῦτα ἐποίουν, ἀλλὰ πρὸς τὸν Θεὸν ὁρῶν, καὶ καταπτήχως ἔτι μὴ δέον πράξαιμι.

ΚΕΙΜ. Συγγραφὴν δὲ ἣν εἶχον κατά τινος, ἐπ' ὤμοις ἂν περιθέμενος στέφανον ἀνεγίνωσκον, καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐδὲν λαβὼν παρὰ χρεωφειλέτου.

Πᾶσαν, φησὶ, συγγραφὴν ἄδικον διέσπασα, καὶ οὐκ ἐκαλλωπιζόμην, ἀλλὰ διέρρησσον. τὸ δὲ, περιθέμενος ἐπ' ὤμοις, αἰνίττεταί τινας ταῖς ἀλλοτρίαις ἐγκαλλωπιζομένους συμφοραῖς. καὶ οὐχ ἁπλῶς ἀπεδίδουν, ἀλλὰ πρότερον ποιῶν ἐπιτηδευημένην τῷ διαρρῆξαι, διασπάσας γὰρ οὕτως ἀπεδίδουν. οὐ γὰρ οἷά τις ἐγκαυχώμενος ἐπὶ τοῖς δανείοις, ἀνελίττων ἀμφοτέραις χερσὶ τὰς συγγραφὰς δημοσίᾳ ὑπανεγίνωσκον, ἀλλὰ διαρρηγνὺς αὐτὰς, καὶ συγχωρῶν τὰ ὀφλήματα, ἀπεδίδουν τοῖς χρεωφειλέταις.

ΚΕΙΜ. Εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν, εἰ δὲ καὶ οἱ αὔλακες αὐτοῖς ἔκλαυσαν ὁμοθυμαδόν.

Ἀτελὴς ὁ λόγος, καὶ ἤρτηται· τὴν δὲ ἀπόδοσιν τῆς ἐννοίας ἐν τοῖς ἑξῆς

ἀρήσεις κειμένην. φησὶ δέ, τάδε γένοιτό μοι, καὶ τάδε πάθοιμι, εἰ δι' ἐμὲ γῆ ἐστενάχθη παρὰ τοῦ δεσπότου αὐτῆς, ἢ αὔλακες ἐκλαύθησαν παρὰ τῶν ἀνατεμνόντων ταύτας, καὶ ἀροσάντων· οὔτε γὰρ κτήσεις τινῶν ἥρπασα, ὥστε αὐτοὺς στενάζειν, οὔτε αὔλακας ταῖς ἐμαῖς συνῆψα καὶ προσεθέμην αὔλαξιν ὡς τοὺς ἀφαιρεθέντας θρηνεῖν· ἀλλ' οὐδὲ τὴν ἐμὴν γῆν, καὶ τὰς ἐμὰς αὔλακας, ἀμισθί τις εἰργάσατο καὶ ἀνέτεμεν, ἵνα διὰ τοῦτο στένῃ, καὶ δακρύῃ, ὡς τὸν μισθὸν τῆς ἐργασίας ἀποστερηθείς.

ΚΕΙΜ. Εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς.

ΟΛΥΜΠ. Ἰσχὺς τῆς γῆς, ἡ καρποφορία, καὶ ἡ φορὰ τῶν ὡρῶν, δείκνυσι δέ, ὅτι οὐδέποτε τὰ τῆς γῆς ἐκφόρια ἐδρέψατο, μὴ καταθέμενος ὑπὲρ αὐτῶν ἀργύριον· ἄνευ γὰρ ἀργυρίου ἀλλοτρίας γῆς καρπὸν οὐκ ἠνείχετο. τάχα δὲ δύο ἐνταῦθα σημαίνει. ὅτι καὶ τὰ τιμήματα τῶν καρπῶν κατεβάλλετο, καὶ ὅτι οὐδὲ μόνος ἤσθιεν, ἀλλ' ἐκοινοποιεῖτο τοῖς δεομένοις τὰς τροφάς.

ΚΕΙΜ. Εἰ δὲ καὶ ψυχὴν Κυρίου τῆς γῆς ἐκλαβὼν ἐλύπησα.

Ὁ δὲ Σύμμαχος, ἐλπίδος ἠστέρησα, ὡς κατὰ δυναστείαν ἁρπάσας τι τοῦ κτήτορος τῆς γῆς.

ΚΕΙΜ. Ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος.

Θεοδοτίων δὲ καὶ Σύμμαχος, ὁ μὲν ἀντὶ τοῦ, κνίδη, ἄκανθα, ἐξέδωκεν· ὁ δὲ ἀντὶ τοῦ, βάτος, ἀτελεσφόρητα, ἡ κνίδη δὲ καὶ ἡ βάτος, ἀκανθώδη φυτά· λέγει οὖν, εἰ μὴ πρόσεστι τοῖς εἰρημένοις τὸ ἀληθές, ἀλλ' ἢ γῆν ἀφελκόμενος τὸν ταύτης ἐλύπησα Κύριον, ἢ αὔλακας ἀποτεμνόμενος, τῷ ἐμῷ γηδίῳ προστέθηκα, καὶ στενάζειν τὸν ἀφαιρεθέντα καὶ οἰμώζειν ἐποίησα, ἢ καρποὺς προῖκα συλλήτας, ἀλλὰ ἢ καταθεὶς τιμὴν, μόνος αὐτοὺς ἐδαπάνησα, μηκέτι ἴδοιμι τὴν εὐετηρίαν, καὶ αὐτῆς μοι τῆς γῆς ἀκάνθας τὰς ἀχρήστους ἀντὶ τῶν ἡμέρων καὶ τροφίμων ἐκφερούσης καρπῶν. ὁ μέντοι Σύμμαχος οὕτως ἐκδέδωκεν, ἀντὶ σίτου βλαστησάτω ἄκανος· ἀνέγνων δὲ ἐν ταῖς Βασιλείαις φυτὸν, ἄκανον οὕτω λεγόμενον. ἔτι οὖν φησί, τῶν ἀπηριθμημένων καὶ ἀπηρνημένων ἔπραξα, ἢ ἀλλοτρίαν γῆν παραιρούμενος, ἢ ἄνευ ἀργυρίου τοὺς καρποὺς δρεπόμενος, ἢ τι τοιοῦτον παρανομῶν, μηδὲ ἡ γῆ μοι τὰ συνήθη καρποφορείτω καὶ τρόφιμα, ἀλλὰ τὰ ἄγρια καὶ ἄβρωτα.

ΚΕΙΜ. Καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν.

ΟΛΥΜΠ. Οὐχ ἁπλῶς ἐπαύσατο, ἀλλὰ ῥήμασιν, ἡ καρδία δὲ αὐτοῦ νοοῦσα τὰ θεῖα οὐκ ἐπαύσατο· ᾔδει γὰρ ὅτι καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν, καιρὸς τοῦ σιγᾷν, καὶ καιρὸς τοῦ λαλεῖν, ὅτε καιρὸς ἦν τοῦ ἀποκρίνασθαι, πρὸς τοὺς τρεῖς ἔλεγεν· ὅτε καιρὸς ἦν σιωπῆς, μετὰ τὸ ἐπιστομῆσαι αὐτοὺς ἐσίγησε. καὶ οἶμαι ἐν ἐπαίνῳ εἰρῆσθαι, τὸ, ἐπαύσατο Ἰώβ.

ΚΕΙΜ. Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ἰώβ. ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.

Ὁ δὲ Σύμμαχος, διὰ τὸ αὐτὸν δίκαιον φαίνεσθαι ἐπ᾽ αὐτῷ· ἡσύχασε μετὰ Ἰώβ, διδοὺς αὐτοῖς λόγον εἰπεῖν· ἐπειδὴ δὲ καὶ τὸν Θεὸν ἐκάλεσε μάρτυρα, καὶ ἑαυτῷ ἐπηράσατο, ἐπεστομίσθησαν οἱ φίλοι· καὶ ἡσύχασαν, οὐ προαιρετικῶς, ἀλλ᾽ ἐπειδὴ πᾶσαν αὐτῆς δικαιολογίαν ἀπέκλεισε καὶ οὐκ εἶχον ἀντειπεῖν πρὸς τὰ εἰρημένα· συνεπίσταντο γὰρ τῷ δικαίῳ τὰ κατορθώματα, καὶ ὡς ἐκ διαθέσεως μὲν ἐμίσει τὸ κακόν, εἰλικρινεῖ δὲ ἀγάπῃ μετῄει τὸ καλόν, ἔδειξε γὰρ ὁ Ἰώβ, ὅτι καὶ τὰ πρὸς ἀνθρώπους δίκαια, καὶ τὸ πρὸς τὸν Θεὸν σέβας, ἄκρως ἐφύλαξε μετὰ τῆς θαυμαστῆς ταπεινοφροσύνης, ἣν παρέστησεν, ἄλλα τε πολλά, καὶ τὸ ἐξαγορεύειν τὰ ἁμαρτήματα·



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ ΠΡΩΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΤΩΝ φίλων τοῦ Ἰὼβ ἐπὶ παράκλησιν ἀφικομένων, ἔξω δὲ τοῦ σκοποῦ γεγενημένων τῆς ἀφίξεως, καὶ τῇ βαρύτητι τῶν λόγων ἐπιτριβόντων τῷ δικαίῳ τὰ τραύματα· ἔφασκον γάρ, δι᾽ ἁμαρτίας αὐτὸν πεπονθέναι, καὶ μὴ ἄλλως τὸν Θεὸν ἐπάγειν τὰς κολάσεις, εἰ μὴ κατ᾽ ἀνταπόδοσιν· τοὺς αὐτῶν λόγους ὁ Ἰὼβ ἀμυνόμενος ἠπόρησε, πῶς πολλοὺς ὁρῶμεν ἀδίκους τιμωρίαν οὐ δεδωκότας μέχρι τέλους, δικαίους δὲ πάσχοντας; εἶτα ὡς ἐσφαλμένας τῶν φίλων ἀποφαίνων τὰς κρίσεις, ἐπὶ Θεοῦ βούλεται τὴν δίκην εἰπεῖν, ἵνα ἐπιδείξῃ ὡς οὐδὲν τῆς τηλικαύτης μάστιγος εἰργάσατο ἄξιον. ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ Θεοῦ καταψηφιζόμενος ὡς ἄδικα πράττοντος, ἀλλὰ σφόδρα θαρρῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, τοὺς δὲ φίλους διελέγξαι θέλων, ὡς οὐ δικαίας κατ᾽ αὐτοῦ ποιοῦντας τὰς κρίσεις. ὁ μὲν οὖν σκοπὸς τοῦ Ἰώβ, ὡς πρὸς τοὺς φίλους ὅλος ἀποτείνεται, βουλόμενος δεῖξαι, ὅτι ἐπὶ Θεοῦ δικάζοντος δίκαιος ἀναφαίνεται, τοῦ ἀληθινοῦ καὶ ἀπροσωπολήπτου· οἱ δὲ μάτην αὐτοῦ κατηγοροῦντες, οὐκ ἀληθεῖς ἔχουσι τοῦ δικαίου τὰς κρίσεις· τούτων ἐπακροώμενος ὁ Ἐλιοὺς, καὶ οὐ νενοηκὼς τοῦ δικαίου τὴν διάνοιαν, ᾠήθη λέγειν αὐτόν, ὡς ἄδικα πάσχω παρὰ Θεοῦ δίκαιος ὤν· διὰ τοῦτο ζηλῶν ἐζήλωκε τῷ Κυρίῳ, καὶ ὠργίσθη κατὰ τοῦ Ἰώβ· οὐδὲν δὲ ἔχων ἀδίκημα

κατὰ

κατὰ τοῦ δικαίου κατηγορεῖν, ὠργίσθη κατὰ τῶν τριῶν φίλων ἐνδίκως· ὅτι τὸν δίκαιον ἀσεβείας κατεδίκασαν, ὡς δι᾽ ἁμαρτίας τὰς τιμωρίας ὑπομένοντα. ἐντεῦθεν ἀνακύπτει ζήτημά τι τοιόνδε, εἰ ὀργίζεται κατὰ τῶν φίλων ὁ Ἐλιοὺς ὅτι ἀσεβῆ τὸν Ἰὼβ ἔκριναν, δίκαιος ἄρα ὁ Ἰώβ· πῶς οὖν καὶ κατὰ τούτου ποιεῖται τὴν ἐπιτίμησιν; ἀλλ᾽ ἐρεῖ πρὸς τοῦτο ὁ Ἐλιοὺς, εὐσεβὴς μὲν ὁ Ἰὼβ, καὶ δίκαιος, καὶ οὐδεὶς ἀντερεῖ· αἰτίαν δὲ δέδωκε καθ᾽ ἑαυτοῦ, τὸ θέλειν πρὸς Θεὸν δικάζεσθαι. ὁ μὲν οὖν σκοπὸς τοῦ Ἐλιοὺς οὐ ψεκτός. οὐδὲ γὰρ σφοδρῶς ἔπληξε τὸν Ἰὼβ, ὥσπερ ἐκεῖνοι ἀσέβειαν καταψηφισάμενοι· πλὴν οὐκ ἐνόησε τοῦ δικαίου τὴν διάνοιαν, καὶ ἐξ οἵας ἀγάπης καὶ πεποιθήσεως τῆς πρὸς Θεὸν, ἐπ᾽ αὐτοῦ τὴν δίκην λέγειν ἐπόθει· ὅθεν λογιζόμεθα καὶ τὸν Θεὸν μήτε ἐπαινέσαι τὸν Ἐλιοὺς, ἐπειδὴ μὴ νενόηκε τοῦ Ἰὼβ τοὺς λόγους, μήτε μὴν καταδικάσαι, ἐπειδὴ μὴ ἀσεβείας αὐτὸν κατέκρινε, μηδὲ ἀπεφήνατο δι᾽ ἁμαρτίας αὐτὸν πάσχειν, ὥσπερ οἱ φίλοι· διὰ γὰρ τοῦτο τὴν κατ᾽ ἐκείνων ἐπιτίμησιν ὁ Θεὸς εἰργάσατο.

ΚΕΙΜ. Ὠργίσθη δὲ Ἐλιοὺς, ὁ τοῦ Βαραχιὴλ, ὁ Βουζίτης, ἐκ τῆς συγγενείας Ῥάμ, τῆς Αὐσίτιδος χώρας.

Βουζίτης μέντοι εἴρηται ὁ Ἐλιοὺς, ἢ ἀπὸ συγγενείας τῆς τοῦ Βουζὶ, ὅθεν ἦν καὶ Ῥάμ, ἢ ἀπό τινος πόλεως τῆς αὐσίτιδος χώρας. εὑρίσκομεν δὲ ὅτι καὶ Ναχὼρ, ὁ ἀδελφὸς Ἀβρὰμ, γεννᾷ υἱὸν δεύτερον ἐκ τῆς Μιλχὰς τὸν Βοὺζ. ἴσως οὖν ἐκεῖθεν κατάγει τὸ γένος ὁ Ἐλιοὺς διὸ καὶ Βουζίτης ὠνόμασται.

ΚΕΙΜ. Ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον Κυρίου.

ὈΛΥΜΠ. Κατὰ τὸ εὔλογον μὲν ἐκινεῖτο, ὡς ἐνόμιζεν Ἐλιοὺς· ὠργίσθη γὰρ, οὐχ ὅτι δίκαιον ἑαυτὸν ἀπέφηνεν ὁ Ἰὼβ, συνηπίστατο γὰρ, ἀλλ᾽ ὅτι ἐναντίον Κυρίου, ἐπειδὴ αὐτὸν ἐκάλει μάρτυρα· ἢ ὅτι πρὸς τὸν Θεὸν δικαζόμενος ἐδικαιολογεῖτο· τὸ μὲν γὰρ δικαιῶσαι ἑαυτὸν, οὐδὲν μέγα· τὸ δὲ ὡς πρὸς τὸν Θεὸν δικαζόμενον τοῦτο ποιῆσαι ἄτοπον. μὴ δικαίου γὰρ, φησὶν, ἑαυτὸν ἐναντίον Κυρίου· καὶ μὴν οἱ φίλοι διὰ τοῦτο ὠργίζοντο, καὶ ἔλεγον, μὴ γὰρ ἔσται βροτὸς δίκαιος ἔναντι Κυρίου; τί οὖν οὗτος πλέον ἔχει; καὶ γὰρ κἀκεῖνοι τὸ αὐτὸ ἐνεκάλουν, ὅτι τοῦ Θεοῦ δικαιότερον ἑαυτὸν ἐνόμισεν εἶναι· ἀλλ᾽ οὐχὶ τοιαύτῃ γνώμῃ ὁ Ἰὼβ εἶπεν, ὅτι αὐτὸς δικαιότερός ἐστι τοῦ Θεοῦ, ἀλλ᾽ ὅτι αὐτῷ ταῦτα πέπρακται, καὶ ὅτι βούλεται ἐπ᾽ αὐτοῦ κρίνεσθαι, οὐ μὴν ἀδικίαν ἐνεκάλει τῷ Θεῷ· ὁ δὲ Ἐλιοὺς τοῦτο ὑπέλαβεν, ἀγνοήσας τὴν εὐσεβῆ τοῦ δικαίου διάνοιαν· τοῖς δὲ φίλοις δικαίως ἐνεκάλει προδεδωκόσι τοῦ Θεοῦ τὸ μέρος, καὶ ἠρνημένοις.

ΚΕΙΜ. Καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα Ἰὼβ, καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ.

Διπλῇ κατὰ τῶν φίλων ὠργίσθη Ἐλιοὺς, ὅτι τε ἀσεβείας τὸν δίκαιον ἔκριναν, καὶ ὅτι τὴν ὑπὲρ Θεοῦ συνηγορίαν ἀνειληφότες ἡττήθησαν, καὶ ἀπεσιώπησαν, τὸν ὑπ᾽ αὐτῶν συνηγορούμενον ὥσπερ προδεδωκότες Θεὸν, καὶ τῇ σιωπῇ δεδωκότες τῷ Ἰὼβ κατὰ τοῦ Θεοῦ τὰ νικητήρια. εἴποι δ᾽ ἄν τις διὰ τοῦτο μᾶλλον ὠργίσθαι τοῖς φίλοις τὸν Ἐλιοὺς, ὅτι οὐκ ἠδυνήθησαν ἀντιθεῖναι τὰ εἰκότα τοῖς τοῦ Ἰὼβ λόγοις, ὥστε καὶ ἀποσεμνῶσαι αὐτὸν ἀσεβῆ κατὰ Θεοῦ φρυαττόμενον.

ΚΕΙΜ. Ἐλιοὺς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν Ἰὼβ, ὅτι πρεσβύτεροι αὐτοῦ εἰσὶν ἡμέραις. καὶ εἶδεν Ἐλιοὺς, ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Ἐπαινετὸν τὸ ἦθος τοῦ Ἐλιοὺς, ἐν καιρῷ μὲν σιωπήσαντος, ἔδει γὰρ πρώτους τοὺς πρεσβυτέρους λαλεῖν, ἐν καιρῷ δὲ ἀποκρινομένου, τῶν παλαιοτέρων ἀπορίᾳ συσχεθέντων. τὸ οὖν ὑπέμεινεν, ἀντὶ τοῦ, ἀνέμεινε· τὸ δὲ ἐθυμώθη, ἀντὶ τοῦ ἐζήλωσε, καὶ καλῶς εἶπεν ὑπέμεινε, δεικνὺς ὅτι ὠργίζετο μὲν, οὐκ ἀπετόλμα δὲ οὐδὲν εἰπεῖν, ἕως ἂν πάντα κενώσῃ ὁ Ἰώβ. καίτοι θέα αὐτοῦ τὴν σύνεσιν, πῶς ἐκ προοιμίων ἄλλων λόγους ἀθέως ἐπέλαβε, πῶς τὴν προσήκουσαν ἐφύλαξε τάξιν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης, εἶπε νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι· διὸ ἡσύχασα φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην.

Καλῶς προσέθηκεν, ὅτι νεώτερός εἰμι τῷ χρόνῳ· ἔστι γάρ τις νεώτερος μὲν τὴν ἡλικίαν, πολιὰν δὲ ἔχων φρόνησιν· καὶ ἕτερος τῷ μὲν χρόνῳ προβεβηκὼς, νεώτερος δὲ τὴν διάνοιαν. ὅρα δὲ, ὅπως οὐ μόνον αἰδοῖ, ἀλλὰ καὶ φόβῳ καὶ εὐλαβείᾳ τῶν πρεσβυτέρων τὴν διάλεξιν περιέμεινε, καὶ εἰ μὴ πρότερον ἐπαύσαντο· οὐκ εἶπεν αὐτὸς, ἃ καλῶς ἔχειν ἐλογίζετο.

ΧΡΥΣΟΣΤ. Ἑκατέρωθεν οὖν αὐτοῦ τὴν σύνεσιν στοχαζόμεθα, ἀπό τε τῆς σιγῆς, ἀπό τε τῆς διαλέξεως. ἵνα γὰρ μήτις εἴπῃ, καὶ τίνος ἕνεκεν μὴ παρὰ τὴν ἀρχὴν μεθ᾽ ἡμῶν ἐμαχήσω ὑπὲρ τοῦ Θεοῦ; ἐπὶ τὴν ἡλικίαν κατέφυγε, καὶ φησὶν, ὅτι προσδοκῶν γενναῖόν τι καὶ θαυμαστὸν παρ᾽ ὑμῶν λέγεσθαι, ἡσύχαζον. ὅρα πῶς ἀφιλότιμος ἦν, πῶς παρεχώρει τῶν πρωτείων ἐκείνοις.

ὨΡΙΓΕΝ. Ἐπαγγέλλεται μέν τοι ἐπιστήμην ἔχειν, ἢ, κατὰ τοὺς λοιποὺς, γνῶσιν, πῶς ἄνθρωποι πάσχουσιν ἐν τῷ βίῳ, πῶς τινες ἄδικοι εὐτυχοῦσιν. εἶδον ἀδικοῦντας καὶ παρανομοῦντας, εὐθηνοῦντας, καὶ ἐμοῦ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, ἐὰν ἐν τῷ βίῳ τούτῳ μόνον ἐνίδω· ἐὰν δὲ τὸ μέλλον ἐννοήσω, ἑστῶτές εἰσιν οἱ πόδες μου.

ΚΕΙΜ. Εἶπα δὲ ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν, ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασι σοφίαν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς, (ὁ δὲ Σύμμαχος, ὄντως δὲ

πνεῦμα Θεοῦ ἐστὶν ἐν ἀνθρώποις) πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσα· οὐχ οἱ πολυχρόνιοί εἰσι σοφοί, οὐδ' οἱ γέροντες οἴδασι κρίμα.

ΟΛΥΜΠ. Πάλαι, φησί, καθήμενος, καὶ τῶν λεγομένων ἐπακροώμενος, καὶ οὐκ ἀξίως σιωπῶν τῆς ἡλικίας τοὺς λόγους, κατ' ἐμαυτὸν ἔλεγον, οὐχ ἁπλῶς οἱ χρόνῳ προβεβηκότες εἰσὶ σοφοί, ἀλλὰ χρεία τῆς τοῦ ἁγίου πνεύματος χάριτος, τῆς οὐκ ἀναμενούσης χρόνον, ἀλλ' ἀθρόως σοφιζούσης τὸν ἄνθρωπον· δῆλον δὲ ὅτι οὐκ ἀκρίτως διδάσκει ἡ χάρις, ἀλλ' ἐὰν ψυχὴν εὕρῃ καθαράν. οὐκ ἀνάγκη, φησί, τοὺς πρεσβυτέρους εἶναι σοφοὺς μόνους, ἀλλ' ἔστι καὶ ἀπὸ νεότητος ἀκοῦσαί τι γενναῖον· εἰ γὰρ χρόνος ποιεῖ σοφούς, πολλῷ μᾶλλον ὁ Θεός· καθ' ἑαυτὸν γέμων ὁ χρόνος δίχα τῆς χάριτος, σοφίαν παρασχεῖν ἀδύνατος. ὅθεν οὐδὲ μέρος τῶν κριμάτων τοῦ Θεοῦ δύναταί τις καταλαβεῖν ὑπὸ τοῦ χρόνου σοφιζόμενος, εἰ μὴ ἡ θεία προσγένηται χάρις.

ΚΕΙΜ. Διὸ εἶπα ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα· ἐνωτίζεσθαί μου τὰ ῥήματα. ἐρῶ γὰρ ὑμῶν ἀκουόντων, ἄχρις οὗ ἐτάσητε λόγους, καὶ μέχρις ὑμῶν συνήσω.

Ἕτερα ἀντίγραφα, μετὰ τό, ἐρῶ γὰρ ὑμῶν ἀκουόντων, ἔχει καὶ τούτους τοὺς στίχους, ἰδοὺ ἤκουσα τοὺς λόγους ὑμῶν, ἠνωτισάμην ἄχρι συνέσεως ὑμῶν. οἱ δὲ ἕτεροι ἑρμηνευταὶ οὕτως ἐκδεδώκασιν· ἰδοὺ ἐξεδεξάμην τοὺς λόγους ὑμῶν, ἠκροασάμην ἐφ' ὅσον ἐζητήσατε λόγους, καὶ μέχρι τοῦ ἐφικέσθαι ὑμῶν συνενόουν. κατὰ μὲν οὖν ταύτην τὴν ἔκδοσιν, καὶ τὰ ἕτερα τῶν ἀντιγράφων, ὥσπερ, φησίν, ἐγὼ μεθ' ἡσυχίας ἤκουσα πάντων ὧν εἴπατε, καὶ ἀνέμεινα μέχρι συμπεράσματος τῶν ὑμετέρων λόγων, καὶ ἕως ὅτε πᾶσαν ἑαυτῶν τὴν φρόνησιν κενώσητε· καὶ ὑμεῖς τῶν ἐμῶν ἀκούσατε λόγων. κατὰ δὲ τὰ παρ' ἡμῖν ἀντίγραφα, ὁ νοῦς οὗτος· ἀκούσατέ μου φησίν, ἐρῶ γὰρ οὐδὲν ὑπέρογκον, ἀλλ' ἃ δύνασθαι δοκιμάσαι, καὶ μέχρις ὑμῶν συνήσω, ἀντὶ τοῦ, οὐ κενοφωνίαις χρήσομαι, ἀλλ' ὡς δύνασθε συνιέναι λαλήσω. ἢ ἐκεῖνό, φησιν, ὅτι οὐ πρότερον παύσομαι λαλῶν, πρὶν ἢ καὶ ὑμεῖς τοὺς ἐμοὺς δοκιμάσητε λόγους, εἰ ἄρα κἀγὼ συνιέναι δύναμαι μέχρις ὑμῶν, τουτέστι, μέχρις οὗ καὶ ὑμεῖς συνοήσητε, ἢ καὶ ὑπερβαλῶ τὴν ὑμετέραν νόησιν.

ΚΕΙΜ. Καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων, ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν· ἵνα μὴ εἴπητε, εὕρομεν σοφίαν Κυρίῳ προσθέμενοι· ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα.


ΤΟΥ ΑΥΤΟΥ. Διὰ τοῦτό, φησίν, εἰς τὸ λέγειν προήχθην, ἐπειδὴ μηδεὶς ὑμῶν ἐλέγχειν τοὺς λόγους τοῦ Ἰὼβ δεδύνηται· καίτοιγε τὸν μείζονα λόγον ἐγυμνάζετε ὑπὲρ τοῦ Θεοῦ ἀπολογούμενοι, καὶ αὐτῷ συνηγοροῦντες· μὴ ἰσχύσαντες δὲ ἀντειπεῖν τῷ Ἰώβ, τρόπον τινὰ καὶ ἐπετρέψατε διὰ τῆς σιωπῆς ἀνθρώπῳ γε ὄντι τοιαῦτα

ἀλαζονεύεσθαι, καὶ πάντα λαλοῦσαι κατὰ Θεοῦ.

ΧΡΥΣΟΣΤ. Ἢ οὖν τοῦτό φησιν, ὅτι οὐδὲ πώποτε ἠλέγχετε, ὡς ἔδει ἠλέγξατε, ἢ ὅτι ὕστερον ἐσιωπήσατε· πάντως δέ, φησίν, οὐκ ἂν εἴποιτε, ὅτι αὐτὸ τοῦτο σοφὸν ἐποιήσαμεν, ὅτι τῇ τοῦ Θεοῦ μερίδι προσετέθημεν, καὶ τοὺς ὑπὲρ αὐτοῦ λόγους ἀνεδεξάμεθα· οὐδὲν γὰρ ἧττον ἡμάρτετε, ὅτι τε τὸν Ἰὼβ ἐλέγξαι οὐκ ἠδυνήθητε, καὶ ὅτι ἠνέχεσθε αὐτοῦ τοιαῦτα λαλοῦντος, ὥστε ἄσοφον ὑμῶν καὶ τοῦτο· καὶ οὐ δύνασθε εἰπεῖν, ὅτι παρὰ Θεοῦ χάριν καὶ σοφίαν εὕρατε, ἅτε συνηγοροῦντες αὐτῷ· νενίκησθε γὰρ ὑπὸ Ἰώβ.

ΚΕΙΜ. Ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι· ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους· ὑπέμεινα, οὐ γὰρ ἐλάλησα, ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν.

Φασί τινες μὴ εἶναι τοὺς δύο στίχους τούτους τοῦ Ἐλιοῦς, ἀλλὰ τοῦ συγγραφέως, διὰ μέσου παραθέντος τὴν τῶν φίλων ἀποσιώπησιν· ἐγὼ δέ φημι, καὶ τούτους εἶναι τοῦ Ἐλιοῦς, σχῆμα δὲ ἐνταῦθα ἐστὶ λόγου, τὸ καλούμενον κατ' ἀποστροφήν. ὡς γὰρ πρὸς ἕτερον μεταξὺ διαλεγόμενος, περὶ αὐτῶν φησίν, ὅτι διὰ τοῦτο λαλῶ, ἐπειδήπερ οὗτοι καταπεπλάγησαν διὰ τὰ τοῦ Ἰὼβ ῥήματα, καὶ τοὺς ἑαυτῶν λόγους παλαιοὺς καὶ σαπροὺς, καὶ ἀχρείους ἔδειξαν διὰ τῆς σιωπῆς· ὅθεν καὶ ἐπάγει, ἐγὼ δὲ ὑπέμεινα, καὶ οὐκ ἐλάλησα, οἰόμενος αὐτοὺς δύνασθαι ἀντειπεῖν· ἐπεὶ δὲ ἔστησαν καὶ περαιτέρω προελθεῖν οὐκ ἠδυνήθησαν, τοῖς τοῦ Ἰὼβ ἀνακοπέντες λόγοις, παρῆλθον διελέγξαι τὰ εἰρημένα.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ ΔΕΥΤΕΡΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

Εἰρηκὼς ὁ Ἐλιοὺς τὴν αἰτίαν δι' ἧς εἰς τὸ λέγειν προήχθη, βαθείας αὐτῷ γενομένης σιγῆς, αὐτὸς τοὺς ἑαυτοῦ λόγους ἀναπληροῖ, καὶ τὰ τοῦ Ἰὼβ καταμέμφεται ῥήματα, ὡς δικαιοῦντος ἑαυτὸν, καὶ πρὸς Θεὸν ἐθέλοντος κρίνεσθαι. ὁ νενοηκὼς οὐδὲ οὗτος τῆς ὁσίας διανοίας, καὶ ὡς πρὸς τὰ παρὰ τῶν φίλων τὰ τοιαῦτα ἐλάλει ὁ δίκαιος, ᾠήθη δὲ λέγειν αὐτὸν, ὅτι ἀδίκως ταῦτα παρὰ Θεοῦ πάσχω, καὶ ὅτι ὡς ἔτυχε φέρεται τὰ ἀνθρώπινα, πολλὰ περὶ τῆς ποικίλης τοῦ Θεοῦ περὶ ἡμᾶς προνοίας διαλέγεται. πλὴν οὐδὲ ὁ Ἐλιοὺς τῆς κατὰ τὸν Ἰὼβ ὑποθέσεως ἥψατο, ἀλλ' ἠγνόησε τῆς ἐπενεχθείσης αὐτῷ πληγῆς τὴν αἰτίαν· ἄρχεται δὲ ὧδε.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει· πάλιν λαλήσω, πλήρης γάρ εἰμι ῥημάτων.

ΟΛΥΜΠ. Πλήρης, φησὶν, εἰμὶ ῥημάτων, τῶν τε ὑπὲρ Θεοῦ δηλονότι, καὶ τῶν πρὸς τὸν Ἰὼβ, εἰς τὴν ἐμοίαν ἐξέτασιν Θεῷ καταστῆναι θελήσαντα, καὶ εἰς τοσοῦτον ἐπαιρόμενον, ὡς θέλειν πρὸς Θεὸν, κριθῆναι, καὶ ἐλπίζειν λήψεσθαι τὰ νικητήρια.

ΩΡΙΓΕΝ. Καλῶς εἶπε, τὸ, πλήρης εἰμί· ὁ γὰρ μὴ πλήρης ὢν ῥημάτων, καὶ ἐρχόμενος ἐπὶ τὸ λαλεῖν, κενὰ λαλήσει ὡς κενός· κατὰ τὸ εἰρημένον, ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει.

ΚΕΙΜ. Ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός.

ΟΛΥΜΠ. Ὁ δὲ Σύμμαχος συγκρίνει· οὐ φέρω, φησὶ, τὴν σιωπὴν, οὐδὲ ἐχεμυθεῖν ἔτι δύναμαι, διαθερμαινόμενος τὴν ψυχὴν, καὶ οἷον ἀποπνιγόμενος, εἰ μὴ λαλήσω. πνεῦμα δὲ γαστρὸς, ἢ περιφραστικῶς τὴν ψυχὴν λέγει, ἢ τὸ θυμικὸν αὐτῆς μέρος, ἀλόγως ὡς ὑπὲρ Θεοῦ κινούμενον. ἐμοὶ δὲ τροπικώτερον εἰρῆσθαι δοκεῖ, τὸ, ὀλέκει γάρ με τὸ πνεῦμα γαστρός.

ὥσπερ γὰρ πνεῦμα τοῖς ἐγκάτοις ἀποληφθὲν, καὶ μὴ ἐχέτω δίεξοδον, λυπεῖ καὶ ὀδινᾷ τὸν ἄνθρωπον· οὕτω φησὶν, καὶ ἐμὲ ὀλέκει τὸ πνεῦμα τῆς γαστρὸς, τουτέστιν, οἱ λόγοι οὓς ἐν τῇ διανοίᾳ φέρω, ἀδιεξόδευτοι κατεχόμενοι.

ΩΡΙΓΕ'Ν. Ὥσπερ τὶς ἔγκυος γίνεται, καὶ μορφωθέντος τοῦ ἐν αὐτῇ γεννωμένου, ἐπὶ ὠδῖνας ἔρχεται, μέχρις οὗ ἀπογεννήσῃ τὸ συλληφθέν· κατὰ ταῦτα καὶ ἐπὶ τῆς τοῦ φιλομαθοῦς ψυχῆς γίνεται. συλλαμβάνει γὰρ τὸν λόγον, ὃν ἀπαγγελόμενον μορφοῖ, καὶ τυποῖ αὐτὸν τῇ τάξει· ὅταν δὲ μετὰ τὸ τυπῶσαι, καὶ μορφῶσαι, τετελειωμένον αὐτὸν παραδῷ, τότε τίκτει, καὶ μέχρις ἂν τέκῃ, βαρύνεται καὶ ὠδίνει.

ΚΕΙΜ. Ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος, (ὁ δὲ Σύμμαχος, ὥσπερ οἶνος νέος ἀδιάπνευστος.) ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐῤῥηγώς.

Ο'ΛΥΜΠ. Μικροῦ, φησὶ, διαῤῥήγνυμαι, ὑπὸ πλήθους τῶν ἐπελθουσῶν μοι πρὸς τὴν ἀπολογίαν ἐννοιῶν στενοχωρούμενος, ὥσπέρ τις ἀσκὸς οἴνου νέου καὶ θερμοῦ πεπληρωμένος, ὑπὸ τοῦ ἀναβρασμοῦ καὶ τῆς ζέσεως ἐκραγῆναι μέλλων. ἐντεῦθεν δοκεῖ μοι καὶ ἐν τῷ εὐαγγελίῳ εἰρῆσθαι, οὐδεὶς οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς βάλλει. φυσητὴρ δὲ, εἶπε, καὶ προσέθηκεν, ἐῤῥηγὼς, ἐπειδὴ λαλεῖν ἤρξατο, καὶ ὥσπερ ἀφίεται τοῦ ἔνδον πνεύματος· ὁ γὰρ διαῤῥαγεὶς φυσητὴρ τοῦ χαλκέως, ἀφίησι τὸ πνεῦμα.

ΧΡΥΣΟΣΤ. Ἐνταῦθα δείκνυται, ὅτι πάλαι ὁ Ἐλιοὺς ὠδινῶν εἶπεῖν ὑπέμεινε, καὶ ἐκαρτέρει, καὶ διαῤῥαγῆναι εἶχεν, ὥστε πολλῆς τῆς ὑπομονῆς χρεία. ὅπερ ἐστὶ μάλιστα σοφίας ἔργον, δυνάσθαι ῥήματα καταχεῖν.

ΚΕΙΜ. Λαλήσω, ἵνα ἀναπαύσωμαι, ἀνοίξας τὰ χείλη.

ΩΡΙΓΕ'Ν. Ὁ τυγχάνων συνετοῦ ἀκροατοῦ, καὶ ὢν πλήρης λόγων, λαλῶν ἀναπαύεται, τὴν περισσότητα οἷον κενώσας καὶ ἀποβαλών.

ΚΕΙΜ. Ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπα· εἰ δὲ μὴ, καὶ ἐμὲ σῆτες ἔδονται.

Ο'ΛΥΜΠ. Λαλήσω, φησὶν, ἀνεπαισχύντως, καὶ δίχα πάσης ἀνθρωπαρεσκείας· εἰ δέ τι παρὰ τὸ δίκαιον φθέγξομαι, καὶ μὴ πάσης ἀνθρωπίνης αἰδοῦς τοῦτο προτιμήσω, κἀμὲ ὥσπερ τὸν Ἰὼβ, σῆτες ἔδονται, ἢ ὥσπερ τοὺς προσωπολήπτας· καὶ μάλιστα ὅταν ὁ Θεὸς ἐν τῷ μέσῳ, καὶ ἀνθρώπους μᾶλλον τιμῶμεν. ἐγὼ μέντοι, φησὶν, οὐκ ἐπίσταμαι θαυμάσαι πρόσωπον, τουτέστιν, οὐκ ἔχω ταύτην τὴν ἐπιστήμην, ἵνα αἰδεσθῶ, ἢ χαρίσωμαί τινι, ἀλλὰ καταφρονῶ ἀνθρώπων, καὶ τῆς παρ' αὐτοῖς αἰσχύνης. ταῦτα δὲ λέγων, ἐκείνους αἰνίττεται, ὅτι διὰ τοῦτο ἐσίγησαν, αἰσχυνθέντες τὸν Ἰώβ.

ΚΕΙΜ. Οὐ μὴν δὲ ἀλλὰ ἄκουσον Ἰὼβ τὰ ῥήματά μου, καὶ

λαλιάν ἐνωτίζου μου. ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου· καθαρά μου ἡ καρδία ῥήμασι, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει.

ὈΛΥΜΠ. Ἄκουσον τοιγαροῦν ὁ Ἰώβ· ἄρχομαι γὰρ λοιπὸν τῶν πρὸς σὲ λόγων, καθαρὰν μὲν καὶ παντὸς πάθους ἀνενόχλητον φέρων τὴν ψυχὴν ἢ κατὰ τοὺς λοιποὺς, ἀληθείαν, ἁπλῆν, μηδὲν κατὰ πρόσκειμα λέγουσαν· σύνεσιν δὲ ἔχων γνῶσιν, καὶ ἀπλανῆ, καὶ κεκαθαρμένην. καθαρὰν δὲ λέγει γνῶσιν, τὴν ὑπὲρ Θεοῦ, καὶ πρὸς ἄνθρωπον ἐξ ἰσοτιμίας θέλοντα πρὸς Θεὸν δικάσασθαι.

ΚΕΙ͂Μ. Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Ἀρχόμενος ὁ Ἐλιοὺς, εὐχαριστήριον ὕμνον ἀναπέμπει Θεῷ, αὐτὸν εἶναι λέγων αἴτιον ἑαυτοῦ καὶ τῆς ποιήσεως, καὶ τῆς συνέσεως, καὶ γνώσεως, ᾗ τινι πεποιθὼς ἐπὶ τὸ λέγειν προήχθη. οἶδα γὰρ, φησιν, ὡς ταύτην τὴν σύνεσιν οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπὸ τῆς θείας χάριτος κέκτημαι· ὁ γὰρ τὸ εἶναι δεδωκὼς, καὶ τῶν δεόντων τὴν γνῶσιν παρέσχετο.

ΣΕΒΗΡΟΥ. Ἐκ μέντοι τῶν προειρημένων διδασκόμεθα, ὅτι Θεὸς τὸ πνεῦμα καὶ δημιουργὸν, ὡς ὁ υἱός. εἰ γὰρ καὶ δι' υἱοῦ τὰ πάντα ὁ πατὴρ ἐδημιούργησεν, ἀλλ' ἐν Ἁγίῳ πνεύματι ὃ κατὰ φύσιν ἴδιόν ἐστι τοῦ μονογενοῦς.

ΚΕΙΜ. Ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν· πρὸς ταῦτα ὑπόμεινον.

ὈΛΥΜΠ. Ἀνάμεινόν, φησι, καὶ ἀκούσας τὰ παρ' ἐμοῦ, εἰ ἔστι σοι λόγος ἀντιλογίας, ἀντίφθεγξαι.

ΚΕΙΜ. Στῆθι κατ' ἐμὲ, καὶ ἐγὼ κατὰ σέ. ἐκ πηλοῦ διήρτησαι σὺ, ὡς καὶ ἐγώ· ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα.

Μηδὲν, φησὶν, εὐλαβηθῇς πρὸς τὸ ἀποκρίνεσθαι, ἰσοπαλὴς γὰρ ὁ ἀγὼν, τῆς γὰρ αὐτῆς ἄμφω τυγχάνομεν φύσεως, τῆς ἐκ πηλοῦ καὶ γῆς, καὶ οὐδὲν ἐχούσης ὑπέρογκον. ταῦτα δὲ λέγει, ἐντρέπων αὐτὸν, ὡς πρὸς Θεὸν θελήσαντα δικάζεσθαι· μονονουχὶ φάσκων, τί πρὸς Θεὸν κρίνεσθαι θέλεις, οὗ ἐνώπιον οὐδεὶς δικαιοῦται; πρὸς με δίκασαι τὸν κατ' οὐδὲν σου διαφέροντα.

ΚΕΙ͂Μ. Οὐχ ὁ φόβος μου σὲ στροβήσει, οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί.

Ἐπειδὴ ἔλεγεν ὁ Ἰώβ, καὶ ὁ φόβος αὐτοῦ μή με στροβείτω, ἰδοὺ, φησὶ, οὐδὲν φοβερὸν παρ' ἐμοὶ, ὥσπερ παρὰ Θεῷ, ὥστε ὑπὸ τοῦ φόβου θροεῖσθαί σε, καὶ περιτρέπεσθαι τὴν διάνοιαν, καὶ διὰ τοῦτο μὴ θαρρεῖν τοὺς πρὸς ἐμὲ λόγους, οὓς ἴσως ἔχεις εἰπεῖν· οὐδὲ ἐὰν ἀντείπῃς, ὑποπτεύεις ὅτι πληγὴν ἐπαγάγω σοι, βαρύνων κατὰ σοῦ τὴν ἐμὴν χεῖρα· ἔφασκες γὰρ, ὡς ἀκούσας μι-

μνημαι, ὡς εἰ μὴ ταῦτα ἐδεδοίκεις, διηγωνίζε αὖ πρὸς Θεόν. ταῦτα δὲ διέξεισι Ἐλιὰς, ὁ καθηκόμενος τῆς ἐννοίας, ἐξ ἧς ὁ Ἰὼβ τοὺς λόγους προίφερεν.

ΚΕΙ'Μ. Πλὴν ἅπας ἐν ὠσί μου, φωνὴν ῥημάτων σου ἀκήκοα· διότι λέγεις, καθαρὸς εἰμὶ, οὐχ ἁμαρτὼν, ἄμεμπτός εἰμι, οὐ γὰρ ἠνόμησα· μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν, ἥγηται δέ με ὥσπερ ὑπεναντίον· ἔθετό δε ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξέ δέ μου πάσας τὰς ὁδούς.

Αὐτὸς, φησὶ, τοῖς ἐμοῖς ὠσὶν ἤκουσά σου λέγοντος, ὅτι καθαρὸς εἰμὶ καὶ ἄμεμπτος· ὁ δὲ Θεὸς, ὥσπερ τις ἐχθρὸς, ἀκριβῶς ἀναζητήσας τὰ κατ' ἐμὲ, εἴτι ἄκων, ἢ ἀγνοῶν παρέβλω, εὗρε κατ' ἐμοῦ μέμψιν, ὅπως με τιμωρήσηται, καὶ πάσας μου τὰς πορείας συνέκλεισεν, ὥσπερ οἱ ἐντετρυπημένῳ ξύλῳ τοὺς πόδας δεσμούμενοι· τὸ δὲ ἀδιεξόδευτον τῆς τιμωρίας ἐν τούτοις αἰνίττεται.

ΚΕΙΜ. Πῶς γὰρ λέγεις δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ μου;

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. Τοῦτό ἐστιν, ὃ ἐγκαλεῖς, φησὶν, ὅτι οὐκ εἰσήκουσέ σου τῆς δίκης· πόθεν δῆλον εἰπέ μοι, ὅτι οὐκ εἰσήκουσεν; ὅτι κολάζει καὶ τιμωρεῖται; τοῦτο ἔργον αὐτῷ, ὥστε βελτίους ποιεῖν τοὺς ἀνθρώπους. πῶς οὖν ἀπετόλμησας τοῦτο εἰπεῖν, ὅτι δίκαιός εἰμι, ὁ δὲ Θεὸς οὐκ ἀκούει μου;

ΚΕΙ'Μ. Αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.

Τουτέστιν, οὐκ ἐπὶ σοὶ πρῶτον δοκιμασθήσεται, ὁ ἐπὶ πάντων Θεός.

ΚΕΙΜ. Λέγεις δὲ, διὰ τί τῆς δίκης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα; ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ Κύριος.

Ἀνθ' ὧν Ἀκίλας, καὶ Σύμμαχος, ὁ μὲν, τί οὖν πρὸς αὐτὸν ἐδικάσω; ὅτι πάντα τὰ ῥήματα αὐτοῦ οὐκ ἀποκρινεῖται· ὁ δὲ τί οὖν αὐτῷ δικάζῃ; πάντες γὰρ οἱ λόγοι αὐτοῦ ἀναντίρρητοι· τουτέστιν, οὐχὶ καθ' ἕκαστον ἀκούει καὶ παιδεύει; ἀλλὰ τοῦτό ἐστι τοῦ Θεοῦ, εἰσάπαξ τι ποιῆσαι, καὶ μὴ κατὰ μικρόν· πολλάκις δι' ὀνειράτων παρῄνεσε, καὶ δι' ἐνυπνίων· σὺ δὲ αὐτὸν εἰς δικαστήριον καταπᾶσαι προῄρησαι. καίτοιγε ἐχρῆν σε ἐννοεῖν, ὅτι ἃ ὥρισεν, οὐχ ὡς ἄνθρωπος μεταμελησόμενος, ἢ ἐπιλογισόμενός τι κρεῖττον, ἐνομοθέτησεν· ἀλλὰ πάντα ἃ διωρίσατο, ἄμεμπτα. ἀνθρώπων μὲν γὰρ τὸ, ἐφ' οἷς λέγουσιν, ἢ πράττουσι, μεταμέλεσθαι· Θεὸς δὲ τοῦτο οὐχ ὑπομένει, ἀλλ' ἅπαξ ἀρκεῖ ἀποφήνασθαι.

ΚΕΙΜ. Ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον, ἢ ἐν μελέτῃ νυκτερινῇ, ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης· τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων.

ΠΟ-

ΠΟΛΥΧΡ. Ἅπαξ μὲν, φησὶ, λέγει τι ὁ Θεὸς, τὰ πολλὰ δὲ διὰ φασμάτων παιδεύει νυκτερινῶν, καὶ ἐπιστρέφει τοὺς ἀνθρώπους, ἀνακαλύπτων τὰ αὐτῶν διανοήματα. ταῦτα δὲ φησὶν, ὁ Ἐλιοὺς διὰ τὸ εἰπεῖν τὸν Ἰὼβ πρὸς Θεὸν ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασι.

ΚΕΙΜ. Ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν· ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας, τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐῤῥύσατο, ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ.

ΟΛΥΜΠ. Ἅπαξ μὲν, φησὶ, λαλεῖ, καὶ νόμον τίθησι Θεός· μετὰ δὲ τὸ νομοθετῆσαι, εἴ τινα εὕρη καταφρονοῦντα, διὰ νυκτερινῶν αὐτῶν δειμάτων ἐπιστρέφει καὶ νουθετεῖ. οὕτω δὲ χρήσιμος ὁ παιδευτικὸς οὗτος φόβος, ὁ διὰ τῶν φασμάτων καὶ ἰνδαλμάτων, ὅτι καὶ μέλλουσαν τιμωρίαν ἐπέχει· ὡς τὸν ἐκ τοῦ φόβου βελτίω γενόμενον, ἀβλαβὲς ἔχειν καὶ σῶμα καὶ ψυχὴν, ἀναρπασθῆναί τε ἐκ πολεμίων χειρός. ἴσως γὰρ, εἰ μὴ ἐπέστρεψε πρὸ τῆς τιμωρίας, ἢ θεηλάτῳ πληγῇ, ἢ πολεμίων ἐφόδῳ, ὧν ἐξήμαρτε τὴν δίκην ἐδίδου· ἀλλ' ὁ μελλητὴς εἰς τιμωρίαν, διὰ τῶν φόβων ἀνακαλεῖται πρὸς μετάνοιαν, καὶ διὰ τῆς ἀπειλῆς τιμωρίαν ἐπέχει προσδοκωμένην.

ΚΕΙΜ. Πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης, καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε· πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι, καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει, ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά. ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ.

Ἐὰν μέντοι, φησὶν, ὁ ἁμαρτάνων μηδὲ τοῖς νυκτερινοῖς σωφρονίζοιτο φόβοις, μηδὲ μετανοεῖν βούλοιτο, κλινοπετῆ αὐτὸν νοσοῦντα ποιεῖ, καὶ φρίκην καὶ νάρκην τοῖς αὐτοῦ ὀστέοις ἐνίησι, καὶ οὕτως ἀθλίως διατίθησιν, ὡς ἐθέλειν μὲν αὐτὸν τροφῆς ὀρέγεσθαι, ἐπιλελοιπέναι δὲ τὴν ὄρεξιν, καὶ μὴ δύνασθαι τοῦτον τροφὴν προσίεσθαι· ὡς ἐντεῦθεν τὰς μὲν σάρκας αὐτοῦ δαπανᾶσθαι, τῶν δὲ ὀστῶν τὴν ἰσχὺν ἐκλείπειν, σχεδὸν καὶ τοῦ μυελοῦ ἐκμυζηθέντος, ἢ ξηρανθέντος, ἐγγὺς δὲ εἶναι λοιπὸν τοῦ θανάτου τὴν ψυχὴν, καὶ τὰ ἐν ᾅδου φαντάζεσθαι.

ΚΕΙΜ. Ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτὸν, ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον· ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν, τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ.

Οὗτος, φησὶν, ὁ ἐν τοῖς ἐσχάτοις ἐξεταζόμενος, ἐὰν τὸ αἴτιον τῆς νόσου νοήσας τὴν ἁμαρτίαν, ἐπιστραφῇ πρὸς Θεὸν, δι' ἐξομολογήσεως, τὰς ἰδίας μέμψεις καὶ ἁμαρτίας ἐξαγορεύων, ἵστησιν ἐπηρτημένον τὸν θάνατον,

κἂν μυρία ὦσι τὴν πλάτην προκαλούμενα. ἡ γὰρ μετάνοια ἀπαλείφει μὲν τὴν ἁμαρτίαν, δυσωπεῖ δὲ τὸν Θεὸν, ἐφ' ᾧ τὴν ἀπόφασιν ἀνακαλέσασθαι.

ΚΕΙΜ. Ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον, ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα, ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ, ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου, ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.

ΤΟΥ ΑΥΤΟΥ. Ὅρα τοὺς καρποὺς τῆς μετανοίας, καὶ ὅτι οὐ μόνον θάνατον κωλύει αὐτὴ, ἀλλὰ καὶ εὐεξίαν χαρίζεται. ὁ γὰρ Θεὸς, φησὶν, ἀντιλαμβάνεται τοῦ μετανοοῦντος, καὶ οὐκ ἐᾷ αὐτὸν πεσεῖν εἰς θάνατον· ἀλλὰ καθάπερ οἱ τοῖχον κατεῤῥωγότα καὶ ἐκβράσαντα διὰ τῆς ἐπαλείψεως τῆς κονίας ἀνανεούμενοι· οὕτως ἀνακαινίζει τὸ διεφθορὸς αὐτοῦ σῶμα, καὶ εὐπρεπὲς ἀποδείκνυσι· καὶ ὥσπερ ἐξ ἀρχῆς ἀναπλάττων, τὰ μὲν ὀστᾶ πληροῖ μυελοῦ, νεοπαγεῖς δὲ αὐτῷ χαρίζεται σάρκας, καὶ τὸ δὴ πέλος ἀνδρώσας, τουτέστιν, ἐπιῤῥώσας, καὶ ἰσχὺν αὐθεκτικὴν παρασχόμενος, τῇ μετὰ ἀνθρώπων διατριβῇ πάλιν αὐτὸν ἀποκαθίστησιν· ἢ, κατὰ τοὺς λοιποὺς, ἐπιστρέφει εἰς ἡμέρας νεότητος αὐτοῦ.

ΚΕΙΜ. Εὐξάμενος δὲ πρὸς Κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται.

Ὁ δὲ Θεοδοτίων, δεηθήσεται τοῦ Θεοῦ, καὶ εὐλογήσει αὐτόν. ἡ δὲ διάνοια, ἤτοι ὅτι αἱ πρὸς Θεὸν αὐτοῦ εὐχαὶ καὶ ὑποσχέσεις οὐκ ἀποπεμφθήσονται, ἀλλὰ δεκταὶ ἔσονται· ἢ ὅτι αἱ προσευχαὶ αὐτοῦ δεχθήσονται, καὶ τὴν ἄνωθεν εὐλογίαν αὐτῷ κομιοῦσιν.

ΚΕΙΜ. Εἰσελεύσεται προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ.

Οἱ δὲ λοιποὶ, ἱλαρῷ. ἀντὶ δὲ τοῦ, σὺν ἐξηγορίᾳ, Ἀκύλας μὲν, καὶ Θεοδοτίων, ἐν ἀλαλαγμῷ, Σύμμαχος δὲ, ἐν ὑμνολογίᾳ, ἐξέδωκε. τότε, φησὶν, ὁ ἀπὸ τῆς νόσου, καὶ τοῦ προσδοκωμένου θανάτου διασωθεὶς, εὐχαριστήριον εὐχὴν, καὶ ἐξομολόγησιν εὐπρόσδεκτον ἀνοίσει Θεῷ, καὶ μετὰ παῤῥησίας αὐτῷ προσελεύσεται· ταύτην γὰρ δηλοῖ τὸ καθαρὸν, εἴτουν ἱλαρὸν πρόσωπον· καὶ ὑμνήσει Θεὸν, καθαρθεὶς διὰ τῆς παιδεύσεως.

ΚΕΙΜ. Ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην.

Ἤτοι αὐτὸς ὁ παρὰ Θεοῦ εὐεργετηθεὶς ἄνθρωπος ἑκάστῳ τῶν ὁμογενῶν τὰ κατ' ἀξίαν ἀποδώσει, τιμῶν λοιπὸν τὸ δίκαιον, καὶ καλλίων γεγονὼς διὰ τῆς παιδεύσεως· ἢ ὁ Θεὸς δικαιώσει τοὺς οὕτω διατεθέντας, καὶ ἀποδώσει αὐτοῖς τὴν ἐφ' οἷς πρότερον ἐπλημμέλησαν ἄφεσιν.

ΚΕΙΜ. Εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων, οἷα συνετέλουν; καὶ οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον.

Γνοὺς δὲ ὁ σωθεὶς τῆς σοφῆς τοῦ Θεοῦ σοφίας τὸ κέρδος, καταγνώσεται μὲν

αὐτοῦ,

ἑαυτῦ, ἀχαριςῶν δὲ ἐρεῖ, ὡς ἐλάττονα ὧν ἐπλημμέλησα πεπαίδευμαι, καὶ ἐκ ἄξια πέπονθα ὧν δέδρακα.

ΚΕΙΜ. Σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθορὰν, καὶ ἡ ζωή μου φῶς ὄψεται.

Ο'ΛΥΜΠ. Καὶ ταῦτα τῆς ἀρχῆς καὶ τοῦ ὕμνου τὰ ῥήματα· ἐρεῖ γὰρ, ἀχαριςῶ ὅτι ἐρρύσω με ἀπὸ τοῦ θανάτου, καὶ τῆς ἐντεῦθεν διαφθορᾶς, καὶ διαλύσεως, ζῆν δέ με, καὶ τὸ φῶς τοῦτο βλέπειν συνεχώρησας· τοῦτο δέ μοι καὶ εἰς τὸ ἑξῆς γενέσθαι παρακαλῶ. τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι εὔξεται, μὴ τῆς τῶν ἀδίκων μερίδος μετὰ τὸν δε τὸν βίον, τῆς ἐν τῇ διαφθορᾷ, γενέσθαι, ἀλλὰ τῆς τῶν δικαίων ἐν τῷ φωτί.

ΚΕΙΜ. Ι'δοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ Α'νδρός· καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν.

Ο' δὲ Σύμμαχος, δὶς τρὶς πρὸς ἕκαςον, ὥςε μετακαλέσαι τὴν ψυχήν μου ἐκ θανάτου. ὁ δὲ νοῦς τῶν ῥημάτων τοιοῦτος· ταῦτα τοῦ σοφοῦ, καὶ ἰσχυροῦ Θεοῦ τὰ ἔργα, διὰ τριῶν τούτων τρόπων τοὺς ἁμαρτάνοντας ἐπιςρέφοντος, διὰ τοῦ λαλεῖν, διὰ τοῦ φοβεῖν ἐνυπνίοις, διὰ νοσημάτων. ταύτας τὰς τρεῖς ὁδοὺς καὶ οἰκονομίας μετ' Α'νδρὸς ἑκάςου ὁ παντοδύναμος ἐργάζεται· ἵνα μιᾷ γοῦν τῶν τοιούτων ὁδῶν σωφρονισθεὶς ὁ πλημμελῶν, φύγῃ μὲν τὸν θάνατον, ζῶν δὲ ὑμνῇ τὸν Θεὸν, ὃς οὕτω τὰ κατὰ τοὺς ἀνθρώπους διοικεῖ, παρέχει τὸ εἶναι, ὑφηγεῖται τὰ δέοντα, καὶ ἢ μισθὸν δίδωσι τῶν κατορθωμάτων, ἢ δίκην εἰσπράττεται τῶν παραβαθέντων, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, διδάσκων ἐν τῷ λαλεῖν, ἀπειλῶν ἐν φόβοις νυκτερινοῖς, βασανίζων ἐν ἀσθενείαις.

ΚΕΙΜ. Ε'νωτίζου Ι'ώβ, καὶ ἄκουέ μου· κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω. εἰ εἰσί σοι λόγοι, ἀποκρίθητί μοι· λάλησον, θέλω γὰρ δικαιωθῆναί σε· εἰ μὴ, σὺ ἄκουσόν μου, κώφευσον, καὶ διδάξω σε.

Τί, φησὶ, τὸν Θεὸν καλεῖς τὸν ἀόρατον εἰς τὴν μετὰ σοῦ κρίσιν; ἰδοὺ ἐγὼ ἄνθρωπος ὢν, καὶ ὁρώμενος κατὰ σὲ, πάρειμι· κἂν ἡσυχάσῃς, διαλέξομαι πρὸς σὲ, κἂν ἔχῃς τι ἀντιθεῖναι, φθόνος οὐδεὶς· εἰ δὲ μηδὲν δύνασαι ἀποκρίνασθαι, πάλιν ἡσύχασον, καὶ δέχου τὰ παρ' ἐμοῦ ῥηθησόμενα.






ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ ΤΡΙΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΕΙΡΗΚΩΣ ὁ Ἐλιὺς τρόπον κηδεμονικῆς παιδεύσεως Θεοῦ, καὶ ὅτι δι' ἐνυπνίων φοβῶν, καὶ διὰ νόσων παιδεύων, ἐπὶ τὸ κάλλιον ἡμᾶς ἐπανάγει· πάλιν ἐξ ἑτέρας ἀρχῆς ποιεῖται τὸν λόγον, καὶ προοιμιαζόμενος παρακαλεῖ τοὺς ἀκροατὰς εἰς τὴν τῶν λεγομένων κατανόησιν. προτίθεται δὲ διδάσκειν περὶ κολάσεως ὁλοθρευούσης ἀδίκους· καὶ ἀξιοῖ τοὺς ἀκροατὰς διακρῖναι, εἰ καλῶς εἴρηται τῷ Ἰὼβ, ὡς αὐτὸς μὲν δίκαιός ἐστιν, ὁ δίκαια δὲ πάσχει παρὰ Θεοῦ. εἶτά φησιν, ὅτι ἑκάστῳ τὰ κατ' ἀξίαν ὁ Θεὸς ἀπονέμων, κολάζει τοὺς ἀδίκους· καὶ λογισμοὺς τούτου τίθησιν· ὁ γὰρ δημιουργὸς οὐκ ἂν ἀνάσχοιτο, φησὶν, ἀδικῆσαι τὰ ἴδια ποιήματα. περὶ μὲν οὖν δικαίας κρίσεως τοῦ Θεοῦ ὀρθῶς εἴρηται τῷ Ἐλιοῦ· μέμφεται δὲ τῷ Ἰὼβ, ὅτι πρὸς Θεὸν ὁμοτίμως ἤθελε κρίνεσθαι, τῇ μὲν προφορᾷ τῶν ῥημάτων προσέχων, μὴ συνεὶς δὲ, ὡς ὁ Θεοῦ κατηγορῶν οὐ δίκαιος, ἀλλὰ τοὺς φίλους διελέγξαι θέλων, τὴν πρὸς Θεὸν ἐπόθει διαδικασίαν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει, ἀκούσατέ μου σοφοὶ, ἐπιστάμενοι ἐνωτίζεσθε· ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν. κρίσιν ἑλώμεθα ἑαυτοῖς, γνῶμεν, ἀναμέσον ἑαυτῶν τί καλόν· ὅτι εἴρηκεν Ἰὼβ, δίκαιός εἰμι· ὁ Κύριος ἀπήλλαξέ μου τὸ κρίμα, ἐψεύσατο δὲ τῷ κρίματί μου· βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας.

ΙΟΥΛΙΑΝ. καὶ ΟΛΥΜΠ. Ἐκμειλίσσεται τοὺς ἀκροατὰς ὁ Ἐλιοὺς διὰ τὰς προλαβούσας κατ' αὐτῶν μέμψεις, καὶ σοφοὺς αὐτοὺς καλέσας, καὶ τοῦ καλοῦ ἐπιστήμονας, φησὶ, λέγων, ὦ φίλοι, ἀκοὴ κριτικὴ, τὸ ψεῦδος, καὶ τὸ ἀληθὲς διαστέλλουσα, καὶ τὸ καλὸν, καὶ τὸ φαῦλον διαιροῦσα, καθὰ καὶ βρωμάτων ὁ λάρυγξ, τὰς τούτων δοκιμάζων ποιότητας, καὶ τὸ ἡδὺ, καὶ τὸ πικρὸν φιλοκρινῶν. εἰς κοινὴν τοίνυν προκείσθω σκέψιν ἡ τοῦ ἀληθοῦς ἔρευνα, εἰ καλῶς ὁ Ἰὼβ ἐλάλησε, λέγων, δίκαιος μὲν εἰμὶ, ὁ δὲ Θεός μοι τὸ κριτικὸν οὐκ ἐφύλαξεν· ἀλλὰ, κατὰ Σύμμαχον καὶ Ἀκύλαν, παρέτρεψε, καὶ ἀπέστησεν ἀπ' ἐμοῦ τὸ κρίμα, καὶ περὶ τὴν κρίσιν μου ψεύσ-

μα-

μα· οὐ γὰρ πρὸς ἀξίαν ἔκρινε τὰ κατ' ἐμὲ, ἀλλ' ἀπήγαγεν ἀπ' ἐμοῦ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ὡς δυνατὸς μᾶλλον, ἢ δίκαιος, ἀναιτίως τὴν πληγὴν ἐπήγαγε κατὰ τοῦ μηδὲν ἀδικήσαντος. ὁ μὲν οὖν Ἐλιοὺς οὕτω παρεδέξατο τὰ εἰρημένα· ὁ δὲ Ἰὼβ τοῦτο ἔλεγεν, ὅτι ὑπερέθετο ὁ Θεὸς κρῖναι τὰ κατ' ἐμέ· εἰ δὲ ἐβούλετό μου ἀκοῦσαι, δίκαιος ὤν, ἐρρύετο ἄν με τῶν ἀναγκῶν· τοῦτο γὰρ ἐδήλου, τὸ, κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα. περιξέει ὁ Ἐλιοὺς, καὶ παρατρέπει τοῦ Ἰὼβ τὰ ῥήματα, ἀγνοήσας ἐξ οἵας ἀγάπης τοὺς λόγους προέφερε.

ΚΕΙΜ. Τίς ἀνὴρ, ὥσπερ Ἰὼβ πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ; οὐχ ἁμαρτὼν, οὐδὲ ἀσεβήσας, ἢ οὐδ' οὐ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα, τοῦ πορευθῆναι μετὰ ἀσεβῶν.

ΟΛΥΜΠ. Κἀγὼ, φησὶν, ἐπίσταμαι τοῦ Ἰὼβ τὴν ἀρετὴν, ὡς τὰς μὲν ὕβρεις, ἐκ προαιρέσεως ὑποδέχεται, ὥσπερ οἱ τὸ ὕδωρ ἐκπίνοντες, καὶ ταῦτα, μηδὲν μήτε πρὸς ἀνθρώπους ἁμαρτὼν, μήτε πρὸς Θεὸν ἀσεβήσας, μήτε τὴν μετὰ ἀνόμων ἢ ἀσεβῶν κοινωνίαν καὶ διατριβὴν ἀσπαζόμενος. τοῦτο δὲ δεῖγμα μεγίστης ἀρετῆς, τὸ φέρειν ὕβριν ἀλύπως.

ΚΥΡΙΛΛΟΥ. Χρῆμα τῶν ἄλλων ἁπάντων ὅ, τι μάλιστα τιμαλφέστατον ἡ ἀταραξία· τοιοῦτον ἡμῖν ὁ λόγος ὑπογράφει τὸν Μακάριον Ἰώβ· εἴρηται γὰρ περὶ αὐτοῦ, τίς ἀνὴρ ὥσπερ Ἰὼβ, πίνων μυκτηρισμὸν ὡς ὕδωρ; ἀξιοζήλωτος γὰρ ἀληθῶς, καὶ παντὸς οἶμαι θαύματος ἄξιος· εἰ πρὸς τοῦτο τις ἥκει μακροθυμίας, ὡς ἀκόλως δύνασθαι διαθλεῖν τὴν ἐκ τοῦ πλεονεκτεῖσθαι δριμεῖαν ἀληθῶς, καὶ οὐ τοῖς τυχοῦσιν ἀκαταγώνιστον λύπην.

ΚΕΙΜ. Μὴ γὰρ εἴπῃς, ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρὸς, καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίου.

ΟΛΥΜΠ. Πρὸς τοὺς φίλους εἰρηκὼς τὰ περὶ τοῦ Ἰὼβ, νῦν πρὸς αὐτὸν τρέπει τὸν λόγον, καὶ φησὶ, μέμφομαί σοι, οὐχ ὡς ἀδίκῳ, ἀλλ' ὡς ἀνεπισκέπτῳ καὶ ἀπρονόητα νομίζοντι τὰ καθ' ἡμᾶς. πεπλάνηται δὲ πάλιν Ἐλιοὺς ἀπὸ τοῦ λέγειν τὸν δίκαιον, διατί ἀσεβεῖς ζῶσι; καὶ διατί Κύριον ἔλαθον ὧραι; ἃ προβληματικῶς πρὸς τοὺς φίλους προέφερε. Θεοδοτίων δὲ καὶ Σύμμαχος, ὁ μὲν ἐξέδωκεν, ὅτι εἶπεν, οὐ κινδυνεύσει ἀνὴρ ἐν τῷ εὐδοκιμῆσαι αὐτὸν μετὰ Θεοῦ· ὁ δὲ οὐχὶ σωθήσεται ἀνήρ; ἀναγνωστέον δὲ, τὸ μὲν τῆς Θεοδοτίωνος κατὰ ἀπόφασιν, τὸ δὲ τοῦ Συμμάχου, ἐν ἤθει, καὶ κατ' ἐρώτησιν.

ΚΕΙΜ. Διὸ Συνετοὶ καρδίας ἀκούσατέ μου. μή μοι εἴη ἔναντι Κυρίου ἀσεβῆσαι, καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον· ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν· καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν.

Ἐπεὶ οὖν, φησὶν, οὐ περὶ τῶν τυχόντων ἡ σκέψις, μὴ παρέργως ἀκούσητε, ὦ φίλοι, ὅτι καὶ συνιέναι δύνασθε τὰ λεγόμενα· μὴ δὴ γένοιτό μοι εἰς ἀσεβεῖς ἐμπεσεῖν λόγους, μηδὲ ἐπὶ

και-

παντοκράτορος Θεοῦ λαλοῦντα, φθέγξασθαί τι παρὰ τὸ δίκαιον· οἶδα γὰρ ὡς Θεὸς ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμων, ὡς εὑρίσκει τὸν καθ' ἕνα πορευόμενον, οὕτως αὐτὸν κρινεῖ. Σύμμαχος δὲ ἐκδοὺς, ἄπειη τοῦ Θεοῦ ἀνομία, καὶ τοῦ ἱκανοῦ ἀδικία, τοῦτό φησι, μὴ εἴποιμι, τὸν Θεὸν ἀκρίτως τι ποιεῖν, κατὰ γὰρ τὴν ὁδὸν αὐτοῦ ἑκάστῳ συμβήσεται, καὶ ἐπ' αὐτοφόρῳ ἐλέγξει αὐτόν.

ΚΕΙΜ. Οἴει δὲ τὸν Κύριον ἄτοπα ποιήσειν; ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν, ὅς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' Οὐρανὸν, καὶ τὰ ἐνόντα πάντα;

ΤΟΥ ΑΥΤΟΥ. Κύριός ἐστιν ὁ Θεὸς, καὶ παντοκράτωρ, καὶ πάντων τῶν ὄντων δημιουργός· αὐτὸς γὰρ ἐποίησε τὸν Οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ μεταξύ. οὐκ ἂν οὖν, φησὶν, ὁ δεσπότης ἄτοπόν τι πράξῃ περὶ τὸ ὑπήκοον· οὐδὲ ὁ κατὰ πάντων τὸ κράτος ἔχων, τοῦ δικαίου σύγχυσιν ἐργάσαιτο· οὐδὲ ὁ δι' ἀγαθότητα τὸ πᾶν συστησάμενος, ἀλλ' οὐχ ὑπό τινος ἀναγκασθεὶς, τὸ οἰκεῖον ἀδικήσοι δημιούργημα· μὴ γὰρ ἀλλότρια αὐτοῦ ἐστὶ τὰ ἔργα, ἵνα ἡμᾶς ἀδικήσῃ, φείδεται δὲ μᾶλλον τῶν ἑαυτοῦ.

ΚΕΙΜ. Εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, τελευτήσει πᾶσα σάρξ ὁμοθυμαδὸν, πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη.

Εἰ γὰρ μόνον, φησὶ, θέλει ὁ Θεὸς ἀνασχεῖν τὴν πνοὴν, καὶ ζωὴν τὴν τοῖς ζῶσιν ἐχαρίσατο, πανωλεθρίᾳ πάντες ἄνθρωποι διαφθαρήσονται, καὶ εἰς γῆν, ἐξ ἧς ἐλήφθησαν, ἀναλυθήσονται.

ΚΕΙΜ. Εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα, ἐνωτίζου φωνὴν ῥημάτων. ἴδε σὺ τὸν μισοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς, ὄντα αἰώνιον δίκαιον.

Οἱ λοιποὶ, εἰ μὴ συνιεὶς, ἄκουε· ἆρα ὁ μισῶν κρίσιν, ἐπιδήσει εἰς ἴασιν. οὐδὲ νοῦς οὗτος· εἰ μὲν πείθει σε ταῦτα, φησὶ, καὶ σωφρονέστερος γίνῃ, εὖ ἂν ἔχοι. εἰ δὲ μὴ καὶ τῶν ἐφεξῆς ἄκουε· κατανόησον γὰρ, ὡς ἀεὶ δίκαιος ὢν ὁ Θεὸς, μισεῖ μὲν τὰ ἄνομα, τιμωρεῖται δὲ τοὺς πονηρούς. συλλογισμῷ δὲ κέχρηται τοιῷδε· εἰ κολάζει μισῶν πονηρίαν, δίκαιος ἄρα καὶ οὐκ ἄν τι πράξῃ παρὰ τὸ δίκαιον· οὐ γὰρ ἂν μισῶν κρίσιν, εἶτα δικαιοσύνην, ἐπεδέσμει τινὰ καὶ ἐπεῖχεν, ὥστε θεραπευθῆναι τὴν ἐκείνου κακίαν· ἀλλ' αὐτοὺς ἂν τοὺς πονηροὺς κατελίμπανε, μὴ κωλύων αὐτῶν τὴν ἐπὶ τὸ πρόσω φορὰν, νόσοις, ἢ φόβοις, ἢ τοιούτοις τισί. νῦν δὲ ἐπικόπτων φαυλότητα, καὶ ἰώμενος τὸν κατὰ ταύτην νοσοῦντα, δείκνυσιν, ὅτι οὐ μισεῖ τὴν κρίσιν, ἀλλ' ἀγαπᾷ.

ΚΕΙΜ. Ἀσεβὴς ὁ λέγων βασιλεῖ, παρανομεῖς· ἀσεβέστατοι, τοῖς ἄρχουσιν.

Εἰ κατὰ ἀνθρωπίνην, φησὶν, ἀκολουθίαν, ὁ λέγων βασιλεῖ παρανομεῖς, ὡς ἀσεβέστατος κρίνεται παρὰ

τοῖς ἄρχουσιν, ἅτε τὰ τῆς ἀναρχίας κακὰ μηχανώμενος· τί ἂν πάθοιεν οἱ πρὸς Θεὸν τολμῶντες εἰπεῖν, παρανομεῖς. εἰ γὰρ καὶ μὴ οἶδας, ἀλλ' ὀφείλεις πολλὰ παραχωρεῖν αὐτῷ, καὶ τῇ δόξῃ αὐτοῦ, ὥστε μὴ πάντα ζητεῖν μανθάνειν. καλῶς δὲ εἶπεν, ὅτι παρὰ τοῖς ἄρχουσιν ἀσεβὴς κρίνεται, ὁ παρανομίαν ὀνειδίσας τῷ ἐπὶ γῆς Βασιλεῖ· οὐ γὰρ πάντως, καὶ παρὰ τῷ Θεῷ.

ΚΕΙΜ. Ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον ἐντίμου (οἱ δὲ λοιποὶ ἀρχόντων) οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν. κενὰ δὲ αὐτοῖς ἀποβήσεται, τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός.

ΟΛΥΜΠ. Ἀσεβὴς δὲ, φησὶ, κρίνεται, καὶ ὁ μὴ τιμήσας τὸν πλούσιον, μηδὲ καταπλαγεὶς τὴν προσοῦσαν αὐτῷ δυναστείαν. καίτοι γε οἱ ἐπικαλούμενοι τὴν τῶν ἀνθρώπων βοήθειαν, καὶ πεποιθότες ἐπ' ἄρχουσι, μάταιοι, καὶ οὐδὲν ἐκεῖθεν ἐκέρδησαν.

ΚΕΙΜ. Ἐχρήσαντο γὰρ παρανόμως, ἐγκλειομένων ἀδυνάτων.

Κακῶς, φησὶν, ἤτοι τῇ δυναστείᾳ ἐχρήσαντο, ὅτι πρὸς χάριν ἀνθρώπων τὸ δίκαιον παρεῖδον, καὶ τοὺς ἀδυνάτους καὶ πενιχροὺς ἐγκλεισθῆναι ἐποίησαν, τοῦ προσόντος αὐτοῖς δικαίου.

ΚΕΙΜ. Αὐτὸς γὰρ ὁρατὴς ἐστὶν ἔργων ἀνθρώπων· λέληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν, οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα.

Οὐ δύνανται, φησὶν, κρυβῆναι ἀπὸ Θεοῦ, καὶ λαθεῖν αὐτὸν, ἢ μὴ ὀφθῆναι παρ' αὐτοῦ, οἱ δρῶντες τὰ ἄνομα· σὺ δέ μοι παρατήρει, πῶς οὐδαμοῦ καθικνεῖται, καθάπερ ἐκεῖνοι, τοῦ Ἰώβ, πῶς ἐπιτιμητικός ἐστιν, οὐχὶ κατηγορικός· καὶ οὐ λέγει αὐτῷ, ὅτι ἥρπασας ὀρφανοὺς, καὶ χήρας· ἀλλ' ὅτι Θεὸς δίκαιός ἐστιν.

ΚΕΙΜ. Ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι.

Ἔοικε τοῦτο λέγειν, ὅτι νῦν μὲν ἐν ἡμῖν κεῖται τὸ καλὸν καὶ τὸ φαῦλον, ἐν δὲ τῷ μέλλοντι αἰῶνι οὐκ ἔτι· οὐ γάρ ἐστι τότε ἐργασίας καιρὸς, οὐ δὲ θήσει ἔτι ὁ Θεὸς ἐπὶ ἄνθρωπον τὴν ἐκλογὴν τῶν πρακτέων. οἱ δὲ οὕτω νοοῦσιν, ὅτι οὐκ ἐκ τοῦ καθένα ὄψεται τὸ δίκαιον. κατὰ δὲ Σύμμαχον, οὐ γὰρ ἐπ' ἀνθρώπῳ κεῖται ἔτι. ἐπειδὴ οὖν εἶπεν, ὅτι οὐδὲν λανθάνει τὸ πανδερκὲς τοῦ Θεοῦ ὄμμα, ἐπήγαγεν εἰκότως, ὅτι οὐδὲν ἐπίκειται κάλυμμα, ὥστε διατειχίζειν τὴν ὄψιν.

ΚΕΙΜ. Ὁ γὰρ Κύριος, πάντας ἐφορᾷ, ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε, καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, καὶ στρέψει νύκτα καὶ ταπεινωθήσονται.

Πανεπίσκοπος ὢν, φησὶν, ὁ Θεὸς καταλαμβάνει μὲν τὰ πᾶσιν ἀκατά-

ληπτα· ἐργάζεται δὲ τὰ παράδοξα, πάντα εἰδὼς τὰ παρὰ ἀνθρώποις πραττόμενα· διὰ τοῦτο καὶ τὸ φῶς τῶν ἀσεβῶν, εἴτουν τὴν λαμπρότητα καὶ δημεῖαν, εἰς νύκτα καὶ κατήφειαν μεταβάλλει, καὶ ταπεινοῖ αὐτούς.

ΚΕΙΜ. Ε῎σβεσε δὲ ἀσεβεῖς· ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ.

Φανεροὶ, φησὶν, εἰσὶν παρ' αὐτῷ οἱ τῆς ἀνομίας ἐργάται· διὸ καὶ πρὸς μικρὸν ἐν διαπραγίᾳ λάμψαντες, ἀποσβέννυνται· ὁρᾷ μέντοι τοὺς ἀσεβεῖς ὁ Θεὸς, οὐ κατὰ τὴν ἀντιληπτικὴν ἐπισκοπὴν, ἀλλ' ὥστε αὐτοὺς τιμωρήσασθαι· κατὰ τὸ ψαλμικόν, πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι.

ΚΕΙΜ. Ο῞τι ἐξέκλιναν ἐκ νόμου Θεοῦ, δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν, τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων. καὶ κραυγὴν πτωχῶν εἰσακούσεται.

Ο'ΛΥΜΠ. Αἰτίας λέγει, δι' ἃς οἱ ἀσεβεῖς κολάζονται, ὅτι διὰ τὸ μὴ ἐπιγνῶναι πρακτικῶς τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλ' ἐκκλίναι ἀπὸ τοῦ θείου νόμου. ἐπάγεσθαι δὲ φησὶ, τὴν τῶν πενήτων κραυγὴν εἰς Θεὸν, ὅτι περ ἀδικούμενοι βοῶσι, καὶ τὴν ἄνωθεν ἐπισπῶνται βοήθειαν· ὥστε αὐτοὶ οἱ ἀδικοῦντες ἐπάγουσιν εἰς Θεὸν τὴν τοῦ ἀδικουμένου πένητος κραυγήν.

ΚΕΙΜ. Καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται;

Ο' δὲ Σύμμαχος, Αὐτοῦ δὲ ἠρεμίαν διδόντος, τίς κατακρινεῖ; ἤτοι δὲ τοῦτο, φησιν, ὅτι ἐὰν παρίδῃ Θεὸς τὴν τῶν ἀδικουμένων ἐκδίκησιν, τίς ἄλλος δυνάται κατακρίναι τοὺς δυνατοὺς καὶ ἀδίκους; ἢ ὅτι ἐὰν ἀμελήσῃ Θεὸς περὶ τὴν τοῦ ἀδίκου τιμωρίαν, τίς τολμήσει καταψηφίσασθαι αὐτοῦ, ἢ κατηγορῆσαι ὡς ἀδίκου.

ΚΕΙΜ. Καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν; καὶ κατὰ ἔθνους, καὶ κατὰ ἀνθρώπου ὁμοῦ.

Τοῦτο λέγει, ὅτι ἀόρατος ὢν ὁ Θεὸς, ἀοράτους τὰς κρίσεις ἐκφέρει. τιμωρεῖται δὲ οὐ μόνον κατὰ ἄνδρα, ἀλλὰ καὶ κατὰ ἔθνη, καθ' οὓς οἶδεν αὐτὸς λόγους.

ΚΕΙΜ. Βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ.

Καὶ τοῦτο τῆς θείας οἰκονομίας, τὸ πολλάκις φαινόμενόν τινα τῷ σχήματι ἀγαθὸν συγχωρῆσαι βασιλέα ἀναγορευθῆναι, διὰ τὴν τοῦ λαοῦ μοχθηρίαν δεομένην παιδεύσεως· καθὼς εἶπε, καὶ ἔδωκα αὐτοῖς βασιλέα ἐν ὀργῇ τοῦ θυμοῦ μου.

ΚΕΙΜ. Ο῞τι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων, εἴληφα, οὐκ ἐνεχυράσω, ἀυτὸς ἐμαυτοῦ ὄψομαι· σὺ δεῖξόν μοι.

ΤΟΥ῀ ΑΥ῀ΤΟΥ῀. Τινὲς οὕτως ἡρμήνευσαν, ὅτι μὴ τολμᾷ τὶς εἰπεῖν τῷ ἰσχυροτέρῳ, ὅτι ἀδίκως εἴληφας

τὰ ἐμὰ, ὐκ ἐνεχύρυ χάειν, ὡς ἐποφειλόμενα, καὶ παρὰ γνώμlω ἐμlὼ εἴληφας· ἐπίδειξον ὅτι ἀλόγως τῦτο δέδρακας, εἰ δὲ τῷ δυνατῷ ταῦτα ὐδεὶς εἰπεῖν τολμᾷ, πῶς σὺ, φησὶ, τοιαῦτα θρασιώῃ κατὰ Θεῦ; ὁ δὲ Σύμμαχος, ὕτως ἐκδέδωκεν, ὅτι πρὸς Θεὸν ῥῆσιν ἀνέλαβον, ὐχ ἔξω ἀκωλύτως· σὺ διασάφησόν μοι· ὃ δὲ ἐνόησεν ὗτος, ἴσως τῦτό ἐστιν· ἐπειδὴ τlὼ ὑπὲρ Θεῦ ῥῆσιν ἀνέλαβόν, φησιν, ὁ Ἐλιὐς, ὐκ ἐπέχω, ἀλλ' ἀκωλύτως ἐπεξέρχομαι τῷ λόγῳ· εἰδὲ μὴ καλῶς λέγω, σὺ δεῖξον τῦτο, καὶ τὸν λόγον ἔλεγξον. οἶμαι δὲ μᾶλλον ὕτω νοεῖσθαι τὸ κείμενον, ὅτι ὐκ ἐπειδὴ τὸ ὑπὲρ Θεῦ λέγειν εἴλεμlω, παρὰ τῦτο δεῖ σε καὶ συνομολογεῖν ἁπλῶς, οἷα δὴ χρεῖον ἀπαιτῦντι, ἀλλὰ καὶ χωρεῖς τῦ ἐμῦ λόγυ ἰδεῖν ἐθέλοντι, εἴτι καὶ ἀντειπεῖν ἔχοις· ἐγὼ μὲν οὖν ἡσυχίαν παρέξομαι, σὺ δὲ ἐπιλαμβανῦ τῶν λόγων, εἰ δύνασαι, καὶ εἴτι ἐσφάλlω, δίδαξον.

ΚΕΙΜ. Εἰ ἀδικίαν εἰργασάμlω, ὐ μὴ προσθήσω.

Δεῖξόν, φησιν, ὦ Ἰώβ, ὅτι ἀδίκως λαλῶ ταῦτα, καὶ παύσομαι.

ΚΕΙΜ. Μὴ ἀπὸ σῦ ἀποτίσει αὐτlὼ, ὅτι σὺ ἀπώσῃ, ὅτι σὺ ἐκλέξῃ, καὶ ὐκ ἐγώ; καὶ τί ἔγνως, λάλησον.

Μὴ τῶν ἐμῶν, φησὶ, λόγων τὰς δίκας σὺ μέλλεις ἀποτίσαι; ὐκοῦν μὴ ἀπώσῃ, ἀλλὰ διέλεγξον τὰ εἰρημένα. σὸν γάρ ἐστιν ἐκλέξασθαι καὶ διακρῖναι πότερον καλῶς ἢ κακῶς ἐλάλησα, ὐκ ἐμῦ τῦ εἰρηκότος· εἰ πλέον οὖν τὶ γινώσκεις, ἀπόκριναι.

ΚΕΙΜ. Διὸ συνετοὶ καρδίας ἐρῦσι ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μυ τὸ ῥῆμα.

ΟΛΥΜΠ. Ὡς τῦ Ἰὼβ σιωπήσαντος, κυροῖ τὺς ἑαυτῦ λόγυς, ὁ Ἐλιὐς, καὶ φησιν, ὅτι ταῦτα ἅπερ εἶπον πρὸς σὲ, καὶ ἄλλοι συνετοὶ λέξυσί σοι· καὶ εἴτις ἀνὴρ συνετὸς, τῶν ἐμῶν ἀκύει λόγων, καὶ τύτοις συντίθεται.

ΚΕΙΜ. Ἰὼβ δὲ ὐκ ἐν συνέσει ἐλάλησε, τὰ ῥήματα αὐτῦ ὐκ ἐν ἐπιστήμῃ.

Ἐγὼ μὲν, φησὶν, ἐμφρόνως ἐλάλησα, σὺ δὲ ὦ Ἰὼβ, ὁ διαβόητος ἐν φρονήσει, ὐκ ἐπιστημόνως λελάληκας, πρὸς Θεὸν κρίνεσθαι βυληθείς. τῦτο δὲ ἠρέμα καὶ συγγνώμης ἐστίν· αἰτιᾶται γὰρ αὐτὸν ὐ δι' ἔργα, ἀλλὰ διὰ λόγυς, ὥσπερ οὖν κἀκεῖνοι, μέχει ποτὲ πνεῦμα πολυῤῥημον τῦ στόματός μου.

ΚΕΙΜ. Οὐ μlὼ δὲ ἀλλὰ μάθε, Ἰὼβ, μὴ δῷς ἔτι ἀνταπόκρισιν, ὥσπερ οἱ ἄφρονες· ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡμῶν.

Ἀλλὰ τύτων, φησὶν, ὕτως ἐχόντων, δέξαι μου τlὼ συμβυλlὼ, καὶ μηκέτι χρήσῃ τοῖς αὐτοῖς λόγοις, ὥσπέρ τις ἄφρων, ἵνα μὴ διὰ τῶν δὰ τέρων ἐπαυξήσωμεν τὰ πταίσματα· ἀλαβῦμαι γὰρ ἐν τύτοις ἔγωγε, μὴ καὶ περὶ τῶν ψιλῶν ῥημάτων λόγον ὑφέξωμεν

τῷ δικαιοκρίτῃ. τῷ δὲ πληθυντικῷ τῆς φωνῆς κοινοποιεῖ τὸν λόγον, ἀπαράδεκτον εἰσάγων τὴν παραίνεσιν.

ΚΕΙΜ. Ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα ἐναντίον τοῦ Κυρίου.

Οὐκ εἶπε, παράπτωμα, οὐδὲ ἀσεβῆ, ἀλλ' ἀπολύτως, πολλά· δεικνὺς, ὅτι οὐδὲ πολλὰ ἀντιφθέγγεσθαι χρὴ τῷ Θεῷ· εἰ γὰρ ἐπὶ βασιλέως οὐκ αὐτὶς τολμήσειε πολλὰ φθέγγεσθαι, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ· καὶ αὐτὸ μέντοι, τὸ, πολλὰ λαλεῖν, ἁμαρτία παρὰ τῷ Θεῷ λελόγισται, κατὰ τὸ γεγραμμένον, ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΊΟΥ ΕἸΚΟΣΤΟΥ͂ ΤΕΤΑ'ΡΤΟΥ.

ὈΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

ΠΡΟΔΙΕΞΕΛΘΩ'Ν ὁ Ἐλιοὺς περὶ παιδείας Θεοῦ, νῦν τὸν περὶ μακροθυμίας κινεῖ λόγον, μεμφόμενος τῷ Ἰὼβ ἐφ' οἷς ἔλεγεν, εἰ ἐγὼ ἥμαρτον, τί σοι δύναμαι ποιῆσαι; καὶ ἐφ' οἷς ἠθέλησε κριθῆναι πρὸς Θεόν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει, τί τοῦτο ἡγήσω ἐν κρίσει;

ὈΛΥΜΠ. Ἢ τοῦτο λέγει, τί ἐλογίσω περὶ τῶν κριμάτων τοῦ Θεοῦ; ἆρα ὅτι δύναται ταῦτα καταλαβεῖν; ἢ ὅτι τί ἐλογίσω πρὸς Θεὸν θέλων κριθῆναι;

ΚΕΙΜ. Σὺ τίς εἶ ὅτι εἶπας, δίκαιός εἰμι ἔναντι Κυρίου;

Πῶς φησὶν, ἐτόλμησας ἑαυτὸν δίκαιον ἀποφῆναι ὡς πρὸς Θεόν; τὸ μὲν γὰρ, δίκαιον εἶναι τὸν Ἰὼβ, ἀληθές· τὸ δὲ μετὰ προσθήκης δίκαιον εἶναι ἔναντι Κυρίου, ψεῦδος. ἐμάθομεν γὰρ, ὅτι ὡς πρὸς Θεὸν πᾶσα δικαιοσύνη ἀνθρώπων οὐκ ἔστι δικαιοσύνη· οὐ δικαιωθήσεται γὰρ κατενώπιόν σου πᾶς ζῶν· πλείονα οὖν ὑπερηφάνειαν ἐμφαίνει, τὸ, ἔναντι Κυρίου οἴεσθαι εἶναι δίκαιον.

ΚΕΙΜ. Ἢ ἐρεῖς, τί ποιήσω ἁμαρτών;

Ἀλλ' οὐδὲ ὤφειλες, φησὶν, εἰπεῖν τί ποιήσω ἁμαρτών; οἶδας γὰρ ὃ ποιεῖν

ἔδει

ἔδει, ἀπέχεσθαι τῆς ἁμαρτίας, καὶ ἱκετεύειν Θεόν. ὁ μὲν οὖν Ἐλιοὺς πρὸς τὴν ἑαυτοῦ διάνοιαν καλῶς συνέβαλε· ὁ δὲ Ἰὼβ κρείττονι διανοίᾳ, καὶ ἀλαβέστερον ἔλεγεν, εἰ δὲ καὶ ἥμαρτον, τί σοι δύναμαι ποιῆσαι; αὐτὶ τοῦ, οὐδὲν τοσοῦτον δύναμαι ποιῆσαι ὥστε ἐξαλεῖψαι τὴν ἁμαρτίαν, εἰ μὴ τῆς σῆς τύχω φιλανθρωπίας. ἄλλοι δὲ οὕτως ἐνόησαν τὸ ῥητόν· εἰ δικαιοπραγήσας κολάζομαι, τί ἂν ἔπαθον ἁμαρτών; ὁ μέντοι Σύμμαχος, ἀντὶ τοῦ, ἢ ἐρεῖς, τί ποιήσω ἁμαρτών; ἐξέδωκεν, εἶπας γὰρ, ὅτι οὐδὲν συμβαλεῖταί σοι.

ΚΕΙΜ. Ἐγώ σοι δώσω ἀπόκρισιν, καὶ τοῖς τρισὶ φίλοις σου.

ΤΟΥ ΑΥΤΟΥ. Ὡς καὶ τοῦ Ἰὼβ ἐν σιωπῇ λαλήσαντος, καὶ τῶν τριῶν φίλων μὴ ἐχόντων ἔτι ἀπόκρισιν, αὐτὸς ὑπισχνεῖται κρείττονας ἁπάντων προφέρειν λόγους. δικαίως δὲ αὐτὸν τοῖς φίλοις συνάπτει, ὡς εἰωθόσιν αὐτῷ διὰ τοῦ ἡττηθῆναι καὶ συνθέσθαι.

ΚΕΙΜ. Ἀνάβλεψον εἰς τὸν Οὐρανὸν, καὶ ἴδε· κατάμαθε τὰ νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ.

Τουτέστιν, εἰ καὶ μὴ ἀπὸ λογισμῶν, ἀλλὰ ἀπὸ τῶν ὁρωμένων μάθε πόσον σου ἀπέχει Θεὸς, καὶ πόσον σου ἐστὶν ὑψηλότερος· ἐννόησον πρὸς τίνα δικαιολογήσασθαι ἐπεχείρησας, πόσον ὄντα ὑπὲρ σέ. ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν, οὐχ ὁ τοὺς σωματικοὺς ὀφθαλμοὺς ἐπάρας, καὶ ἰδὼν τὸν οὐρανόν, τοῦτο γὰρ τὸ ἀναβλέπειν ἔχουσι καὶ οἱ κύνες, καὶ οἱ ὄνοι· οὐδεὶς φιλόκοσμος ἀναβλέπει εἰς τὸν οὐρανὸν, ἀλλ' ὁ μὴ ἀγαπῶν τὸν Κόσμον, μηδὲ τὰ ἐν Κόσμῳ. πάλιν δὲ οὐχ ὅτι ταῦτα τὰ νέφη ὑψηλὰ ἀφ' ἡμῶν ἐστὶν, ὡς ἐὰν ἴδω τὸν Μωϋσέως βίον, καὶ τὴν ἐκείνου πρὸς Θεὸν ἀρέσκειαν, καὶ τὴν ἐμαυτοῦ σμικρότητα καὶ ταπεινότητα, οὕτω βλέπω τοῦτο τὸ νέφος ὑψηλὸν ἀπ' ἐμοῦ· ἐὰν ἔλθω ἐπὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ, ἐπὶ τοὺς βίους τῶν προφητῶν, ἐὰν ἐξετάζω αὐτῶν τὰς πράξεις, τότε ποιῶ τὸ γεγραμμένον, καὶ καταμανθάνω πόσον ἐστὶ τὰ νέφη ὑψηλὰ ἀπ' ἐμοῦ.

ΚΕΙΜ. Εἰ ἥμαρτες, τί πράξεις; εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι; ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.

ΟΛΥΜΠ. καὶ ΩΡΙΓΕΝ. Τουτέστιν, οὐδὲν αὐτὸν ἀδικήσεις ἁμαρτάνων, ἀλλ' οὐδὲ ὠφελήσεις δίκαιος ὤν· ποῖον ἐντεῦθεν αὐτῷ βλάβος ἢ κέρδος, κἂν ἥμαρτές που, κἂν δίκαιος ἦς; ἄνθρωπον μὲν γάρ τις τὸν ὁμοφυῆ, καὶ ἀδικῆσαι, καὶ εὐεργετῆσαι δύναται, τούτων δὲ οὐδέτερον περὶ Θεὸν οἷόν τε γενέσθαι· μὴ τοίνυν ἐπαίρου ἐπὶ τῇ σαυτοῦ δικαιοσύνῃ. ἐπειδὴ γὰρ ἔλεγεν, εἰ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι; διατί, φησὶ, τοῦτο εἶπας; μὴ γὰρ ὡς ἀδικούμενος φροντίζει σου ἁμαρτόντος, μὴ γὰρ ὡς βλάβην ὑπομένων; ἆρα οὖν, φησὶν, οἶδας εἰ ἥμαρτες, τί πράξεις ἐπὶ τῷ λῦσαι τὸ ἡμαρτημένον; εἰ ἥμαρτες λόγοις, λόγοις κρείττοσιν ἰάσαι;

σαι· εἰ ἥμαρτες ἐν ἔργοις, ἐν ἔργοις διαφέρουσιν αὐτὸς ἑαυτὸν ἰώμενος ἔσο· εἰδὲ πολλαὶ καὶ ἀνίατοι αἱ ἀνομίαι, διὰ τοῦτο ἐπὶ τοῖς ἀνιάτοις, οἷς ἑαυτοὺς ἰάσασθαι οὐ δυνάμεθα, ἦλθεν ὁ Ἰησοῦς Χριστὸς ἐξ Οὐρανῶν, ἵνα τὰ ἀνίατα ἰάσηται, καὶ γένηται, τὸ, μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

ΚΕΙΜ. Ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος πολλῶν. καὶ οὐκ εἶπε, ποῦ ἐστὶν ὁ Θεὸς, ὁ ποιήσας με, ὁ κατατάσσων φυλακὰς νυκτερινάς;

ΟΛΥΜΠ. Συκοφαντούμενοι μὲν, φησὶν, οἱ ἄνθρωποι, ἀπὸ τοῦ πλήθους τῶν Συκοφαντιῶν ὧν πάσχουσι, βοῶσι πρὸς Θεὸν, διὰ τὴν βίαν τὴν ἀπὸ τοῦ βραχίονος καὶ τῆς δυναστείας τῶν ἀδίκων, τῶν μὴ λογιζομένων, ὅτι ὁ Θεὸς καὶ αὐτῶν ἐστὶ ποιητὴς, ὃς ἔταξε καὶ νυκτὶ μέτρα· διῄρηται γὰρ εἰς τέσσαρας φυλακάς.

ΧΡΥΣΟΣΤ. καὶ ὨΡΙΓΕΝ. Ἡ οὐχ ὁρᾷς, καθάπερ ἐν στρατοπέδῳ, πάντα διαπεπτυγμένα, καὶ μετὰ πλείονος ἀκριβείας ἕκαστον ἐν τάξει μένον τῇ προσηκούσῃ, οὐδὲν τῶν πάντων τὸν οἰκεῖον ὑπερβαῖνον ὅρον, οὐδὲ τοῖς ἀλλοτρίοις ἐπιπηδῶν χωρίοις; καθευδόντων γοῦν τῶν ἀνθρώπων, οὐδεὶς ἐπιβουλεύει· ὅτε τὰ θηρία διαβαίνει, τότε οὗτοι καθεύδουσιν. ὅρα δὲ ὅτι ἐγκώμια τοῦ Θεοῦ καὶ ὕμνους διεξέρχεται ὁ Ἐλιοὺς, λέγων περὶ αὐτοῦ, ὁ κατατάσσων φυλακὰς νυκτερινάς. θέλεις ἰδεῖν, πῶς κατατάσσει φυλακὰς νυκτερινὰς ὁ Θεός; ὅλος ὁ αἰὼν οὗτος νὺξ ἐστὶ, σκότος ἐστὶ, τὸ φῶς τηρεῖταί σοι· νῦν γὰρ δι' ἐσόπτρου βλέπεις, μέλλεις δέ ποτε βλέπειν τὸ φῶς. οὐκοῦν νὺξ ἐστὶ πᾶς ὁ αἰὼν, καὶ χρεία τῶν φυλακῶν τεταγμένων εἰς νύκτα ταύτην, ἵνα οἱ φύλακες, οἱ ἐπὶ τῶν νυκτῶν, φρουρῶσι τοὺς ἐν νυξὶν ἀπὸ τῶν λῃστῶν, ἀπὸ τῶν θηρίων, ἀπὸ τῶν πολεμίων. τίνες οἱ φύλακες; οἱ παρεμβλέποντες ἄγγελοι.

ΚΕΙΜ. Ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ δὲ πετεινῶν Οὐρανοῦ.

ὨΡΙΓΕΝΟΥΣ. Κατὰ δὲ τοὺς λοιποὺς, διδάσκων ἡμᾶς ὑπὲρ τὰ κτήνη τῆς γῆς, καὶ σοφίζων ὑπὲρ τὰ κατὰ τὸν ἀέρα διϊπτάμενα πετεινά· μόνος γὰρ ὁ ἄνθρωπος λόγῳ τετίμηται. κατὰ μὲν οὖν τὸν λόγον τῆς δημιουργίας διωρίσμεθα ἀπὸ πάντων τῶν ζώων· ἐὰν δὲ ἧς ἁμαρτωλὸς, πόρνος, καταφερὴς, οὐ διωρίσθης ἀπὸ τῶν τετραπόδων γῆς, ἀλλὰ παρασυνεβλήθης τοῖς κτήνεσι, καὶ ἐγένου ὡς ἵππος, ἢ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, καὶ ἵππος θηλυμανής. εἶτα κατ' ἐρώτησιν τὰ ἑξῆς ἀνάγνωθι.

ΚΕΙΜ. Ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ, καὶ ἀπὸ ὕβρεως πονηρῶν.

Τὸ, ἐκεῖ, ἀντὶ τοῦ, τότε, εἴρηται. τότε γὰρ, φησὶ, πρὸς σὲ βοώντων τῶν ἀδικουμένων καὶ συκοφαντουμένων, ἄρα οὐκ εἰσακούσῃ, οὐδὲ ἐκδικήσεις αὐτοὺς ἀπὸ τῆς τῶν πονηρῶν ὕβρεως; ναὶ πάντως ἐκδικήσεις.

ΚΕΙΜ. Ἄτοπα γὰρ οὐ βού-

λεται

λεται ἰδεῖν ὁ Κύριος· αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστι τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με.

Οἶδα καὶ πέπεισμαι, ὅτι βλέπει πάντα ὁ τοῦ Θεοῦ ὀφθαλμὸς, καὶ ὅτι μισεῖ τὰ ἄτοπα καὶ ἀποστρέφεται, καὶ πάντως ἐξελεῖται τὸν ἀδίκως πάσχοντα· οὐ μόνον γὰρ οὐδέχεται τὰ ἄνομα, ἀλλ' οὐδὲ ἰδεῖν βούλεται, μισοπόνηρος ὤν.

ΚΕΙΜ. Κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αὐτὸν αἰνέσαι, ὥς ἐστι καὶ νῦν.

ΟΛΥΜΠ. καὶ ΧΡΙΣΟΣΤ. Ἀνάλογισαι, φησὶ, τοῦ Θεοῦ τὴν ἀξίαν, εἰ χωρήσοι τὸν ὕμνον ὁ λογισμός. τί οὖν πρὸς τοσοῦτον καὶ τηλικοῦτον ἐθέλεις κριθῆναι, ὅπου γε οὐδὲ πρὸς ἀξίαν αὐτὸν ὑμνολογῆσαι οἷός τε εἶ; καὶ ταῦτα, ἐφ' οἷς νῦν σὲ τιμωρεῖται. εἰ γὰρ δικαστήριον, φησὶ, ἐκάθισε, καὶ τὰ δικαιώματα προέθηκεν, οὐκ ἂν αὐτὸν ἐπῄνεσας, οὐκ ἂν αὐτὸν ἐδόξασας κατ' ἀξίαν ἐπὶ τοῖς εἰς σὲ γεγενημένοις νῦν, ὅτε νομίζεις ἀδικεῖσθαι καὶ κολάζεσθαι· τὸ μὲν γὰρ, μὴ δύνασθαι κατ' ἀξίαν τὸν Θεὸν ὑμνεῖν, οὐδὲν μέγα· τὸ δὲ, μέλλοντα κρίνεσθαι πρὸς αὐτὸν, ἐν τοῖς πρὸς ἡμᾶς, μὴ δύνασθαι κατ' ἀξίαν αὐτὸν ὑμνεῖν, τοῦτο μέγα.

ΚΕΙΜ. Ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ, καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα.

ΟΛΥΜΠ. Ἤτοι τοῦτο, φησὶν, ὅτι διὰ τοῦτο καὶ κρινόμενος πρὸς ἡμᾶς ὁ Θεὸς οὐ δύναται κατ' ἀξίαν ὑμνηθῆναι, ὅτι οὐκ ἐπισκέπτεται τὴν ἑαυτοῦ ὀργὴν, ὥστε μετρῆσαι ταύτην πρὸς τὰ ἡμέτερα πλημμελήματα, οὐδὲ σφόδρα παρατηρεῖται τὰς ἀνομίας ἡμῶν. ἢ περὶ τοῦ Ἰὼβ λέγει, ὅτι οὐκ ἔστιν ἐπιλογιζόμενος τὸ μέγεθος τῆς θείας ὀργῆς, οὐδὲ τὸ πλῆθος τῶν ἡμετέρων παραπτωμάτων. εἰ γὰρ ἔγνω ταῦτα, ἔγνω ἂν ὅτι οὐ πᾶσαν ἑαυτοῦ τὴν ὀργὴν ἐκχέει Θεὸς εἰς ἡμᾶς ἁμαρτάνοντας.

ΚΕΙΜ. Καὶ Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

Ὁ δὲ Σύμμαχος, ὡς ἀνόητος, λόγους βαρεῖς ἐποιήσατο. μὴ κατανοῶν, φησὶν, ὁ Ἰὼβ τὴν τοῦ Θεοῦ μεγαλειότητα, καὶ τὴν μακροθυμίαν, καὶ τὰ ἀκατάληπτα αὐτοῦ κρίματα, καὶ ὅτι ἄνθρωπος οὐδὲ πρὸς ἀξίαν αἰνέσαι τὸν Θεὸν δύναται, μήποιγε γὰρ κριθῆναι πρὸς αὐτὸν, βαρέα καὶ ἀπρεπῆ φθέγγεται ῥήματα.



ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ ΠΕΜΠΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΕΝΤΑΥΘΑ περὶ δικαιοσύνης Θεοῦ διδάσκει ὁ Ἐλιοὺς, τὸ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμούσης, καὶ περὶ δυνάμεως μεγαλοπρεποῦς, καὶ σοφίας ἀκαταλήπτου· συνίστησι δὲ τὸν λόγον ἐκ τῶν περὶ τὸν ἀέρα γινομένων χειμώνων τε καὶ βροντῶν, καὶ τῶν θηρίων, καὶ κτηνῶν· πῶς τὰ μὲν μεθ' ἡμέραν ἐργάζεται, τὴν δὲ νύκτα εἰς ἀνάπαυσιν ἔχει, τὰ δὲ τὴν μὲν ἡμέραν εἰς τὸ ἡσυχάζειν ἀπεκληρώσαντο, ἵνα μὴ τοῖς ἀνθρώποις ἐπιτρέχωσι, τὴν δὲ νύκτα περινοστοῦντα ζητοῦσι τροφήν· καὶ ὅτι τοῖς ὕδασιν ὁ Θεὸς ποτὲ μὲν εἰς ἀνθρώπων παιδείαν, ποτὲ δὲ εἰς εὐεργεσίαν χρῆται· καὶ ὅτι ἐκ μὲν σκότους φῶς, ἐκ δὲ τῆς τοῦ φωτὸς ἀναχωρήσεως νύκτα ἐργάζεται· καὶ ὅτι ἀκατάληπτός ἐστιν ἡ τοῦ Θεοῦ σοφία. μεγαλοπρεπῶς δὲ περὶ ταύτης διεξελθὼν, συμπεραίνει τὸν λόγον εἰς τὸ δεῖν φοβεῖσθαι τὸν Θεὸν, ἵνα μηκέτι μηδὲν ἀντείπῃ ὁ δίκαιος, ἀλλὰ τῇ σιωπῇ παραχωρήσῃ τοῖς ἀκαταλήπτοις τοῦ Θεοῦ κρίμασι. θαυμασίως οὖν τοῦ Ἐλιοὺς, μάλιστα πρὸς τῷ τέλει, περὶ τῆς τοῦ Θεοῦ σοφίας τε καὶ μεγαλοπρεπείας ἐξηγησαμένου, ὁ μὲν Ἰὼβ οὐδὲν ἀντεῖπε· σύμψηφος δὲ ὁ Θεὸς τοῖς τοιούτοις αὐτοῦ γέγονε λόγοις, ὡς ἐφεξῆς ἐστιν ἐκ τῆς θείας ῥήσεως καταμαθεῖν.

ΚΕΙΜ. Προσθεὶς δὲ ἔτι Ἐλιοὺς, λέγει, μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε, ἔτι γὰρ ἐν ἐμοὶ ἐστι λέξις, ἀναλαβὼν τὴν ἐπιστήμην μου μακράν.

ΟΛΥ. Ἐπειδήπερ ἔτι περὶ Θεοῦ λέγειν ἔχω, καὶ βούλομαι, μακρότερον ἀναλαβὼν τὸν λόγον, μετ' ἐπιστήμης καὶ γνώσεως διεξελθεῖν, ἔκδεξαι μαθεῖν καὶ τὰ νῦν ὑπ' ἐμοῦ ῥηθησόμενα.

ΚΕΙΜ. Ἔργοις δέ μου δίκαια ἐρῶ ἐπ' ἀληθείας, καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιείς.

Τὴν δικαιολογίαν μου, φησὶν, ἣν νῦν ἐρῶ, τοῖς τοῦ Θεοῦ ἔργοις πιστοῦμαι, δεικνὺς ὡς ἃ γινώσκω, μετ' ἀληθείας συνίημι, καὶ οὐκ ἄδικόν τι νοήσας, ἄδικον φθέγγομαι. τουτέστι, τὰ ἐπὶ τῶν ἔργων αὐτῶν ἐκβαίνοντα, δίκαια λέγω· οὐχὶ ῥήματα ταῦτά ἐστι

ὐδὲ λόγοι· ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄδικα, ἔσωσαν δὲ ἄμωμοι γνώσεις μετὰ σοῦ· ὡς νῦν ἀδίκως νοεῖς. οὐκ εἶπεν ὅτι ἔπραξας ἀδίκως· ἀλλ' ὅτι ἐνόεις ἀδίκως. πλὴν ἄκουέ μου, ὅτι ὄντως ἀψαδεῖς καὶ οὐκ ἄδικοι οἱ λόγοι μου.

ΚΕΙΜ. Γίνωσκε δὲ ὅτι ὁ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον· δυνατὸς ἰσχύϊ καρδίας ἀσεβῆ ὡς μὴ ζωοποιήσῃ, καὶ κρίμα πτωχῶν δώσῃ.

ΤΟΥ ΑΥΤΟΥ. Ἴσθι τοιγαροῦν, ὡς οὐδέποτε Θεὸς ἔξω τῆς οἰκείας ἐπισκοπῆς τὸν ἀκακίᾳ συζῶντα καταλιμπάνει, οὐδ' ἀπαλλοτριοῦται, κἂν ἐν συμφοραῖς δόξῃ ποτὲ καταλιμπάνειν αὐτὸν πρὸς τὸ λυσιτελοῦν· κολάζων δὲ ὁ δυνατὸς τοὺς ἀσεβεῖς κατὰ τὰ δίκαια ἑαυτοῦ κρίματα, τοῖς πένησιν ἀδικουμένοις ἐπαμύνει.

ΚΕΙΜ. Οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ. (ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους) καὶ μετὰ βασιλέων εἰς θρόνον, καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος, καὶ ὑψωθήσονται.

Τοὺς δικαίους, φησὶν, ἐπειδὴ ὅτι τοσαύτης ἀξιοῖ καὶ παρὰ ἀνθρώποις τιμῆς ὁ Θεὸς, ὡς καὶ συγκαθίζειν αὐτοὺς βασιλεῦσιν, καὶ εἰς τέλος ὑψοῦν τροπαιοφοροῦντας.

ΚΕΙΜ. Καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται ἐν χοινίοις πενίας· καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν, καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν.

Ὁ δὲ Σύμμαχος, ὅτι καταδυναστεύων, κηδόμενος, φησι, καὶ τῶν ἀδίκων ὁ Θεὸς, δεσμοῖς αὐτοὺς καὶ πενίᾳ πιέζει, ὡς ἂν εἰς συναίσθησιν ἐλθόντες τῶν ἡμαρτημένων, ἀποστρέψωσιν ἐκ τῆς ἀδικίας καὶ τῆς κατὰ δυναστείας.

ΚΕΙΜ. Ἀλλὰ τοῦ δικαίου εἰσακούσεται.

ΟΛΥΜΠ. Τοῦτο τῷ ἀνωτέρω εἰρημένῳ συνάπτει, ἵνα ᾖ οὕτως· οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ, τὴν ἐποπτικὴν, καὶ προνοητικὴν αὐτοῦ δύναμιν, ἀλλ' εἰσακούσεται αὐτοῦ.

ΚΕΙΜ. Καὶ εἶπεν, ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας· ἐὰν ἀκούσωσι καὶ δουλεύσωσι, συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις.

Τὴν διὰ τῶν ἔργων ἐπιστρεπτικὴν παιδείαν τοῦ Θεοῦ, λέγει, ὥσπερ τινὰ νουθεσίαν ἀκουστὴν, εἰς συναίσθησιν ἄγειν τοὺς παιδευομένους. ἐὰν οὖν, φησὶν, ἀκαταπαύστως δουλεύσωσι Θεῷ, ἐν εὐπραγίᾳ καὶ ἀγαθῶν ἀφθονίᾳ βιωτεύσουσι, καὶ μετ' εὐδοξίας τὸν βίον παλαιώσουσιν.

ΚΕΙΜ. Ἀσεβεῖς οὐ διασώζει παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς

εἰδέναι τὸν Κύριον, καὶ διότι νυθετύμενοι, αὐήκοοι ἦσαν.

Τὺς δὲ ἀσεβεῖς, φησὶν, ὁ διασώζει Θεὸς, ὐκ αὐτὸς αὐτοῖς τῆς ἀπωλείας γενόμενος αἴτιος, ἀλλ' αὐτοὶ ἑαυτοῖς, μήτε τῷ ἐμφύτῳ καὶ φυσικῷ λόγῳ τὸν Θεὸν ἐπιγνῶναι θελήσαντες, μήτε τῇ ἐπιστρεπτικῇ παιδείᾳ καὶ νυθεσίᾳ κατήκοοι Θεῦ γενέσθαι βυληθέντες.

ΚΕΙΜ. Καὶ ὑποκριταὶ καρδίᾳ τάξυσι θυμόν.

ΤΟΥ͂ ΑΥ᾿ΤΟΥ͂. Οἱ δὲ τῇ καρδίᾳ ὑποκριταὶ, φησὶν, οἱ σχῆμα μόνον εὐσεβείας περικείμενοι, αὐτοὶ ἑαυτοῖς κατατάσσυσι καὶ θησαυρίζυσι τὴν θείαν ὀργήν.

ΚΕΙΜ. Οὐ βοήσονται, ὅτι ἔδησεν αὐτύς.

Οὐκ ἀναβλέπυσι, φησὶ, πρὸς Θεὸν, ὐδὲ βοῶσι πρὸς αὐτὸν ὡς δυνάμενον λύειν τὴν συμφορὰν, ὅτι αὐτὸς αὐτὺς ἔδησε, καὶ αὐτὸς δύναται λύειν, δηλαδή.

ΚΕΙΜ. Α᾿ποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν, ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ Α᾿γγέλων, ἀνθ᾿ ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον.

Διὰ τῦτο, φησὶ, καὶ ἄωροι ἀποθνήσκυσιν, ὑπὸ τῶν θανατηφόρων Α᾿γγέλων τιτρωσκόμενοι. ἡ δὲ αἰτία, δι' ἣν εἰργάσαντο θλίψεις καὶ ἀδικίας κατὰ τῶν ὑποδεεστέρων.

ΚΕΙΜ. Κρίμα δὲ πραέων ἐκθήσει.

Τῶν δὲ πραέων τὸ κρίμα καὶ τὴν ἐκδίκησιν ὁρίζει ὁ Θεός. τῦτο γὰρ τὸ, ἐκθήσει. πραεῖς δὲ, ἢ τὺς κατὰ προαίρεσιν δικαίυς νοήσεις, ἢ καὶ τὺς ἀδικυμένυς, καὶ δι᾿ ἀσθένειαν ἡσυχίαν ἄγοντας.

ΚΕΙΜ. Καὶ προσεπιπεπάτησέ σε ἐκ στόματος ἐχθρῦ.

Διὰ μέτυ πεθηκὼς, τὸ, κρίμα δὲ πραέων ἐκθήσει, ὡς πρὸς τὸ τῶν ὑποκριτῶν πρόσωπον ἐπήγαγεν, ὅτι τιμωρεῖται ὁ ὑποκριτὴς, ὐ μόνον δι᾿ ἃς προεῖπον αἰτίας, ἀλλὰ πρὸς, τυτέστι, πρὸς τύτοις, ἐπειδὴ καὶ ἠπάτησε τὸν πρᾶον διὰ τῦ ἐχθρῦ αὐτῦ στόματος.

ΚΕΙΜ. Α῎βυσσος, κατάχυσις ὑπὸ κάτω αὐτῆς, καὶ κατέβη τράπεζά σου πλήρης πιότητος.

ΟΛΥΜΠ. Ε᾿ντεῦθεν, φησὶ, τῷ μὲν ὑποκριτῇ ἄβυσσος πεταμίευται, καὶ ὑπὸ κάτω αὐτῆς κατάχυσις, τυτέστι, τὸ σκότος τὸ ἐξώτερον· σοὶ δὲ πλήρης πιότητος ἐπιδοθήσεται τράπεζα. τάχα δὲ, διὰ τὸ ὑφάλως καὶ βαθέως βυλεύεσθαι ὁ ὑποκριτὴς, καὶ τῷ σχήματι τῆς ὑποκρίσεως ἐπισκιάζειν τὴν ἐπιβυλὴν, κἀκ τύτυ ναυαγεῖν ποιεῖν τὺς αὐτῷ πιστεύοντας, ἀβύσσῳ παραβάλλεται, καὶ τῇ χύσει τῶν ὑδάτων, ὑφ᾿ ἧς αἱ ὕφαλοι πέτραι κρυπτόμεναι

καὶ

καὶ λανθανούσαις, τοῖς πλέουσι φέρουσι κίνδυνον. εἰ δὲ περὶ τῆς θαυματουργίας τοῦ Θεοῦ διὰ μέσου παρεντέθειται τὸ ῥητὸν, ὑπὸ κάτω τῆς ἀβύσσου, φησὶν, οὐδεν ἐστὶν, ἡ κατάχυσις· θαυμαστὸν δὲ ὄντως τὸ ἐπὶ χύματος τὴν γῆν ἡδράσθαι.

ΚΕΙΜ. Οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα, θυμὸς δὲ ἐπ᾽ ἀσεβεῖς ἔσται, δι᾽ ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ᾽ ἀδικίαις.

Τῶν δικαίων, φησὶν, ἡ ἐκδίκησις οὐχ ὑστερεῖ· πῶς γὰρ οἷς καὶ λιπαρὰ ἐφαπλοῦται τράπεζα; τοὺς δὲ ἀσεβεῖς οὐκ ἔστι τὴν θείαν διαδρᾶναι δίκην, ὅτι δὴ καὶ τὸ δίκαιον παρέφθειρον χρήμασι, καὶ ἀσεβεῖν εἵλοντο καὶ ἀδικεῖν. κρίναντες γοῦν ἀδίκως, δικαίως κριθήσονται.

ΚΕΙΜ. Μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων· καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν.

Μήτε σὲ, μήτε τινα τῶν κραταιούντων ἰσχὺν, τουτέστι, τῶν δυναμένων ἐπαμύνειν, ὁ λογισμὸς ἑκὼν τῆς ἀληθείας παρατρεψάτω, ὅταν τῆς σῆς ἐπικουρίας δέωνται οἱ ἐν ἀνάγκαις ὄντες ἀδύνατοι, ἀλλ᾽ ἐπάμυνον κατὰ δύναμιν.

ΚΕΙΜ. Μὴ ἐξελκύσῃς τὴν νύκτα τοῦ ἀναβῆναι λαοὺς ἀντ᾽ αὐτῶν, ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα· ἐπὶ τούτων γὰρ ἐξείλου ἀπὸ πτωχείας.

ΤΟΥ͂ ΑΥ͂ΤΟΥ͂. Ὁ δὲ Σύμμαχος, μὴ προθυμηθῇς νυκτὸς ἐπαναβῆναι λαοὺς ἐπὶ τοῦ τόπου αὐτῶν. ὁ δὲ νοῦς οὗτος· μήτε τοὺς κραταιοῦντας ἰσχὺν ἀδικήσῃς, ὥστε νυκτὸς καὶ κατὰ τὸ λεληθὸς τούτους μὲν τῶν οἰκείων ἐκβαλεῖν, ἀντ᾽ αὐτῶν δὲ ἑτέρους εἰς τὸν τόπον αὐτῶν ἐγκαταστῆσαι. διδάσκει δὲ, ὅτι τὴν ἰσότητα καὶ τὸ δίκαιον πρὸς πάντας προσήκει φυλάττειν, καὶ ἀπέχεσθαι ἀπὸ τῶν ἀτόπων, μηδὲ ἐξαιρεῖσθαι καὶ προκρίνειν ταῦτα τῆς πτωχείας. ἢ τὸ, ἐπὶ τούτων γὰρ ἐξείλου ἀπὸ πτωχείας, ἀντὶ τοῦ, ἀπὸ τούτου τοῦ τρόπου, τουτέστιν, ἀπὸ τοῦ μὴ πράττειν τὰ ἄτοπα, ἐξαιρεθήσῃ ἀπὸ πτωχείας, τουτέστιν, ἀπαλλαγήσῃ τῆς ἐν πενίᾳ ταλαιπωρίας.

ΚΕΙΜ. Ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύϊ αὐτοῦ· τίς γάρ ἐστι κατ᾽ αὐτὸν δυνάστης;

Ἀπὸ τοῦ περὶ δικαιοσύνης ἀνθρώπων λόγου, εἰς τὸν περὶ ἰσχύος Θεοῦ καὶ δικαιοσύνης ἐκβαίνει λόγον· καὶ θεώρητον, φησὶν, ὡς ὁ ἰσχυρὸς Θεὸς κραταιῶς ἅπαντα καὶ μετὰ θεϊκῆς δυνάμεως ἐργάζεται, καὶ οὐκ ἔστιν ὁ τῇ αὐτοῦ δυνάμει παραβαλλόμενος.

ΚΕΙΜ. Τὶς δὲ ἐστὶν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα; ἢ τίς ὁ εἰπὼν ἔπραξεν ἄδικα.

Οὐδεὶς, φησὶ, τολμᾷ ἐξετάζειν τὰς τοῦ Θεοῦ οἰκονομίας, οὐδὲ δύναται εἰπεῖν, ὅτι ἄδικόν τι παρ᾽ αὐτοῦ πέπρακται.

ΚΕΙΜ. Μνήσθητι ὅτι μεγα-

λα ἐςὶ αὐτȣ͂ τὰ ἔργα, ὧν ἦρξαν ἄνδρες.

Εἰς νȣ͂ν, φησὶ, λαβόμενος σκόπησον καὶ ἀναλόγησαι τὰ περὶ τὴν κτίσιν τȣ͂ Θεȣ͂ ἔργα, ὅτι θαυμαςὰ, κἂν ὑπὸ τῆς συνηθείας ἴσως καταφρόνητα δοκῇ· ἔργα δὲ φημὶ Θεȣ͂, ὧν ἄρχειν ἄνθρωποι κατ' ἀρχὰς ἐτάχθησαν· ἀρχέτωσαν γὰρ, φησὶ, τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τȣ͂ ȣ̓ρανȣ͂. καὶ ὁ ψαλμῳδὸς, πάντα ὑπέταξας ὑπὸ κάτω τῶν ποδῶν αὐτȣ͂.

ΚΕΙΜ. Πᾶς ἄνθρωπος οἶδεν ἐν ἑαυτῷ. (τȣτέςι, πᾶς ἄνθρωπος τὴν περὶ Θεȣ͂ γνῶσιν ἔχει) ὅσοι τιτρωσκόμενοί εἰσι βροτοί.

Τὸ ὅσοι, ἀντὶ τȣ͂, πάντες ὅτι· καὶ πάντων, τὸ τιτρώσκεσθαι, ἤγȣν τὸ παθητὸν, καὶ φθαρτόν. ὁ δὲ Σύμμαχος ἐκδȣ̀ς, ἕκαςος ἀποβλέπων μακρόθεν, ᾐνίξατο ὅτι τρῶσις ἐνταῦθα ἡ νῆψις ἐλέχθη, καὶ ἡ τȣ͂ νȣ͂ διέγερσις, ἀπὸ τȣ͂ τȣ̀ς νυττομένȣς μᾶλλον διεγείρεσθαι, καὶ προσεκτικωτέρȣς γίνεσθαι.

ΚΕΙΜ. Ἰδȣ̀ ὁ ἰσχυρὸς πολὺς, καὶ ȣ̓ γνωσόμεθα.

Ο'ΛΥΜΠ. Τὸ πολὺ, ἐπὶ τȣ͂ ἀορίςȣ, καὶ ἀριθμῷ μὴ περιληπτȣ͂, ἡ γραφὴ τίθησιν. ἐπεὶ ȣ͂ν καὶ τὸ θεῖον μέγεθος, καὶ ἡ ἰσχὺς ποσῷ ὑποβληθῆναι ȣ̓ δύναται, διὰ τȣ͂το ἔφη, ὅτι πολὺς ὁ ἰσχυρὸς, καὶ ὑπὲρ τὴν γνῶσιν ἡμῶν.

ΚΕΙΜ. Ἀριθμὸς ἐτῶν αὐτȣ͂ καὶ ἀπέραντος.

Τȣτέςιν, ἀΐδιος. τινὰ δὲ τῶν ἀντιγράφων, ἀριθμὸς ἰδῶν, ἔχει· ἵνα εἴπῃ, ἀνεξιχνίαςοι αἱ ὁδοὶ αὐτȣ͂, καὶ αἱ πορεῖαι τῶν κριμάτων ἃ ἐν ἡμῖν ποιεῖται.

ΚΕΙΜ. Ἀριθμηταὶ δὲ αὐτῷ ςαγόνες ὑετȣ͂.

Τὴν τȣ͂ Θεȣ͂ γνῶσιν ȣ̓δὲν ἐκφεύγει, ἀλλὰ καὶ τὸν ἀριθμὸν ὑετίων ςαγόνων ἐπίςαται.

ΚΕΙΜ. Καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην.

Ἐνταῦθα τὴν γνῶσιν, φησὶ, καὶ τὴν πρόνοιαν, καὶ ὅτι ȣ̓κ ἀμέτρως, ἀλλ' ἐναρίθμως διὰ τῶν νεφελῶν χέει τὸν ὑετόν.

ΚΕΙΜ. Ῥυήσονται παλαιώματα.

Ἐκρέȣσι, φησὶν, ἐξ αὐτῶν οἱ ςαλαγμοί· τȣ́τȣς γὰρ δὴ παλαιώματα εἶπε, διὰ τὸ ἄνωθεν καὶ ἐκ παλαιȣ͂ τȣ͂θ' ȣ̈τως γίνεσθαι· ἀνθ' ȣ͂ ὁ Σύμμαχος, ἅτινα ῥυήσονται ἐκ τȣ͂ αἰθέρος.

ΚΕΙΜ. Ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ.

Ἀγαθείη τὶς, φησὶν, εἰκότως, σκοπῶν ἀκριβῶς, ὅπως ὁ χαῦνος ἀὴρ ȣ̈τω πυκνȣ͂ται εἰς νεφέλας, ὥςε καὶ σκιάζειν τοῖς ἀνθρώποις τὸν ȣ̓ρανόν.

ΚΕΙ͂Μ. Ὥραν ἔθετο κτήνεσιν, οἴδασι δὲ κοίτης τάξιν.

Ὥραν, ἀντὶ τοῦ, μέτρα, ἢ ὅρους· ὥστε τὰ μὲν ὑπουργεῖν ἀνθρώποις, τὰ δὲ μὴ ὑποτάττεσθαι· καὶ τὰ μὲν νυκτὸς, τὰ δὲ ἡμέρας ἡσυχάζειν οἰκονομικῶς, ἵνα τῆς κατ᾽ ἀνθρώπων ἐφόδου παύοιντο.

ΚΕΙΜ. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος;

ΤΟΥ͂ ΑΥ͂ΤΟΥ͂. Ἆρα οὖν, φησὶν, οὐχ ἱκανὰ ταῦτα ἐκστῆναι διάνοιαν, καὶ τρόπον τινὰ διαχωρίσαι ψυχὴν ἀπὸ σώματος; πῶς καίτοι λόγου ἀπεστερημένα ἀπὸ τῆς φύσεως ἔγνωσαν τὰ κτήνη τάξιν] κοίτης, καὶ τάξιν ἐξόδου αὐτῶν. ὅρα δὲ, οὐκ εἶπεν, οὐ θαυμάζει ἡ διάνοιά σου; ἀλλ᾽ οὐκ ἐξίσταται; οὕτως γὰρ ἔκστασις καὶ φρίκη, πῶς τὰ ἄλογα τοσαύτην εὐταξίαν φυλάττει· ἵνα μάθῃς, ὅτι καὶ σὺ οὐκ ἀπὸ τοῦ λόγου, ἀλλ᾽ ἀπὸ τοῦ τὸν λόγον δεδωκότος κυβερνᾷ.

ΚΕΙΜ. Καὶ ἐὰν συνῇ ἀπέκτασις νεφέλης ἰσότητα σκηνῆς αὐτοῦ.

Θαυμάσοι δ᾽ ἄν τις, φησὶ, καὶ ἐὰν συνῇ καὶ γνῷ, πῶς μικρᾶς φανείσης νεφέλης, περὶ ὅλον τὸν οὐρανὸν ἡ πύκνωσις ἐκτείνεται τῶν νεφῶν. σκηνὴν γὰρ τὸν οὐρανὸν ἐκάλεσεν.

ΚΕΙΜ. Ἰδοὺ ἐκτενεῖ ἐπ᾽ αὐτὸν ἠδώ.

Ὁ δὲ Σύμμαχος, ἐκπετάζει ἐπ᾽ αὐτὸν τὸ φῶς αὐτοῦ. ἕτερα δὲ ἀντίγραφα, ἀντὶ τοῦ, ἠδὼ, τόξον ἔχουσιν. ἐὰν οὖν νοήσῃ ἄνθρωπος, πῶς συνεχείας οὔσης, αἱ ἡλιακαὶ ἀκτῖνες εἰς τὴν τῶν νεφῶν ἀραίωσιν προσβάλλουσαι, ποιοῦσι τὸ τόξον, ὃ παρὰ τοῖς πολλοῖς ἶρις καλεῖται, θαυμάσεται τοῦ δημιουργοῦ τὴν σοφίαν· πῶς ἐν μὲν τῇ τῶν νεφῶν πυκνότητι τὴν ὠφέλιμον τοῦ ὑετοῦ τοῖς ἀνθρώποις χρείαν ἐργάζεται, ἐν δὲ τῇ μανότητι καὶ ἀραιότητι τῶν νεφῶν προσφαίνεσθαι τὸ τόξον παρασκευάζει, παραμυθούμενος τοὺς ἐπὶ τῆς γῆς, ὅτι οὐκ ἔτι αὐτοὺς κατακλύσει, ἀλλὰ τῶν ὑδάτων ἀνέχει τὴν ἄμετρον φορὰν, κατὰ τὴν οἰκείαν ἐπαγγελίαν.

ΚΕΙΜ. Καὶ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν· ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς.

Ἢ τοῦτο λέγει, ὅτι τὸ τόξον καὶ μέχρι θαλάσσης διήκει· ἢ ὅτι ὁ Θεὸς τὰς ῥίζας τῆς θαλάσσης ἐκάλυψεν· οὐδεὶς γὰρ οἶδεν ὑπὸ τίνος βαστάζεται ἡ θάλασσα. διὰ δὲ τούτων τιμωρεῖται τοὺς ἀνθρώπους ὁ Θεὸς, δι᾽ ἐπαγωγῆς θαλάσσης τυχὸν, ἢ χαλάζης, καὶ τῶν τοιούτων.

ΚΕΙΜ. Δώσει τροφὴν τῷ ἰσχύοντι.

ὈΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, παρέξει τροφὴν παμπόλλην, ἐκδέδωκε. τουτέστι, καρπῶν ἀφθονίαν ἡ τῶν ὑετῶν ἐργάζεται χρεία.

ΚΕΙΜ. Ἐπὶ χειρῶν ἐκάλυψε φῶς.

Ε'ν τῇ ἑαυτῦ δυνάμει, φησὶ, καὶ ἐνεργείᾳ κρύπτει τῦ φωτὸς τὴν αὐγὴν· ὁ γὰρ ἔχει τόπον τῦ κρυβῆναι τὸ φῶς. ὐδὲ δύναταί τις παντελῶς αὐτὸ κρύψαι.

ΚΕΙΜ. Καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι.

Ο' δὲ Σύμμαχος, Καὶ ἐπιτάξει αὐτῷ ὥςε ἀπαντῆσαι, ἡρμήνευσε· καλύπτων γὰρ, φησὶ, τὸ φῶς, καὶ νύκτα ἐργαζόμενος, ἐντέλλεται αὐτῷ ὥςε ἀπαντῆσαι, ἵνα εἴπῃ, ὅτι νὺξ καὶ ἡμέρα τῷ αὐτῦ βυλήματι ἀλλήλας διαδέχονται. τὸ ὖν, περὶ αὐτῆς, τῆς ἡμέρας φησὶν, ἐν ἀπαντῶντι δὲ, τῷ ἡλίῳ.

ΚΕΙΜ. Α'ναγγελεῖ περὶ αὐτῦ φίλον αὐτῦ.

Ο' δὲ Σύμμαχος, ἀπαγγελεῖ περὶ τύτυ ἑταίρῳ αὐτῦ; ἀντὶ τῦ, μὴ περὶ τῆς τύτυ δημιυργίας μετά τινος βυλεύεται, ἢ ἀνακοινῦται; ἵνα ἡ κατ' ἐρώτησιν ἡ ἀνάγνωσις. δυνατὸν δὲ καὶ ὕτω νοῆσαι, ὅτι τὴν περὶ τύτων γνῶσιν τοῖς φίλοις ὁ Θεὸς χαρίζεται.

ΚΕΙΜ. Κύριος, κτῆσις, καὶ περὶ ἀδικίας.

Ε'τερα ἀντίγραφα, Κυρίυ κτῆσις ἔχυσι· Σύμμαχος δὲ, ζῆλον περὶ ἀδικίας ἐκδέδωκεν. ὁ δὲ νῦς ὗτος· μὴ ἀνακοινῦται Θεὸς ἑταίρῳ τινὶ, περὶ τῆς ἑαυτῦ κτίσεως, πῶς τε εἰς ζῆλον κινεῖται, καὶ κολάζει τὺς ἀδίκυς; ἢ καὶ ὕτως· Α'ναγγελεῖ ὁ Θεὸς τοῖς ἑαυτῦ φίλοις, ὥςε κτήσασθαι αὐτῦ τὴν σοφίαν, καὶ μὴ τὰ ἄδικα.

ΚΕΙΜ. Καὶ ἀπὸ ταύτης ἐταράχθη ἡ καρδία μυ.

Ο'ΛΥΜΠ. Α'πὸ ταύτης, φησὶ, τῆς θεωρίας ὑ δυναμένη μυ ἡ ψυχὴ εἰς τὸ ἀκατάληπτον τῆς τῦ Θεῦ σοφίας ἀνατενίσαι, κλόνον ὑπέςη, καὶ τῆς οἰκείας ςάσεως παρεῤῥύη, μονονυχὶ καὶ ἐκπηδῶσα ἀπὸ τῦ θαύματος. τοιῦτόν τι καὶ ὁ Θεσπέσιος Παῦλος πεπονθὼς, θαυμαςὴν ἀφῆκε φωνὴν, ὦ βάθος πλύτυ, καὶ σοφίας, καὶ γνώσεως Θεῦ· ὁ δὲ Σύμμαχος, καὶ περὶ τύτων πτήσσει ἡ καρδία μυ.

ΚΕΙΜ. Καὶ ἀπεῤῥύη ἐκ τῦ τόπυ αὐτῆς.

Τυτέςι, μικρῦ καὶ τὴν οἰκείαν ἕδραν καταλέλοιπεν.

ΚΕΙΜ. Α'κυε ἀκοὴν ἐν ὀργῇ θυμῦ Κυρίυ· καὶ μελέτη ἐκ ςόματος αὐτῦ ἐξελεύσεται.

Α'κύλας δὲ, καὶ φθογγή. διανοιξόν συ, φησὶ, τὴν ἀκυςικὴν τῆς φωνῆς δύναμιν, καὶ κατάμαθε τὰ ἐξ ὀργῆς τῦ Θεῦ τοῖς ἀνθρώποις ἐπιφερόμενα, οἷον τὰς ἀπὸ τῆς χαλάζης βλάβας, τὰς ἐπομβρίας, τὺς αὐχμὺς, τῶν καρπῶν τὴν φθορὰν· διὰ γὰρ τῶν τοιύτων ὁ Θεὸς μονονυχὶ φωνὴν ἀφιεὶς, ἐκδιδάσκει ἡμᾶς τὴν ἑαυτῦ δύναμιν καὶ σοφίαν, καὶ πρὸς φόβον ἐνάγει. μελέτη ὖν ταυτα ἡμῖν καὶ διδαχὴ, φοβεῖσθαι παρασκευάζυσα τὸν ταῦτα κατεργαζόμενον.

ΚΕΙΜ. Υ'πὸ κάτω παντὸς τῦ ὐρανῦ ἡ ἀρχὴ αὐτῦ.

Διή-

Διήκει, φησὶν, ἡ τοῦ Θεοῦ ἀρχὴ μέχρι καὶ τῶν καταχθονίων· καὶ οὐκ ἄναρχα οὐδὲ ἀνεπισκόπητα τὰ καθ' ἡμᾶς.

ΚΕΙΜ. Καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς.

Τουτέστιν, ἡ πρόνοια αὐτοῦ ἄχει καὶ τῶν ἐσχάτων τῆς γῆς. ἢ, ὅτι ἅμα ἡμέρα διαυγάσει, τὰ πέρατα τῆς γῆς ὑπ' αὐτῆς φωτίζεται.

ΚΕΙΜ. Ὀπίσω αὐτοῦ βοήσεται φωνῇ, βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Ἀντὶ τοῦ, ὕβρεως αὐτοῦ, ὁ Ἀκύλας, ὑπερφερείας αὐτοῦ, ἐκδέδωκε, τουτέστιν, ὑπεροχῆς, ἢ ἀπειλῆς. τὸ μεγαλεῖον δὲ τοῦ Θεοῦ παραστῆσαι θέλων, ὥσπέρ τινι στρατηγῷ, ἢ καὶ βασιλεῖ, μεγάλους τινὰς καὶ φοβεροὺς ἑπομένους ἔταξε τῆς βροντῆς τοὺς ἤχους. ὅταν οὖν, φησὶν, ἐθέλῃ Κύριος κελεῦσαι τοῖς ἑπομένοις αὐτῷ, εὐθὺς διὰ τῆς βροντῆς καταῤῥήγνυνται φωναὶ παραδηλοῦσαι τὴν ἀπειλὴν, ἢ τὴν ὑπερφέρειαν αὐτοῦ. τὸ δὲ, ὀπίσω αὐτοῦ, ἀντὶ τοῦ θελήσαντος αὐτοῦ· ἅμα τε γὰρ ἐθέλει, ἕπεται τῷ θέλειν τὸ ἔργον, καὶ πειθαρχεῖ πάντα αὐτῷ.

ΚΕΙΜ. Καὶ οὐκ ἀνταλλάξει αὐτοὺς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ.

Ὁ δὲ Σύμμαχος, καὶ οὐκ ἐξιχνιασθήσεται ἀκουσθέντος τοῦ ψόφου αὐτῆς, ἀντὶ τοῦ, οὐδεὶς δύναται ἐξιχνιάσαι καταλαβεῖν πῶς, ἢ διατί γέγονε τῆς βροντῆς ὁ ἦχος. κατὰ δὲ τοὺς Ἑβδομήκοντα, κελεύσαντος τοῦ Θεοῦ, οὐκ ἔστι μεταλλάξαι τοὺς τῆς βροντῆς ψόφους, διότι ὑπακούουσιν αὐτῷ, καὶ οὐ δύνανται ἀπειθεῖν.

ΚΕΙΜ. Βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια.

Τουτέστιν, ὥσπέρ τινα φωνὴν ἐκπέμπων, τὴν βροντὴν γίνεσθαι παρασκευάζει Θεὸς εἰς τὴν τῶν ἀκουόντων κατάπληξιν. φωνὴν δὲ Θεοῦ τὴν βροντὴν εἶπε, διὰ τὸ ἐκ προστάγματος αὐτοῦ γίνεσθαι.

ΚΕΙΜ. Ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν.

Ἀντὶ τοῦ, μεγάλα μὲν εἰσὶ τὰ ἔργα τοῦ Θεοῦ, τοὺς δὲ λόγους αὐτῶν γνῶναι οὐ δυνάμεθα.

ΚΕΙΜ. Συντάσσων χιόνι, γίνου ἐπὶ γῆς· καὶ χειμὼν ἵνα ἢ ὑετὸς, καὶ χειμὼν ὑετῶν δυναστείαις αὐτοῦ.

Τὸ, συντάσσων, ἀντὶ τοῦ κελεύων, εἴρηται. ἐρεῖ γὰρ τῇ χιόνι κατάβηθι ἐπὶ τὴν γῆν· καὶ καταβήσεται. καὶ ὁ χειμὼν δὲ καὶ τῶν ὑετῶν ἡ ἐπίχυσις, ἔργον ἐστὶ τῆς αὐτοῦ δυνάμεως, ὥσπερ οὖν καὶ τῆς χιόνος ἡ ἀποστολή. τοῦτο σαφέστερον ἡρμήνευσε Σύμμαχος, εἰπὼν, καὶ χειμῶνι ὑετοῖς χειμάσει ὄμβρους ἰσχύος αὐτοῦ.

ΚΕΙΜ. Ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν.

ΟΛΥΜΠ. Ὁ χειμὼν, φησὶ, κατα-

σφρα-

σφραγίζει, καὶ οἱονεὶ καταδεσμεῖ τῶν ἀνθρώπων τὰς χεῖρας, καὶ τῶν ἔργων ἀποκωλύει. διὰ τοῦτο, φησὶ, μεγάλα τοῦ Θεοῦ τὰ δημιουργήματα, διὰ τοῦτο ψῦχος καὶ καῦμα, διὰ τοῦτο ἀέρων ἀνωμαλία. μὴ γὰρ οὐκ ἐξῆν γενέσθαι κτίσιν ἀεὶ ἴσην; ἀλλ' ἵνα πάντως κωλύῃ τοῦ φρονήματος τὸ ὑπερέχον, καὶ διανιστάμενον, ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν, πάντα πρὸς τὸ ἐναντίον κατεσκεύασεν ὁ Θεὸς, καὶ τὴν κτίσιν καὶ τὴν κατασκευὴν τοῦ σώματος, καὶ τὴν τοῦ βίου διαγωγήν· ἵνα μάθωμεν μετριάζειν, τὴν ἑαυτῶν ἐπιγνόντες ἀσθένειαν.

ΚΕΙΜ. Εἰσῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην, ἡσύχασαν δὲ ἐπὶ κοίτης.

Ἀπὸ τῆς τοῦ ἀέρος ψυχρότητος, ὑπὸ λόχμαις καὶ ἄντροις τὰ θηρία κατακρύπτονται· ὁ γὰρ ἄκρος χειμὼν οὐκ ἐᾷ προϊέναι, ἀλλὰ συστέλλεσθαι ἀναγκάζει.

ΚΕΙΜ. Ἐκ ταμείων ἐπέρχονται ὀδύναι, ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος, καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος.

Ὁ δὲ Σύμμαχος, ἀπὸ ἐμφυσήματος Θεοῦ δοθήσεται πάγος. ἀμφίβολος ἡ ἔννοια. ἤτοι γὰρ τοῦτο λέγει, ὅτι αἱ ἀπὸ τοῦ ψύχους ὀδύναι, ὡς ἐκ θησαυρῶν τινῶν, ἐξ ἀποκρύφων ἐπέρχονται· ἀπὸ δὲ τῶν περάτων καὶ τῶν ἄκρων ὁ συγκλεισμὸς, καὶ ἡ καταιγὶς κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς. ἢ μᾶλλον, ὅτι ἐκ μὲν τῶν ἐνδοτάτων, ἤγουν ἀπὸ τῶν σπλάγχνων, ὀδύναι τοῖς κρυμωθεῖσιν ἐπιγίνονται. τὰ δὲ ἀκρωτήρια, ἤγουν τὰ ἄκρα τοῦ σώματος, πλέον τῶν ἄλλων μελῶν ὑπὸ τοῦ ψύχους ἐνοχλοῦνται. τὸ δὲ πάγος διὰ πνεύματος ἀνεμιαίου συνίσταται. πνοὴν γὰρ ἰσχυροῦ τὸ πνεῦμα ἐκάλεσεν, ἐπειδὴ προστάξει Θεοῦ γίνεται.

ΚΕΙΜ. Οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται.

Χρῆται δὲ τῷ ὕδατι ὡς ἂν ἐθέλῃ Θεὸς κατὰ τὴν ἰδίαν σοφίαν, ὥσπερ τις κυβερνητικῆς ἐπιστήμης ἔμπειρος, ἐπὶ τῶν οἰάκων καθήμενος.

ΚΕΙΜ. Καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη.

Ἕτερα δὲ ἀντίγραφα, ἀντὶ τοῦ, καταπλάσσει, καταπλήσσει ἔχουσι· φησὶν οὖν, ὅτι σκοτοδινιᾷν, καὶ ἐκπλήττεσθαι ἐπὶ τοῖς τοιούτοις θαύμασι τὸν ἐκλεκτὸν, τουτέστι, τὸν συνετὸν, παρασκευάζει ἡ τοῦ ἀέρος συστροφὴ καὶ πύκνωσις, καὶ τῶν νεφῶν ἡ σύστασις. ὁ δὲ Σύμμαχος οὕτως ἐκδέδωκεν, ἀλλὰ καὶ καρπῷ ἐπιβρίσει νεφέλη· ὥστε, τὸ, καταπλάσσει, ἀντὶ τοῦ, ἐπισκιάζει εἴρηται· τῷ δὲ ὀνόματι τοῦ ἐκλεκτοῦ, ὁ καρπὸς δηλοῦται. ἐπιβρίσει οὖν ἡ νεφέλη τῷ καρπῷ, τουτέστιν, ἐπελεύσεται, ἐπιχυθήσεται.

ΚΕΙΜ. Διασκορπιεῖ νέφος φῶς αὐτοῦ.

Ἢ τοῦτο λέγει, ὅτι νεφῶν πληρούμενος ὁ ἀὴρ, διασκορπίζει, καὶ κρύπτει τὸ φῶς· ἢ ὅτι φῶς τὸ ἡλιακὸν ἐπιλάμψαν, διασκεδάζει τὴν ἐκ τῶν νεφῶν τοῦ ἀέρος κατήφειαν. ἢ, ὅτι

ἀλλήλαις αἱ νεφέλαι συῤῥηγνύμεναι, φῶς ἀφιᾶσιν· ἵνα εἴπῃ, ὅτι καὶ τῶν ἀςραπῶν αἴτια τὰ νέφη γίνονται.

ΚΕΙΜ. Καὶ αὐτὸς κυκλώματα διαςρέψει.

Τοῦ αὐτοῦ. Αὐτὸς δέ, φησιν, ὁ Θεὸς ἐν κύκλῳ πανταχοῦ τὰ νέφη περιάγει καὶ περιςρέφει, κατὰ καιρὸν γίνεσθαι προςάττων· ἢ κατὰ Σύμμαχον, αὐτὸς κυκληδὸν ἀναςρέφεται, τουτέςι, πάντα ἐφοδεύει πανταχοῦ παρών.

ΚΕΙΜ. Ἐν Θεεβουλαθὼθ, εἰς ἔργα αὐτῶν, πάντα ὅσα ἂν ἐντείλῃ αὐτοῖς.

Ὁ δὲ Σύμμαχος, ἐν τῇ κυβερνήσει αὐτοῦ εἰς τὸ ἐργάζεσθαι αὐτά· ἵνα εἴπῃ, οἰακίζει τὸ ὕδωρ ὡς βούλεται, ἐν τῇ κυβερνήσει αὐτοῦ· καὶ ταῦτα πάντα ἐργάζεται εἰς τὴν ἡμετέραν διοίκησιν. ἕτερα δὲ ἀντίγραφα οὕτως ἔχει, ἐν τοῖς κατωτάτω θεὶς ἔργα αὐτοῦ, τουτέςι, δι' ἡμᾶς τοὺς ἐπὶ γῆς ταῦτα ποιῶν.

ΚΕΙΜ. Ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς, ἐάν τε εἰς παιδείαν, ἐάν τε εἰς τὴν γῆν αὐτοῦ, ἐὰν εἰς ἔλεος εὑρήσῃ αὐτόν.

Γίνονται, φησί, τὰ ἐκ τοῦ ἀέρος ἐπὶ τῆς γῆς κατ' ἐντολὰς καὶ πρόσαγμα Θεοῦ· καὶ γίνεται ταῦτα, ἤτοι διὰ παιδείαν ἁμαρτανόντων, ἢ διὰ καρπογονίαν τῆς γῆς, ἢ καὶ δι' ἄλλας αἰτίας ἀγνώςους μὲν ἡμῖν· πάντως δὲ δήπου δι' ἀνθρώπων ἔλεον, εὑρήσει οὖν τίς αὐτὸν διὰ ταύτας τὰς αἰτίας ταῦτα ποιοῦντα. ἐπιβαλοῦς δὲ καὶ ὧδε, ὅτι τὰ τοιαῦτα γίνεται, ἢ διὰ παιδείαν καὶ ἐπιςροφὴν, ἢ διὰ καρποὺς τῆς γῆς καὶ βλαςήματα, ἐάν περ ἡ γῆ εὕροι τὸν Θεὸν εἰς ἔλαιον νεύοντα.

ΚΕΙΜ. Ἐνωτίζου ταῦτα Ἰώβ, ςῆθι νουθετούμενος δύναμιν Κυρίου.

Τουτέςι, ἐγκατάθου τῇ διανοίᾳ τὰ εἰρημένα, καὶ ἀναλόγισαι τοῦ Θεοῦ τὴν ἰσχὺν ὅση τις ἐςίν. οὕτως Ἀκύλας, Θεοδοτίων, Σύμμαχος, κατανόησον, σιώπα, ἐνθυμήθητι.

ΚΕΙΜ. Οἴδαμεν ὅτι ὁ Θεὸς ἔθετο ἔργα αὐτοῦ, (ὁ Σύμμαχος, ἆρα γνώσῃ πότε ἔταξεν ὁ Θεὸς περὶ αὐτῶν;) φῶς ποιήσας ἐκ σκότους· ἐπίςαται δὲ διάκρισιν νεφῶν.

ὈΛΥΜΠ. Οἴδαμεν, φησιν, ὅτι ὁ Θεὸς ἐςὶν ὁ ταῦτα ἐργαζόμενος, οὗ καὶ πρώτη φωνὴ, γενηθήτω φῶς, τὸ πρώην οὐκ ὄν, δηλαδή· τοῦτο γὰρ ἐςὶ, τὸ, ἐκ σκότους. καὶ ὁ τὰ νέφη διακρίνων καὶ διορίζων, ὥςε τὰ μὲν ὕειν, τὰ δὲ ψεκάζειν, τὰ δὲ νίφειν. κατὰ δὲ τὸν Σύμμαχον, μὴ συμπαρῆς δημιουργοῦντι τῷ Θεῷ Κόσμον; ὅτε σκότος ἦν ἐπὶ τῶν ὑδάτων; ὅτε πάντα τὰ ἔργα αὐτοῦ, ὡς ἠθέλησε, διετάξατο; οὐκοῦν παραχώρει τῇ τοῦ Θεοῦ δυνάμει, καὶ τοῖς ἀνεφίκτοις αὐτοῦ κρίμασι. ταῦτα δὲ λέγει, πρὸς φόβον, ὡς οἴεται, τὸν Ἰὼβ ἐνάγων; τὸν μηδέποτε τὸν ἀγνοποιὸν τοῦ Θεοῦ καταλείψαντα φόβον, τὸν λέγοντα, χεῖρα δὲ Κυρίου εἰμὴ ἐδεδοίκειν.

ΚΕΙΜ. Ἐξαίσια δὲ πτώματα πονηρῶν. σοῦ δὲ ἡ στολὴ θερμή.

Τοῦτο, φησιν, ὅτι ἐν ὀδυνάις εἶ νῦν, ἀλλ' ὕστερον ἀναπαύσῃ. καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας, τὸ, λύσιν τινὰ καὶ πέρας ἐπινοῆσαι τοῖς ἀνθρωπίνοις κακοῖς, τὸν θάνατον. σοῦ τοίνυν ἡ στολὴ, φησὶν, ἔτι ὑπὸ τῶν τοῦ σώματος ὀδυνῶν πεθέρμαται, πλὴν εἰκὸς προσδέχεσθαι καὶ ἀνάψυξιν.

ΚΕΙΜ. Ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς ἀπὸ νότου.

Ἡσυχάζεται, φησι, καὶ ἠρεμεῖ ἐπὶ τῆς γῆς ὁ χειμὼν ἀπὸ νότου, τουτέστιν, ὅτε νότος ἄνεμος πνέει· θερμὸς γὰρ ὢν οὗτος, διαλύει τὸν κρυμὸν καὶ τὸ ψῦχος.

ΚΕΙΜ. Στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώματα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως.

Ἀνθ' ὧν Ἀκύλας ἐκδέδωκεν, αὐτὸς ἐστερέωσε τὸν οὐρανὸν εἰς τροπὰς, συνιχύνσαι ὡς ὅρασις ἐπιχύσεως· ὡς εἶναι τὸν νοῦν τοιοῦτον· αὐτὸς ἐκ παλαιοῦ τὸ στερέωμα κατειργάσατο ἰσχυρὸν καὶ στερεὸν ἐκ τῆς ῥεούσης καὶ κεχυμένης φύσεως τῶν ὑδάτων. εἰ δὲ βούλει, αὐτὸς καὶ τῇ θέρμῃ τοῦ νότου λύει τὸν παγετόν· καὶ πάλιν, αἱ στερεώσεις τῶν ὑδάτων, καὶ πήξεις, καὶ οἷον κρυσταλλώσεις, μετ' αὐτοῦ εἰσί. ποτὲ μὲν γὰρ τοῦτο ποιεῖ, ποτὲ δὲ ἐκεῖνο. πλὴν ἀλλὰ κἂν κρυσταλλωθῇ παγεὶ τὸ ὕδωρ, ἀλλ' ὅμως ἡ ὅρασις αὐτοῦ, ὡς ὅρασις ἐστὶν ἐπιχύσεως, τουτέστιν, ὑδατικῆς καὶ κεχυμένης οὐσίας.

ΚΕΙΜ. Διατὶ, δίδαξόν με τί ἐροῦμεν αὐτῷ· καὶ παυσώμεθα πολλὰ λέγοντες.

ΤΟΥ ΑΥΤΟΥ. Τουτέστι, διατὶ ταῦτα γέγονε, μὴ δυνάμεθα αὐτὸν ἐρωτῆσαι· οὐδὲν λέγω, φησὶν, ἀν ταῦτα μόνον δυνηθῶμεν μαθεῖν.

ΚΕΙΜ. Μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν, ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;

Μὴ γὰρ ἀπὸ βίβλου, φησὶ, ταῦτα λέγομεν πρὸς αὐτόν; μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα τις εἴπῃ, κατασιγάσωμεν αὐτόν; οὐχ ὁρᾷς, ἀντὶ γραμμάτων, τὴν δημιουργίαν πᾶσαν πανταχοῦ βοῶσαν;

ΚΕΙΜ. Πᾶσι δὲ οὐχ ὁρατὸν τὸ φῶς; τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν, ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν. ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα.

Οὐχὶ τὸ φῶς, φησὶν, ἅπασιν εἰς θεωρίαν πρόκειται; ὃ τηλαυγές ἐστιν ἐκ τῶν ἀναριθμήτων χρόνων; ὥσπερ, ἀμέλει, καὶ ἐπὶ τῶν νεφῶν τὸ παρὰ τοῦ Θεοῦ γινόμενον, δῆλόν ἐστι· διὰ γὰρ τοῦ βορρᾶ νεφέλας ἀνάγει προστάγματι χρυσαυγεῖς τε καὶ καθαράς.

ΚΕΙΜ. Ἐπὶ τούτοις μεγάλη ἡ δόξα, (ὁ δὲ Θεοδοτίων, ἐπὶ τῷ Θεῷ μεγάλη ἡ δόξα.) καὶ τιμὴ Παντοκράτορος· καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύϊ αὐτοῦ.

Ἐκ

Ἐκ τῶν τοιούτων, φησὶν, ἐςὶν ἀναλογίσασθαι ὡς μεγάλην ὀφείλομεν ἀναπέμπειν τῷ Θεῷ τὴν δοξολογίαν, ἐφ' οἷς ἡμῶν τὸ γένος ἐτίμησεν ὁ ἀσύγκριτον ἔχων σοφίαν καὶ δύναμιν.

ΚΕΙΜ. Ὁ τὰ δίκαια κρίνων, οὐκ οἶδε ἐπακούειν αὐτόν;

ΤΟΥ̃ Ι'Ω'Β Πρότερον εἰρηκότος, κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα· νῦν ὁ Ἐλιοὺς, ὡς τῆς λέξεως ἐπιλαμβανόμενος, φησὶ, μὴ οἴου τὸν δίκαιον κριτὴν, καὶ κηδεμόνα, τῶν ἡμετέρων παραμελεῖν· πάντα γὰρ ἐφορᾷ, καὶ πάντων ἀκούει, καὶ τὸ κατ' ἀξίαν ἑκάςῳ προστίθεμει κατὰ τὴν οἰκείαν δικαιοκρισίαν.

ΚΕΙΜ. Διὸ φοβηθήσονται αὐτὸν οἱ ἄνθρωποι, φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

Ἐπειδὴ, φησὶ, καὶ μέγας, καὶ σοφὸς, καὶ δυνατὸς, διὰ ταῦτα πάντα καὶ ὁ πολὺς καὶ ἀγελαῖος ἄνθρωπος δεδοικέναι αὐτὸν ὀφείλει, καὶ ὁ σοφὸς δὲ μᾶλλον, ὅσῳ καὶ πλείονος ἀξιοῦται τῆς γνώσεως.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΊΟΥ ΕἸΚΟΣΤΟΥ͂ ἝΚΤΟΥ.

ὈΛΥΜΠΙΟΔΏΡΟΥ.

ΠΛΟΥ͂ΤΟΣ, καὶ πενία, ὑγεία καὶ νόσος, τιμὴ καὶ ἀτιμία, καὶ ἁπλῶς εἰπεῖν, τῶν ἀνθρώπων ὅλος ὁ βίος, πειρατήριόν ἐςιν· ὡς αὐτὸς ἡμᾶς ὁ Μέγας Ἰὼβ ἐπαίδευσε, διὰ πάντων τῶν ἀγωνισμάτων ἐγγεγυμνασμένος, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριςερῶν. καὶ πλούσιος μὲν ὢν, κοινὸς ὑπῆρχε τῶν δεομένων θησαυρός· εὔδοξος δὲ, καὶ δύναμιν περιβεβλημένος, τῶν ἀδυνάτων ἐπίκουρος· οὐχ ὁ πλοῦτος αὐτὸν εἰς ἀπιστίαν ἐκίνησεν, οὐχ ἡ περιφάνεια τὴν ἀλαζονίαν ἔτεκεν. οὕτως ἀνδρείως τὰ πρῶτα πηδήσας σκάμματα, ἐπὶ τοὺς δευτέρους καὶ χαλεπωτέρους ἀγῶνας ἐπαπεδύσατο συγχωρήσει Θεοῦ, πρὸς ὅλην ἀθρόως τοῦ διαβόλου τὴν κακουργίαν γενικῶς ἀντιταξάμενος· καὶ ὁ Βασιλεὺς ὁ πολύπαις, καὶ εὔδοξος, καὶ τῷ πλούτῳ πανταχόθεν περιῤῥεόμενος, ἐπὶ τῆς κοπρίας παρέῤῥιπτο, πένης, ἄδοξος, καταγελώμενος, ἑλκώμενος, ἰχῶρας ῥέων, πάντας ὑπερβάλλων τῇ ταλαιπωρίᾳ, τούς τε πρότερον γεγεννημένους, καὶ ὅσους ὕςερον οἶδεν ὁ βίος ἐν συμφοραῖς ἐξεταζομένους· προσθήκη δὲ αὐτῷ γέγονε τῶν κακῶν, καὶ ἡ τῶν φίλων διάλεξις, ἀντὶ λόγων παρακλητικῶν, ἀθυμίας αὐτῷ

καὶ ὀδύνης ἀπεργαζομένη ἐπίτασιν. ἐπειδὴ δὲ ὁ μέγας ἀθλητὴς ἅπαντα νομίμως διεξῆλθε τὰ παλαίσματα, τότε δὴ τῆς θείας ἠκροᾶτο φωνῆς, ἀναγορευούσης μὲν αὐτοῦ τοὺς καλοὺς ἀγῶνας· ἐπὶ τούτῳ γάρ, φησί, συνεχώρουν σε τῷ θηρίῳ πυκτεύειν, ἵνα ἀναφανῇς δίκαιος· ἀνδριάντα δὲ αὐτὸν ὑπομονῆς καὶ παρακλήσεως τῷ παντὶ τῶν ἀνθρώπων ἀνιστώσης γένει. εἴτε γάρ τις ἐκ πλουσίου γένηται πένης, τὸν Ἰὼβ ἔχει παράκλησιν· εἴτε ἀφανὴς ἐκ περιφανοῦς, πρὸς αὐτὸν βλέπων ἐπικουφίζει τὰ λυπηρά· εἰ δὲ καὶ ἄπαις, ἐκ πολύπαιδος ὁμοῦ καὶ καλλίπαιδος, διδάσκεται λέγειν, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· κἂν γυνὴ ἐρεθίζοι, ἐπιτιμηθήσεται. ἔστιν οὖν παρακλήσεως φάρμακον πρὸς παντοδαπὴν ἀθυμίαν ἡ κατὰ τὸν Ἰὼβ ὑπόθεσις· καὶ οὐ ξενίζεταί τις ἀνηκέστῳ περιπίπτων συμφορᾷ, οὐδ᾽ ἂν οἱ ἄκρως αὐτῷ πρὸς φιλίαν συνηρμοσμένοι ἐπεμβαίνωσι κειμένῳ καὶ ὀνειδίζωσιν· ἀλλ᾽ ἤδη λοιπὸν τῆς θείας φωνῆς ἐπακούσωμεν, διὰ βραχέων ἐπισκεψάμενοι, δι᾽ ἣν αἰτίαν τοιούτοις ὁ Θεὸς πρὸς τὸν Ἰὼβ κέχρηται ῥήμασι. τῶν φίλων τοιγαροῦν ἄριστα μὲν τὰ περὶ Θεοῦ δοξαζόντων, καὶ τῆς αὐτοῦ σοφίας, καὶ δυνάμεως, καὶ μεγαλοπρεπείας, ἀποφαινομένων δὲ ὡς πάντως δι᾽ ἁμαρτίας πάσχουσιν ἄνθρωποι, καὶ ἀγνοούντων τὸν τρόπον τῆς γυμναστικῆς τῶν πειρασμῶν ἐπαγωγῆς, οὐκ ἐν καιρῷ δέ, οὐδὲ ἐπὶ τοιούτου προσώπου τοῖς λόγοις χρωμένων· ὁ δίκαιος ἄριστα μὲν καὶ αὐτὸς καὶ πλεῖστα περὶ Θεοῦ σοφίας ἐξαγγέλλει· οὐδὲν δὲ ἑαυτῷ συνειδὼς τῶν τοσούτων πληγῶν ἄξιον, οὐ συνετίθετο τοῖς φίλοις λέγουσιν, ὅτι δι᾽ ἁμαρτίας κολάζεται· πλὴν ἀλλὰ καὶ αὐτὸς ἠγνόει τοῦ καθ᾽ ἑαυτὸν ἀγῶνος τὴν ὑπόθεσιν. ὅθεν ὁ Ἐλιοὺς εἰς μέσον παρελθών, οὐ καταδικάζει μὲν τὸν δίκαιον, οὐδὲ ἀποφαίνεται δι᾽ ἁμαρτίας αὐτῷ τὰς κακώσεις ἐπενηνέχθαι· καὶ κατὰ τοῦτο καλλίων τῶν φίλων φαίνεται· μὴ νοήσας δὲ τοῦ Ἰὼβ τὴν εὔνοιαν, ἐξ ἧς τοὺς δοκοῦντας εἶναι κατὰ Θεοῦ κατηγορικοὺς προέφερε λόγους, αἰτιᾶται τὸν Ἰὼβ ὡς ἀσύνετα λαλοῦντα· καλῶς δὲ καὶ ὁ Ἐλιοὺς καὶ θαυμασίως τὰ περὶ Θεοῦ σοφίας καὶ δυνάμεως ἀπήγγειλε. Πάντων οὖν ὀρθοδοξαστικῶς τὴν θείαν ἀποθαυμαζόντων πρόνοιαν, ἀγνοούντων δὲ τὴν κατὰ τὸν Ἰὼβ ὑπόθεσιν, καὶ ὅτι γυμνάσιον ἀρετῆς ἦν ἡ πληγή, καὶ οὐχ ἁμαρτημάτων ἀντίδοσις· τῶν εἰρημένων πάντων ὁ Κύριος ποιούμενος τὴν ἐπίκρισιν, τὰ μὲν περὶ τῆς θείας προνοίας καλῶς λεχθέντα ἀποδέχεται· διὸ καὶ αὐτὸς περὶ τούτων ἐπεξέρχεται πλατύτερον, πρὸς μὲν τὸν Ἰὼβ ἡμέρως διαλεγόμενος, διδάσκων δὲ ἡμᾶς ὡς ἀκατάληπτα τὰ κρίματα αὐτοῦ. τοῖς δὲ φίλοις ἐπιτιμᾷ, ὡς ἀποφηναμένοις περὶ ὧν οὐκ ᾔδεισαν· Τὸν δὲ Ἐλιοὺν οὔτε ἐπαινεῖ, οὐ γὰρ ἔγνω τοῦ Ἰὼβ τὴν διάνοιαν, ἐξ ἧς τοὺς λόγους προέφερεν, ἀλλ᾽ οὐδὲ τοῦ ἀγῶνος τὴν ὑπόθεσιν· οὔτε ψέγει, ἐπεὶ μὴ κατεδίκασε τὸν Ἅγιον· τὸν δὲ δίκαιον στεφανοῖ, καὶ ἀναγορεύει, καὶ ἀνακαλεῖται τοῖς λόγοις, καὶ τὸ ἀπόρρητον ἀναπτύσσει, καὶ δημοσιεύει τοῦ πειρασμοῦ τὴν αἰτίαν· οὐ γὰρ ὡς ἄδικος πέπονθέ, φησιν, ὁ δίκαιος, ἀλλ᾽ ἵνα δίκαιος ἀναφανῇ. ἐπαλείφων δὲ αὐτὸν τοῖς λόγοις καὶ ἀναρρωννύς, διδάσκει καὶ τὸ περὶ τῆς ἐνανθρωπήσεως μυστήριον, καὶ δημοσιεύει διὰ λόγων ἐπικεκαλυμμένων τοῦ κοινοῦ τῆς ἀνθρωπότητος ἐχθροῦ, ὃν καὶ κῆτος καλεῖ, τήν τε ἰσχὺν καὶ ἰταμότητα. μετὰ δὲ τοὺς πολλοὺς ἀγῶνας, καὶ τὴν ἐκ τῆς

θείας

θείας φωνῆς παράκλησιν, ὑγεία μὲν εὐθὺς συνέτρεχε, καὶ ἀθρόως ἦν ἐν τοῖς συνήθεσιν, ὁ τοὺς ἰχῶρας ἀναβλύζων καὶ τοὺς σκώληκας ἐξομβρῶν· συνέτρεχον δὲ πανταχόθεν οἱ γνώριμοι, καὶ ξενίοις ἐδεξιοῦντο· καὶ τὰ μὲν τῆς περιουσίας διπλᾶ ἠκολούθει πάντα, οἱ δὲ παῖδες ἰσάριθμοι, οὐ γὰρ εἰς ἀνυπαρξίαν ἐχώρησαν οἱ τοῦ σώματος ἐκδεδημηκότες. Ἐπειδὴ δὲ ὁ Ἰὼβ φιλοθέῳ μὲν διανοίᾳ, σκοτεινοτέρᾳ δὲ τῇ ἐπαγγελίᾳ τῶν λόγων ἐχρήσατο, καὶ δῆλος μὲν ἐστὶν ἄριστα τὰ περὶ Θεοῦ δοξάζων, ἀσαφὴς δὲ ἐν οἷς ἔδοξε τοῖς οὐκ εἰδόσιν αὐτοῦ τὴν διάνοιαν, ὀλιγωρίας φθέγγεσθαι ῥήματα· καὶ ἐπειδήπερ συνετίθετο μὲν τοῖς τοῦ Ἐλιοὺς καλῶς δοξάζοντος τὰ περὶ τοῦ Θεοῦ, ἐσιώπα δέ, καὶ οὐκ ἀπεκρίνετο· ἐντεῦθεν ὁ Κύριος τῶν πρὸς αὐτὸν ἄρχεται λόγων, οἷα σιωπῶντος, καὶ τὴν οἰκείαν βουλὴν ἐπικρύπτοντος.

ΚΕΙΜ. Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺς τῆς λέξεως, εἶπεν ὁ Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν.

Ἔρχεται δὲ διὰ τοῦ ἀέρος ἡ θεία φωνὴ πρὸς τὴν ἡμετέραν ἀκρόασιν κατὰ θείαν δημιουργίαν· οὐ γὰρ δὴ Θεὸς ἀνθρωπίνως φθέγγεται, ἀλλ' ὁμοῦ τε θέλει, καὶ ὁ λόγος εἰς ἔργον χωρεῖ, καὶ θείων ἡμεῖς ῥημάτων ἀκούομεν. φθέγγεται δὲ διὰ λαίλαπος καὶ νεφῶν, λαῖλαψ δὲ ἐστὶν ἡ τῶν ἀνέμων συστροφή· διὰ μὲν τῆς λαίλαπος, οἶμαι, καταπλήττων τοὺς περιεστηκότας, καὶ εἰς φόβον ἐνάγων· διὰ δὲ τοῦ νέφους πρὸς τὸν δίκαιον διαλεγόμενος, ὥσπερ καὶ Μωσεῖ καὶ Ἀαρών· ἐν στύλῳ γὰρ νεφέλης ἐλάλει πρὸς αὐτούς, φησὶν ὁ μελῳδός.

ΧΡΥΣΟΣΤ. Ἐπεὶ σύμβολον οὐρανοῦ νέφος, ὡσανεὶ αὐτὸν ἐπιστῆσαι βουλόμενος τὸν οὐρανὸν τῷ Ἰὼβ, οἱονεὶ τὸν θρόνον αὐτοῦ ἤγαγε πλησίον αὐτοῦ, ὥστε διαναστῆσαι αὐτοῦ τὴν διάνοιαν, καὶ πεῖσαι ὅτι ἄνωθεν αὕτη φέρεται ἡ φωνή, καθὰ καὶ ἐπὶ τοῦ ἱλαστηρίου τῆς κιβωτοῦ· τοῦτό μοι δοκεῖ καὶ ἐπὶ τοῦ ὄρους γενέσθαι, ὅτι νεφέλη ἐπέστη, ἵνα μάθωσιν ὅτι ἄνωθεν ἡ φωνή.

ΜΕΘΟΔ. Ἐπισήμηναι, ὅτι ὁ Κύριος ἄρχηθεν ἀνθρώποις οὐ λαλεῖ, ἀλλ' ἐπὰν παρασκευάσηται ψυχὴ διὰ πλειόνων καὶ ἐγγυμνάσηται, καὶ ἀναβῇ εἰς ὕψος, καθ' ὅσον δυνατὸν ἀνθρωπίνῃ φύσει, τότε λαλεῖ, καὶ τοὺς ἑαυτοῦ λόγους ἀποκαλύπτει εἰς τοσοῦτον ἀναβεβηκόσιν. ἐπειδὴ δὲ ἡ λαῖλαψ χειμῶνός ἐστι ποιητική, ἐν δὲ χειμῶνι περιστάσεων ὁ Ἰὼβ περὶ τὴν πίστιν οὐκ ἐναυάγησεν, ἀλλὰ καὶ διέλαμψεν. διὰ τοῦτο ὁ χρηματίζων αὐτῷ, πρὸς σύμβολον τοῦ καταλαβόντος αὐτὸν χειμῶνος, διὰ λαίλαπος χρηματίζει. διὰ δὲ τὸ μεταβαλεῖν αὐτοῦ τὰ πράγματα ἀπὸ χειμῶνος εἰς εὐδίαν, οὐ μόνον διὰ λαίλαπος, ἀλλὰ καὶ διὰ νεφῶν λαλεῖ.

ΚΕΙΜ. Τίς οὗτος ὁ κρύπτων με βουλήν; (Σύμμαχος, σκοτεινὸς γνώμη;) συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;

ΧΡΥΣΟΣΤ. Ὅρα τί ποιεῖ· ἐμοὶ δοκεῖ, ἀπὸ τῶν ῥημάτων τούτων στοχαζομένῳ, ἕτερόν τι αὐτοῦ τὴν διάνοιαν εἰσιέναι. ἐπειδὴ γὰρ πολλὰ ἦν ἃ κατὰ διάνοιαν ἔχεν ὁ Ἰὼβ, καὶ εἰς μέσον ἐξενεγκεῖν οὐκ ἐτόλμα, ἀπὸ τοῦ πρώτου

δια-

διανίστησιν αὐτὸν, καὶ δείκνυσιν ὅτι προνοεῖ τῶν ἀνθρωπίνων πραγμάτων, καὶ πάντα οἶδε σαφῶς· ὥστε ἀπὸ τῶν προτέρων ἐκείνων ἄρχεται, τῶν μᾶλλον ἀσυγγνώστων· εἰ γὰρ ἅπερ ἐτόλμησεν εἰπεῖν, οὕτω φορτικὰ καὶ ἐπαχθῆ, πολλῷ μᾶλλον ἐκεῖνα· διὰ τοῦτο προτέροις αὐτοῖς ἐπιτίθησι τὸ φάρμακον, τίς οὗτος, φησίν; ὁμοῦ ἐκ προοιμίου δείκνυσι τὸ μέσον τοῦ Θεοῦ, οἷον, τίς ὁ κρύπτειν ἀπ' ἐμοῦ ἐπιχειρῶν, εἰπέ μοι, τοῦ τὰ ἀπόρρητα μετ' ἀκριβείας εἰδότος; μὴ γὰρ, ἐπειδὴ οὐκ εἶπες αὐτὰ, οὐχὶ ῥήματά ἐστιν; ἐτέχθη, καὶ γέγονε λόγος· ὥστε μάτην κρύπτειν βούλει ἃ λαθεῖν οὐκ ἔστιν. ὁρᾷς πῶς ἡμέρως, πῶς διορθωτικῶς, καὶ ἐλεγκτικῶς διαλέγεται.

ΟΛΥΜΠ. Οὐδεὶς, φησὶν, ἀποκρύψαι με δύναται· ἀλλὰ καὶ τὰ τῶν καρδιῶν οἶδα κινήματα, κἂν διὰ λόγων μὴ ἐξαγγέλλωνται.

ΙΟΥΛΙΑΝΟΥ. Ἴσως δὲ, ἐπειδὴ πρὸς τὰ παρὰ τοῦ Ἐλιοὺς ἐσιώπησεν ὁ Ἰώβ, ἠγνοῦτο δὲ δι' ἣν αἰτίαν σιωπᾷ, πότερον ὡς ὑπερφρονῶν, ἢ ὡς οὐκ ἔχων ὅ,τι εἴπῃ· ἐπιφανεὶς ὁ Θεὸς, τὴν μὲν ἀξιοῖ τῆς ἰδίας ὁμιλίας, τὸ δὲ τὴν ἀμφιβολίαν λύει, ὡς οὐχ ὑπεροπτικῶς ἐσιώπα, ἀλλὰ τῷ ἀλόγῳ τῶν ῥημάτων αἱρεθείς.

ΚΕΙΜ. Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι.

ΧΡΥΣΟΣΤ. Ἐπειδὴ καταβεβλημένος ὑπὸ τῆς ἀθυμίας ἦν, διανίστησιν αὐτὸν διὰ τῶν ῥημάτων, ὥστε προσέχειν τοῖς λεγομένοις· καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον, ὅπερ ἐστὶν ἐλεγκτικώτατον μάλιστα· καὶ δείκνυσιν ὅτι πάντα σοφίᾳ καὶ συνέσει ἐποίει, καὶ οὐκ ἦν τὰ τοσαῦτα μετὰ σοφίας ἐργαζόμενος, ἄνθρωπον, δι' ὃν ἅπαντα ἐπεκτήσατο, παρεῖδεν ὡς ἔτυχε πάσχοντα κακῶς.

ΧΡΥΣΟΣΤ. Ἀπόρρητα μανθάνομεν μυστήρια ὄντως· καὶ τὸ πρὸς τὸν Ἰὼβ εἰρημένον, οὐ πρὸς ἐκεῖνον εἴρηται μᾶλλον ἢ πρὸς ἡμᾶς, ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· καὶ γὰρ ἡμῖν ταύτης δεῖ τῆς προθυμίας, καὶ τῆς διαναστάσεως.

ΟΛΥΜΠ. Ἐπιῤῥωννὺς τοιγαροῦν αὐτὸν, φησὶ, ζῶσαι, τουτέστιν, ἀνδρεῖσαι, ἀπόῤῥιψον τὴν ἀθυμίαν· ἐπειδὴ γὰρ ἐπεθύμεις εἰς ὁμιλίαν ἐλθεῖν ἐμὴν, ἰδού σοι διαλέγομαι, ἰδοὺ πληρῶ σου τὴν αἴτησιν· σὺ δὲ δὸς ἀπόκρισιν ἀνδρικήν.

ΚΕΙΜ. Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν;

ΧΡΥΣΟΣΤ. Τί λέγεις, φησὶ, γῆν μὲν μετ' ἀκριβείας τοσαύτης ἐστήριξα διὰ σὲ, σὲ δὲ παρόψομαι δι' ὃν ἐκείνην ἐποίησα; διὰ τοῦτο οὐ λέγει τῆς πλάσεως τὴν σοφίαν, καὶ τὴν δημιουργίαν τὴν κατὰ τὴν κατασκευὴν, ἀλλ' ἐκ περιουσίας ἀπὸ τῆς γῆς, ἀπὸ τοῦ οὐρανοῦ δεικνὺς, ὅτι εἰ ὁ Κόσμος ἀπολαύει τοσαύτης προνοίας διὰ σὲ, πόσῳ μᾶλλον σύ; οὐκ εἶπε δὲ, ὅτε ἐποίησα, ἀλλ' ὅτε ἐθεμελίωσα· καὶ γὰρ αὐτὸ τὸ στῆσαι αὐτὴν, μεγάλης τέχνης ἦν, οὐκ ἔχουσαν θεμέλιον, οὔτε κρηπῖδα, οὔτε ὑποβάθραν, σώματος ὄγκον τοσοῦτον ἐναρμόσαι,

καὶ

καὶ πῆξαι βεβαίως οὕτως, ὡς ἐν τοσούτῳ χρόνῳ μὴ παρασαλευθῆναι.

ΒΑΣΙΛΕΊΟΥ. Ἐνταῦθα μανθάνομεν, ὡς θεμέλια γῆς ἄγνωστα ἀνθρώπου φύσει· κατὰ δὲ τὴν τῶν ἔξωθεν ὑπόληψιν, ἐθεμελίωσε τὴν γῆν ὁ Κύριος ἐν τῷ κέντρῳ τῆς περιεχούσης τὸν Κόσμον σφαίρας, ὡς διὰ τὴν ἰσοῤῥοπίαν αὐτῆς, ἴσον αὐτῆς πανταχόθεν ἀπεχούσης τοῦ οὐρανοῦ, βεβηκέναι ἀσφαλῶς, καὶ ἐρερεῖσθαι ἀκλινῶς, καὶ ἐστηρίχθαι βεβαίως.

Ὀ'ΛΥΜΠ. Ἰστέον δὲ, ὡς νῦν πρῶτον ἐκ θείας φωνῆς ὁ περὶ τῆς δημιουργίας τῆς κτίσεως εἰσάγεται λόγος, καὶ ὅτι ποιητὴς τῶν ὅλων ἐστὶν ὁ Θεὸς, καὶ ὅτι ἀνέφικτα τὰ βάθη τῆς αὐτοῦ σοφίας, καὶ ὅτι οὐ μόνον τὴν τοῦ καθ' αὐτὸν ἀγῶνος ὑπόθεσιν ἀγνοεῖ ὁ Ἰώβ, ἀλλ' ἔστι καὶ ἄλλα μυρία ὧν οἱ λόγοι ἀπόῤῥητοι· διό φησιν.

ΚΕΙΜ. Ἀπάγγειλον δέ μοι, εἰ ἐπίστῃ σύνεσιν.

Τουτέστι, εἰ ἔχεις σύνεσιν τῆς ποιήσεως τῶν κτισμάτων, ἀποκρίθητί μοι.

ΚΕΙΜ. Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς;

ΤΟΥ ΑΥΤΟΥ. Ὁ Ἀκύλας δὲ, καὶ Σύμμαχος, ὁ μὲν, κανόνα, ὁ δὲ χοινίον μέτρου, ἐξέδωκεν. Ἐξ ὁμοιώματος δὲ τῶν παρ' ἡμῖν οἰκοδόμων, μέτρα, ἔφη, καὶ σπαρτίον, ἐπ' ἰσότητι τῶν οἰκοδομημάτων ἀποτεινόμενον, καὶ λίθον γωνιαῖον, ἑκατέρους τοὺς τοίχους συνδέοντα. εἰπὲ, φησιν, εἰ οἶδα τῆς γῆς τὰ μέτρα, τίς αὐτῇ ὑποβάθρα; ἐπὶ τίνος ὀχεῖται τὸ βαρὺ τοῦτο καὶ μέγα στοιχεῖον;

ΧΡΥΣΟΣΤ. Ἆρα οὐχ ἁπλῶς τοσαύτη γεγένηται ἡ γῆ, οὐδὲ ὡς ἔτυχεν· ἀλλ' ἐμοὶ δοκεῖ, εἰ καὶ τὸ τυχὸν προστεθῇ, ἄκαιρον εἶναι, καὶ εἴπερ ἀφῃρήθη ὁμοίως τῷ λόγῳ, πᾶσαν αὐτὴν λυμήνασθαι, καὶ τοῦτο αἰνίττεται τὰ μέτρα καὶ τὸ σπαρτίον.

ΚΕΙΜ. Ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι;

Οἱ δὲ ἄλλοι, αἱ βάσεις, οἱ καταπῆγες· κρίκους λέγει τοὺς ἀναβαστακτῆρας. πρῶτον μὲν ἐκκρεμής ἐστι, φησὶ, ποῖοι κρίκοι αὐτὴν φέρουσι, τὴν γῆν δηλονότι; οὐχ ὡς τούτων ὄντων, ἀλλ' ὡς ἀσφαλῶς οὕτω βεβηκυίας αὐτῆς, ὥσπερ ἂν εἰ κρίκοι ἦσαν ἄνωθεν βαστάζοντες, καὶ πεπηγότες. ἐπειδὴ γὰρ ὁ κρίκος μετέωρον φέρει τὸ σῶμα, τὸ δὲ μετέωρον οὐχ ἕστηκε, διὰ τοῦτο, φησι, πεπήγασι.

ΚΕΙΜ. Τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς;

Ὅτι οὕτως ἕστηκεν ἑδραία, ὥσπερ ἐπ' οἰκοδομῆς, ἐπ' ἀσφαλεία βεβηκυῖα θεμελιώσεως τῇ βουλήσει Θεοῦ· ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. δύναται δὲ ὁ γωνιαῖος λίθος καὶ εἰς τὸν μονογενῆ νοεῖσθαι, τοὺς δύο λαοὺς ἑαυτῷ συνάψαντα, ὥσπερ ἀμέλει καὶ ὁ γωνιαῖος λίθος ἀμφοτέρους συνδεῖ τοὺς τοίχους.

ΚΕΙΜ.

ΚΕΙΜ. Ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες Ἄγγελοί μου.

ΟΛΥΜΠ. Οἱ δὲ ἄλλοι, ἅμα υἱοὶ Θεοῦ. ἀπὸ τούτου δῆλον, ὅτι πρῶτοι οἱ Ἄγγελοι τοῦ Κόσμου γεγένηνται. καὶ φωνῇ, φησὶ, μεγάλῃ ᾔνεσαν, τουτέστιν, ἀπὸ τῆς ὄψεως αὐτῆς ἐξεπλάγησαν, ὁρῶντες τὸ πλῆθος, τὸ κάλλος, τὴν θέσιν, τὴν χρείαν, τὴν ποικιλίαν, τὴν φαιδρότητα, τὴν λαμπηδόνα, τὴν ἁρμονίαν, τὰ ἄλλα πάντα, ἅπερ ἀκριβέστερον ἡμῶν συνορῶσιν ἐκεῖνοι.

ΚΕΙΜ. Ἔφραξα δὲ θάλασσαν πύλαις, (ἀντὶ τοῦ, ὅροις τισὶ περιέκλεισα τῷ προστάγματι.) ὅτε ἐμαίμασσεν, ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη.

Τὸ ἐμαίμασσεν, ἀντὶ τοῦ, οἶστρα, ὁρμητικῶς εἶχε, καθάπερ τι βρέφος ἀποκυηθῆναι τῆς ἀβύσσου ἠπείγετο, πᾶσαν ἐπικλύσαι τὴν γῆν προθυμουμένη τοῖς ὕδασιν, εἰ μὴ ταῖς θείαις διεκωλύθη προστάξεσιν, ἃς πύλας ἐκάλεσε. μητέρα δὲ αὐτῆς, τὴν ἄβυσσον λέγει, ἢ καὶ τὴν ἑαυτοῦ δύναμιν, ὡς αἰτίαν αὐτῇ τῆς ὑπάρξεως γενομένην. τινὰ μέντοι τῶν ἀντιγράφων, ἀντὶ τοῦ, ὅτι ἐμαίμασσεν, ὅτε ἐμαιοῦτο, ἔχει· τουτέστιν, ὅτε ἐγένετο, τότε αὐτὴν ἐτείχισα. τίνος δὲ ἕνεκεν, φησὶν, ὅτε ἐμαιοῦτο; ἵνα δείξῃ, ὅτι κατὰ μικρὸν γέγονε, καὶ οὐχ ὁμοῦ οὕτω παρήχθη, ἀλλὰ καθάπερ μαιουμένη, πρῶτον μὲν διεχύθη, εἶτα διεπλάσθη καὶ συνήχθη.

ΚΕΙΜ. Ἔθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα.

Ὁ δὲ Σύμμαχος, ὡς νεφέλῃ περιείλησα αὐτήν· ἐξ αὐτῆς γὰρ νέφη καὶ ὁμίχλαι. ὡς ἐπὶ βρέφους δὲ, τὸ, ἐθέμην, καὶ, ἐσπαργάνωσα, λέγει, ὅ ἐστι, περιείλησα· ἐπειδὴ γὰρ κοιλίας μητρὸς ἐμνήσθη, ἐπέμεινε τῇ τροπῇ, οἱονεὶ γὰρ ἔμβρυον, ὁμίχλῃ, καὶ νέφεσιν αὐτὴν ἐσπαργάνωσα, τουτέστι, περιεσκέπασα, μὴ δὴ τοῦτο τῆς φύσεως εἶναι νομίζῃς, τοὺς ἀπὸ τῶν ὑδάτων ἀτμούς· καὶ τοῦτο ἀπὸ τοῦ ἐμοῦ προστάγματος, φησι. τίνος δὲ ἕνεκεν, φησὶν, ἐσπαργάνωσα; ἆρα ὡς τῷ βρέφει χρήσιμα τὰ σπάργανα, οὕτω καὶ τῇ θαλάσσῃ; ἢ ὅτι ἐξ ἀρχῆς τοῦτο γέγονεν; ἢ ὅτι τοῦτο αὐτὴν κατέχει; ἢ τὸ θαυμαστὸν δείκνυσιν, ὅτι τὸ ῥᾶστον περιέβαλεν ἀέρι; καὶ ὅτι οὐχ ὑπὸ γῆς μόνον, ἀλλὰ καὶ ὑπὸ ἀέρος κατέχεται, οὔτε πρὸς ὕψος, οὔτε πρὸς πλάγιον ἐξενεχθῆναι παρὰ τὸ μέτρον δυναμένη.

ΚΕΙΜ. Ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας.

Ὅμοιον τῷ ἀνωτέρῳ, ἔφραξα δὲ θάλασσαν πύλαις· καὶ νῦν γὰρ κλεῖθρα καὶ πύλας, τὴν διὰ τοῦ ἰδίου προστάγματος ὁροθεσίαν καλεῖ, καὶ ἀσφάλειαν. περιώρισα, φησι, τῆς θαλάσσης τὰ κύματα, ἵνα μὴ τοὺς ὅρους

ἐκβαίνοντα, τὴν γείτονα χέρσον λυμαίνωνται.

ΧΡΥΣΟΣΤ. Ἐνταῦθα δείκνυσιν, ὅτι οὕτως ἀσφαλῶς ἔστηκεν, ὡσανεὶ δεδεμένη. διὰ μὲν οὖν τούτου, τὸ ἀσφαλές· διὰ δὲ τοῦ ἑξῆς, τὸ εὔκολον δείκνυσιν· ἐπάγει γάρ.

ΚΕΙΜ. Εἶπα δὲ αὐτῇ, μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

ΟΛΥΜΠ. ὁ δὲ ΣΥΜ. Ἕως ὧδε πεπάχθω τὸ ἔπαρμα τῶν κυμάτων σου. οὕτω μὲν γὰρ ἀσφαλῶς κατέχει αὐτὴν ὡσανεὶ κλείθροις· οὕτω δὲ εὐκόλως ὡσανεὶ ἐπιτάξας· εἶπα γὰρ, φησὶ, καὶ οὐκ ἔστιν ἀντειπεῖν. καὶ τοῦτο γίνεται, οὐ μόνον μηδεμιᾶς ἀνάγκης αὐτὴν ὠθούσης, ἀλλὰ καίτοι πολλῆς τῆς βίας καὶ τῆς ῥύμης αὐτὴν μαστιζούσης. διὰ γὰρ τοῦτο οὐκ ἀφῆκεν αὐτὴν εἶναι γαληνιαίαν, οὐδὲ ἥμερον, ἵνα κηρύττῃ τοῦ Θεοῦ τὴν ἰσχὺν, τῆς φύσεως τῷ προστάγματι μαχομένης, καὶ τοῦ προστάγματος πανταχοῦ νικῶντος. εἰ γὰρ ἥμερον ἦν τὸ ὕδωρ, τῇ φύσει τοῦ ὕδατος τὴν εὐταξίαν ἂν ἐλογίσαντο πολλοί· νῦν δὲ ταραττομένη, μαστιζομένη, ὠθουμένη ἔνδον, καὶ τὰ ὅρια ὑπερβαίνειν μὴ δυναμένη, διὰ τῆς ταραχῆς κηρύττει τοῦ Θεοῦ τὴν ἰσχύν.

ΚΕΙΜ. Ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν;

Πάλιν ἐντεῦθεν ἐπὶ τὸν οὐρανὸν τὸν λόγον εἵλκυσε, πρότερον ἀπὸ τῶν κάτω διαλεχθείς· καὶ παρῆς, φησιν, ὅτε εἶπον, γενηθήτω φῶς· καὶ τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθησεν.

ΚΕΙΜ. Ἑωσφόρος δὲ εἶδε τὴν ἑαυτοῦ τάξιν, (οἱ δὲ λοιποὶ, ἐγνώρισας τῷ ὄρθρῳ τὸν τόπον αὐτοῦ;) ἐπιλαβέσθαι πτερύγων γῆς.

Ἑωσφόρος ἐστὶ τῶν ἀστέρων ὁ πρῶτος. ἔμαθες ἀπὸ τῶν ὑδάτων τὴν εὐταξίαν, ὅρα ταύτην καὶ ἐν οὐρανῷ, καὶ ὅτι κἀκεῖ οὐ φύσει τὰ πράγματα οἰκονομεῖται, ἀλλὰ προνοίᾳ Θεοῦ· εἰ γὰρ ἐν ῥευστῇ φύσει καὶ ἀτάκτῳ τοσαύτη εὐταξία, τοσοῦτος ῥυθμὸς, ὅταν ἴδῃς τοῦτο καὶ ἐν οὐρανῷ, ἀναμνήσθητι τοῦ αἰτίου τούτων γινομένου. ἐπιλαβέσθαι δὲ, τουτέστι, περιπολεῖν, ὅτι ὅπου ἂν ᾖ, τὸ φῶς πανταχόθεν τῆς οἰκουμένης ἐκπέμπει, καίτοι, εἰς τὰ πέρατα. ὥστε οὐδὲν θαυμαστὸν περὶ τοῦ ἡλίου τοῦτο, ὅπου γε καὶ ἐν τοῖς ἄστρασι τοῦτό ἐστι, καὶ ὁ Ἑωσφόρος τὰ ἄκρα τῆς γῆς καταφωτίζει· λέγεται δὲ καὶ ἐν μιᾷ νυκτὶ τὸ ἄκρον τῆς γῆς καταλαμβάνειν.

ΚΕΙΜ. Ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς.

ΧΡΥΣΟΣΤ. Περὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων, καὶ τῶν ἄλλων ἁπάντων λέγει, τῶν τῇ νυκτὶ πρὸς τὴν οἰκείαν κεχρημένων πονηρίαν· οὕτω γὰρ τοῦ φωτὸς ἀνατείλαντος, οὐκ ἔτι ἐπὶ τῆς γῆς παῤῥησιάζονται, ἀλλ' ἐξ αὐτῆς ἐκτινάσσονται, καὶ συστέλλονται· μισοῦσι γὰρ τὸ φῶς, ὡς ἐλέγχον αὐτούς.

ΚΕΙΜ. Ἦ σὺ λαβὼν γῆν πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ τῆς γῆς.

ΟΛΥΜ. Σεβήρου, καὶ Χρυσοστ. ἆρα σὺ, φησὶν, ὦ Ἰὼβ, λαβὼν χοῦν ὕδατι βεβρεγμένον, ἀπὸ γῆς ἔπλασας ἄνθρωπον; καὶ λόγῳ τοῦτον ἐκόσμησας, ὥσπερ ἐγώ; καὶ τοῦ κόσμου κόσμον ἀνέδειξας; ὅθεν δῆλον, ὅτι τὰ ἄλλα οὐκ εἶχε τὸ λογικὸν, ὃ γὰρ αὖ ὡς ἐξαίρετον αὐτῷ τῷ ἀνθρώπῳ προσῆψε· λαλητὸν γὰρ, τὸ λογικὸν, φησὶ, ζῶον. τὸ δὲ, τεθῆναι ἐπὶ τῆς γῆς, τὸ ταχθῆναι κυριεύειν πάντων τῶν ἐπὶ τῆς γῆς. ὡς ἔγωγε δι' ἀμφότερα ταῦτα θαυμάζω τὸν Θεὸν, ὅτι τε φθαρτὸν τὸ ἀνθρώπινον σῶμα ἐποίησε, καὶ ὅτι ἐν τῇ φθορᾷ τὴν οἰκείαν ἰσχὺν ἐπέδειξε καὶ σοφίαν· τὸ γὰρ ἀτελὲς τῆς οὐσίας, τοῦτο δείκνυσι μάλιστα τῆς τέχνης τὸ ἄπορον καὶ ἀμήχανον· ὅτι ἐν πηλῷ καὶ τέφρᾳ τοσαύτην ἐνέθηκεν ἁρμονίαν, καὶ τοιαύτας αἰσθήσεις, οὕτω ποικίλας καὶ παντοδαπὰς, καὶ τοιαῦτα δυναμένας φιλοσοφεῖν· καὶ γὰρ ἀπὸ γῆς, τῆς ὕλης ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ἴσχυσεν ὀφθαλμὸν οὕτω ποιῆσαι καλὸν, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα ὁρᾶν καὶ περιλαμβάνειν σώματα.

ΚΕΙΜ. Ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας.

ΟΛΥΜΠ. Τὸ κολάζειν ἀσεβεῖς, καὶ τὴν δύναμιν αὐτῶν συντρίβειν, τῆς θείας ἐστὶ δεξιᾶς καὶ ἐνεργείας.

ΚΕΙΜ. Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας.

Πάλιν ἐπὶ τὴν θάλασσαν τὸν λόγον μετήγαγε, καὶ φησὶν, ἔγνως πόθεν ἡ θάλασσα ἔσχε τὴν ἀρχήν; ἢ τὰ ἴχνη, τουτέστιν, τὰ ἔσχατα τῆς ἀβύσσου κατείληφας; πηγὴν, δέ φησιν, οὐχ ὡς πηγὴν τῆς θαλάσσης ἐχούσης, ἀλλ' ὡς μὴ ἐκλειπούσης, καθάπερ πηγὴν ἐχούσης.

ΜΕΘΟΔ. Πολλοὶ καταβεβήκασιν εἰς ἄβυσσον, οὐχ ὥστε περιπατεῖν ἐν αὐτῇ, ἀλλ' ὥστε δέσμιοι εἶναι· Ἰησοῦς μόνος ἐν ἀβύσσῳ περιεπάτησε ὡς ἐλεύθερος, ὅπου ἴχνη περιπατούντων οὐκ ἐνί· εἵλετο γὰρ θάνατον, οὐχ ὑπεύθυνος ὤν, ἵνα τοὺς ὑποκειμένους θανάτῳ λυτρώσηται, λέγων τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε· ᾧ καὶ τὰ ἑξῆς συμφωνοῦσιν.

ΚΕΙΜ. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου; πυλωροὶ δὲ ᾅδου ἰδόντες σὲ ἔπτηξαν;

ΙΟΥΛΙΑΝΟΥ. Ταῦτα γέγονεν ὅτε ὁ Κύριος εἰς ᾅδου κατέβη κηρύξαι τοῖς ἐκεῖ πνεύμασι. τὰ μέντοι ἀόρατα ταῦτα ἀπὸ τῶν φαινομένων δῆλα, τουτέστιν, ὅτι ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχω, δεσμωτήριόν μοί ἐστιν ὁ ᾅδης.

ΘΕΟΦΙΛΟΥ. Ἐνταῦθα τῆς ἐπιφανείας αὐτῦ τὴν παράδοξον τοῖς ἐν χώρᾳ καὶ σκιᾷ θανάτυ καθημένοις περίλαμψιν ἑρμηνεύει· καὶ τὸ, ἔπτηξαν, λέγων, σημαίνει τὸ θαῦμα. Βασιλεὺς γὰρ ἦν ὁ ὐράνιος, καὶ ἐκεῖ φαινόμενος, καὶ τὸ συγνὸν χωρίον τῶν καταπληθυσῶν ἐκεῖσε ψυχῶν τῷ μεγαλοπρεπεῖ καταλάμπων τῆς θεότητος φωτί.

ΚΕΙΜ. Νενυθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ᾽ ὐρανόν;

ΟΛΥΜΠ. Τυτέςι, σωῆκας, ἐνενόησας, ἠκριβώθης τῆς γῆς τὸ πλάτος;

ΚΕΙΜ. Ἀνάγγειλον δή μοι, πόση τίς ἐςίν;

Φράσον αὐτῆς τὴν διάμετρον· οὐ λέγω, φησὶν, ὅτι οὐδεὶ δύνασαι ποιῆσαι ὧν ἐποίησα· ἀλλ᾽ ὅτι ὐδὲ οἶδας πῶς γέγονεν, ὐδὲ εἰδέναι αὐτὰ δύνασαι, ὐδὲ θεωρῆσαι πάντα μετ᾽ ἀκριβείας. διὰ τύτων διδάσκει αὐτὸν τὸ μέσον αὐτῦ καὶ ἐκείνυ.

ΚΕΙΜ. Ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς; (οἱ ἄλλοι, σκηνοῖ, ἠρεμεῖ) σκότους δὲ ποῖος ὁ τόπος; εἰ Ἀγάγοις με εἰς ὅρια αὐτῶν, εἰ δὲ καὶ ἐπίςασαι τρίβυς αὐτῶν; (ὁ δὲ Σύμμαχος ἀτραπὺς οἰκήσεως) οἶδας, ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν σῦ πολύς;

Εἶπέ δέ μοι, φησὶ, περὶ φωτὸς καὶ σκότυς, πῦ ἀποκλείονται, καὶ πόθεν ἐκπορεύονται; ἀνάγγειλόν μοι, πῦ τὸ φῶς, καὶ πῦ τὸ σκότος ἀπέρχεται; εἰ τύτων τὰς ὁδὺς εἰδέναι φαίης, λέγε ὅτι καὶ τότε ἐγεννήθης, ὅτε ταῦτα ὠροθετήθησαν· καὶ εἰ ταῦτα ἐπίςασαι, ἴσθι καὶ πολυετής τις ὑπάρχων, ὡς ἔκτοτε γεγονώς. διδάσκει δὲ ἐνταῦθα, ὅτι τὸ τῦ ἀνθρώπυ ὀλιγόβιον ὐδὲ γνῶναι αὐτῷ τὰ πολλὰ ἐπιτρέπει. τί δὲ, φησὶ, λέγω τὰ ςοιχεῖα; τὰ κατὰ σαυτὸν εἰπέ· πότε ἐγεννήθης; καὶ μὴν ὐκ ἤδεις, ἀλλὰ παρ᾽ ἑτέρων μαθών. ἀλλὰ πόσος ὁ ὑπολειμμένος τῦ βίου χρόνος; τὰ κατὰ σαυτὸν ὐκ οἶδας· πῶς ὖν αὐχήσεις εἰδέναι τὰ τῆς ἀρχῆς; ὅρια δὲ φωτὸς καὶ σκότυς, τὸ πρόςαγμα τῦ Θεῦ, ἀντὶ μεθορίου αὐτοῖς ὄν.

ΚΕΙΜ. Ἦλθες δὲ ἐπὶ θησαυρὺς χιόνος; θησαυρὺς δὲ χαλάζης ἑώρακας; ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν, εἰς ἡμέραν πολέμων, καὶ μάχης.

ΧΡΥΣΟΣΤ. καὶ ΟΛΥΜΠ. Θησαυρὺς λέγει, ὐχ ὅτι ἀποθῆκαί εἰσιν, ἀλλ᾽ ὅτι ἑτοίμως ὥσπερ καὶ ἐκ θησαυρῶν ἐκβάλλων, δείκνυσιν αὐτὰ ὅταν βύληται. οἶδα οὖν, φησὶ, πῶς τὴν μὴ φαινομένην χιόνα καὶ χάλαζαν ἐκφαίνεσθαι παρασκευάζω; ἢ δυνατὸς εἶ τύτοις κατὰ πολεμίων χρήσασθαι, ὅπερ ἐγὼ ποιεῖν ἱκανός; ὁρᾷς ὅτι τῦτο βύλεται, τὸ εὔκαιρον δηλῶσαι, ὡς ἄρα κατὰ καιρὸν τῦτο γίνεται, καὶ ὐχ ἁπλῶς· κέχρηται γὰρ τῇ χιόνι καὶ τῇ χαλάζῃ κατὰ πολεμίων, καὶ ὅταν τινὰς βύληται τιμωρήσασθαι. εἶτα καὶ

περὶ τῶν ἄλλων ἁπάντων διέξεισιν, ὑετῶν λέγω, καὶ πάχνης, καὶ ἀνέμων.

ΚΕΙΜ. Πόθεν δὲ ἐκπορεύεται πάχνη, ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ' οὐρανόν; τὶς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν; (οἱ ἄλλοι, τὶς δὲ κατέσαλε τῷ κατακλυσμῷ ὑδραγωγόν;)

Ο'ΛΥΜΠ. Πόθεν δὲ ἡ πάχνη; ἢ πῶς ὁ νότος καθ' ὅλης πνεῖ τῆς ὑπ' οὐρανόν; πῶς λαύρως ὁ ὑετὸς καταῤῥεῖ; πόθεν αἱ βρονταί; κυδοιμὸν γὰρ τὴν βροντὴν καλεῖ· καὶ πῶς τοῦ νότου τῇ θέρμῃ χιὼν στερεμνία οὖσα διαλύεται; κατὰ τό, ὡς ὁ χειμάῤῥους ἐν τῷ νότῳ· μὴ ταῦτα, φησί, ἀνθρωπείας ἔργα τέχνης; οὐκ ἀποῤῥήτου σοφίας δημιουργήματα; ἄνεμος δὲ ἐστὶ ῥεῦμα ἀέρος, ταῖς τῶν τόπων ἐξαλλαγαῖς ὅθεν ῥεῖ, τὰς ἐπωνυμίας ἀμείβων.

ΚΕΙΜ. Ο'δὸν δὲ κυδοιμῶν, τοῦ ὑετίσαι ἐπὶ γῆν οὗ οὐκ ἀνὴρ, ἔρημον οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ, τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον, καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης.

Ο'ρᾷς ὅτι οὐκ ἐνὶ μέρει ὁ Θεὸς ἰσχυρὸς, ἀλλ' ἐν ἅπασι· χεῖται γάρ, φησίν, ὁ ὑετὸς καὶ εἰς τὴν ἀοίκητον, δηλονότι καὶ τῶν θείων προνοοῦντος τοῦ Θεοῦ. καὶ ἡ ἔρημος ποάζει, καὶ χλοηφορεῖ δίχα τινὶς ἀνθρωπίνης ἐπιμελείας.

ΚΕΙΜ. Τὶς ἐστὶν ὑετοῦ πατήρ; τὶς δὲ ἐστὶν ὁ τετοκὼς βώλους δρόσου; ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσαλλος; πάχνην δὲ ἐν οὐρανῷ τὶς τέτοκεν, ἢ καταβαίνει ὥσπερ ὕδωρ ῥέον;

Ε'χεις εἰπεῖν ὑετοῦ πατέρα, ἢ βώλους δρόσου τὶς ἔτεκε, τουτέστι, συστάσεις ἢ κρυστάλλου ἢ πάχνης, ἥτις συνιστάμενη περὶ τὸ στερέωμα, οὐρανὸν γὰρ ἐνταῦθα τὸν εἰς ὕψος ἀέρα λέγει, ὥσπερ ὕδωρ καταῤῥεῖ· καὶ μέντοι καθὸ τοὺς κρύσαλλοι τοὺς ποταμοὺς ὡς ὀπὸς γάλα; οὐ Θεοῦ ταῦτα σοφίας ἔργα; ἐκ γαστρὸς, εἶπεν, οὐχ ὅτι ἐκ γαστρὸς αὐτοῦ ἔξεισι πάγος καὶ κρύσαλλος· μὴ γένοιτο. ἀλλὰ τί βούλεται ὁ τόκος ἐνταῦθα καὶ ἡ γαστήρ; ὥσπερ ὅταν λέγῃ περὶ τῆς θαλάσσης, ὅτι ὅτε ἡ μήτηρ αὐτὴν ὤδινεν, οὐχὶ μητέρα λέγει θαλάσσης· οὕτω καὶ ἐνταῦθα, οὐχ ὅτι ἀπὸ γαστρὸς ἐξῆλθεν ὁ κρύσαλλος, ἀλλὰ τὴν διάπλασιν καὶ τὴν αἰτίαν. τίνος οὖν ἕνεκεν τὸ ὄνομα τοῦ τόκου τέθεικεν ἐνταῦθα συνεχῶς; ἐμοὶ δοκεῖ καὶ τὸν αἴτιον αἰνίττεσθαι βουλόμενος τὸν πρῶτον καὶ μόνον, καὶ τὸ διαπλάττεσθαι τὰ δημιουργήματα πρὶν ἢ αὐτὰ ἀπαρτισθῆναι· ὥστε κἂν ἐπὶ τοῦ υἱοῦ ταῦτα λέγηται, περιττῶς αὐτὰ προφέρουσιν· ἐκεῖ γὰρ ὁ υἱὸς, καὶ τό, ἐγέννησα, καὶ τό, ὁμονογενὴς, καὶ ὅσα τοιαῦτα· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον.

ΣΕΒΗ'ΡΟΥ. Α'λλὰ καὶ μάλιστα μὲν ἀτοσίαν ἐμποιῆσαι βουλόμενος ὁ Θεὸς τῷ Ι'ὼβ, καὶ ἐλέγξαι αὐτὸν ὅτι πολλὰ ἀγνοεῖ, εἶπε τοῦτο· οὐ μὴν ὅτι αὐτὸς ταῦτα γεγέννηκεν, ἢ γεννᾷ, ἀλλ' ἐπειδὴ ἔθος τοῖς ἐπὶ γῆς ἐν

χρόνῳ

χρόνῳ μετά τινΘ- πόνε γεννᾷν, δεικνὺς ὅτι ὀξέως ἀλλὰ μελλισμε τινὸς ταῦτα παράγει ὅτε βέλεται, φησὶ τέτο. πλίω ἢ τὰ ὀνόματα προσήκει νοεῖν πρὸς τίω τῶν ὑποκειμένων πραγμάτων ποιότητα, καὶ ἐ πρὸς τίω κατάχρησιν τῶν λέξεων κανονίζειν τἀληθῆ· ἑτέρως γάρ τις υἱε πατέρα Θεὸν ἀκέει, καὶ ἑτέρως υἱε, καὶ τέτε μονογενες, ὅπερ διοείζει τὸν μονοτρόπως γεννηθέντα ἐκ πατρὸς, ἢ ἐχ αἱ ὁμωνυμίαι πάντως τὴν φύσιν τῶν πραγμάτων συνάπτεσι, καθὼς μιᾷ καὶ τῇ αὐτῇ λέξει ὀνομάζονται.

ΚΕΙΜ. Πρόσωπον ἀσεβες τὶς ἔπτηξεν;

ΟΛΥΜΠ. Κατὰ μὲν τὸ ῥητὸν, ἐπὶ παντὸς ἀσεβες τέτο νοητέον, πρὸς δὲ διάνοιαν, ἐπὶ τε διαβόλε, ὃν ἠφάνισεν ὁ μονογενὴς τε Θεε υἱὸς, ὁ καὶ τῆς κτίσεως δημιεργός.

ΚΕΙΜ. Συνῆκας δὲ δεσμὸν πλειάδος;

Ο' δὲ Σύμμαχ⊙, ἢ συνάψεις μόσχα πλειάδος; τετέςι, ποία ἀνάγκη, ποῖος σύνδεσμΘ- ἐκείνίω, συνέχει, καὶ τὰ ἄςρα συναγελάζεσθαι ποιεῖ; μήτι ἄρα τῆς σῆς συνέσεως ἔργον τὸ ὥσπερ δεδέσθαι, ἢ ποιῶς δὲ συγκεῖσθαι τὰς συμπληρεντας τίω πλειάδα ἀςέρας; ἢ τίω αἰτίαν οἶσθα διατί ἕτως ἀλλήλοις συνηρμόσθησαν;

ΚΕΙΜ. Καὶ φραγμὸν ὠρίωνος ἤνοιξας;

Ἐπειδὴ κατὰ καιρὸν ὁ ὠρίων φαίνεται, ἢ σὺ, φησὶ, παρασκευάζεις αὐτὸν ὥσπερ τινὶ διαφράγματι ἀποκρύπτεσθαι, ἢ πάλιν φαίνεσθαι;

ΚΕΙΜ. Ἢ διανοίξεις Μαζερὼθ ἐν καιρῷ αὐτε;

Μαζερὼθ τὰ συςήματα λέγει τῶν ἀςέρων, ἃ ἐν τῇ συνηθείᾳ, ζώδια καλενται. πῶς ἐν, φησὶν, ἀποκεκλεισμένα εἰσὶ ταῦτα, καὶ κατὰ καιρὸν φαίνονται; ἄλλοι δὲ φασὶ, Μαζερὼθ ἑβραϊκίω μὲν εἶναι τίω λέξιν, σημαίνειν δὲ τὸν ἀςρῷον κύνα. Σὺ ἐν, φησὶ, τὰ ἀποκεκρυμμένα διανοίξεις, ἢ ἀποκαλύψεις κατὰ καιρὸν αὐτε ἕκαςον;

ΚΕΙ. Καὶ Ἕσπερον ἐπὶ κόμης αὐτε ἄξεις αὐτά;

Κόμίω τίω ὑπερβολίω τῆς λάμψεως λέγει καὶ τίω λαμπρότητα. σὺ ἐν, φησὶ, τὸν Ἕσπερον, ἀςέρα τὸν φαεινότατον ἢ λαμπρότατον, καθοδηγήσεις; καὶ παράξεις ἕτω διαφανῶς ἐκλάμποντα;

ΚΕΙΜ. Ἐπίςασαι δὲ τροπὰς ἐρανε, ἢ τὰ ὑπ' ἐρανὸν ὁμοθυμαδὸν γινόμενα; καλέσεις δὲ νέφος φωνῇ; καὶ τρόμῳ ὕδατος λάβρε ὑπακέσεταί σοι;

Τὰς δὲ τε ἀέρος μὲν, φησὶν, ἐπίςασαι τροπὰς, ἢ ἁπαξαπλῶς, πάντα τὰ ὑπ' ἐρανὸν γινόμενα, ὅπως γίνεται; ἀλλὰ δύνασαι ἐπιτάξαι νέφεσι; καὶ οἱονεὶ τρέμοντα ὑπακέσεται τῷ σῷ προςάγματι, πειθόμενα τῷ ὕδατι; καὶ ἡ ὁρμὴ τῶν ὑδάτων, καὶ ὁ ὑετὸς, ὥσπερ ἔμψυχος ὑπακέσεται;

ΚΕΙΜ.

ΚΕΙΜ. Α'ποςελᾶς δὲ κεραυνὸς, καὶ πορεύσονται; ἐρῦσί δέ σοι, τί ἐςίν;

Ω῞σπερ δέ τινες οἰκέται οἱ κεραυνοὶ ἐπιτάξονται παρὰ σῦ πορεύεσθαι καθ' ὧν καὶ ἐκπέμπονται· καὶ ἕτοιμοι ὄντες πρὸς τὸ ἐπίταγμα, μονονοὐχὶ φωνὴν ἀφιέντες ἐρῦσιν, ἰδὲ ἡμεῖς πάρεσμεν· τί ἐςὶν ὃ ποιεῖν ἡμᾶς προςάττεις;

ΧΡΥΣΟΣΤ. Ο῾ρᾶς καὶ κεραυνὸς ἀποκεινομένυς· ὐχ ὅτι οἱ κεραυνοὶ ἐρῦσι, τί ἐςίν; ἀλλ' ὅτι πάντα, καθάπερ ἔμψυχα, ὕτως ὑπακύει τῷ Θεῷ.

ΚΕΙΜ. Τίς δὲ ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν, ἢ ποικιλτικὴν ἐπιςήμην;

ΣΕΒΗΡΟΥ, ΧΡΥΣΟΣΤ. καὶ ΓΡΗΓΟΡΙΟΥ τῦ Θεολόγυ, ἀπαριθμύμενος τὴν ὐρανῦ καὶ γῆς ποίησιν, καὶ θαλάσσης κλεῖθρα, καὶ ἀςέρων θέσιν, καὶ ὑετῦ ῥύσιν, καὶ τ' ἄλλα δι' ὧν κυβερνᾷ τὴν ἡμετέραν ζωὴν· τίς, φησὶ, γυναῖκας, καί τοι τὰ ἄλλα ἀσθενεῖς ὔσας, ἐσόφισεν εἰς ὑφασμάτων κατασκευὴν, καὶ εἰς τὸ ταῦτα καταποικίλλειν ταῖς τῶν ἐρίων βαφαῖς τε καὶ χρώμασιν; ἀναμίγνυσι δὲ ἡ θεία γραφὴ τοῖς μεγάλοις τὰ μικρὰ, καὶ γυναικῶν θαυμάζει σοφίαν τὴν ἐν ὑφάσμασι, τίς ἔδωκε, λέγυσα, γυναιξὶν ὑφάσματος σοφίαν, καὶ ποικιλτικὴν ἐπιςήμην; ζώυ λογικῦ τῦτο, καὶ περιττῦ τὴν σοφίαν, καὶ μέχρι τῶν ὐρανίων ὁδεύοντος· ὐ γὰρ ἡ τυχῦσα σοφία αὕτη ποικίλη τις ὖσα, ὐδὲ μικρὰ ἡ χρῆσις. ὐκ ἀτημελεῖται ὖν ἡ περὶ τὰς ἱςὺς φιλοτεχνία, ὐδὲ ἀπέρριπται ὡς περιττὴ, ἀλλ' ἔνεςι κἂν ταύτῃ θεία σοφία, καὶ ἣν ὐκ αἰσχύνεται Θεὸς ἰδίαν ἀποκαλεῖν, ὐκ ἄλλον λέγων εἶναι ταύτης δοτῆρα καὶ χορηγὸν, ἀλλ' ἑαυτόν.

ΚΕΙΜ. Τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ, ὐρανὸν δὲ εἰς γῆν ἔκλινεν;

ΟΛΥΜΠ. Ο῾ δὲ Σύμμαχος, ἢ τίς ἔδωκε μεμωραμένῳ ἔννοιαν; τίς, φησὶν, ὁ ὑπὸ ἀριθμὸν, καὶ ὐκ ἀμέτρως, ἀλλὰ πρὸς τὴν χρείαν τὰ νέφη συνίςασθαι παρασκευάζων; τίς δὲ ὁ τὸν ὐρανὸν κυκλοφορικὸν ἀπεργασάμενος, ὡς δοκεῖν τοῖς πόῤῥωθεν ἀτενίζυσιν, ὅτι τῶν ἄκρων τῆς γῆς ἐφάπτεται; τῦτο γάρ ἐςι, τὸ, ἔκλινεν.

ΚΕΙΜ. Κέχυται δὲ ὥσπερ γῆς κονία.

Τὸ λεπτὸν αὐτῦ αἰνίττεται, ὃ καὶ Ησαΐας, φησὶν, ὅτι ὥσπερ καπνός ἐςί. περικέχυται δὲ τῇ γῇ μελαίνῃ ὖσῃ ὁ ὐρανὸς, ὥσπερ κονία, διὰ τὸ διαυγές.

ΚΕΙΜ. Κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον.

Τὸ πεπηγὸς, καὶ βέβαιον, καὶ τὸ σχῆμα δι' αὐτῦ παρέςησεν, εἰπὼν, ὥσπερ κύβον. τὴν ὀυ̃ λεπτοτάτην, φησὶ, τῦ ὐρανῦ φύσιν ὕτω ςερέμνιον ἀπειργασάμην, καθάπερ ἂν εἴτις λίθῳ κύβον ἐναρμόζοι. κύβος δὲ

ἐςὶν

ἐςὶν ὁ ἐκ πετραγώνε κτ' τὴν βάσιν, ἢ κυκλοτερὲς εἰς ὀξὺ λήγων· ἔνιοι δὲ τὸ σχῆμα σκυφοειδὲς φασίν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Σφαιροειδῆ γὰρ Οὐρανὸν, κτ' τὸν τῶν ἑλλήνων λόγον, ἐκ ἔςιν εὑρεῖν ἐν τοῖς θείοις λόγοις, ἵν' ὑπὲρ γῆς τε καὶ ὑπὸ γῆς τὴν τροχοειδῆ φορὰν ἐννοήσωμεν. ὕδωρ γὰρ ὑπὸ γῆν, ἐκ ἐρανὸν, αἱ θεῖαι γραφαὶ παριςᾶσι· καὶ ὑπὲρ ἐρανὸν δὲ, ὕδατα ςέγες δίκην ἐπικείμενα, δέῤῥεως τρόπον ἐκτεταμένον· ἐκτείνων γὰρ, φησὶ, τὸν ἐρανὸν ὡσεὶ δέῤῥιν. ὁ ςεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτῆ, ἐπ' ἄκρε τε εἰς ἄκρον ὁ ἥλιος διαθεῖν, ἀπὸ ἀνατολῆς εἰς δύσιν λέγεται, ἐχὶ μέρος ἐλάχιςον αὐτῆ τῆς ἡμέρας ἐκ δύσεως ἀνατρέχειν· καὶ ὁ ςήσας, φησι, τὸν ἐρανὸν, ἐχ ὁ κύκλῳ περιάγων καὶ διατείνας αὐτὸν ὡς σκηνὴν, ἐχ ὡς κύκλον περιελίττων· καὶ ἀπ' ἄκρε θεμελίε ἐρανῆ, φησὶν Ἡσαΐας ἔρχεσθαι τὲς ἐκ γῆς πόῤῥωθεν ἐρχομένες, ὡς τεθεμελιωμένε τῆ ἐρανῆ καὶ ἐςῶτος, ἐχὶ κύκλῳ περιθέοντος.

ΚΕΙΜ. Θηρεύσεις δὲ λέεσι βοῤῥὰν, ψυχὰς δὲ δρακόντων ἐμπλήσεις; δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν, κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.

ΟΛΥΜΠ. Τίς δὲ τῷ λέοντι τὴν θηρατικὴν ἐχαρίσατο φύσιν; τίς τὲς δράκοντας τροφῆς ἐμπίπλησι; τίς ἐδίδαξε τὰ θηρία ἐνεδρεύειν, καὶ ἐπιτίθεσθαί τισι πρὸς τροφῆς ἀποςίαν;

ΧΡΥΣΟΣΤ. Τίνος δὲ ἕνεκεν ταῦτά, φησι; ὅτι εἰ τῶν περιττῶν τοσαύτην ποιῆμαι πρόνοιαν, τῶν ἐδὲ εἰς δελείαν ὑμῖν χρησίμων, ἐ πολλῷ μᾶλλον ὑμῶν; τί γὰρ τοσῆτον ὄφελος ἀνθρώπῳ ἐκ τῶν τοιέτων;

ΚΕΙΜ. Τίς δὲ ἡτοίμασε κόρακι βορὰν; νεοσσοὶ γὰρ αὐτῆ πρὸς Κύριον κεκράγασι, πλανώμενοι, τὰ σῖτα ζητῆντες.

ΟΛΥΜΠ. Ἀλλὰ καὶ τῶν πτηνῶν, φησὶν, ὁ Θεὸς προνοεῖ· ἀπὸ γὰρ τοῦ μέρες τὸ πᾶν ἐσήμανε. λέγεται γὰρ ὁ κόραξ μὴ ἐκτρέφειν τὰ ἔκγονα ὑπὸ λαιμαργίας, ἀλλ' ἀπημελήτες ἐᾶν τὲς νεοσσὲς· τὲς δὲ ὑπὸ τῆς ἐνδείας πιεζομένες, φυσικῇ τινὶ κεχρῆσθαι πρὸς Θεὸν τῇ βοῇ, καὶ ὑπὸ μικρῶν τινῶν ζωϋφίων γινομένων ἐν ταῖς νεοσσιαῖς ἐκτρέφεσθαι. τίς ἐν ὁ τρέφων αὐτές; ἐχ ὁ τῆ Θεῆ λόγος; νεοσσοὶ γὰρ κοράκων πρὸς αὐτὸν κεκράγασι μετὰ τὸ πλανηθῆναι πολλὰ, ζητῆντες ἀπ' αὐτῆ λαβεῖν τροφὴν, τῆ διδόντος ἐχ ἁπλῶς τοῖς νεοσσοῖς τῶν κοράκων, ἀλλὰ τοῖς ἐπικαλεμένοις αὐτὸν, ἐ λέγω, ἀλλὰ τῇ χρείᾳ καὶ τῇ φυσικῇ κινήσει.

ΚΕΙΜ. Εἰ ἔγνως καιρὸν τοκετῆ τραγελάφων πέτρας, ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων, ἠρίθμησας δὲ μῆνας αὐτῶν, πλήρεις τοκετῆ αὐτῶν, ὠδῖνας δὲ αὐτῶν ἔλυσας, ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβε, ὠδῖνας δὲ αὐτῶν ἐξαποςελεῖς;

Ὀλυ-

ΟΛΥΜΠ. Ἀλλ' οὐδὲ τὰ ἁπλούστατα, φησὶν, οἶδας, πῶς κατὰ καιρὸν ἔλαφος, καὶ τραγέλαφος, ἤτοι αἲξ ἄγριος, ὑπὸ αὐτορόφοις σπηλαίοις ἐν πέτραις ἀποκυΐσκουσι; καὶ τίς αὐτοῖς ἀριθμὸς μηνῶν εἰς τὴν κύησιν δέδοται; πῶς δὲ ἀποτίκτουσι, λυθεισῶν τῶν ὠδίνων; πῶς τὸ γάλα τοῖς νεογνοῖς ἐνδιδόασι, τὰ δὲ τρέφεται ἄνευ φόβου;

ΧΡΥΣΟΣΤ. Καλῶς δὲ εἶπεν, ἐφύλαξας· ἐπειδὴ γὰρ ἀεὶ ἐν φυγῇ, καὶ φόβῳ, καὶ ἀγωνίᾳ τὸ ζῶον ἀεὶ πηδῶν καὶ ἀλλόμενον, πῶς, φησὶν, οὐκ ἀμβλώσκει, ἀλλὰ πλήρης ὁ τόκος ἐξέρχεται; τὸ δὲ, ὠδῖνας αὐτῶν ἔλυσας, ἐμφαντικῶς εἴρηται· αὐτομάτως γὰρ ἀποκύουσιν, οὐ δεόμεναι μαιώσεως. τὸ δὲ, ἐξέθρεψας αὐτῶν τὰ παιδία ἔξω φόβου; σαφέστερον ὁ Θεοδοτίων ἡρμήνευσεν, εἰπὼν, ἐὰν δώσουσι τὰ παιδία αὐτῶν, διασώσεις αὐτά; τὸ δὲ ἐξαποστελεῖς ὠδῖνας αὐτῶν; εἰ μὲν ὠδῖνας αὐτῶν τὸ πάθος νοήσεις, τὸ, ἐξαποστελεῖς, ἀντὶ τοῦ, παύσεις παρείληπται· παύσεις γὰρ, φησὶ, τὰς ὠδῖνας· εἰ δὲ τὰ ὠδινηθέντα καὶ τεχθέντα ἐκλήψῃ, τὸ, ἐξαποστελεῖς, τὸ, ἐκπέμψεις αὐτὰ, δηλοῖ· ὃ καὶ Σύμμαχος ᾐνίξατο ἐκδὺς, ἃ ὠδίνησαν, ἀπολείπουσι· μετὰ γὰρ τὸ ἐκθρέψαι τὰ νεογνὰ, ἐῶσι ταῦτα ὅποι φίλον αὐτοῖς πορεύεσθαι. ταύτην τὴν διάνοιαν, καὶ ὁ ἑξῆς στίχος παρίστησιν.

ΚΕΙΜ. Ἀπορρήξουσι τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γεννήματι, ἐξελεύσονται, καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς.

ΟΛΥΜΠ. Καὶ πῶς, φησὶν, αἱ μητέρες ἀδρυνθέντα τὰ τέκνα καταλιμπάνουσιν, εἰς λήθην ἐλθοῦσαι τῆς φυσικῆς στοργῆς; τὰ δὲ ἐξελθόντα, καὶ νεμόμενα ἐν τοῖς ἀγρίοις γεννήμασι τῆς γῆς, πληθύνεται, καὶ οὐκ ἔτι πρὸς αὐτὰς ὑποστρέφει;

ΚΕΙΜ. Τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν; ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον, καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα· καταγελῶν πολυοχλίας πόλεως, μέμψιν δὲ φορολόγου οὐκ ἀκούων.

ΧΡΥΣΟΣΤ. Τίς τοῦτο διετύπωσε, φησί; τίς τοὺς τῆς φύσεως νόμους διέθηκεν; ὅτι γὰρ νόμοι διηνεκεῖς εἰσὶ, καὶ οὐ παραφθείρονται, ἰσχυρὸν τὸ ζῶον καὶ ἀδάμαστον, κἂν μυρία φιλονεικῇς, οὐκ ἄξεις ὑπὸ τὴν χεῖρα τὴν σήν.

ΟΛΥΜΠ. Κατὰ μὲν οὖν τὸ ῥητόν· πόθεν, φησὶ, τῷ ὀνάγρῳ ἡ αὐτονομία; πόθεν, ἀνθρώπων ἐπιτάγμασιν οὐ πείθεται, ἀλλ' οἴκησιν καὶ διατριβὴν ἔχει τὴν ἔρημον, κατασκηνοῖ δὲ ἐν ἁλμυροῖς τόποις καὶ ἐρήμοις; πρὸς δὲ διάνοιαν, ὁ μοναδικὸς διαγράφεται βίος, ὡς ἔξω τῶν κοσμικῶν, καὶ σαινόντων τὴν αἴσθησιν. δῆλον δὲ ἐντεῦθεν ὡς εἰς ἀλληγορίαν ἡμᾶς ὁ λόγος παραπέμπει· οὐδὲ γὰρ ὁ ὄνος ὄντως μέμψιν ἀκούει φορολόγου, ἀλλ' ὁ πνευματικὸς ἄνθρωπος, ὁ μὴ ἀνεχόμενος τοῦ νοητοῦ πράκτορος, ὃς ὥσπερ τινὰ φόρον ἀπαιτῶν, τοὺς ὑφ'

ἑαυ-

ἑαυτὸν ἀναγκάζει ἀχθοφορεῖν, καὶ κακίας ὑποζεύγνυσθαι πάθεσι, καὶ δουλεύειν ἡδοναῖς.

ΚΕΙΜ. Κατασκέψεται ὄρη νομὴν αὐτοῦ, καὶ ὀπίσω παντὸς χλωροῦ ζητήσει.

Κατὰ μὲν τὴν ἱστορίαν ὁ ἄγειος ὄνος τὰ ὄρη περινοστῶν, τὰς βοτάνας ἀνιχνεύει πρὸς διατροφήν· κατὰ δὲ τὴν θεωρίαν, ὁ πνευματικὸς ἄνθρωπος, τῆς οὐρανίου τὰς πολιτείας κατασκέπτεται, καὶ ἐπιζητεῖ, οὐ τὰ παρόντα, ἀλλὰ τὰ ἐν τῷ ἐκείνῳ αἰῶνι, τῷ μέλλοντι, τῷ ἐλπιδιφόρῳ, καὶ ἐν τοῖς τεθηλόσι λογίοις, καὶ ἐν νομῇ ἀγαθῇ ἀναπαύεται, καὶ εἰς ἀνεπίληπτον βίον ἐντεῦθεν ὁδηγεῖται, τροφὴν ὁμοῦ καὶ τέρψιν καρπούμενος πολλήν.

ΝΕΙ'ΛΟΥ. Ἐμοὶ δὲ καὶ ζητητέον, πῶς ὀπίσω παντὸς χλωροῦ ζητεῖ ὁ ἐν ἐρήμῳ ἀφεθεὶς ἄγειος ὄνος, τὴν δίαιταν ἔχων ἔρημον, καὶ τὰ σκηνώματα ἁλμυρίδα, τῆς ἁλμυρίδος καὶ τῆς ἐρήμου, ὡς ἐπὶ πλεῖστον, οὐ πάνυ πρὸς πόας γένεσιν οὔσης ἐπιτηδείου; εἰμὴ ἄρα τις εἴποι, τὴν ἔρημον παθῶν ἱκανὸν εἶναι ζητεῖν τὴν ἐν τοῖς θείοις λόγοις θεωρίαν, μετὰ τὸ διαλμυρισθῆναι τὴν τῶν παθῶν ἐργασίαν.

ΚΕΙ. Βουλήσεται δέ σοι μονόκερως δουλεῦσαι, ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου; δήσεις δὲ ἐν ἱμᾶσι ζυγὸν αὐτοῦ, ἢ ἑλκύσει σου αὔλακας ἐν πεδίῳ; πέποιθας δὲ ἐπ' αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ, ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου; πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον, εἰσοίσει δέ σου τὴν ἅλωνα;

ΒΑΣΙΛΕΙ'ΟΥ. Ζῶόν ἐστιν ὁ μονόκερως ἄμαχον τὴν δύναμιν, ἀνυπότακτον τοῖς ἀνθρώποις· οὐ γὰρ δήσεις αὐτὸν, φησὶν, ἱμάντι, οὐδὲ κοιμηθήσεται ἐπὶ φάτνης, οὐ δὲ ὁμαλίσει κοιλάδας ἀκολουθῶν σοι, οὐ δὲ ἐγκαταλείψεις αὐτῷ καὶ ἐμπιστεύσεις τὰ γεώργια, οὐδὲ ἀποκαταστήσει σοὶ τὸν σπόρον, οὐδὲ συνάξει τὰ ἀλοηθέντα· καὶ πολλὰ περὶ τοῦ ἐλευθεριάζειν τὸ ζῶον, καὶ μὴ ὑπείκειν τοῖς ἀνθρώποις, ἐν τούτῳ τῷ μέρει τῆς προφητείας εἴρηται, καὶ παρατετήρηται, ὅτι ἐπ' ἀμφότερα κέχρηται τῇ εἰκόνι τοῦ μονοκέρωτος ἡ γραφὴ, ποτὲ μὲν ἐπαινετῶς, ποτὲ δὲ διαβεβλημένως· ἔοικεν οὖν διὰ μὲν τὸ πληκτικὸν τοῦ ζώου, ἐπὶ τὴν τῶν χειρόνων εἰκασίαν πολλάκις παραλαμβάνεσθαι· διὰ δὲ τὸ ὑψίκερων καὶ ἐλευθέριον, πρὸς τὴν τοῦ βελτίονος ἄγεσθαι εἰκασίαν.

ΟʼΛΥΜΠ. Καθ' Ἱστορίαν μὲν οὖν, ὁ μονόκερως, ὃν δὴ Ἀκύλας ῥινοκέρωτα ἔφη, διὰ τὸ κατὰ μέσου τῆς κεφαλῆς τὸ κέρας ἔχειν, ἀλκιμώτατος ὢν ἀνυπότακτός ἐστι, τῇ ἰσχύϊ καὶ τῇ ὀξύτητι τοῦ κέρατος πεποιθώς· οὐ γὰρ ἀνέχεταί φησιν, ἐν φάτνῃ καταδεῖσθαι καὶ αὔλακα τέμνειν, καὶ ἀροῦν καὶ γηπονεῖν, καὶ εἰς ἅλωνα συνάγειν τὰ γεννήματα. πρὸς δὲ διάνοιαν, μονόκερως ἐστὶν ὁ Ἅγιος, ὅτι πρὸς Θεὸν μόνον ὁρᾷ, καὶ ἐπ' αὐτῷ πέποιθε τῶν γηΐνων ἁπάντων καταφρονῶν.

ΚΕΙΜ. Πτέρυξ τερπομένων νεέλασσα, (ὁ δὲ Σύμμαχος, πτερὸν ἀγλαΐσματος περιφύεται.) ἐὰν συλλάβῃ ἀσίδα καὶ νέοσσα, ὅτι ἀφήσει εἰς γῆν τὰ ὠὰ αὐτῆς, καὶ ἐπὶ χοῦν θάλψει· καὶ ἐπελάθετο ὅτι ποὺς σκορπιεῖ, καὶ θηρία ἀγροῦ καταπατήσει.

Βούλεται εἰπεῖν διαφορὰς τινῶν ὀρνέων, καὶ ὅτι τινὰ μὲν ὑπὸ Θεοῦ συνετίζονται, τινὰ δὲ εἰσὶν ἀσυνετώτερα, καὶ φησὶν, ὅτι τερπνὸν μὲν ἐστὶ τῇ θέᾳ ἡ νεέλασσα, ἡ δὲ ἀσίδα, καὶ ἡ νέοσσα ἀσυνέτως πεποίηνται· ἐπὰν γὰρ συλλαβόντα τέκωσιν, ὑπὸ τὴν γῆν θάλπουσι τὰ ὠὰ, ὥσπερ ἐπιλαθόμενα ὅτι καὶ ποσὶν ἀνθρώπων σκορπισθήσονται ταῦτα, καὶ θηρίοις καταπατηθήσονται, ἡ ἀσίδα δὲ ὁ ἐρωδιός ἐστι, κατὰ Ἀκύλαν, ἢ ὁ πελαργὸς, ὥς τινες ἔφασαν οὐ καλῶς νοήσαντες· οὐ γὰρ εἰς γῆν τίκτει ὁ πελαργὸς, ἀλλ' εἰς τὰ ὑψηλὰ τῶν δένδρων· καὶ οἱ τὰ ὀρνιθιακὰ γράψαντες, ἕτερον γένος ἔφασαν εἶναι παρὰ τὴν ἀσίδα τὸν πελαργόν. λόγος δὲ, τὴν ἀσίδα οἰκονομικῶς ἀνόητον ὑπὸ Θεοῦ γενέσθαι· καὶ γὰρ ὑπεραίρει μεγέθει καὶ ἰσχύϊ, ὡς δύνασθαι καταφρονεῖν καὶ ἱππέως, ἀλλὰ πρὸς τὴν ἰσχὺν οὐκ ἔχει σύνεσιν, ὥστε μὴ πάντας σώζεσθαι τοὺς νεοττοὺς, καὶ ἐκ τούτου πληθύνεσθαι τὸ εἶδος. ἔστι δὲ καὶ οὕτως νοῆσαι τὸν στίχον· τῶν τερπομένων τοῖς ὄρνισιν ὡραῖον θέαμα ἡ νεέλασσα.

ΠΟΛΥΧΡ. Ἔστι δὲ καὶ ἡ ἀσίδα πτηνὸν μέγιστον, πλὴν εὐῆθες, ἣν Ἀκύλας ἐρωδιὸν καὶ ἱέρακα ἐκδέδωκεν, ὡς καὶ τούτων ὑπὸ χοῦν θαλπόντων τὰ ὠὰ, καί τοι τοῦ Δαβὶδ ψάλλοντος, ὅτι ἐν τοῖς δένδροις τοῖς ἀμηκεστάτοις τὰ στρουθία ἐννοσσεύσουσιν, εἶτα ἐπάγοντος, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν, ὡς καὶ τούτου τοῦ ὄρνιθος τῶν ὑψηλοτάτων δένδρων τὰς κόμας οἰκοῦντος. τινὲς δὲ ἔφασαν τὴν ἀσίδα, ἀραβίδα εἶναι ὄρνιν, ἥτις ἐν μεσοποταμίᾳ εὑρίσκεται.

ΚΕΙΜ. Ἀπεσκλήρυνε τὰ τέκνα ἑαυτῆς, ὥστε μὴ ἑαυτῇ.

ΟΛΥΜΠ. Αὕτη, φησὶν, ἡ ὄρνις, ἢ τὸ ὠὸν μεθεῖσα, εἴασε καταπονεῖσθαι τοὺς νεοττοὺς, ἀποσκληρύνασα τὴν περὶ τὰ τέκνα φυσικὴν στοργὴν, ἵνα μὴ ἑαυτὴν καταπονήσῃ νεοττοτροφοῦσα.

ΚΕΙΜ. Εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου.

Οὐ φοβηθεῖσα τοίνυν τὴν τῶν νεοττῶν ἀπώλειαν, ἀλλ' ἀμελήσασα, εἰς κενὸν ἐκοπίασεν, οὐ πάντων περισωζομένων τῶν νεοττῶν.

ΚΕΙΜ. Ὅτι κατεσιώπησεν αὐτῇ ὁ Θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέρισεν αὐτῇ ἐν τῇ συνέσει.

Ὁ δὲ ΣΥΜΜΑΧΟΣ, Οὐκ ἔνειμεν αὐτῇ σύνεσιν. τοῦτο δὲ ἡ ὄρνις ὑφίσταται, ἐπειδὴ, φησὶν, ἐσιώπησεν ἀντὶ τοῦ, ἀνέσχεν, καὶ παρεῖλεν ἀπ' αὐτῆς ὁ Θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέτρησεν αὐτῇ, οὐδὲ ἐνέβαλε σύνεσιν.

ΚΕΙΜ. Κατὰ καιρὸν ἐν ὕψει ὑψώσει, καταγελάσεται ἵππου, καὶ τοῦ ἐπιβάτου αὐτοῦ.

Ἡ ἀσίδα, φησὶν, ἐν τῇ πτήσει τὸ θαῤῥεῖν ἔχουσα, ἵπταται καταφρονοῦσα ἵππου σὺν τῷ ἀναβάτῃ, διὰ τὴν ἰσχὺν, ὡς φασὶ, καὶ τὸ μέγεθος.

ΚΕΙΜ. Ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν, (ὁ Θεοδοτίων δὲ, καὶ Σύμμαχος, ὁ μὲν χρεμετισμὸν, ὁ δὲ κραυγὴν ἐξέδωκεν.) ἐνέδυσας δὲ τῷ τραχήλῳ αὐτοῦ φόβον;

ΧΡΥΣΟΣΤ. Ἐπὶ τὸ χρησιμώτατον μετάγει τὸν λόγον, ἵππου μνημονεύων τοῦ χειροήθους, καὶ πολλὰ περὶ τοῦ ζώου τούτου διαλέγεται· πῶς γαῦρον, πῶς ἀνεστηκὸς, πῶς πρὸς πόλεμον ἐπιτήδειον, πῶς ἱκανὸν ἄνθρωπον διασῶσαι. ὁρᾷς ἕκαστον γαῦρον, καὶ τὸν ὄνον, καὶ τοῦτον· ἀλλὰ τὸν μὲν ὑποκείμενον, τὸν δὲ οὔ.

ΟΛΥΜΠ. Σὺ, φησὶ, τὸν ἵππον δυνατὸν εἰργάσω καὶ ὑψαύχενα, ὥστε φοβερὸν τῇ τοῦ αὐχένος ἀνατάσει φαίνεσθαι, ἢ καὶ τῷ χρεμετισμῷ, τῷ διὰ τοῦ αὐχένος ἐξερχομένῳ.

ΚΕΙΜ. Περιέθηκας δὲ αὐτῷ πανοπλίαν, δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ.

Παρὰ σοῦ δὲ ὥσπερ καθοπλισθεὶς θαῤῥεῖ καὶ τολμᾷ, ἄθαρσῆ καρδίαν ἔχων ἐν τοῖς στήθεσιν;

ΚΕΙΜ. Ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ, (ὅσγε, φησὶ, τῷ ποδὶ κατακροαίνων τὴν γῆν, γαυριᾷ καὶ φρυάττεται.) ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ συναντῶν βέλει, καταγελᾷ, καὶ οὐ μὴ ἀποστραφῇ ἀπὸ σιδήρου.

Ἐκπορεύεται δὲ διὰ τοῦ πεδίου εἰς πόλεμον, ἢ κατὰ τοὺς λοιποὺς, εἰς ἀπάντησιν ὅπλου, καὶ εἰς ἀπάντησιν καταφράκτων, μὴ βέλος δεδοικὼς, μὴ σιδήρου ἀκμήν· καθ' ἕτερα δὲ τῶν ἀντιγράφων, συναντῶν βασιλεῖ, καταγελᾷ· οὐ γὰρ οἶδε διακρίνειν ἀξίαν.

ΚΕΙΜ. Ἐπ' αὐτοῦ γαυριᾷ τόξον καὶ μάχαιρα, καὶ ὀργὴ ἀφανιεῖ τὴν γῆν.

Ὁ δὲ ΣΥΜΜΑΧΟΣ. Ἐν σάλῳ καὶ ὀργῇ ὡς καταπίνων· οὕτω, φησὶ, διάκειται, ὡς καταστρεφόμενος τὴν γῆν, διὰ τοῦ ἐπιβάτου δηλονότι, τόξον μὲν ἔχοντος καὶ μάχαιραν, ὀργῇ δὲ τὴν τῶν πολεμίων γῆν ἐξαφανίζοντος, εἶτα καὶ τὸ εὔτακτον.

ΚΕΙΜ. Οὐ μὴ πιστεύσῃ ἕως ἂν σημάνῃ σάλπιγξ· σάλπιγγος δὲ σημαινούσης, λέγει, εὖγε· πόῤῥωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ.

ΧΡΥΣΟΣΤ. Ἀκούει, φησὶ, σάλπιγγος, καὶ οἶδε τοῦ πολέμου τὸ σύνθημα, καὶ πόῤῥωθεν ἀλαλάζει πολεμικόν.

ΟʼΛΥΜΠ. Εʼως μὲν ὅπω τὸ σύνθημα τοῦ πολέμου, ὁρμητικῶς μὲν ἔχει τὸ ζῶον· ὅπω μέντοι καὶ ἀναπηδᾷ καὶ ψάλλεται· τοῦτο γὰρ σημαίνει, τὸ, οὐ μὴ πιστεύσει, ἐκ μεταφορᾶς τῶν διὰ πολλὴν ἐπιθυμίαν μὴ πιστευόντων· φοβερὸν δὲ ἠχησάσης τῆς σάλπιγγος, αἰσθάνεται ὅτι πολέμου καιρὸς, καὶ χαίρει τῷ συνθήματι· τοῦτο γὰρ σημαίνει, τὸ, λέγει, εὖγε· καὶ ὁμοῦ τῇ κραυγῇ τοῦ στρατοπέδου ψάλλεται, καὶ τοῖς πολεμίοις ἐπιτρέχει. εἰδὲ λέγοι τις, μὴ ταῦτα τῆς φύσεως εἶναι τοῦ ἵππου, ἀλλὰ τῆς διδαχῆς· ἴσω μὴ ἄλλως τοὺς ἀνθρώπους δύνασθαι διδάσκειν, εἰμὴ τὸ ζῶον ἐπιτήδειον εἰς τοῦτο κατεσκεύαστο, ἐπεὶ μηδὲ οἱ ἄνθρωποι διδασκόμεθά τι, μὴ ἐπιτηδείως ἔχοντες πρὸς τὰ μαθήματα. ἐν δείκνυται οὖν ὁ Θεὸς διὰ τῶν σμικρῶν τούτων τὴν ἄφατον αὐτοῦ σοφίαν, ὡς ἂν διδαχθῶμεν τὰ μεγάλα, καὶ ἀπόκρυφα μὴ πολυπραγμονεῖν.

ΚΕΙΜ. Εʼκ δὲ τῆς σῆς ἐπιστήμης ἕστηκεν ἱέραξ, ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος, καθορῶν τὰ πρὸς νότον.

Ηʼ δὲ σύνεσις, φησὶ, καὶ ἐπιστήμη ἡ σὴ, τὸν ἱέρακα ἐξεπαίδευσεν, ἁπλώσαντα τὸ πτερὸν ἀκίνητον τῷ ἀέρι φέρεσθαι; λέγεται δὲ ὁ ἱέραξ περὶ τὰ νότια μέρη ἐξαπλοῦν τὸ πτερὸν, καὶ ὥσπερ ὄρθιος ἵστασθαι ἐν τῷ ἀέρι, καὶ ἀποσκοπεῖν τὸ θήραμα, καὶ ὅπως αὐτῷ καθίπτασθαι, πῶς οὖν ἔστησεν αὐτὸν μετέωρον ἐπὶ τοῦ ἀέρος; πῶς αὐτῷ τὴν τροφὴν ἔδωκεν.

ΧΡΥΣΟΣ. Οʼρα ἐξ ὀλίγων πόσα φησί· τίνος εἵνεκεν οὐκ ἐμνήσθη βοὸς, οὐδὲ προβάτων, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐδενὸς, ἀλλὰ τῶν ἀχρήστων, καὶ εἰκῆ δοκούντων εἶναι; δεικνὺς ὅτι εἰ ἐν ἐκείνοις σοφία τοσαύτη καὶ πρόνοια, πολλῷ μᾶλλον ἐν τούτοις.

ΚΕΙΜ. Εʼπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετός; (τὴν δὲ ὑψηπετῆ πτῆσιν σὺ τῷ ἀετῷ προσέταξας ἔχειν;) γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται, ἐπ' ἐξοχῇ πέτρας, καὶ ἀποκρύφῳ; ἐκεῖσε ὢν, ζητεῖ τὰ σῖτα, πόῤῥωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι, νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι, οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται.

ΟʼΛΥΜΠ. Αʼπὸ κοινοῦ, τὸ, ἐπὶ δὲ τῷ σῷ προστάγματι, εἰς ἀκρότομον ὁ γὺψ καθεζόμενος, ἀκραιφνεῖς ἔχων τὰς αἰσθήσεις, αἰσθάνεται ποῦ τεθνηκότα σώματα, ἵνα τροφὴν ἑαυτῷ ποιήσηται; σὺ δὲ τοὺς τῶν γυπῶν νεοσσοὺς ἐδίδαξας, ἔτι μικροὺς ὄντας σαρκοβορεῖν, καὶ αἱμάτων ἐρᾷν; κατὰ μὲν οὖν τὸ ῥητὸν, ταῦτα· κατὰ δὲ θεωρίαν, γὺψ ὁ ἀκάθαρτος καὶ φιλόσαρκος ἄνθρωπος, ὀκνηρὸς μὲν εἰς ἀρετὴν, ὀξὺς δὲ εἰς λαιμαργίαν, ὃς τὰ προκείμενα ἐῶν, τὰ πόῤῥω σκοπεῖ, λέγων, νῦν ἀπολαύσω, καὶ ὕστερον μετανοήσω, οὗ καὶ οἱ λογισμοὶ ἀεὶ τοῖς νεκροῖς ἐφιζάνουσιν ἔργοις καὶ πράγμασι.

ΚΕΙΜ. Καὶ ἀπεκρίθη Κύριος ὁ Θεὸς τῷ Ἰὼβ, καὶ εἶπε, μὴ κρίσιν μετ' ἱκανοῦ ἐκκλινεῖ; ἐλέγχων δὲ Θεὸν, ἀποκριθήσεται αὐτήν;

Ο' δὲ 'ΣΥΜΜΑΧΟΣ, Α῏ρα ὁ δικαζόμενος Θεῷ πρὸς τὸν ἱκανὸν, περιγενήσεται; διελεγχόμενος ἀντιφθέγξεταί τι; οἱ μὲν πρῶτοι λόγοι σοφίαν Θεοῦ καὶ δύναμιν παρίστων τῷ Ἰώβ· νῦν δὲ πρὸς αὐτὸν στρέφει τὸν λόγον. δοὺς γὰρ καιρὸν εἰς ἀπόκρισιν, εἶτα μὴ λαβὼν, πάλιν αὐτὸς ἀποκρίνεται, καί φησι, μὴ μετ' ἐμοῦ ταῦτα διακρίνεις; μὴ οἶδα πῶς γίνονται; μὴ τούτων ἔχεις τοὺς λόγους; εἰ νομίζεις δύνασθαι με ἐλέγχειν ὡς οὐκ εὖ εἰρηκότα, ἀποκρίθητι τὴν κρίσιν ἣν προτείνω σοι, τουτέστι, τὴν διάκρισιν καὶ τὴν αἰτιολογίαν. λέγει δὲ ταῦτα, οὐχ ὡς ἀγνοῶν τὸ Ἰὼβ τὴν εὐσεβῆ γνώμην, ἀλλὰ τοῖς φίλοις δεῖξαι βουλόμενος οἷος ἦν τὰ πρὸς Θεὸν, δι' ὧν ἀποκρίνεται.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΊΟΥ ΕἸΚΟΣΤΟΥ῀ ΕΒΔΟ'ΜΟΥ.

Ὀ ΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

Ὁ φιλόθεος, καὶ τῶν οἰκείων μέτρων ἐπιγνώμων Ἰὼβ, θείας ἀδοκήτως φωνῆς ἀκροασάμενος, προσκαλουμένης εἰς ὁμιλίαν, καὶ τῶν λεγομένων ἔλεγχον, περιχαρὴς μὲν γέγονεν, ὡς εἰκός· ὁμολογεῖ δὲ ἐκ προοιμίων, τὴν οἰκείαν ἀσθένειαν, καὶ δίδωσι Θεῷ τὰ νικητήρια. πρὸς γὰρ Θεὸν, φησὶ, σοφίαν οὐδεὶς ἕτερον δεῖ ποιεῖν, ἢ τῇ σιωπῇ δεικνύναι τὸ θαῦμα, καὶ τῷ ἀῤῥήτῳ θαυμάζειν τὸ ἀκατάληπτον.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει τῷ Κυρίῳ, τί ἔτι ἐγὼ κρίνομαι, νουθετούμενος, καὶ ἐλέγχων Κύριον, ἀκούων τοιαῦτα, οὐθὲν ὤν;

Ο'ΛΥΜΠ. Ἐξ ἀρχῆς παρεχώρησε τῷ Θεῷ τῶν πρωτείων· ἥττημαι, φησὶ, παρὰ σοί. τί περαιτέρω τὴν δίκην ἐπεξάγεις; τί γὰρ δυνατὸν ἀποκρίνασθαι; πῶς δὲ χρὴ πρὸς τοιοῦτον αὐτοφθαλμεῖν δεσπότην; ἐγὼ τὴν αἰτίαν τῆς γενομένης ἐπ' ἐμὲ πληγῆς ζητῶν διετέλουν, εἰς δὲ δημιουργίαν οὐδεὶς ἐκάλεσα. εἰς τί οὖν κρίνομαι δέσποτα, εἰς τί ταῦτα ἀκούω, καὶ νουθετοῦμαι ὡς μέλλων ἐλέγχειν Θεὸν, ὁ μηδεὶς ὢν, μηδὲ λόγου τινὸς ἄξιος;

ΚΕΙΜ. Ε'γὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα; χεῖρα θήσω ἐπὶ σόματί μου· ἅπαξ λελάληκα, ἐκ δευτέρου δὲ οὐ προσθήσω.

Τί, φησὶ, πρὸς τὰ εἰρημένα φθέγξομαι; ἄμεινον κρίνω τῇ σιωπῇ τὴν ἀκατάληπτόν σου θαυμάζειν σοφίαν. ἐλάλουν μὲν γὰρ ὅτε πρὸς ἀνθρώπους ἦν ἡ διάλεξις, ὅτε κατεδικαζόμην ὡς ἁμαρτίας ἐκτίνων δίκας· πρὸς δὲ τὰ δεύτερα, τουτέσι, καὶ περὶ Θεοῦ σοφίας τε καὶ δυνάμεως, οὐδὲν ἐςὶ προσθεῖναι, οὐ φθέγξασθαι, οὐκ ἀντειπεῖν. ταῦτα καὶ ἡμῖν εἰς διδασκαλίαν χρήσιμα, πρὸς τὸ μὴ χρῆναι πολυπραγμονεῖν τὰ ὑπὸ Θεοῦ λεγόμενα.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ ΕΙ'ΚΟΣΤΟΥ͂ Ο'ΓΔΟ'ΟΥ.

Ο'ΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

Υ'ΠΕΡΒΟΛΗ' φιλανθρωπίας κἀνταῦθα τοῦ Θεοῦ δείκνυται· ἀγιοπρεπῶς γὰρ τοῦ Ι'ὼβ τὴν πρὸς Θεὸν ἀναδυομένου διάλεξιν, καὶ τὸ μηδὲν εἶναι ὁμολογοῦντος, ὁ φιλάνθρωπος Θεὸς καὶ φιλοδίκαιος, πράως ὁμοῦ καὶ φιλικῶς φησὶ πρὸς αὐτὸν, μὴ σιωπήσῃς, ἀλλὰ λάλει, ἀνάλαβε σαυτόν· οὐ γὰρ δι' ἄλλο τί σοι κεχρημάτικα, ἀλλ' ἵνα τὴν σὴν δημοσιεύσω δικαιοσύνην. πάλιν δὲ ἐκ τῆς πρὸς τὸν δίκαιον διαλέξεως, ἡμᾶς τὴν ἑαυτοῦ δύναμιν καὶ ὑπεροχὴν ὁ Θεὸς ἐκδιδάσκει· καὶ περὶ θηρίων διαλεγόμενος, εἰσάγει καὶ τὸν περὶ τοῦ δράκοντος λόγον· ὃν δή τινες μὲν ζῶον καθ' ἱσορίαν εἶναι ὑπειλήφασιν ὑπερφερὲς ἰσχύϊ καὶ μεγέθει· ἕτεροι δὲ τοῦτον ἔφησαν εἶναι τὸν Λευϊαθὰν, τὸν τῷ διαβόλῳ τὴν ἀρχὴν ὑπηρετησάμενον, καὶ τὴν Εὔαν ἐξαπατήσαντα. Λευϊαθὰν δὲ ἑβραῖοι τὰ μεγάλα κήτη προσαγορεύουσιν. οἱ δὲ πλείονες τῶν ἐν ἐκκλησίᾳ διαλαμψάντων, ἐν οἰκείαις ἐξηγήσεσι καὶ λογογραφίαις εἰς τὸν διάβολον ἀλληγορικῶς ἀνήνεγκαν τὰ γεγραμμένα. ἐγὼ δὲ, εἰ μὲν ζῶόν ἐςι τοιοῦτον, οὐκ ἔχω λέγειν· οὔτε γὰρ αὐτὸς εἶδον, οὔτε ἑτέρων ἱσορησάντων ἤκουσα· ὅτι δὲ εἰς τὸν ἀποςάτην δράκοντα, τὸν νῦν τὸν μέγαν τῶν Α'σσυρίων, τουτέσι, τὸν σατανᾶν, καλῶς ἀναφέρεται τὰ γεγραμμένα, καὶ τῇ θείᾳ ῥήσει πρέπουσα ἡ τοιαύτη θεωρία, σφόδρα συντίθεμαι. τίνι γὰρ ἔπρεπεν, ἢ μόνῳ Θεῷ, τοῦ ἀρχεκάκου δαίμονος διαγρά-

ψαι,

ψαι, ὡς ἐν σωματοποιΐα, τίω τε κακίαν, καὶ ἰταμότητα, ἵνα τῷ δέει τ8 θηρίε βαλλόμενοι, πρὸς τὸν αὐτὸν χειρωσάμενον καταφύγωμεν Κύριον; ὅτι δὲ πολλάκις ἡ γραφὴ, ὡς περὶ σωματικῶν διαλεγομένη, ἐπὶ νοητὰ ἡμᾶς παραπέμπει πράγματα, διὰ τὸ μὴ προδήλως, ἀλλὰ μετ' ἐπικρύψεως τὰ μυστηριώδη διαλέγεσθαι, παντί π8 δῆλον τῷ καὶ κατὰ βραχὺ τῇ διανοίᾳ τῆς θεοπνεύστε γραφῆς ἐπιστήσαντι· ὅπε γε τὸ ᾆσμα τῶν ᾀσμάτων σωματικὰ μὲν διαλέγεται πάντα, μυστικὴ δὲ ἐστὶν ἡ βίβλος, κὶ ὅλη πρὸς ἀλληγορίαν βλέπει. εἰ μὲν ἦν ἐστί τι, κὶ καθ' ἱστορίαν τοιῦτον θηρίον, ὅπω μὲν πείθομαι· πλίω ὁ φιλονεικῶ. ὅτι δὲ τὸν διάβολον αἰνίττεται ἡ γραφὴ, πολλοῖς Ἁγίοις ἀνδράσι, κὶ ἐν ἐκκλησίᾳ διαπρέψασιν ἔδοξε· διὸ κατὰ ταύτην τίω ἔννοιαν, τίω περὶ τότε λέξιν ἑρμίωεῦσαι πειρασόμεθα.

ΚΕΙΜ. Ἔτι δὲ ὑπολαβὼν ὁ Κύριος, εἶπε τῷ Ἰὼβ ἐκ τ8 νέφες, μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τίω ὀσφύν σε· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι.

ΟΛΥΜΠ. Μὴ σιωπήσῃς, ἀλλὰ ζῶσαι, ὥσπερ ἀνὴρ τίω ὀσφύν σε, τυτέςι, ἀνάλαβε σαυτὸν, ἀνδρίσαι, ἀπόσεισαι τίω ἀθυμίαν, καὶ ἐννοήσας τίς ὁ τίω ἐρώτησιν ποιέμενος, δὸς ἀνδρικίω τίω ἀπόκρισιν. πρὸς δὲ διάνοιαν, ζώννυται τίω ὀσφὺν, ὁ σώφρων, διὰ τὸ τὰ σπέρματα ἐν τῇ ὀσφύϊ εἶναι λέγεσθαι· διὸ καὶ ὁ Λευῒ ἐλέγετο ἐν τῇ ὀσφύϊ τ8 πατρὸς εἶναι, ὅτε τὰς δεκάτας προσίωεγκε τῷ Μελχισεδὲκ ὁ Ἀβραάμ. ζώννυται δὲ τίω ὀσφὺν ὥσπερ ἀνὴρ, ὁ ἀληθείᾳ δογμάτων τίω ὀσφὺν περιεζωσμένος, ὁ μετὰ σωφροσιώης κὶ ὀρθοδόξοις πλεςῶν δόγμασιν, ὁ καταργήσας τὰ τοῦ νηπίε, καὶ γενόμενος ἀνὴρ, τίω ἐν τῇ γνώσει δεξάμενος αὔξησιν.

ΩΡΙΓΕ'Ν. Τὰ μὲν τέλεια τῶν ἀγωνισμάτων τοῖς καλῶς ἀθλήσασι μετὰ τὸν βίον ἀπόκειται τῦτον· ἐδὲν δὲ ἧττον κὶ ἤδη ἡ χάρις τ8 Θε8 ἀρραβωνίζεται τὲς ἀθλητάς. διὰ τῦτο ὅτε ἠγωνίσατο τὰ μέγιςα ὁ Ἰὼβ, ὅτε ἀπολαβὼν τὰ ὑπάρχοντα, ἐδόξασε τὸν δεδοκότα· ὅτε ἀποθέμενος τὰ τέκνα, ἐυχαρίςησε τῷ παρειληφότι· ὅτε νοσήσας, ὡς σκώληκας ἀνομβρεῖν ἀπὸ τ8 σώματος, ἐ νενίκηται ἀπὸ τῶν πόνων· προοίμια καὶ ἀρραβῶνα τῶν ἄθλων δίδωσιν αὐτῷ ὁ Θεὸς, χρηματίσας αὐτῷ διὰ νέφες κὶ λαίλαπος. ἀκέσας ἦν τῶν προτέρων λόγων, δέον ἀποκρίνασθαι πρὸς Θεὸν, σιωπᾷ ὡς ἐκ ἔχων παῤῥησίαν· ὅπω γὰρ ἤδει τὸ, Μωσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ· ὁ μέν τοι Θεὸς δίδωσιν αὐτῷ παῤῥησίαν τ8 λέγειν· κὶ τοσαύτη ἐςὶν αὐτ8 ἡ χρηςότης, ὥςε ἀναλαβεῖν αὐτὸν πρόσωπον, ἐ κρίνοντος, ἀλλὰ κρινομένε μετὰ ἀνθρώπε· κὶ πολλαὶ τῦτο ἐδίδαξαν γραφαί· ὡς τὸ, δεῦτε, καὶ διαλεχθῶμεν, καὶ, λαός με τί ἐποίησά σοι; ἤδη ἆθλον αὐτῷ δίδωσιν ὁ Θεὸς, ὅτι ἄνθρωπον ἐρωτᾷ, ὅτι πυνθάνεται αὐτ8, ὅτι δίδωσιν ἐξεσίαν τῆς ἀποκρίσεως· εἰ μὴ τίω νενικηκὼς, ἐκ ἐλάμβανεν, εἰ μὴ τίω ὑπομείνας, ἐκ ἂν ἤκεσε, ζῶσαι ὥσπερ ἀνὴρ τίω ὀσφύν σε, καὶ μὴ σιώπα, ἀλλ' ἀνδρίζε πρὸς τὰς ἐ-

ρωτήσεις· ὅσῳ γὰρ ὀσφύς τινὸς ἐκ ἔζωσαι, ἐδὲ συνέσφικται, ἀλλὰ λέλυται, ἐ δύναται ἀλόγως ἀποκρίνασθαι τῷ Θεῷ. μὴ πρότερον οὖν ἀποκρινάσθω τὶς τῷ Θεῷ, ἐὰν μὴ γένηται ἀνὴρ τέλει@ τὴν πνευματικὴν ἡλικίαν, ϗ τὴν ὀσφὺν ζώσηται.

ΚΕΙΜ. Μή ἀποποιȣ μου τὸ κρίμα.

Ο'ΛΥΜΠ. Ε'πειδὴ ὁ Ἰὼβ ἐπόθει λέγειν ἐπὶ Θεȣ τὰ προσόντα, θαῤῥῶν τῇ αὐτȣ δικαιοκρισίᾳ, ϗ ἔλεγεν ὡς πρὸς τὲς φίλȣς, ὅτι Θεȣ κρίνοντος, οἶδα ὅτι ἀναφανȣμαι δίκαι@· εἰς ἔννοιαν τέτων ὁ Θεὸς ἄγει τὸν δίκαιον, λέγων, μὴ παραιτȣ δικάσασθαι, μηδὲ φεῦγε τὴν ἐμὴν κρίσιν, κρίθητι παρ' ἐμοί.

ΩΡΙΓΕ'Ν. Μὴ οἴȣ ἀλόγως κεκρίσθαι μοι ταῦτα ἅπερ ὑπέμεινας, μηδὲ ἀποποιȣ μȣ τὸ κρίμα. τέτȣ τȣ ῥητȣ, ὡς χρησίμȣ, μνημονεύωμεν ὅταν ὁ Θεὸς παθεῖν τι ἡμᾶς κρίνῃ, τέκνον ἀποβαλεῖν, ἀρχὴν ἀπολέσαι, νοσῆσαι κατὰ τὸ σῶμα, ὅ,τι δήποτε τέτων ὑποςῆναι· ἐδὲν τέτων οἷόν τέ ἐςι παθεῖν ἡμᾶς, μὴ κρίνοντος τοῦ Θεȣ. ἐπεὶ οὖν ἐδὲν τέτων γίνεται χωρὶς κρίματος τȣ Θεȣ, λέγεται πρὸς τὸν παθόντα, μὴ ἀποποιȣ μȣ τὸ κρίμα, τετέςι, μὴ ἀπαρνȣ ὅπερ ἔκρινα περὶ σȣ, τὸν παρόντα λέγει χρηματισμόν.

ΚΕΙΜ. Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;

Ο'ΛΥΜΠ. Οὐχ ἵνα σὲ κατακρίνω, ταῦτα λέγω, φησὶν, ἀλλ' ἵνα σὲ δείξω δίκαιον. ἢ περὶ τȣ πειρασμȣ, φησὶ, χρηματισμὸν τὴν συγχώρησιν λέγων· τετέςιν, μὴ οἴȣ προςετεῦχέναι με δι' ἄλλο τι τȣτο γενέσθαι, ἀλλ' ἵνα πᾶσι δημοσιεύσω τὴν σὴν δικαιοσύνην, εἴς τε τὴν σὴν εὔκλειαν, καὶ τῆς οἰκȣμένης ὠφέλειαν. ὅρα δὲ, ἐκ εἶπεν, ἵνα γενῃ δίκαι@· ἣν γὰρ ἀκριβῶς τὴν δικαιοσύνην ἀσκήσας· ἀλλ' ἵνα φανῇς ὅπερ ἧς, ἵνα τὲς ἄλλȣς παιδεύσῃς.

ΩΡΙΓΕ'Ν. Ο'μολογȣμαί σοι, δίκαιος ἦς, ἀλλ' ἐκ ἦς φανερός· ὑπομονὴν εἶχες, ἔδει με ἀφορμὴν παραχεῖν τȣ λάμψαι σȣ τὴν ὑπομονὴν· εἶχες ἀνδρείαν, ἀλλ' ἐκρύπτετο ἐν σοί, οἱ συμβεβηκότες πόνοι ἔδειξαν σȣ τὴν ἀνδρείαν. τέτων μνημονεύωμεν ἐν τοῖς τῶν πειρασμῶν καιροῖς, ϗ δόξωμεν τȣ Θεȣ ἀκȣειν παρόντος καὶ λέγοντος ἡμῖν, οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, τετέςι, τὸν πειρασμὸν συγχωρῆσαι, ἢ ἵνα τοῖς ἀγνοȣσι δήλη ἡ σὴ δικαιοσύνη ᾖ;

ΜΕΘΟΔΙ'ΟΥ. Ο'ρᾷς ἐπὶ τέλει τῶν ἄθλων ἀναγορεύει τὸν ἀθλητὴν λαμπρῷ τῷ κηρύγματι, καὶ γυμνοῖ τῆς πληγῆς τὸ ἀπόῤῥητον, οἴει με ἄλλως σοι κεχρηματικέναι, λέγων, ἢ ἵνα ἀναφανῇς δίκαιος; τȣτο τῶν τραυμάτων τὸ φάρμακον, τȣτο τῆς ὑπομονῆς ἡ ἀντίδοσις· τὰ γὰρ ἑξῆς ἴσως μικρὰ, κἂν μεγάλα τισὶ δοκῇ, καὶ μικρῶν ἕνεκεν οἰκονομηθέντα, εἰ καὶ διπλασίω τῶν ἀφῃρημένων ἀντιλαμβάνει.

KEIM.

ΚΕΙΜ. Η῏ βραχίων σοι ἐςὶ κατὰ Κύριον;

ΧΡΥΣΟΣΤ. Ο῾ μὲν μέλει μοι, φησὶ, περὶ τῶν ἀνθρώπων, δῆλον ἐκεῖθεν, ἀφ' ὧν περὶ ὥρων, καὶ μετεώρων, καὶ τῆς ἐν τοῖς ζώοις προνοίας ἠρώτηται. τίνος δὲ ἕνεκεν τοῦτον ἐπιγαγόν σοι τὸν πειρασμὸν, νῦν ἤκουσας, ὅτι αἰτία τῆς ἐγκαταλείψεως, ἡ τῆς σῆς ἀρετῆς φανέρωσις, ἵνα δοίης ταύτης δοκίμιον. ἐνταῦθα δὲ τὴν ἐμὴν μάνθανε δύναμιν, καὶ ὅτι οὐ πολεμῶν, πληγῆναί σε συνεχώρησα· ἐπεὶ ποία σοὶ ἐςὶν ἰσχὺς, ἵνα καὶ εἰς πόλεμον ἀντικαταςαθῶ σοι; ἢ βραχίων σοὶ ἐςὶ κατὰ τὸν Κυρίου βραχίονα; ἢ δύναμιν ἔχεις ἰσοθεῆ;

Ο'ΛΥΜΠ. Ε'νταῦθα ὁ Θεὸς τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται τῷ Ι'ὼβ, δύο τούτων αἰτιῶν χάριν· συνεχώρησά σε γὰρ, φησὶ, πληγῆναι, οὐχ ὡς πολεμῶν σοι, οὐδὲ ὀργιζόμενος, ἀλλ' ἵνα ἀναφανῆς δίκαιος· ἐπὶ ποία σοὶ ἐςὶν ἰσχὺς, ἵνα καὶ εἰς πόλεμον ἀντικαταςαθῶ σοι; καὶ ἄλλως δέ· ἐπειδὴ εἶπεν αὐτῷ, διὰ τοῦτό σοι κεχρημάτικα ἵνα ἀναφανῆς δίκαιος· ἵνα μὴ ἐντεῦθεν μέγα φρονήσῃ, εὐθὺς αὐτῷ τὴν οἰκείαν δύναμιν ἐνδείκνυται, καταςέλλων τὴν ὡς τὰ πολλὰ παρεπομένην τοῖς κατορθοῦσιν ὑπεροψίαν, εἰ δὲ καὶ ὁ μακάριος τοῦτο οὐκ ἂν ἔπαθεν. ἀλλ' ἐπειδὴ κοινοφελεῖς εἰσὶν οἱ λόγοι, ἡμᾶς ἀεὶ καταςέλλεσθαι προσήκει, κἂν εἰς τὸ ἀκρότατον ὕψος τῆς ἀρετῆς φθάσωμεν, τοῦ Θεοῦ τὴν ἄφατον ἐνθυμουμένους μεγαλειότητα. μὴ τοιγαροῦν ἐςί σοι, φησὶ, δύναμις, ὥςε ἀντιτάξασθαι Θεῷ; ἢ φωνὴ βροντήσῃ κατ' αὐτόν;

ΚΕΙΜ. Η῏ φωνῇ κατ' αὐτὸν βροντᾷς;

ΧΡΥΣΟΣΤ. Οὐκ ἄρα πρὸς ἐπίδειξιν ἡ βροντὴ, καὶ τὰ ἄλλα πάντα, ἀλλὰ πρὸς θεογνωσίαν. ὅρα δὴ ὅσον τὸ ταπεινὸν τῆς αὐτοῦ φύσεως ἐλέγχει, καὶ οὐ λέγει, ὅτι ταπεινὸς σὺ, ἀλλ' ὅτι μέγας ἐγὼ, καὶ οὐ δύνασαι ἅπερ ἐγώ.

ΚΕΙΜ. Α'νάλαβε δὲ ὕψος καὶ δύναμιν, δόξαν δὴ καὶ τιμὴν ἀμφίασαι· ἀπόςειλον δὲ Α'γγέλους ὀργῇ, πάντα δὲ ὑβριςὴν ταπείνωσον, ὑπερήφανον δὲ σβέσον, σῆψον δὲ ἀσεβεῖς παραχρῆμα· κρύψον δὲ εἰς γῆν ὁμοθυμαδὸν, τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον· ὁμολογήσω ὅτι δύναται ἡ δεξιά σου σῶσαι.

Ο'ΛΥΜΠ. Ε῎πειτα, φησὶν, ἀνάλαβε ταῦτα, ἃ δὴ κατὰ φύσιν ὑπάρχει τῷ Θεῷ, ἔνδυσαι δόξαν, ἔνδυσαι τιμὴν, χρῆσαι δὲ τοῖς Α'γγέλοις, εἰ δύνῃ, εἰς τιμωρίαν τῶν ὑβριςῶν καὶ ὑπερηφάνων, ἐργάσαι δὲ τοὺς ἀσεβεῖς ἀφανεῖς, ἀπόρριψον δὲ αὐτοὺς μακρὰν, καὶ σήπεσθαι τιμωρουμένους παρασκεύασον, καὶ τοῦτο παραχρῆμα, τουτέςι, ἀκωλύτως, καὶ ὁπηνίκα ἂν βουληθῇς, εὔτρεψον αὐτοὺς, καὶ εἰς κόνιν κατάχωσον. ἐὰν ταῦτα δυνατὸς ἦς ἀπεργάσασθαι, ἕξεις με συνομολογοῦντα τῇ σῇ δυνάμει.

ΩΡΙΓΕ'Ν. Ε῎ςι δὲ καὶ οὕτω νοῆσαι τοὺς ςίχους· νενίκηκας τὸν πειρασμὸν,

ἀνάλαβε σου τὸ ὕψος, ἀνάλαβέ σου τὴν δύναμιν, στεφάνωσαι, ἔνδυσαι εὐπρέπειαν· ὁ ὑβριστὴς ἐστρατεύσατο κατὰ σοῦ, σὺ δὲ τὸν ὑπερήφανον ἐταπείνωσας, καὶ μικρὰν μετ' αἰσχύνης ἀπέστρεψας μετὰ τῆς αὐτοῦ φάλαγγος.

ΚΕΙΜ. Ἀλλὰ δὲ ἰδοὺ θηρία παρὰ σοί; χόρτον ἴσα βουσὶν ἐσθίουσιν.

ὈΛΥΜΠ. Οἱ μὲν θηρία, τοὺς ἐκ σήψεως γεννηθέντας σκώληκας, καὶ τὴν σάρκα τοῦ Ἰὼβ κατεσθίοντας, ἐξεδέξαντο· συνέστειλα γὰρ, φησὶ, τὴν χεῖρά μου ἀπὸ σοῦ, καὶ ἰδοὺ ὡς χόρτος ἡ σάρξ σου κατεσθίεται. οἱ δὲ τὰς ἀντικειμένας δυνάμεις ὀνόματι τῶν θηρίων δηλοῦσθαι εἶπον· κατὰ τὸ, μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. παρὰ σοὶ οὖν, φησὶ, καὶ παρὰ παντὶ τῷ ὑπομονητικῷ, τὰ θηρία ταῦτα ἐξημεροῦται καὶ ὑποτέτακται· ἔστι μέντοι τὰ πάθη ἐξημερωθέντα, καὶ χόρτον ἴνα βουσὶν ἐσθίειν δεδιδαγμένα, ἀμελείᾳ τοῦ τιθασσεύοντος πάλιν ἐξαγριωθῆναι, καὶ τὴν θηρίων ἀναλαβεῖν ὠμότητα.

ΧΡΥΣΟΣΤ. Ἔστι δὲ καὶ περὶ θηρίων αἰσθητῶν νοῆσαι τὸν στίχον, ἃ καὶ τὴν φύσιν πολλάκις Θεοῦ βουληθέντος ἠγνόησεν· τὸ γὰρ θαυμαστὸν, ὅτι τὸ θηρίον οὐχ αἱμοβόρον ἐστὶν, ἀλλὰ τὴν τοῦ βοὸς σιτεῖται τροφήν. ἐπεὶ οὖν τοῦτο παράδοξον, πυνθάνεται τοῦ Ἰὼβ, εἰ καὶ παρ' αὐτῷ τοιοῦτόν τι γίνεται, ὥστε τὰ θηρία χόρτον ἐσθίειν, ἀλλὰ μὴ σάρκας. εἶτα λέγει περὶ δύο τινῶν, τοῦ μὲν χερσαίου, τοῦ δὲ ἐνύδρου καὶ θαλαττίου. καὶ οὐκ ἀγνοοῦμεν ὅτι πολλοὶ περὶ τοῦ διαβόλου ταῦτα εἰρῆσθαι νομίζουσι κατὰ ἀναγωγὴν ἐκλαμβάνοντες· δεῖ δὲ πρότερον τῆς ἱστορίας ἐπιμεληθῆναι, καὶ πότε ἐστὶ τὸν ἀκροατὴν ὠφελεῖν καὶ ἐκ τῆς ἀναγωγῆς μὴ παριδεῖν.

ΚΕΙΜ. Ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός.

ὈΛΥΜΠ. Εἰ μὲν περὶ τοῦ αἰσθητοῦ θηρίου ἐκδέξῃ τὰ ῥητὰ, δύναμιν αὐτῷ μαρτυρεῖ ὁ λόγος, καὶ τόπον δείκνυσιν ἐν ᾧ αὐτῷ ἡ ἰσχύς· ὁ δὲ τόπος ἐστὶν ἡ ὀσφύς· ἢ, κατὰ τὸν Ἀκύλαν, ὁ νῶτος· ἢ ὡς ὁ Σύμμαχος ἐκδέδωκεν, ἡ λαγών. σωματοποιοῦσα, δὲ καὶ τὸ πρόσωπον τοῦ σατανᾶ ἡ γραφὴ, ἐκ τῶν ἐνεργειῶν αὐτοῦ διαγράφει τοῦτον, καὶ ἐπειδὴ ἐν τῇ ὀσφύϊ τὰ σπερματικὰ ἀγγεῖα, φυσὶν, ὅτι ἡ δύναμις αὐτοῦ ἐν τῇ ὀσφύϊ, τουτέστιν, αὕτη πρώτη δύναμις κατὰ τοῦ ἀνδρὸς, πόρνον ποιεῖν· ἐντεῦθεν ἄρχεται ἐν τῇ πορνείᾳ, τοῦ θηρίου ἡ δύναμις· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν τῷ ὀμφαλῷ. τοῦτο δὲ οὕτω νοήσεις· ἤτοι εἰς γαστριμαργίαν ἐκβαίνει, ἀφ' ἧς καὶ τὰ ὑπογάστρια πάθη ἀνακινεῖται· κόρος γὰρ γαστρὸς πορνείας ῥίζα καὶ ἀρχή. ὥστε καὶ διὰ τοῦ ὀμφαλοῦ, τὴν πορνείαν σεμνῶς δηλοῦσθαι, καὶ πᾶσαν αἰσχρὰν ἡδονήν. ἢ ἐπειδὴ ὁ ὀμφαλὸς ἐν μέσῳ κεῖται τοῦ παντὸς σώματος, ἐν τῷ μέσῳ, φησὶ, πέπηκται αὐτῷ ἡ ἰσχὺς, καὶ ἀκλινὴς ἐστὶ πανταχόθεν, μόνον κακὸς ὢν, καὶ οὐδέποτε ῥέπων εἰς ἀγαθόν· καὶ πραγματικῶς δὲ τὸν ὀμφαλὸν τὰ νεῦρα τῆς ῥάχεως περισφίγγουσιν, ὡς εἰκότως καὶ ἐνταῦθα εἶναι τὴν ἰσχὺν τῷ ζώῳ, ὥσπερ ἐν τῷ νώτῳ. τάχα δὲ τὸ αὐτὸ μό-

ριον.

ρίου, ἐπὶ μὲν ἀνδρὸς, ὀσφὺς ἐκλήθη· ἵνα δὲ καὶ τὸ θῆλυ σημαίνῃ ὁ λόγος, ὀμφαλὸς ἐλέχθη· ἵνα δείξῃ, ὅτι στρατεύεται σατανᾶς οὐ μόνον κατὰ τῶν ἐχόντων τὰ σπέρματα, ἀλλὰ καὶ κατὰ τοῦ θήλεος γένους, πάνυ δὲ εὐπρεπέστατα ὠνόμασεν ὀσφὺν ἐπὶ ἄρρενος, καὶ ὀμφαλὸν γαστρὸς ἐπὶ γυναικὸς· μέχρι γὰρ ἐπὶ τὸ εὔσχημον ἐλθεῖν ἔδει τῷ λόγῳ ἐπὶ γυναικός.

ΚΕΙΜ. Ἔστησεν οὐρὰν ὡς κυπάρισσον.

Οὐρὰ τὸ τέλος, κυπάρισσος δὲ ξύλον ἱταμόν. ἐπιμένει οὖν, φησὶ, μέχρι τέλους ἱταμευόμενος. ἐπειδὴ δὲ καὶ κυπαρίσσῳ ὁ δίκαιος εἰκάζεται, διὰ τὸ ἡδὺ, καὶ εὐῶδες, καὶ εὔτονον, μετασχηματίζονται δὲ οἱ διάκονοι τοῦ σατανᾶ εἰς ἀγγέλους φωτὸς· φησὶν ἐνταῦθα, ὅτι ἡ οὐρὰ αὐτοῦ, τουτέστιν, ἡ ἑπομένη αὐτῷ δύναμις προσποιεῖται εἶναι κυπάρισσος, ὃ ἐστὶ μὲν δίκαιος. τοιοῦτος καὶ ὁ ἀντίχριστος, ὃς οὐρὰ ἐστὶ τοῦ διαβόλου, καὶ ἐν τῷ τέλει τοῦ αἰῶνος ἐλευσόμενος.

ΚΕΙΜ. Τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται.

Τὰ νεῦρα αὐτοῦ, τουτέστιν, ἡ πανουργία αὐτοῦ συμπλοκῆς γέμει, καὶ δυσδιάλυτός ἐστιν. εἰσὶ δὲ καί τινες ἄνθρωποι, ὥσπερ μέλη ὄντες τοῦ σατανᾶ, καὶ νεῦρα αὐτοῦ συμπεπλεγμένα, ὧν ὁ διαλύων τοὺς δόλους, ἐπλήρωσε τὸ τοῦ Ἠσαΐου, λύε πάντα σύνδεσμον ἀδικίας.

ΚΕΙΜ. Αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκεαι.

Πλευραὶ δὲ οἱ δόλοι, αἱ πανουργίαι, αἱ μηχαναί· πλάγιαι δὲ αὗται, ὅτι καὶ τὰ νοήματα τοῦ ἐχθροῦ σκολιά· χαλκαῖ δὲ, ἢ διὰ τὸ ἰταμῶς ἀνθίστασθαι τῇ ἀληθείᾳ, ἢ ἐπειδήπερ ὅτι χαλκὸς στίλβων ἔοικε τῷ χρυσῷ, καὶ ὁ σατανᾶς μετασχηματίζεται εἰς Ἄγγελον φωτός. ἄλλως δὲ ὥσπερ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ἡ γυνὴ γέγονε, καὶ ἐθεώρησε τὴν ἱστορίαν ὁ μυσταγωγὸς εἰς Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν, οὕτω πλευραὶ νοοῦνται τοῦ σατανᾶ αἱ τῶν αἱρετικῶν συναγωγαὶ, αἳ οὐκ ἔχουσι νοῦν Χριστοῦ, γνῶσιν δὲ μᾶλλον ψευδώνυμον.

ΓΡΗΓΟΡΙΟΥ Νύσσης. Ὅρα οἷα περὶ τοῦ πονηροῦ διεξέρχεται φοβερὰ καὶ φρικώδη· οὐ χαλκαῖ μὲν αἱ πλευραὶ, καὶ πάντα τὰ τοιαῦτα, δι' ὧν τὴν φοβερὰν φύσιν ἐκείνην ὑπογράφει ὁ λόγος.

ΚΕΙΜ. Ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.

ΟΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, ὡς συμβλήματα σιδήρου, τὰ ἀπορρινήματα τοῦ σιδήρου χωνευόμενα, γίνεται σκεῦος ἀήττητον· ἐστὶ δὲ ἡ ῥάχις σύνδεσμος πάντων τῶν μελῶν· σημαίνεται δὲ διὰ ταύτης, τὸ περιεκτικὸν πάντων τῶν παθῶν. ἐξ οὗ πάντα φύονται. καὶ ἄλλως δὲ, ἐπειδήπερ τὰ ζῶα ἐπὶ τοῦ νώτου ἀχθοφοροῦσι, τὸ ἰσχυρὸν αὐτοῦ διὰ τῆς ῥάχεως ἐσήμανεν, ἥτις ἐστὶ σίδηρος, οὐ κατακαμπτομένη δι' ὑποταγῆς, ἄκμων γὰρ ἀνήλατός ἐστιν. ὥσπερ δὲ μέλη Χριστοῦ λέγονται οἱ τοιοίδε τῆς Ἐκκλησίας ἄνδρες κατὰ τὴν ἑκάστου ἀναλογίαν,

καὶ ὁ μέν τις ἐστὶν ὀφθαλμὸς, ὁ δὲ ποὺς, καὶ τὰ λοιπά· οὕτω καὶ οἱ τὰ τοῦ σατανᾶ πράττοντες, ἀναλόγως τῇ ἑαυτῶν κακουργίᾳ, μέλη νοοῦνται τοῦ δράκοντος.

ΚΕΙ. Τοῦτ' ἔστιν ἀρχὴ πλάσματος Κυρίου.

Οἱ δὲ ἄλλοι, κεφάλαιον ὁδῶν ἰσχυροῦ. οἱ μὲν φασὶν, ὅτι πρῶτον τοῦτον ἔκτισεν ὁ Θεός· οἱ δὲ φεύγοντες εἰπεῖν, ὅτι τὸ πρῶτον ποίημα τοῦ Θεοῦ τὴν τροπὴν ὑπέμεινε, φασὶν ὅτι οὐ πρῶτος μὲν γέγονε, τὴν πρώτην δὲ ἀρχὴν παρ' ἀγγέλοις εἶχεν, εἷς τῶν πρώτων ἀρχόντων τυγχάνων, κατὰ τὸ, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε, ἧς ἐξεώσθη, χεῖρας ἀντάρας Θεῷ. ἄλλοι δὲ λέγουσι, πλάσμα εἶναι Θεοῦ τὸν ἄνθρωπον, ἄρχειν δὲ ὑπὸ Θεοῦ τῶν ἀνθρώπων τετάχθαι τὸν Ἑωσφόρον, μὴ εἰς δέον δὲ χρησάμενον τῇ ἀρχῇ, αὐτόν τε ἀποστῆναι Θεοῦ, καὶ τοὺς ἀνθρώπους πεῖσαι τὸ αὐτὸ τοῦτο ποιεῖν· καὶ συγκέχρηνται τῷ ἀποστόλῳ λέγοντι, κατὰ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. ἕτεροι δὲ λέγουσι, μὴ ὑπὸ Θεοῦ αὐτὸν τῶν ἀνθρώπων τὴν ἡγεμονίαν εἰληφέναι, ἀλλὰ τοὺς ἀνθρώπους προαιρετικῶς διὰ τὰ πάθη καὶ τὰς ἡδονὰς, ἑαυτοὺς ὑπαγαγεῖν τῷ τυραννικῷ τοῦ διαβόλου ζυγῷ. ἀρχὴ οὖν, φησὶ, τοῦ πλάσματος τοῦ Κυρίου, τουτέστι, τῶν ἀνθρώπων, ἑκοντὶ τοῦτο παθεῖν ἑλομένων. οἱ δὲ καθ' ἱστορίαν νοοῦντες ζῶον εἶναι τὸν δράκοντα, εἶπον ὅτι πρὸ πάντων τῶν ἐναλίων αὐτὸς ἐγένετο, καὶ διὰ τοῦτο λέγεται ἀρχὴ πλάσματος Κυρίου, τῶν ἐν τῇ θαλάσσῃ δηλονότι, γενομένων.

ΚΕΙΜ. Πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν Ἀγγέλων αὐτοῦ.

Ὁ Σύμμαχος, ποιηθὲν προσαχθῆναι τῇ μαχαίρᾳ αὐτοῦ. ἐπειδὴ γὰρ ἀπέστη Θεοῦ, λοιπὸν γέγονεν εἰς τὸ καὶ ὑπὸ τῶν Ἁγίων τοῦ Θεοῦ Ἀγγέλων ἐγκαταπαίζεσθαι, καὶ ὑπὸ τῶν ἰσαγγέλων ἀνθρώπων.

ΕΥΣΕΒΙΟΥ. Ἐπιλύεται δὲ καὶ ἀμφιβολίαν ἐν τούτοις ὁ λόγος, διδάσκων, τούτου χάριν συγκεχωρῆσθαι αὐτῷ τὸ ζῆν, ἐπὶ τὸ καταπαίζεσθαι αὐτὸν ὑπὸ τῶν Ἁγίων τοῦ Θεοῦ, ἐγγυμναζομένων τῇ πρὸς αὐτὸν πάλῃ, καὶ ποτὲ μὲν ἄγκιστρα αὐτῷ περιβαλλόντων, ποτὲ δὲ φορβειὰν περὶ ῥῖνα.

ΚΕΙΜ. Ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον, ἐποίησε χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ.

ΟΛΥΜΠ. Ὄρος ἀκρότομον, τὸν ἐνανθρωπήσαντα λόγον, φησίν· ὅτε οὖν ἐπῆλθεν αὐτῷ ὁ διάβολος, καὶ παρεσκεύασε σταυρωθῆναι, ἐχάρησαν οἱ τοῦ ταρτάρου ἄξιοι δαίμονές τε καὶ ἄνθρωποι, ἀγνοήσαντες, ὡς ἄλογοι καὶ κτηνώδεις, τὴν διὰ σταυροῦ οἰκονομίαν. τάχα δὲ καὶ τοῖς ἐν ᾅδου φρουρουμένοις χαρὰ γέγονεν ἀπονεμένοις τοῖς ἐκεῖσε τοῦ σωτῆρος καθόδου· εἰ δὲ οἱ ἀλογώτερον βιωτεύσαντες ἐχάρησαν, πολλῷ μᾶλλον οἱ ἅγιοι.

ΚΕΙ. Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται.

Ἐπαναπαύεται, φησὶ, τοῖς οὐκ ἐπὶ μιᾶς γνώμης ἑστηκόσι διὰ βεβαιότητα,

περὶ ὧν γέγραπται, δένδρα φθινοπωρινὰ ἄκαρπα.

ΚΕΙΜ. Παρὰ πάπυρον, καὶ κάλαμον, καὶ βούτομον.

Ταῦτα ὕλη καὶ τροφὴ πυρὸς τυγχάνει. αὐλίζεται οὖν ὑπὸ τὰς ὑγρὰς, καὶ ἀτόνους, καὶ ἀκάρπους ψυχὰς, αἳ πυρὸς εἰσὶν ὕλαι· τοῖς ὑγροῖς γὰρ ἐμφιλοχωρεῖ, τοῖς τὸν ἁλμυρὸν καὶ φιλήδονον καὶ ὑγρὸν ἀγαπῶσι βίον. διὸ κατῆλθεν εἰς τὸ ὕδωρ ὁ Κύριος, ἵνα ἐκεῖ αὐτὸν συντρίψῃ.

ἈΘΑΝΑΣΙΟΥ. Τάχα δὲ διὰ τοῦ καλάμου καὶ τοῦ παπύρου, τὴν ἀτέλειαν καὶ τὴν κενίαν, τοῦ διαβόλου αἰνίττεται ἡ γραφή.

ΚΕΙΜ. Σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν ῥαδάμνοις.

ὈΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, σὺν ταῖς παραφυάσιν. ἤτοι τοῦτο, φησιν, ὅτι συνδιαιτῶνται αὐτῷ μεγάλοι τινὲς δαίμονες, καὶ ὑποβεβηκότες τῇ κακίᾳ· ἢ ὅτι καὶ μικροὺς καὶ μεγάλους ἄνδρας ὁμοίως ὑπέρχεται, καὶ ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν ποιεῖσθαι πειρᾶται.

ΚΕΙΜ. Καὶ κλῶνες ἄγνου.

Ὁ Ἀκύλας, ἰτέαι χειμάῤῥου· ἐπειδὴ πολλάκις καὶ ἁγνείαν πολλοὶ ἀσκήσαντες, τῆς αὐτοῦ μερίδος γεγόνασιν· ὡς αἱ μωραὶ παρθένοι, ὡς οἱ τὸν γάμον διαβάλλοντες. τάχα δὲ τὸν ἄγνον, ἤτοι τὴν ἰτέαν, διὰ μόνην ἔνδειξιν τῆς ὑγρότητος ἐνταῦθα παρέλαβεν ἡ γραφὴ, ἐμὴν καὶ ὡς ἁγνείας σύμβολον.

ΚΕΙΜ. Ἐὰν γένηται πλημμύρα, οὐ μὴ αἰσθηθῇ.

Τουτέστι, κἂν ἡ σύμπασα πληθυνθῇ γνώσεως, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας, αὐτὸς ἔμεινεν ἐν τῇ πονηρίᾳ· καὶ τῆς εὐαγγελικῆς διδασκαλίας, δίκην ποταμίων ὑδάτων, εὐφραινούσης τὴν ὑπ' οὐρανὸν, κατὰ τὸ, καὶ ἐκκλινῶ ἐπ' αὐτοὺς, ὡς ποταμὸς εἰρήνης καθαίρων, καὶ ζωογονῶν τὴν γῆν αὐτὸς εἰς συναίσθησιν οὐκ ἦλθεν, οὐδὲ καλλίων ἑαυτοῦ γέγονεν, ἢ ὡς ὁ Σύμμαχος ἐξέδωκεν, οὐ καταπλαγήσεται.

ΚΕΙΜ. Πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ, ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτὸν, ἐνσκολιδούμενος τρήσει ῥῖνα.

ΣΥΜΜΑΧΟΣ, Ἐν περόνῃ τρυπηθήσεται τὴν ῥῖνα. πέποιθε τῇ αὐτοῦ συκοφαντίᾳ, καὶ διασύρει τὸ θεῖον χάρισμα, καταπελίζων αὐτὸ λόγοις χλευαστικοῖς, διὰ τῶν ὑπ' αὐτοῦ ἐνεργουμένων, Ἑλλήνων τε, καὶ Ἰουδαίων, καὶ τῶν Μανιχαίων, οὐ προσδεχομένων τὴν διὰ τοῦ Ἰορδάνου ἀπολύτρωσιν. λαμβάνει δὲ τὸν Ἰορδάνην ἐν ὀφθαλμῷ, τουτέστι, κατανοεῖ τοὺς προσεληλυθότας τῇ χάριτι, καὶ μέμηνε κατ' αὐτῶν. πλήττεται δὲ ὁ δράκων, καὶ τιτρᾶται τὴν ῥῖνα, καὶ τὸν μυκτῆρα, καταβάλλει τῆς βλασφημίας, τῷ σταυρῷ προσβαλών. ἢ τὸ, τρήσει ῥῖνα, ἀντὶ τοῦ, αὐτὸν ὑποτάξει, ἐκ μετα-

φο-

φορᾶς τῶν τρυπωμένων βοῶν τοὺς μυκτῆρας, καὶ δι' αὐτῶν ἀγομένων. ἵνα εἴπῃ, ὅτι καὶ ἡ ῥὶς, καὶ οἱ ὀδόντες, καὶ ὅλον τὸ πρόσωπον τοῦ δράκοντος συνετρίβη. εἰ δὲ περὶ ζώου τινὸς ταῦτα νοοῖτο, ἤτοι περὶ κήτους, τὸ μέγεθος αὐτοῦ ἐνταῦθα παρίστησι καὶ τὴν δύναμιν, καὶ φησὶν, ὡς εἴποτε τοῦτο τὸ ζῶον ἐπὶ τὴν γῆν καταχθῇ ὑπό τινος ὁρμῆς, χαίρει τὰ ἐν τῷ ταρτάρῳ καὶ τοῖς ὕδασι ζῶα, οἷς ἦν ἐπίβουλος καὶ πολέμιος οὗτος ὁ θήρ· αὐτὸς δὲ εἰς ὄρος που καὶ ἀκτὴν ἐκδραμὼν, σκιάζει τῷ μεγέθει τοῦ σώματος καὶ καλύπτει, οὐ μόνον τὰ βραχύτατα τῶν φυτῶν, ἀλλὰ καὶ τὰ μέγιστα. τοσοῦτον δὲ ἐστὶν αὐτῷ τὸ τοῦ σώματος μέγεθος, ὥστε κἂν πολὺ ὕδωρ χυθῇ, οὐ μὴ αἰσθηθῇ, ὡς καλυπτόμενος, δηλαδὴ, καὶ ἐπικλυζόμενος· ἀλλὰ καὶ τὸν Ἰορδάνην μικροῦ ὅλον τῷ στόματι ὑποδέξεται, καὶ τὸν ὀφθαλμὸν ἀνοίξας, λήψεται τὸ ὕδωρ ἐν αὐτῷ· ἐκβραχθεὶς μέντοι εἰς γῆν, καὶ πέτρᾳ προσρραγεὶς τὸ πρόσωπον, ὁ τοιοῦτος συντριβήσεται.

ΚΕΙΜ. Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ.

Οἱ δὲ λοιποὶ, Λευϊαθὰν, οἶμαι, τὸ προειρημένον κῆτος, καὶ τὸν ἐνταῦθα δράκοντα, ἕνα καὶ τὸν αὐτὸν εἶναι φασὶ, ἐπεὶ καὶ τὸ Ἑβραϊκὸν ἐν ἀμφοτέροις, Λευϊαθὰν περιέχει, οὐχ οὕτως τῶν ἄλλων δρακόντων παρ' Ἑβραίοις ὀνομαζομένων, ἀλλ' ἐχόντων τὸ οἰκεῖον ὄνομα τοῦ γένους αὐτῶν· τοῦ γε μὴν εἰς τὸν ἄρχοντα τῶν ἀντικειμένων δυνάμεων ἀναφερομένου δράκοντος, ἰδίως ὄνομα Λευϊαθὰν κέκληται, ὥσπερ κυρίαν ταύτην κεκτημένου προσηγορίαν.

ΟΛΥΜΠ. Δυνάσαι οὖν, φησὶν, ὦ Ἰὼβ, ποιῆσαι ὅπερ ὁ μονογενὴς ὕστερον εἰργάσατο; ὥσπερ γάρ τι δέλεαρ αὐτῷ τὴν οἰκείαν σάρκα προβαλλόμενος, διὰ τῶν οἰκείων ἥλων, ὡς δι' ἀγκίστρων, ἰχθὺν ἤγρευσεν.

ΚΕΙΜ. Περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ, ἢ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ; ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ.

ΘΕΟΔΟΤΙΩΝ. Καὶ χαλινῷ τρήσεις σιαγόνα αὐτοῦ. ψελλίῳ εἶπεν, ἀντὶ τοῦ, περιοχῇ. ὥσπερ οὖν ψελλίῳ καὶ περιοχῇ συνέρραψεν αὐτοῦ τὰ χείλη Χριστὸς, ἐφ' ᾧ μηκέτι μεγαλαυχεῖν, καὶ τὸν μυκτῆρα αὐτοῦ κρίκῳ ἔδησεν, καθάτις ταῦρον δαμάζων, καὶ τὸ γαυρίαμα αὐτοῦ ἀφαιρούμενος· καθηλούμενος δὲ ἥλοις καὶ στρογγυλούμενος, κρίκος γίνεται· καὶ φορβαίαν αὐτῷ περιέθηκε, καταπαίζεσθαι παρεχόμενος. ἔτι, τὸ ψέλλιον Κόσμος ἐστὶ τῆς χειρὸς, τοῦτο ἐστὶ τὸ ἔργον ἀγαθόν· ὁ οὖν ἔχων τὸ τοιοῦτον ψέλλιον, τρυπήσει τὸ χεῖλος τοῦ δράκοντος, τοῦ ἐξ ἐναντίας τοῦ διαβόλου ἐντρεπομένου, μὴ ἔχοντος τί λαλῆσαι κατ' αὐτοῦ.

ΚΕΙΜ. Λαλήσει δέ σοι δεήσει, ἱκετηρίᾳ μαλακῶς; θήσεται δὲ μετὰ σοῦ διαθήκην;

Τοῦτο εἶπε διὰ τὸ παρακαλεῖν, τοὺς δαίμονας τὸν Κύριον, μὴ βαλεῖν

αὐτὸς εἰς τὴν ἄβυσσον· ἢ διὰ τὸ εἰρηκέναι αὐτὸν τῷ Κυρίῳ, ταῦτά σοι πάντα δώσω. μὴ οὖν, φησὶ, καὶ πρὸς σὲ ἁπαλὰ φθέγξεται; μὴ διαθήσεται μετὰ σοῦ διαθήκας, ὥστε μηκέτι σοι πολεμεῖν;

ΚΕΙΜ. Λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον.

Ὁ δοῦλος, ἢ προαιρετικῶς γίνεται δοῦλος, ὡς ὁ δουλεύειν Θεῷ προαιρούμενος· ἢ ἀναγκαστικῶς ὡς αἰχμαλωτιζόμενος καὶ καταδεσμούμενος· ὃ δὴ πέπονθεν ὁ διάβολος.

ΚΕΙΜ. Παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ; ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ;

Δήσας τὸν ἐχθρὸν ὁ Κύριος ἡμῶν, δέδωκε καταπαίζειν αὐτοῦ, ὡς στρουθίου, τοῖς στραφεῖσι, καὶ γενομένοις ὡς τὰ παιδία.

ΩΡΙΓΕ'ΝΟΥΣ. Μεγάλης, καὶ ἐῤῥωμένης, καὶ τελείας ψυχῆς διαγράφει τὸ κλέος, ὅτι γε ὁ δράκων αὐτῷ, ὥσπερ στρουθίον παραδέδοται παιδίῳ, μηδὲ βλάψαι τὸ παιδίον δυνάμενον, ὅτι καὶ δεδεμένον αὐτὸ ἄγει ὅπου γε βούλεται τὸ παιδίον, καὶ περιφέρει· οὕτω τῇ χάριτι τοῦ Κυρίου, ὡς στρουθίον ὑποχείριον, ὁ σατανᾶς δεδεμένος γεγένηται τοῖς νηπίοις, καὶ θηλάζουσιν, ὧν ἐκ στόματος κατηρτίσατο αἶνον, ὁ Θεός.

ΚΕΙ. Ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔθνη. (Ἀκύλας δὲ, ἡμισεύσουσιν αὐτὸν μεταξὺ Χαναναίων.)

Ὥσπερ τῶν πιστῶν βρῶμα ὁ Κύριος, οὕτως ὁ δράκων τῶν ἀσεβῶν· ἔδωκας γὰρ αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι, τουτέστι, τοῖς υἱοῖς τοῦ σκότους, τοῖς ἐν ἀγνωσίᾳ. καθ' ἕκαστον γὰρ λόγον ὃν παραδεχόμεθα, ἤτοι ἀπὸ τοῦ δράκοντος ἐσθίομεν, ἐὰν παραδεξώμεθα ἀκολὴν ματαίαν, ἢ ἀπὸ τοῦ Χριστοῦ, ἐὰν παραδεξώμεθα λόγον οἰκοδομοῦντα καὶ ὠφελοῦντα.

ΟΛΥΜΠ. Ἡ Φοινίκη, Χαναναία πρότερον ἐκαλεῖτο· τὴν γὰρ Συροφοίνισσαν, Χαναναίαν καλοῦσι τὰ εὐαγγέλια. οἱ δὲ Χαναναῖοι εἰδωλολάτραι. λέγει οὖν, ὅτι μερίζονται τὸν δράκοντα οἱ εἰδωλολάτραι, οἱ φοινισσόμενοι τοῖς ἐπιβωμίοις αἵμασιν, ἄλλος ἄλλην μετιὼν ἄθεσμον πρᾶξιν, καὶ ἕκαστος μέρος τι λαμβάνων ἀπὸ τοῦ δράκοντος. τοῦτο δὲ εἴρηται, ἐπειδὴ ἐπὶ πονηρίᾳ διαβάλλονται Χαναναῖοι καὶ Φοίνικες. εἰ μὲν τοι περὶ τοῦ αἰσθητοῦ δράκοντος ὁ λόγος ἐστὶ, παρίσταται καὶ ἐν τούτοις τὸ μέγεθος αὐτοῦ καὶ ἡ δύναμις, καὶ ὅτι οὐ δυνατὸς, καὶ ὅτι οὐ δυνατὸν δῆσαι αὐτὸν, καὶ παραδοῦναι παιδίῳ, οἷά τι στρουθίον, ὥστε ἐν αὐτῷ παίζειν.

ΧΡΥΣΟΣΤ. Τοσοῦτος αὐτῷ ὁ τοῦ σώματος ὄγκος ἐστὶν, ὡς δυνηθῆναι ὁλοκλήρῳ ἔθνει ἀρκέσαι· οὐ γὰρ δὴ ὡς τότε μέλλοντος γίνεσθαι, ταῦτά φησι. Φοινίκων δὲ ἐμνήσθη διὰ τὴν ἐμπορίαν.

ΚΕΙΜ. Πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρ-

βύρσαν μίαν οὐρᾶς αὐτοῦ, καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ.

ΟʼΛΥΜΠ. Βύρσα ἡ φολὶς, ἡ λεπίς. ὡς ἐπὶ δράκοντος δὲ τοῦτο εἶπε. φησὶν οὖν, ὅτι πάντες ἄνθρωποι κατὰ τ᾽ αὐτὸν συναγόμενοι, οἱ τόνδε τὸν βίον, θάλασσαν καλούμενον, πλέοντες, οὐδὲ μικράν τινα αὐτοῦ ἐπήρειαν τῶν ἐσχάτων καὶ πλατταίων δυνάμεων δύνανται ὑπενεγκεῖν καθ᾽ ἑαυτούς· ὁ δὲ Κύριος συνέθλασε τὴν κεφαλὴν τοῦ δράκοντος.

ΩʼΡΙΓΕ'ΝΟΥΣ. Οἱ ἄνθρωποι, οἱ πλοίοις τοῖς σώμασι χρώμενοι, τὰ πλατταῖα τοῦ δράκοντος, καὶ τὰ ἔσχατα νεκρῶσαι αὐτοὶ καθ᾽ ἑαυτοὺς οὐ δύνανται· θείας δὲ δυνάμεως ἐπισκοπούσης, καὶ ὅλον αὐτὸν κομίσαι καὶ νεκρῶσαι δυνάμεθα· νεκροῦμεν δὲ ἕκαστος τὸ ὅσον ἐφ᾽ ἑαυτῷ τὸν διάβολον, κατὰ τὸ, ὁ δὲ Θεὸς συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

ΟʼΛΥΜΠ. Ἁλιεῖς, οἱ τῆς Ἐκκλησίας προεστῶτες διδάσκαλοι, πλοῖα δὲ, αἱ Ἐκκλησίαι· κεφαλὴ δὲ τοῦ δράκοντος ἡ ὑπερηφανία. φησὶν οὖν, ὅτι ὑπερηφανεύσεται καὶ κατὰ διδασκάλων, καὶ κατὰ τῶν ἐκκλησιῶν, διωγμοὺς, δηλονότι, κινῶν κατ᾽ αὐτῶν. ποικίλως γοῦν ἀντέστη τῇ πορείᾳ τῶν ἁλιέων ἀποστόλων, ἐμποδίσαι βουλόμενος τῷ κηρύγματι· ἀλλ᾽ οὗτοι, κατὰ μίμησιν τοῦ δεσπότου, τὴν κεφαλὴν αὐτοῦ ἐδέξαντο καὶ συνέθλασαν, τὸν ὑπὲρ αὐτοῦ θάνατον προθύμως καταδεξάμενοι. περὶ δὲ τοῦ κήτους δῆλος ὁ νοῦς, ὅτι πάντα τὰ πλωτὰ ὁμοῦ συνελθόντα, οὐκ ἂν ἀνέγκωσι μίαν λεπίδα τῆς οὐρᾶς αὐτοῦ, οὐδὲ ἡ κεφαλὴ αὐτοῦ καθ᾽ ἑαυτὴν πλοίοις ἐμπελάσασα, φορητὴ, ἢ χωρητὴ γίνεται.

ΚΕΙΜ. Ἐπιθήσεις δὲ αὐτῷ χεῖρα, μνησθεὶς πολέμου τοῦ ἐν σώματι αὐτοῦ, καὶ γινομένου μηκέτι γινέσθω;

Πόλεμον ἐνταῦθα λέγει τὴν ταραχὴν, τὴν ἀγειρίτητα· ἡδὲ τοῦ στίχου διάνοια τοιαύτη. ἐπίβαλε, φησι, τὴν χεῖρα, καὶ μνήσθητι τοῦ πρὸς τὸ κῆτος πολέμου· καὶ καταπολεμήσας αὐτὸ, εἰ δύνασαι, ποίησον μηκέτι γίνεσθαι αὐτῷ πρὸς σὲ ἀντίστασιν. φοβερὸς δὲ καὶ ὁ πρὸς τὸν Λεϊαθὰν πόλεμος, καὶ δυσκαταγώνιστον τοῦτο τὸ θηρίον, καὶ οὐδέποτε τῆς καθ᾽ ἡμῶν προσβολῆς ἀφίσταται.

ΚΕΙΜ. Οὐχ ἑώρακας αὐτὸν; οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; οὐ δέδοικας, ὅτι ἡτοίμασαί μοι. τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστὰς; ἢ τίς ἀντιστήσεταί μοι, καὶ ὑπομενεῖ;

ΟʼΛΥΜΠ. Ἐπὶ τὸ σαφέστερον ἐξομαλίζοντες τὴν τοῦ χωρίου δύναμιν, φαμὲν, τοιοῦτόν τι λέγειν τὸν Κύριον πρὸς Ἰώβ· μὴ ἐπιθήσῃς τὴν δεξιάν σου τῷ σατανᾷ, ποιούμενος πρὸς αὐτὸν ἀντιπαράταξιν, καὶ πολέμου μεμνημένος τοῦ γινομένου τοῖς δικαίοις μετ᾽ αὐτοῦ; ἆρά γε οὐχ ὁρᾷς οὐδὲ κατανοεῖς τοῦ θηρὸς τὴν χαλεπότητα; οὐδὲ εἰς κατάπληξιν σε ἄγει τὰ περὶ αὐτοῦ

λεγόμενα; ὑψωμένη οὐρὰ ὡς κυπάρισσος, νεῦρα συμπλεκόμενα, πλευραὶ χάλκειαι, ῥάχις ἰσχυροτέρα σιδήρου, δένδρα παντοδαπὰ ὑπ' αὐτοῦ σκιαζόμενα, ποταμὸς ὅλος καταπινόμενος, πάντα πλωτὰ καὶ πλοῖα οὐδὲ μέρος αὐτοῦ τὸ ἐλάχιστον ἐνεγκεῖν δυνάμενα; πάντα ταῦτα ἀκούων, οὐ δέδοικας; οὐδὲ τὸ δύσμαχον τοῦ θηρίου μανθάνεις, καὶ τὸ ἀκαταγώνιστον; ἀλλ' οὐκ ἔτι τοῦτο γενήσεται, οὐδὲ ἔσαι λοιπὸν φοβερὸς ὁ θήρ· ἡτοίμασαι γάρ μοι ὥστε ὑπ' ἐμοῦ δεθῆναι, οὐδεὶς γὰρ ἐμοὶ ἀντιφέρεσθαι δύναται, ἢ τὴν ἐμὴν ὀργὴν ὑποφέρειν.

ΚΕΙΜ. Εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν, οὐ σιωπήσομαι δι' αὐτόν.

Ἐπειδή, φησί, δημιουργὸς εἰμὶ πάντων καὶ δεσπότης οὐκ ἔτι μακροθυμήσω διὰ τὸν σκυλεύσαντα τὴν ὑπ' οὐρανόν, ἀλλ' ἐπεξελεύσομαι καὶ ἀμυνοῦμαι αὐτόν. τῇ μέντοι ἀποδεδομένῃ τῶν ῥητῶν διανοίᾳ συμφωνοῦσι καὶ οἱ λοιποὶ ἑρμηνευταί· ἀντὶ γὰρ τοῦ, μηκέτι γινέσθω, ὁ Θεοδοτίων, ἡ ἀρχὴ αὐτοῦ διεψεύσατο, ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, οὐχ ἑώρακας αὐτόν; ἀλλὰ καὶ ὁ Θεὸς τὴν ἰδίαν αὐτοῦ καταβαλεῖ, ἡρμήνευσε. δι' ὧν δηλοῦται, ὅτι καὶ ἡ ἀρχή, καὶ ἡ ἐξουσία, ἣν τυραννικῶς ἔσχεν ὁ διάβολος, διαψευσθήσεται, καὶ αὐτὸς δὲ τῇ δυνάμει τοῦ Χριστοῦ ἀφανὴς ἔσαι, καὶ ἡ νενοθευμένη αὐτοῦ εὐπρέπεια καταβληθήσεται καὶ ἀποπεσεῖται, ἀποβαλεῖ γὰρ οὓς εἶχεν αἰχμαλώτους γυμνωθείς. οὐ γὰρ ἀνέξομαι, φησί, περὶ αὐτοῦ, οὐδὲ μὴ εὐσπλαγχνίσομαι, κατὰ τοὺς λοιπούς, ὅταν ἐξεγείρω αὐτόν.

ΚΕΙΜ. Καὶ λόγῳ δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ τί, φησίν, ἱκανόν, εἰ τὸ ἐμοὶ τιμιώτατον κτῆμα καὶ οἰκειότατον, τὸν ἄνθρωπον, τυραννούμενον ὑπὸ τοῦ διαβόλου οὐ παρόψομαι, ὅπου γε ἄνθρωπος τὸν ἴσον αὐτῷ παρορᾷν οὐκ ἀνέχεται, ἀλλὰ καὶ ἐλεεῖ κατὰ τὸ μέτρον τῆς αὐτοῦ δυνάμεως; τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι οὕτω τιμωρήσομαι τὸν διάβολον, τῷ λόγῳ χρησάμενος τῆς ἐμῆς δυνάμεως, ὡς ἐντεῦθεν ἐλεεινὸν κρίνεσθαι καὶ τὸν ἴσον αὐτῷ ἀντίχριστον, οἷα τὰ αὐτὰ παθεῖν μέλλοντα. ἐμοὶ δὲ δοκεῖ πρὸς τὰ ἄνω τὸ ῥητὸν συναρτώμενον, ἀβίαστον ἔχειν τὴν ἀπόδοσιν, ἢ οὕτω συντεθῇ τὰ προκείμενα· μὴ ἐπιθήσεις αὐτῷ χεῖρα, ἢ μνησθήσῃ τοῦ πρὸς αὐτὸν πολέμου; ἀλλ' οὐ τρέσεις, οὐδὲ φοβηθήσῃ, τοιαῦτα περὶ αὐτοῦ ἀκούων λεγόμενα, ἀλλὰ θάρρει· οὐκέτι τοῦτο γενήσεται· ἐμοὶ γὰρ εἰς σφαγὴν τὸ θηρίον ἡτοίμασαι, καὶ οὐ σιωπήσομαι δι' αὐτὸν ὁ πάσης τῆς γῆς Κύριος. τίς δὲ ἀντιστήσεταί μοι; τίς τῶν ἴσων αὐτῷ δαιμόνων ἐλεήσει αὐτόν; οὐχὶ τὸν ἁπλῶς ἔλεον τὸν ψιλόν, καὶ μὴ ἔργοις δεικνύμενον, ἀλλὰ τὸν καὶ λόγῳ δυνάμεως βεβαιούμενον; οὐδεὶς γὰρ ἔχει δύναμιν, ἵνα τῷ λόγῳ ταύτης, ἐλεήσας τὸν σατανᾶν, ἀντιστῇ τῷ Κυρίῳ. ἢ οὖν τοῦτο λέγει, ἢ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἠδυνήθη ἐλεῆσαι τοὺς ὁμογενεῖς, ἀλλὰ μόνος Χριστὸς ὁ θεάνθρωπος· οὐκ Ἄγγελος γὰρ οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.

ΚΕΙ. Τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ;

Αὐτὶ τοῦ, οὐδεὶς πλὴν ἐμοῦ. πρόσωπον δὲ ἐνδύσεως λέγει, τὸ ἄλλοτε ἄλλο προσωπεῖον, ὃ μετενδύεται ὑποκρινόμενος· πλάττεται γὰρ πρόσωπον προβάτου λύκος ὤν, καὶ μετασχηματίζεται εἰς Ἄγγελον φωτὸς σκότος τυγχάνων.

ΝΕΙΛΟΥ. Δεῖ δὲ τὸν διδάσκαλον ἐπιστήμονα οὕτως εἶναι, ὡς μηδὲν ἀγνοεῖν τῶν τοῦ ἐχθροῦ ἐνθυμίων, ἵνα τὰ λανθάνοντα τοῖς ἐγκεχειρισμένοις αὐτῷ τῶν παλαισμάτων ἀπογυμνῶν, ἐπιδεικνύῃ, καὶ τὰς ἐπιβουλὰς προλέγων τοῦ ἀντιπάλου, ἀπονητὶ τὴν νίκην αὐτοῖς βραβεύσῃ, καὶ στεφανίτας ἐξαγάγῃ τοῦ ἀγῶνος τούτου. σπάνιος δὲ ὁ τοιοῦτος, καὶ οὐ ῥᾳδίως εὑρισκόμενος. ὁ μὲν γὰρ μέγας Παῦλος τοῦτο ἑαυτῷ μαρτυρεῖ, λέγων, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν· ὁ δὲ θαυμάσιος Ἰὼβ ἀπορῶν περὶ τούτου, φησὶ, τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστι, φησὶ, τὸ φαινόμενον πρόσωπον ἐπ᾽ αὐτοῦ, πολλοῖς γὰρ ἐνδύμασι καλύπτει τὴν πονηρίαν αὐτοῦ δελεάζων μὲν τῷ φαινομένῳ ἀπατηλῶς, ἐνεδρευτικῶς δὲ τῷ κεκρυμμένῳ πεπταίνων τὸν ὄλεθρον.

ΟΛΥΜΠ. Διατί οὐκ εἶπε, τίς ἀποκαλύψει πρόσωπον αὐτοῦ; ἀλλὰ προσέθηκε, πρόσωπον ἐνδύσεως; τί βούλεται ἐνταῦθα ἡ ἔνδυσις; ἀλλ᾽ ἵνα νοηθῇ τὸ λεγόμενον, παραδείγματι χρησώμεθα τῶν περιτιθεμένων προσωπείων, καὶ μὴ φαινομένων τοῦτο ὅ εἰσιν, ἀλλὰ θελόντων δοκεῖν. ἀναλαμβάνουσι γὰρ προσωπεῖα, οἷον εἰπεῖν, οἱ ἐν ταῖς θυμέλαις ὑποκρίται, ποτὲ μὲν ἡγουμένων, ποτὲ δὲ ἄλλως βασιλέων, ποτὲ δὲ γυναικῶν, καὶ τὸ μὲν ἴδιον αὐτῶν πρόσωπον ἀποκέκρυπται, καὶ ὅ εἰσιν οὐ φαίνονται, ὃ δὲ δοκοῦσιν οὐ βλέπονται. τοιοῦτος ἐστιν ὁ δράκων, οὐδέποτε τὸ πρόσωπον αὐτοῦ δείκνυσιν, ἀλλ᾽ ἀεὶ πρόσωπον λαμβάνων, εἰς ἀπάτην τῶν ἀνθρώπων ἐκείνῳ χρῆται· καὶ ἔχει γε ὁ ἐχθρὸς οὗτος πολλὰ προσωπεῖα, καὶ καθ᾽ ἑκάστην κακίαν πρόσωπον ὁ ἐνεδύσατο, τίς ἱκανὸς ἐλέγξαι; τίς ἱκανὸς ἀποκαλύψαι, καὶ δεῖξαι ὅτι ἔνδον δράκων ἐστί; τοιοῦτοι εἰσὶ καὶ οἱ ἐρχόμενοι πρὸς ἡμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες.

ΣΕΒΗΡΟΥ. Τὸ ποικίλον καὶ κεκρυμμένον τῶν ἐπινοιῶν τοῦ πονηροῦ, καὶ τῆς τῶν ἔξωθεν προσωπείων ὑπαλλαγῆς, ὑπογράφων ὁ λόγος ὡς ἐν σωματικῇ διαπλάσει, φησὶ, τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; καὶ ἐπείπερ αἱ ῥίζαι τῆς ἔξωθεν φαινομένης ταύτης ποικιλίας, ὡς ἔκ τινος βάθους τῆς ἀφανοῦς κακίας ἀνίσχουσιν, ἐπεζεύξεν τοῖς εἰρημένοις, καὶ ταῦτα.

ΚΕΙΜ. Εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι;

ΟΛΥΜΠ. Ὁ δὲ Σύμμαχος, εἰς ὑποδίπλωσιν φολίδος αὐτοῦ τίς ὑποδύσει; κατεπτυγμένος ἐστὶν ὁ θώραξ αὐτοῦ, οὐδὲν φανερὸν ἔχων, ἀλλὰ πάντα ἐπικεκρυμμένα· τίς οὖν ἱκανὸς εἰσελθεῖν εἰς τὰ νοήματα τῆς καρδίας αὐτοῦ, διότι συγκεκαλυμμένα τυγχάνου-

vou-

νουσιν; ἀλλ' οἱ ἐν Χριστῷ φασίν, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

ΩΡΙΓΕΝΟΥΣ. Θώραξ καὶ στῆθος ὀνομάζεται ὅπου ἐστὶ τὸ ἡγεμονικόν, οὐχ ἁπλοῦς ἐστὶν ὁ θώραξ αὐτοῦ, δόλιός ἐστιν, ἐπτυγμένος ἐστίν· ἅγιος δὲ ἐλέγχειν αὐτὸν δύναται, καὶ δεῖξαι ὅτι ἔπτυκται· τῷ γὰρ ἁγίῳ οὐκ ἔπτυκται.

ΚΕΙΜ. Πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει;

ΣΕΒΗΡΟΥ. Καὶ γὰρ οὐ μία πύλη τοῦ στόματος, ἀλλὰ πολλαὶ τῶν τὰ αὐτίκα δὴ ψευδομένων εἰσί· καὶ δοκοῦσι μὲν διὰ μιᾶς διαλέγεσθαι πύλης, τὰς δὲ πλείους ἔχουσι κεκλεισμένας ἐν ἑαυτοῖς, ἵνα πρὸς τὴν χρείαν τῆς κακοτεχνίας τῶν ἐν τῷ ἀφανεῖ διανοημάτων, ἣν ἂν βούλωνται πύλην κατὰ μέρος ἀνοίγωσιν, ἐπὶ τῷ θηρασθῆναί τινα πρὸς ὄλεθρον καὶ ἀπώλειαν.

ΟΛΥΜΠ. Τίς οὖν, φησί, τὰς ἐπικρύψεις τῶν νοημάτων αὐτοῦ φανεροποιήσει; αἱ εἴσοδοι τοῦ προσώπου αὐτοῦ κεκλεισμέναι εἰσίν, ὡς ἀθέατα αὐτοῦ τὰ νοήματα εἶναι· πανοῦργος γὰρ ὤν, καὶ ἀγαθοῦ δῆθεν προφάσει κακοποιεῖ, οὕτω δι' ἀμέτρου μετανοίας εἰς ἕτερον βόθρον τὸν Ἰούδαν ἐνέβαλεν, ἀπὸ τῆς προδοσίας ἐπὶ τὴν ἀγχόνην ἀγαγών. κρύπτει τὰ ἔνδον ἀποκείμενα· τίς οὖν τοιοῦτός ἐστιν, ὥστε καὶ ἐλέγξαι, καὶ δεῖξαι ὅσον δόλον, ὅσον ἰόν, ὅσα κακὰ ἔχει ἀποκείμενα; τίς ἀνοίξει; οὐδείς, πλὴν ἐμοῦ;

ΚΕΙΜ. Κύκλῳ ὀδόντων αὐτοῦ φόβος.

ΘΕΟΔΟΤ. Περὶ τοὺς ὀδόντας, περὶ ὧν λέγεται, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. καὶ, Κύριος συντρίψει τὰς μύλας τῶν λεόντων. οὐκ ἔστιν οὗτος ὁ φόβος τοῦ Θεοῦ, ἀλλ' ὁ φόβος κύκλῳ τῶν ὀδόντων αὐτοῦ, ἀλλ' ἐὰν ἔχῃς τὸν Χριστὸν ἐν σεαυτῷ, μὴ φρόντιζε τούτου τοῦ φόβου· Κύριον γὰρ τὸν Θεόν σου φοβηθήσῃ, καὶ πλὴν αὐτοῦ μὴ φοβοῦ ἄλλον. ὀδόντες τοῦ δράκοντος τὰ ῥήματα τὰ πονηρά, οἱ ψευδοπροφῆται, καὶ ψευδοδιδάσκαλοι, οἱ δάκνοντες ὅλῳ τῷ στόματι. ἔστι δὲ καὶ ἄλλως φοβερὸς τοῖς αὐτὸν ἀγνοοῦσιν, ἐκφοβῶν καὶ ἀπειλῶν, ἃ ποιεῖν οὐ δύναται, μὴ συγχωροῦντος Θεοῦ.

ΚΕΙΜ. Τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκεαι.

Ἀκύλας δέ, καὶ Σύμμαχος, ὁ μὲν σῶμα αὐτοῦ ὑπερέχουσιν θυρεῶν· ὁ δὲ ὑπερφρονεῖ, προερχόμενος ἐν θυρεοῖς, τὰ ἔγκατα αὐτοῦ, τουτέστιν, οἱ διαλογισμοὶ αὐτοῦ ἰοῦ γέμουσι καὶ εἰσὶν οὐχ ἁπαλοί τινες, ἀλλ' ἰταμοὶ καὶ σκληροί. τὰ δόγματα, τὰ νοήματα τὰ ἀποκεκρυμμένα, ἰὸς ἀσπίδων ἐστὶν πάντα τὰ ἔνδον αὐτοῦ, καὶ ἀσπίδες οὐχ ἁπαλαί τινες, ἀλλὰ σκληραί.

ἈΘΑΝΑΣΙΟΥ. Πάλαι μὲν οὖν πολὺς ἦν ὁ ἐχθρὸς πανουργευόμενος κατὰ τῶν ἀνθρώπων, καὶ ταῖς φαντασίαις αὐτοῦ πολλοὺς ἠπάτα, καὶ δυσχερὴς ἦν ἡ τῆς ἀπάτης αὐτοῦ κατάληψις· ὥστε καὶ τὸ πνεῦμα λέγειν περὶ αὐτοῦ, τίς ἀποκαλύψει πρόσωπον ἐνδύματος αὐτοῦ; καὶ τὰ ἑξῆς. οὐ γὰρ ὅπερ ἦν, τοῦτο καὶ ἐφαίνετο, ἀλλὰ πρὸς ὃ ἐπανουργεύετο, πρὸς τοῦτο καὶ ἐφαντα-

σίου ἑαυτόν· διὰ τοῦτο καὶ πολλοὶ ἠπατῶντο ὑπ' αὐτοῦ. ὅτε δὲ ἐπεδήμησεν ὁ σωτὴρ, τότε ἡ πᾶσα φαντασία αὐτοῦ ἐδειγματίσθη· ἃ γὰρ ἠγνοεῖτο πάλαι ποιῶν, ταῦτα τῇ χάριτι τοῦ Χριστοῦ γινώσκεται, καὶ ἐν οἷς ἠπάτα πάλαι τοὺς ἀνθρώπους, ἐν τούτοις ὑπ' αὐτῶν καταπατεῖται· πάσης γὰρ διαβολικῆς ἐπιθέσεως καὶ μανίας δαιμόνων, ἰσχυροτέρα ἡ πίστις.

ΝΕΙ'ΛΟΥ. Πλὴν ἵνα μὴ καὶ ἑαυτὸν συγκαταριθμήσῃ τοῖς ἀγνοοῦσι τὰ κατὰ τοῦ δράκοντος ὁ ταῦτα λέγων, τεκμήρια λέγει τοῦ σαφῶς εἰδότος πᾶσαν τὴν περὶ αὐτὸν τερατουργίαν· φησὶ γὰρ, τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαῖ.

ΚΕΙΜ. Σύνδεσμος δὲ αὐτοῦ ὥσπερ σιδηρίτις λίθος, εἷς τοῦ ἑνὸς κολλῶνται.

Ο'ΛΥΜΠ. Σύνδεσμος ὅλον τὸ σῶμα αὐτοῦ· αἱ γὰρ κακίαι, αἵτινες σύνδεσμος εἰσὶν αὐτοῦ, μία τῆς μιᾶς ἤρτηνται. τοιαύτη δὲ καὶ ἡ τοῦ σιδηρίτιδος λίθου φύσις· εἷς γὰρ τοῦ ἑνὸς ἔχεται. λέγεται δὲ ὁ λίθος οὗτος καὶ ἰταμώτατος εἶναι ἐγγὺς τοῦ ἀδάμαντος, καὶ σίδηρον ἁρπάζειν, καὶ τραχύτατος δὲ, ὡς καὶ τὸν ὕαλον γλύφειν· ἱκαναὶ δὲ αἱ κακίαι αἱ διαβολικαὶ, καὶ τοὺς στερεοὺς εἰς ἑαυτοὺς ἕλκειν, αἵτινες καθὸ κακίαι ἀλλήλων ἀντέχονται, κἂν ἐναντίαι που δοκῶσιν. ἔδειξε δὲ καὶ διὰ τούτων τοῦ διαβόλου τὸ ἰταμὸν καὶ τραχύ.

ΚΕΙΜ. Πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν.

Ἀντὶ τοῦ, οὐδὲ μία ψυχὴ ἐκφεύγει αὐτὸν καὶ τὰς ἑαυτοῦ κακίας, ἀλλὰ πάσας τηρεῖ, καὶ πάσας ἐπιβουλεύειν πειρᾶται, καὶ οὐδὲ μία ἀνάπνοια λανθάνει αὐτόν· καὶ γὰρ καὶ τὰ νήπια τὴν πατροπαράδοτον ἕλκουσιν ἁμαρτίαν. τὸ δὲ, οὐ μὴ διέλθῃ, οὐχ ὅτι οὐ διέρχεται, καὶ παρέρχεται, ἀλλ' ὅτι οὐδεὶς αὐτὸν λανθάνει, πάντας δεῖ δι' αὐτοῦ ἐλθεῖν. ἑαυτοὺς οὖν παρασκευάσωμεν τοῦ μὴ κατασχεθῆναι ὑπ' αὐτοῦ.

ΚΕΙ. Ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται, συνέχονται, καὶ οὐ μὴ ἀποσπασθῶσιν.

Κἂν σφόδρα, φησὶ τινὲς ὁμονοήσωσιν, ὡς μὴ διασπᾶσθαι, καὶ τούτοις ἐπιτίθεται. ὅρα δὲ μὴ καὶ περὶ τῶν κακιῶν, καὶ τῶν ἐνεργούντων αὐτὰς δαιμόνων τοῦτο λέγει. ὥσπερ γὰρ ἄνθρωπος ἀνθρώπῳ διὰ τὸ ὁμοφυὲς κολλᾶται· οὕτω καὶ οἱ δαίμονες ἀλλήλων ἔχονται, κἂν κατὰ τὰς ἐνεργείας ἑαυτοῖς ἐναντιῶνται, ὁ μὲν εἰς πορνείαν, τυχὸν, ὁ δὲ εἰς ὑπερηφανίαν ὠθῶν· εἷς γὰρ αὐτοῖς ὁ σκοπὸς, ἡ τοῦ ἀνθρώπου ἀπώλεια.

ΚΕΙΜ. Ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος.

Πταρμὸς δεξίας σημεῖον· ἐνδείκνυται οὖν, φησὶ, τοῖς κακοῖς, καὶ ἐναστράπτει ἐν αὐτοῖς. καὶ ἄλλως δὲ, πταρμὸς καθαρτικὸς ἐγκεφάλου· ἐπεὶ οὖν καὶ αὐτὸς μετασχηματίζεται εἰς φῶς, προσποιεῖται, καὶ δύναται καθαίρειν. αὐτίκα γοῦν καὶ οἱ Ἕλληνες,

καὶ οἱ γόητες ἔχουσί τινας καθαρμοὺς, καὶ προσποιοῦνται φωτὸς ἔχειν λόγον, εἰσὶ δὲ πλήρεις ἀκαθαρσίας. ἐμοὶ δὲ δοκεῖ τὸ ἐν τῷ πταρνύσθαι ἐκλάμπον φέγγος πυρὸς ὑπαινίττεσθαι, ὅτι φοβερὸν ἐςὶ τὸ θηρίον, ὅπως ἄγριον ὂν, καὶ δυνατὸν, καὶ ἀκατάπληκτον.

ΚΕΙΜ. Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος Ἑωσφόρου.

Κατὰ ἀπάτην, ὃ γὰρ ἔχουσι τὸ ἀληθινὸν φῶς· ὀφθαλμοὶ δὲ εἰσὶ τοῦ δράκοντος, οἱ δῆθεν γνωςικώτεροι, ὡς οἱ ἀπὸ τῶν αἱρέσεων, οὐκ ὄντες μὲν Ἑωσφόροι, οὐδὲ φέγγος ἡμέρας ἔχοντες, ἀλλ' εἶδος Ἑωσφόρου, κατ' ἀπάτην, τοῦτο εἶναι ὑποκρινόμενοι.

ΩΡΙΓΕ'ΝΟΥΣ, οἱ ὀφθαλμοὶ γοῦν αὐτοῦ οὐκ εἰσὶν ἑωσφόροι, ἀλλ' εἶδος Ἑωσφόρου· μετασχηματίζεται γὰρ εἰς Ἄγγελον φωτός· προσποιεῖται εἶναι οὐράνιος ἀςὴρ, προσποιεῖται σύμβολον ἡμέρας.

ΝΕΙ'ΛΟΥ. Ταῦτά φησιν, ἐλέγχων τὴν ἐκείνου κακουργίαν, ὡς μὲν διὰ τοῦ ἐπιμορφάζεσθαι τὸ τοῦ ἑωσφόρου εἶδος, ἐπισπᾶσθαι πρὸς ἑαυτὸν τοὺς ὁρῶντας μηχανωμένου· διὰ δὲ τῶν ἐντὸς ἀσπίδων, θάνατον τοῖς ἐγγίζουσι πραγματευομένου.

ΚΕΙΜ. Ἐκ ςόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι, καὶ διαῤῥιπτοῦνται ὡς ἐσχάραι πυρός.

ΟΛΥΜΠ. Λαμπάδες καιόμεναι, καὶ ἐσχάραι πυρὸς, οἱ λόγοι τῶν ἀσεβῶν καὶ ἀθέων διδασκάλων. ἐδάπτεροῦσε δὲ τὸν λόγον, αὔξων αὐτοῦ τὰ κακά.

ΩΡΙΓΕ'ΝΟΥΣ. Οἶμαι μὲν καὶ πάντας τοὺς ἀσεβεῖς ἀθέων δογμάτων εἰσηγητὰς, εἶναι ςόμα τοῦ δράκοντος. εἴη δ' αὖ τι καὶ τροπικῶς νοούμενον παρὰ τοῦτο, δῆθεν οἱ λόγοι ἀπολαμπεῖς, εἴποτε ἤκουσας λέγω προφάσει Χριςιανισμοῦ κατηγοροῦντος τοῦ δημιουργοῦ, φέρε εἰπεῖν πρεσβεύοντος τὰ Μαρκίωνος, τὰ Οὐαλεντίνου, τὰ Βασιλείδου, ὅταν κακῶς λέγωσι τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὅταν τί ὅμοιον, ὄψει ὅτι ἐκ ςόματος τῶν τοιούτων διέρχονται δαλοί. τηρῶμεν οὖν ἑαυτοὺς μήποτε ἐκεῖναι αἱ λαμπάδες ἡμᾶς καύσωσι, μήποτε αἱ ἐσχάραι τοῦ πυρὸς ἡμῶν ἅψονται.

ΚΕΙΜ. Ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων.

ΟΛΥΜΠ. Ὁ καπνὸς ὀφθαλμῶν βλαπτικός· ἡ δὲ ἁμαρτία καὶ ψευδηγορία, σκοτίζει τοὺς νοητοὺς τῆς ψυχῆς ὀφθαλμούς· ἐπεὶ οὖν τὰ σπλάγχνα τοῦ νοηθέντος δράκοντος κάμινός ἐςιν, ὁ καθαρὸν ἔχει τὴν ἀναπνοήν. νοήσεις δὲ πάλιν μυκτῆρας αὐτοῦ, τοὺς ἀπὸ τῶν αἱρέσεων. ἐπιτηρήσωμεν οὖν καὶ ἡμεῖς, μηδὲν ἀναπνεῖν τοῦ δράκοντος, ἵνα μὴ πρὸς ἑαυτοῖς γενώμεθα πρόξενοι, ἵνα πνεῦμα σπάσωμεν, μὴ καπνὸν ὑφ' οὗ πνιγησόμεθα.

ΚΕΙΜ. Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ ςόματος αὐτοῦ ἐκπορεύεται.

ψυχὴν ἔοικεν αὐτοῦ λέγειν τὴν ἐσχάτην ὑπερηφανίαν· τὰ δὲ μεγάλαυχα καὶ ὑπεροπτικὰ ῥήματα, ἐκ στόματος αὐτοῦ ἐκπορευόμενα, οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ φλὸξ τοὺς χρωμένους καταφλέγουσα.

ΚΕΙΜ. Ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις.

Τραχήλῳ, τῇ οἰήσει· αὐλίζεται δὲ, ὅτι οὐ παύεται, ἀλλ' ἀεὶ ἐν οἰήσει τυγχάνει· καὶ αἱ πορνευόμεναι ψυχαὶ δὲ ὑψηλῷ τραχήλῳ, ὡς φησὶν Ἡσαΐας, τράχηλος αὐτοῦ εἰσὶ, δύναμιν εἰς ἀπάτην ἔχουσαι. ἔστι τις δύναμις πονηρὰ, ἀλλ' ἡ ἀσθένεια ἣν ἀνέλαβε δι' ἐμὲ, ὁ Σωτήρ μου καὶ Κύριος, ἥτις λέγεται ἀσθένεια Θεοῦ, ἐνίκησεν ἐκείνου τὴν δύναμιν· τὸ γὰρ ἀσθενὲς τοῦ Θεοῦ, ὁ μὲν Ἀπόστολος λέγει, ἰσχυρότερον τῶν ἀνθρώπων· ἐγὼ δὲ ἂν εἴποιμι, ἰσχυρότερον τῆς δυνάμεως τοῦ δράκοντος.

ΚΕΙΜ. Ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια.

Πρότερον γὰρ εἰσδέχεταί τις, τὰς φθαρτικὰς ἡδονὰς καὶ κακίας, αἵτινες αὐτοῦ προτρέχουσι, καὶ οὕτως αὐτὸν εἰσοικίζεται τὸν διάβολον.

ὩΡΙΓΕΝΟΥΣ. Οἷον πρόδρομός τις ἐστὶν αὐτοῦ, καὶ δορυφορεῖ αὐτὸν ἡ ἀπώλεια, ὅπου ἐὰν ἔρχηται προτρέχει ἡ ἀπώλεια αὐτοῦ, εἶθ' οὕτως αὐτὸς εἰσέρχεται· ἐὰν μὴ πρῶτον παραδέξεταί τις τὴν ἀπώλειαν, οὐ παραδέχεται τὸν δράκοντα. ὅταν γὰρ ἁμάρτη, τις, τότε κινηθόμενος τὴν ἀκολουθίαν, διδασκάλους ζητεῖ ἀπολλύμενος, καὶ ζητῶν διδασκάλους, μετὰ τὸ ἀπολέσθαι δέχεται τὸν δράκοντα, καὶ παραδέχεται τοῦτον τοσούτων κακῶν πεπληρωμένον εἰς τὴν ἑαυτοῦ ψυχήν.

ΚΕΙΜ. Σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται.

ΟΛΥΜΠ. Σῶμα αὐτοῦ οἱ ἁμαρτωλοὶ, καὶ οἱ τὴν ἁμαρτίαν ἐνεργοῦντες δαίμονες, ὥσπερ τοῦ Κυρίου ἡ Ἐκκλησία. οὐκ εἶπε δὲ, ἥνωνται, ἀλλὰ κεκόλληνται· τὸ γὰρ εὖ οὐκ ἔστι παρ' ἐκείνῳ, οὐδὲ γὰρ συμφωνοῦσιν οἱ τῶν αὐτοῦ δογμάτων προεστηκότες, εἰ καὶ δοκοῦσιν ὅμοια λέγειν, κεκόλληνται δὲ τάπε πάθη· καὶ ἡ Ἐκκλησία αὐτοῦ οὐ μὴν ἥνωται, πρὸς ἑαυτὴν γὰρ διαφέρεται· τοιοῦτον γὰρ αἱ κακίαι, οὐ μόνον τῇ ἀρετῇ, ἀλλὰ καὶ ἀλλήλαις ἀντίκεινται.

ΚΕΙΜ. Καταχέει ἐπ' αὐτὸν, οὐ σαλευθήσεται.

Ὁ δὲ Σύμμαχος, Σάρκες αὐτοῦ περικεχυμέναι αὐτῷ, ἀκλινεῖς. κατὰ μὲν οὖν Σύμμαχον, σάρκες αὐτῷ περικέχυνται, καὶ δύναμις μὴ κλινομένη ποτὲ πρὸς τὸ καλὸν, ἀλλ' ἀνένδοτος καὶ ἄτρεπτος. κατὰ δὲ τοὺς ἑβδομήκοντα, οἵαις αὐτὶς ἐπαντλήσεσι καὶ θεραπείαις αὐτῷ χρήσηται, καὶ εἴτι δ' αὖτις αὐτῷ προσαγάγῃ, ἀναλγὴς ἐστὶ καὶ ἀθεράπευτος· διὸ καὶ ἐπάγει, παρειστὰς αὐτοῦ τὸ ἀπεσκληκὸς, καὶ ἐπὶ κακίαν ἀνένδοτον.

ΚΕΙΜ. Ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος· ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος.

ΚΥΡΙ'ΛΛΟΥ. Σκληραὶ μὲν καὶ ἀμείλικτοι κομιδῆ αἱ ὑπὸ τοῦ σατανᾶ ἀποστατικαὶ δυνάμεις, ἤκουσι δ' ὀψέποτε καὶ μόλις εἰς μετρίαν αἴσθησιν τῆς Θείας ὀργῆς· ὁ δὲ ἐστὶν ἀγελότητι ὑπερφέρων, καὶ καπεσκληκὼς εἰς ἄκρον.

ΣΕΒΗ'ΡΟΥ. Ἐν τούτοις τὸ ἀνένδοτον καὶ ἀμετάθετον τῆς πονηρίας τοῦ δαίμονος, καὶ τῆς ἐκ ταύτης φυομένης ἀναιδείας, ὡς διά τινων χρωμάτων ἀνεζωγράφηται.

Ο'ΛΥΜΠ. Ἀπελιθώθη, φησίν, ἡ καρδία αὐτοῦ, καὶ οὐ δύναται ἐλαθῆναι· οὐ λόγῳ πείθεται, οὐκ ἐπικάμπτεται, ἀλλ' ὅλος ἐστὶν ἀπεσκληκὼς καὶ ἰταμός, οὐκ ἐλαυνόμενος, οὐκ ἀκολουθῶν λόγῳ, σκληρός, ἀνένδοτος· καὶ εἴτις ἀπὸ τοῦ διαβόλου ἀπέσπασε δύναμιν, καὶ αὐτὸς ἔχει τὴν καρδίαν ἀνήλατον, οὐκ ἐλαυνομένην· εἰ δέ τις χρυσός ἐστιν, ἀκολουθῶν τῷ λόγῳ τῷ χρυσοχοϊκῷ, οὗτος εἴκει ἕως ἂν γένηται πέταλον χρυσοῦν, καὶ δέξηται τύπους τῶν γραμμάτων τοῦ Θεοῦ.

ΚΕΙΜ. Στραφέντος δὲ αὐτοῦ, φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς ἁλλομένοις.

Ο' δὲ ΣΥ'ΜΜΑΧΟΣ, Ἀπὸ τῆς κινήσεως αὐτοῦ ἀλαβηθήσονται ἰσχυροί. ἤγουν, φησί, γραφῆ κατὰ τῶν αὐτῷ πειθομένων τῶν θηριοτρόπων, καὶ δίκην τετραπόδων ἀνοήτων τῶν τὰ γήϊνα φρονούντων, ἅλλονται καὶ τρέμουσιν, ἐκδειματούμενοι παρ' αὐτοῦ. πολλάκις γὰρ οὐδὲ τῶν οἰκείων αὐτοῦ ὁ δράκων ἀπέχεται, ἀλλὰ καθ' αὐτῶν ἅπτεται, καὶ κακώσεις αὐτοῖς ἐπάγει, ὡς μισάνθρωπος.

ΚΕΙΜ. Ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι, δόρυ καὶ θώρακα.

Τοῦτο σαφέστερον ἡρμήνευσε Σύμμαχος, καταλαβοῦσα αὐτὸν μάχαιρα οὐχ ὑποστήσεται, οὐδὲ λόγχης ἄρσις καὶ θώρακος. διὰ τούτων τὸ ἰταμὸν ἐδήλωσε τοῦ θηρίου, καὶ ὅτι ὅσα ἂν οἱ Ἅγιοι διὰ τῶν πνευματικῶν καὶ πολεμικῶν τρόπων καταβάλωσιν αὐτόν, οὐκ αἰσθάνεται, ἀλλὰ πάλιν ὁ αὐτός ἐστιν.

ΚΕΙΜ. Ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν.

Τὰ πνευματικά, φησίν, ὅπλα ἀσθενῆ πρὸς καθαίρεσιν αὐτοῦ λογίζεται καθάπερ ἄχυρα, ἢ ξύλον σαθρόν, ἃ πληγὴν καιρίαν ποιῆσαι οὐ δύνανται.

ΚΕΙΜ. Οὐ μὴ τρώσει αὐτὸν τόξον χάλκεον.

ΕΥΑΓΡΙ. Οὐδὲν μὲν τιτρώσκει τὸν σατανᾶν· ἐγκράτεια δὲ καὶ ἀγάπη ἀναιρεῖ αὐτόν.

ΚΕΙΜ. Ἥγηται μὲν πετροβόλον χόρτον, ὡς καλάμη ἐλογίσθησαν σφυραί.

Ο'ΛΥΜΠ. Πετροβόλον ἐστὶν ἡ σφενδόνη· διὸ οἱ λοιποὶ ἀντὶ τοῦ, πετροβόλον, λίθους σφενδόνης, ἐκδεδώκασι. αἱ δὲ σφυραί, τουτέστιν, αἱ βολαὶ τῶν πληγῶν ἴσα καλάμη τῇ διακενῷ καὶ κούφῃ, ἀκαταφρόνητοι αὐτῷ ἔδοξαν.

ΚΕΙΜ. Κατάγελως δὲ σεισμοῦ πυρφόρου.

Ἕτερος, σειομένου θυρεοῦ, πυρφόρος ἂν εἴη ὁ θεοφιλὴς βίος, ὁ ζέων τῷ πνεύματι. φησὶν οὖν, ὅτι καὶ ἐὰν τῷ ἁγιοπρεπεῖ βίῳ συσσείσῃ τις αὐτόν, οὐδὲν ἧττον καταφρονεῖ, κἂν θυρεὸν δέ τις αὐτῷ ἐπισείσῃ, καὶ τοῦτο καταπαίζει.

ΚΕΙΜ. Ἡ στρωμνὴ αὐτοῦ, ὀβελίσκοι ὀξεῖς.

Ὁ Θεοδοτίων, σιδήρεια τέκτονος· ὁ δὲ Ἀκύλας, ὀξυντῆρες ὀστράκων. ἐπὶ γὰρ τοῖς ὀδυνηροῖς καὶ ἀνωμάλοις πράγμασιν ἐπαναπαύεται. κἂν ζῶον δὲ δῶμεν εἶναι περὶ οὗ ταῦτα λέγεται, σκληρότητα αὐτῷ μαρτυρεῖ καὶ τραχύτητα τοῦ σώματος, ὡς καὶ ἐπ᾽ ὀβελίσκων αὐτὸ καθεύδειν, καὶ μηδὲν πάσχειν, μηδὲ τιτρᾶσθαι.

ΚΕΙΜ. Πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ᾽ αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.

Θαλάσσης, λέγει, τοῦδε τοῦ κόσμου. τοῦ δὲ Κυρίου λέγοντος, ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· οὗτος ψευδολογῶν ἐπαγγέλλεται ἴδια αὐτοῦ εἶναι ταῦτα. διὸ καὶ ὡς πάντα τὸν τοῦ κόσμου περιβεβλημένος χρυσόν, ἔλεγε τῷ σωτῆρι, ταῦτα σοὶ πάντα δώσω. τὸ ζῶον μέντοι ὡς πηλὸν ἥγηται τὸν χρυσόν, ὅτι οὐκ ἔστι τούτου ἐπιδεές.

ΚΕΙΜ. Ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον.

Ὁ Ἀκύλας, καχλάζει, ἐπειδὴ ἡ ψυχὴ αὐτοῦ πῦρ ἐστι, πάντα τὸν βίον τοῦτον ἐκβράσσει, ἀνακινῶν καὶ ἐκταράττων.

ΚΕΙΜ. Ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου, ὥσπερ αἰχμάλωτον, ἐλογίσατο ἄβυσσον εἰς περίπατον.

Ταῦτα μάτην μεγαλαυχῶν, ἐνόμιζε δύνασθαι τήν τε θάλατταν ἐξαφανίζειν, καὶ τοῦ ταρτάρου ἐγκρατὴς εἶναι· καθὰ καὶ Ἡσαΐας ὡς ἐκ προσώπου αὐτοῦ, φησὶ, τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν. πάντων δὲ ἐξώσθη τῶν τόπων ὧν κρατιστεύειν ὁ μάταιος ἤλπιζε· καὶ οὐρανοῦ μὲν κατ᾽ ἀρχάς, γῆς δὲ, καὶ αὐτοῦ τοῦ ᾅδου διὰ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως. οὐδένα οὖν ἔχει ὑπολελειμμένον τόπον, εἰ μὴ τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον αὐτῷ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. τὸ μέντοι ἐξάλειπτρον, τρυβλίον μύρου δηλοῖ· ἵνα εἴπῃ, ὅτι αἱ ταραχαὶ τοῦδε τοῦ βίου καὶ ἀνωμαλίαι, ἡδονὴ αὐτῷ εἰσι καὶ εὐωδία· ἢ ἐξάλειπτρον, ἀντὶ τοῦ, ἀπλές.

ΚΕΙΜ. Οὐκ ἔστιν οὐδὲν ὑπὸ τῆς γῆς ὅμοιον αὐτῷ (ὁ δὲ Σύμμαχος, οὐκ ἔστιν ἐπὶ χοὸς ἐξουσία, αὐτοῦ.) πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν Ἀγγέλων μου.

Καλῶς εἶπεν, ἐπὶ τῆς γῆς, ἐπειδὴ τῶν οὐρανίων ἁψίδων ἐκβέβληται. τὸ

δὲ ὅμοιον, ἢ κατὰ τὴν ἰσχύν, ἢ κατὰ τὴν κακίαν. ἀλλ' ὅμως φησὶν, ὁ τοιοῦτος καὶ τηλικοῦτος ὑπὸ τῶν Α'γίων Α'γγέλων, καὶ τῶν Ι'σαγγέλων ἀνθρώπων ἐγκαταπαίζεται. ἡ δὲ τοῦ Συμμάχου ἔκδοσις, ἤτοι τοῦτο παρίστησιν, ὅτι οὐκ ἔστιν ἐπὶ τῆς γῆς ἐξουσία παραβλητὴ τῇ αὐτοῦ· ἢ ὅτι μετὰ τὴν τοῦ σωτῆρος οἰκονομίαν, ἐξεβλήθη ἔξω, καὶ οὐκέτι ἐστὶν αὐτῷ ἐξουσία.

ΚΕΙΜ. Πᾶν ὑψηλὸν ὁρᾷ.

Ο' δὲ Θεοδοτίων, πάντα ὑπερήφανον ἐμβλέψεται· ὅλος γάρ ἐστιν ὑπερηφανία, μηδὲν ταπεινὸν λογιζόμενος.

ΚΕΙΜ. Αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.

Ο' μὲν Σύμμαχος, παντὸς βρωμώδους· ὁ δὲ Θεοδοτίων, υἱὸν βαναυσίας. τουτέστι, τῶν τὸν ὑγρὸν, καὶ διαῤῥέοντα, καὶ ἡδονικὸν μετιόντων βίον. διό περ καὶ ἡμεῖς εὐξώμεθα πρὸς τὸν ἡμῶν δεσπότην, μὴ βασιλεύειν ἡμῶν τὴν ἁμαρτίαν, ἐπεὶ καὶ διὰ τοῦτο διέγραψεν ὁ λόγος ὡς ἐν σωματοποιΐᾳ τοῦ δαίμονος τήν τε κακίαν καὶ ἰταμότητα, ἵνα τῷ δέει βαλλόμενοι, πρὸς τὸν αὐτὸν χειρωσάμενον καταφύγωμεν, καὶ ταῦτα μὲν εἰς τοὺς τόπους ἐθεωρήσαμεν. πρὸς δὲ τοὺς λέγοντας, κῆτος αἰσθητὸν εἶναι τὸν ὑπὸ τοῦ λόγου διαγραφεύτα, τοσοῦτον ἐροῦμεν. εἰ μὲν ὄντως ἐστί τι τοιοῦτον κῆτος, μανθάνετε ὡς ἐξ ὁμοιώσεως, ὡς προείρηται, τῶν θηρίων, πολλάκις θεωροῦμεν καὶ αὐτὸν τὸν διάβολον, καὶ τῶν ἀνθρώπων τοὺς πονηρούς. καὶ περὶ μὲν τῶν δαιμόνων εἶπεν ὁ Σωτὴρ, ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. πρὸς δὲ τὸν Η'ρώδην ἐκπέμπων, ἔλεγεν, εἴπατε τῇ ἀλώπεκι ταύτῃ, τὸ δολερὸν τοῦ ἤθους καὶ ἐπίκλοπον αἰνιττόμενος· ὥστε τύπον τινὰ τοῦ διαβόλου τὰ θηρία ἔχουσι, καθὰ καὶ τῶν πονηρῶν ἀνθρώπων. εἰ δὲ μὴ ἔστι τι τοιοῦτον θηρίον, οὐκ ἔτι ἐξ ὁμοιώσεως ἀλλ' αὐτοπροσώπως περὶ τοῦ διαβόλου νοεῖται τὰ εἰρημένα.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΕΙΚΟΣΤΟΥ ΕΝΝΑΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.



Ἠ'ΚΟΥΣΑΜΕΝ ἀνωτέρω τοῦ Ἰὼβ λέγοντος, ἅπαξ ἐλάλησα, ἐκ δευτέρου δὲ οὐ προσθήσω· ζητῆσαι τοιγαροῦν ἄξιον, πῶς πάλιν φθέγγεται ὁ μηκέτι λαλεῖν ἐπαγγειλάμενος· παραπόδα δὲ ἡ λύσις ἐστίν. ἐπειδὴ γὰρ σιωπήσειν ὑποσχόμενος ἀκήκοε τοῦ Θεοῦ λέγοντος, μή, ἀλλὰ ζῶσαι ὡς ἀνὴρ τὴν ὀσφύν σου, ἄμεινον τίθεται τὸ θεῖον πρόσταγμα τῆς οἰκείας ὑποσχέσεως· κάλλιον γὰρ τοῖς θείοις πείθεσθαι νόμοις, ἢ τὰς οἰκείας πληροῦν ἐπαγγελίας, καὶ τοὺς ἑαυτῶν λόγους ἱστᾶν ὅταν τὸ δεσποτικὸν ἀντιπράττῃ βούλημα. διὸ καὶ Ἡρώδης καλῶς ἂν ἐποίει τὸν ὅρκον ἀθετήσας, καὶ μὴ τοῦ προδρόμου τὴν κεφαλὴν ἀφελόμενος. καὶ Πέτρος δὲ εἰπών, οὐ μή μου νίψῃς τοὺς πόδας, μεταβαλλόμενος πάλιν ἔφη, μὴ τοὺς πόδας μόνον, ἀλλὰ καὶ τὴν κεφαλήν. καὶ ὁ Ἰὼβ οὖν καλῶς ὑπέσχετο μὴ λαλήσειν, τιμῶν τὴν θείαν ὑπεροχήν. καλῶς δὲ αὖθις φθέγγεται, λύσαντος αὐτῷ τοῦ Θεοῦ τῆς σιωπῆς ὑπόσχεσιν.

ΚΕΙΜ. Ὑπολαβὼν δὲ ὁ Ἰὼβ λέγει τῷ Κυρίῳ, οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν;

ΟΛΥΜΠ. Οἱ δὲ ἄλλοι, καὶ οὐκ ἀφαιρεθήσεται ἀπὸ σοῦ ἐνθύμημα. οὐ νῦν ταῦτα μεμαθηκέναι λέγει, ἀλλ' εἰδέναι πρότερον τὴν ἄμαχον τοῦ Θεοῦ δύναμιν, καὶ ὅτι ταῖς βουλαῖς ἐμβατεύει, καὶ πάντων τὰς ἐννοίας ἐπίσταται, καὶ οὐδείς ἐστιν ὃς διαλαθεῖν αὐτοῦ δύναται τὸν πανεπίσκοπον αὐτοῦ ὀφθαλμόν· τίς γάρ, φησί, φείδεται ῥημάτων, καὶ διὰ τῆς σιωπῆς καλύψαι δύναται ἀπὸ σοῦ τὰ τῆς ψυχῆς ἀπόρρητα, ἅπερ μὴ ἐκλαλούμενα;

ΚΕΙΜ. Τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἐπιστάμην;

Ἀντὶ τοῦ, οὐδεὶς πλὴν σοῦ, τοῦ καὶ τὴν αἰτίαν τῆς κατ' ἐμὲ ἐπιθέσεως φανερώσαντός μοι, καὶ τοῦ διαβόλου τὴν ἰταμότητα, ἔτι γε μὴν καὶ τῆς κατ' ἐμαυτὸν θείας οἰκονομίας πλείονά μοι τὴν γνῶσιν ἐλλάμψαντος· ταῦτα γὰρ ἦν ἃ οὐκ ἐπιστάμην.

ΚΕΙΜ. Α'κουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον.

Α'ξιον ζητῆσαι ὧδε, πῶς ἐρωτήσειν ἐπαγγειλάμενος, οὔτε ἐπηρώτησε τὸν Θεὸν, οὔτε τινὰ ἀπόκρισιν ἐδέξατο, ἀλλὰ μηδὲν μήτε πυθόμενος, μήτε ἀκούσας κατέπαυσε τὸν λόγον; φαίνεταί μοι τοιγαροῦν τοιοῦτόν τινα νοῦν ἔχειν τὰ προκείμενα· ἐπειδὴ, φησὶν, ἐδίδαξάς με, ἃ οὐκ ἐπιστάμην, εἰσάκουσόν μου Κύριε· καὶ ἐάν τι τῶν ἠγνοημένων μαθεῖν βουλόμενος, ἐρωτήσω σε, διδάσκειν με καταξίωσον, ἵνα δυνηθῶ κἀγὼ λαλῆσαι, καὶ ἑτέροις γενέσθαι τῶν ἀγνοουμένων διδάσκαλος· ἢ τάχα, καὶ τὰ ἐπαγόμενα ἐρωτήσεως λόγον ἐπέχουσιν.


ΚΕΙΜ. Α'κοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.

ΤΟΥ͂ ΑΥ'ΤΟΥ͂. οἱ δὲ λοιποὶ, ἤκουόν σε, νῦν δὲ ὀφθαλμός μου ἑώρακέ σε. οὐκ ἐπειδὴ ὀφθαλμοῖς οἶδεν, ἀλλ' ἐπειδὴ σαφέστερον ἤκουσε. πλείονα, φησὶν, προσείληφα τὴν περὶ σοῦ γνῶσιν, ὅσον ὀφθαλμοὶ πλέον ἀκοῆς ἔχουσιν. ἴσως δὲ τοῦτο λέγει διὰ τὸ τῆς ἐνανθρωπήσεως μυστήριον· ἀμυδρῶς γὰρ αὐτὸ τὸ πρότερον πληροφορούμενος, τὴν τελειοτέραν νῦν περὶ αὐτοῦ προσείληφε γνῶσιν, διὰ τῆς ἐλλάμψεως τοῦ παναγίου πνεύματος.

ΚΕΙΜ. Διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν.

Διὰ τοῦτο, φησὶ, κατέγνων ἐμαυτοῦ, ὡς οἰηθέντος εἰδέναι τι· νῦν γὰρ μαθὼν τὰ ὑπὲρ ἐμὲ, καὶ τῆς ἀπελείας τῆς ἐμῆς φύσεως τὸ μικροπρεπὲς κατενόησα.

ΧΡΥΣΟΥ. Ταῦτα ἀπολογία ὑπὲρ τῶν προτέρων ἁπάντων· οὐδὲ γὰρ ἀπαλλαγεὶς τοῦ πειρασμοῦ ταῦτα, φησὶν· ἀλλ' ἔτι ἐν τοῖς δεινοῖς ὢν παλινῳδίαν ᾖσεν· οὐδὲν, φησὶν, ἐμαυτὸν τίθεμαι, ἀπολογίαν ὑπὲρ τῶν προτέρων ποιοῦμαι, καὶ τούτων γὰρ τῶν δεινῶν οὐκ ἀνάξιος ἤμην ἐγώ· τί οὖν ὁ Θεός; ἐπειδὴ ἑαυτὸν κατεδίκασε, τότε ἐδικαίωσεν αὐτόν. θεώρει δὲ τοὺς Ἁγίους ἄνδρας, πῶς ὅτε μειζόνων ἀξιοῦνται, πλείονα κτῶνται ταπεινοφροσύνην· οὕτω, καὶ Α'βραάμ, ὅτε εἶδε τὸν Κύριον, εἶπεν, ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός.





ΠΡΟΘΕΩΡΙΑ

ΚΕΦΑΛΑΙΟΥ ΤΡΙΑΚΟΣΤΟΥ.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

ΜΕΓΑΛΩΣ ὁ Θεὸς τοὺς οἰκείους τιμᾷ θεράποντας· ὅπου γε καὶ νῦν τιμωρίας ἀξίων φανέντων τῶν ἀμφὶ τὸν Ἐλιφὰζ, διὰ τὸ τοῦ δικαίου καταψηφίσασθαι, ἀνῆκε τὴν ἀπειλὴν ὁ Θεὸς, καὶ τὴν τιμωρίαν συνεχώρησεν αὐτοῖς, τῷ δικαίῳ χαριζόμενος. εἰ δέ τις ἐρεῖ φιλομαθῶς κινούμενος, διατί τὴν Μαριὰμ ἐλέπρωσεν ὁ Θεὸς, κατὰ Μωϋσέως λαλήσασαν, εἰ καὶ ὕστερον ἀποκατέστησεν αὐτῆς τὸ σῶμα, τιμῶν πάλιν τὸν ἑαυτοῦ θεράποντα· τοῖς δὲ ἀμφὶ τὸν Ἐλιφὰζ εὐθὺς τὴν συγχώρησιν δέδωκε, μηδὲν αὐτοὺς προεργασάμενος; φαμὲν, ὅτι ἡ μὲν Μαριὰμ διὰ τῆς εἰς Μωϋσέα λοιδορίας καὶ κατὰ Θεοῦ τὴν βλασφημίαν ἔφερε τοῦ δοξάσαντος τοῦ Ἱεροφάντου τὸ πρόσωπον· οἱ δὲ φίλοι τοῦ Ἰὼβ τὴν ὑπὲρ Θεοῦ συνηγορίαν ἀναδεξάμενοι, εἰς μόνον τὸν δίκαιον ἐξημάρτανον, ἀδίκως αὐτοῦ ἀσέβειαν καταγελῶντες. εἰ δὲ καὶ ζητήσει, Ἀαρὼν δὲ διατί μηδὲν ὑπέστη δεινόν; φαμὲν ὅτι τοῦ Θεοῦ τιμῶντος τὴν ἱερωσύνην. δύο οὖν ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ ἁμαρτίας ἔνοχον, τὸ τῶν δικαίων κατηγορεῖν, καὶ ὅτι ὁ Θεὸς τιμῇ τῇ πρὸς αὐτοὺς συγχωρεῖ τὰ ἁμαρτήματα.

ΚΕΙΜ. Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν Κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ἰὼβ, εἶπεν ὁ Κύριος Ἐλιφὰζ τῷ Θαιμανίτῃ· ἥμαρτες σὺ, καὶ οἱ δύο φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδὲν, ὥσπερ ὁ θεράπων μου Ἰώβ.

ΟΛΥΜΠ. Ὁ δὲ Θεοδοτ. ἐθυμώθη ἡ ὀργή μου ἐν σοὶ, καὶ ἐν τοῖς δυσὶ φίλοις σου· οὐ γὰρ ἐλαλήσατε εὐθύτητα, ἤγουν ὀρθῶς, κατὰ Σύμμαχον. κατανόει τῆς θείας ῥήσεως τὴν ἀκρίβειαν. ὅσον μὲν γὰρ παρὰ ἀνθρώποις, καλῶς ἐποίουν οἱ φίλοι, Θεῷ συνηγοροῦντες· οὐ καλῶς δὲ ἐποίει ὁ Ἰὼβ, πρὸς Θεὸν θέλων δικάσασθαι· ὅπου γέ τινες μέχρι καὶ νῦν προσκόπτουσι τοῖς αὐτοῦ ῥήμασι, τῇ τῶν λέξεων προφορᾷ μόνῃ προσέχοντες· παρὰ δὲ τῇ θείᾳ καὶ ἀδεκάστῳ κρίσει τὸ ἐναντίον ἐφάνη· διὸ καὶ εἶπεν ἐνώπιόν μου. παρ' ἐμοὶ γάρ, φησί, κριτῇ ὑμεῖς μὲν οὐδὲν ἀληθὲς ἐλαλήσατε, ἀδίκως κατὰ τοῦ δικαίου τὰς ψήφους ἐκφέροντες· ὁ δὲ ἐμὸς θεράπων Ἰὼβ μετὰ τῆς ψιλῆς ἀληθείας

πάν-

πάντα ἐφθέγξατο. ὐ γὰρ δὶ ἁμαρτίας ἔπαχεν, ἀλλ' ἵνα ἀναφανῇ δίκαιος. τίς ὖν δύναται λόγῳ κατηγορεῖν, ὃ ὁ Κύριος ἐπαινέτης κατέστη, διὰ τῆς οἰκείας ἐπικρίσεως; καὶ ἐπιτήρει, πῶς οἰκεῖον θεράποντα τὸν Ἰὼβ καλεῖ, τιμῶν καὶ τῇ προσηγορίᾳ τὸν δίκαιον· καὶ ὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις τῦτο ποιῶν. ἔοικε μέντοι ὁ Ἐλιφὰζ αἰδεσιμώτερος τῶν ἄλλων τυγχάνειν· διὸ καὶ πρότερος τῆς πρὸς τὸν Ἰὼβ διαλέξεως ἄρχεται, καὶ νῦν ὁ Κύριος πρὸς αὐτὸν διαλέγεται· καὶ ταῦτα, τῶν λόγων τοῖς τρισὶν ἁρμοζόντων φίλοις. θεώρει δὲ ὡς ἐπήκοον πάντων ὁ Θεὸς ἐλάλει, ὡς ἂν εἰς πάντας ἡ τῦ Ἰὼβ ἀρετὴ διὰ τῆς θείας μαρτυρίας κατάδηλος γένηται. ὁ μὲν γάρ, φησίν, ἀληθῆ ἐλάλησε τὰ ἑαυτῦ λέγων κατορθώματα, ὑμεῖς δὲ αὐτὸν καταδικάσαντες, ὐκ ἀληθῆ εἰρήκατε.

ΚΕΙΜ. Νῦν δὲ λάβετε ἑπτὰ μόσχυς, καὶ ἑπτὰ κριὺς, καὶ πορεύθητε πρὸς τὸν θεράποντά μυ Ἰὼβ, καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν.

Ἀντὶ τῦ, κάρπωσιν, Ἀκύλας μὲν, καὶ Θεοδοτίων, ὁλοκαύτωσιν, Σύμμαχος δέ, ἀναφορὰν ἐκδέδωκεν. ὁ ἑπτὰ παρὰ τῇ γραφῇ τίμιος, καὶ τέλειος ἀριθμός· τέλεια τοιγαρῦν θύματα κελεύονται προσφέρειν, ὡς μεγάλα ἐξημαρτηκότες. αὐτὸν δὲ τὸν Ἰὼβ Ἱερέα κελεύει γενέσθαι, καὶ τὰς ὁλοκαρπώσεις ἀναφέρειν· ὗτω γάρ, φησί, δίκαιος, ὡς καὶ ὑπὲρ ἑτέρων πρεσβεύειν· πρὸ μέντοι τῦ νόμυ οἱ Ἅγιοι δὶ ἑαυτῶν τὰς θυσίας προσέφερον, ὡς Ἄβελ, Νῶε, Ἀβραάμ.

ΧΡΥΣΟΣΤ. Οὐκ ἂν τῦτο προσέταξε, εἰ νόμος ἦν· ἀλλ' αὐτὸς Ἱερεὺς γίνεται, ἐκείνων προσαγόντων τὰς θυσίας· καὶ ὅρα, προσήνεγκεν ὑπὲρ τῶν παίδων, προσφέρει ὑπὲρ τῶν φίλων. ὁρᾷς πῶς τὸ ἀμνησίκακον αὐτῦ δεικνύς, μάρτυρας αὐτὺς ποιεῖ γενέσθαι τῆς ἀρετῆς τῦ ἀνδρός· καὶ δείκνυσι τῆς ἁμαρτίας τὸ μέγεθος, καὶ διὰ τῆς ὑπερβολῆς τῆς κατὰ τὴν προσφοράν, ὐ γὰρ ἂν τοσύτων ἐδέησεν ἱερείων, μὴ μεγάλων ὄντων τῶν ὀφειλόντων λυθῆναι ἁμαρτημάτων. ἐμφαίνει δέ, ὅτι ὐδὲ θυσία ἱκανὴ ἦν, εἰ μὴ γάρ, φησί, δὶ αὐτόν, ὐκ ἂν εἴασα τὴν ἁμαρτίαν ὑμῖν. διὰ τῦτο δείκνυσιν, ὅτι καὶ αὐτὸς ἔλυσεν.

ΚΕΙΜ. Ἰὼβ δὲ ὁ θεράπων μυ εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόσωπον αὐτῦ λήψομαι. (οἱ δὲ ἄλλοι παραδέξομαι). εἰ μὴ γὰρ δὶ αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς· ὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τῦ θεράποντός μυ Ἰὼβ.

ΟΛΥΜΠ. Βαβαὶ τιμῆς ὑπερβολὴν ἣν τοῖς Ἁγίοις ὁ Κύριος ἀπονέμει. θανάτυ γὰρ ἔνοχον ἀποφαίνει, τὸ τῶν δικαίων καταλαλεῖν· καὶ τὴν θανατηφόρον δὲ τιμωρίαν συγχωρεῖ, τιμῇ τῇ πρὸς αὐτύς, ὅρα δέ, καίτοι ζήλῳ λέγοντες, ἠλέγχοντο, μηδὲν ἀληθὲς εἰπόντες· μᾶλλον δὲ ὐκ ἔλεγον ζήλῳ τῷ κατὰ Θεόν, ἢ γὰρ ἂν συνεγνώσθησαν· ὥστε δικαίως αὐτοῖς ὁ Ἰὼβ ἐνεκάλει. ἐκ τύτυ μανθάνομεν,

ὅτι ὁ κατηγορῶν τῶν δικαίων, οὐ μετρίως ἁμαρτάνει. καὶ ὅτι χρὴ παρ' αὐτῶν ἐκείνων συγγνώμην αἰτεῖσθαι, εἰς οὓς ἁμαρτάνομεν.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ ΤΡΙΑΚΟΣΤΟΥ͂ ΠΡΩ͂ΤΟΥ.

ὈΛΥΜΠΙΟΔΩ'ΡΟΥ.



Ἤρξατο μὲν, ἐφ' οὗ ὁ Θεὸς ἐχρημάτισε πρὸς τὸν δίκαιον, τὰ ἔπαθλα αὐτῷ δίδοσθαι. αὐτῷ γὰρ τῷ καταξιωθῆναι θείας ὁμιλίας, καὶ διδασκαλίας, καὶ μαρτυρίας, πρῶτον ἐδέξατο στέφανον· νῦν βραβεῖα δέχεται δεύτερα, τὸ ὑπὲρ τῶν φίλων εὔχεσθαι, καὶ τῶν ἀγώνων δέχεσθαι γέρα, τὴν αὐτῶν συγχώρησιν· ζημία γὰρ ἦν τῷ Ἰὼβ, εἰ οἱ πρὸς παραμυθίαν ἐλθόντες αὐτῷ φίλοι τιμωρίαν ἔτισαν θανάτου. οὕτως ἱκανὴ τιμὴ καὶ περιφάνεια, τὸ, εὐχῇ δυσωπῆσαι Θεὸν, ἐφ' ᾧ λῦσαι τὴν ἁμαρτίαν, πάντως εἰπόντος τοῦ δικαίου, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.

ΚΕΙ. Ἐπορεύθη δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, καὶ Βαλδὰδ ὁ Σαυχίτης, καὶ Σωφὰρ ὁ Μιναῖος, καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ Κύριος· καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ἰὼβ (ὁ δὲ Σύμμαχος, καὶ προσήκατο ὁ Θεὸς τὸ πρόσωπον Ἰὼβ·) ὁ δὲ Κύριος ηὔξησε τὸν Ἰὼβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ, ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν.

ὈΛΥΜΠ. Ὁ ἡλκωμένος, ὁ πένης, ὁ ἀπερριμμένος, ὑπὲρ τῶν ὑγιαινόντων καὶ πλουσίων ἀμνησικάκως ηὔχετο. ὥστε καὶ νῦν ἐὰν ἴδωμεν ἄνθρωπον πένητα καὶ νοσοῦντα ὑπὲρ ἑτέρων εὐχόμενον, καὶ τὴν εὐχὴν εἰς ἔργον προχωροῦσαν, τὴν πλουσίαν τοῦ Θεοῦ θαυμάσαντες χάριν, καὶ ἡμεῖς ἐν τοῖς ὁμοίοις γινόμενοι, μὴ δυσχεραίνωμεν· ἴσως καὶ εἰς ἡμᾶς ἡ ἄφθονος τοῦ Θεοῦ φοιτήσει δωρεά.

ΚΕΙΜ. Ἔδωκε δὲ ὁ Κύριος διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ἰὼβ εἰς διπλασιασμόν.

ΧΡΥΣΟΣΤ. Ἀφῆκε τὸν διάβολον ὁ Θεὸς πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι· καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα, καὶ οὐδεὶς ἐπιβολῆς ὑπελίπετο τρόπος, τότε ἀνεβίβασεν ἐκ τοῦ

σκά-

σκάμματος τὸν ἀθλητὴν, ἵνα λαμπρὰ καὶ ἀναμφισβήτητος ἡ νίκη γένηται.

ΒΑΣΙΛΕΙ'ΟΥ. Διπλοῦ ὄντος τοῦ εἴδους τῶν πειρασμῶν· γυμνάζονται γὰρ, οἱ μὲν διὰ πενίας, οἱ δὲ διὰ πλούτου· παράδειγμα τοῦ προτέρου εἴδους ὁ μέγας Ἰώβ, ὁ ἀκαταγώνιστος ἀθλητὴς, ὃς πᾶσαν τοῦ διαβόλου τὴν βίαν, ὥσπερ χειμάῤῥου φορὰν, ἀσείστῳ καρδίᾳ, καὶ λογισμοῖς ἀτρέπτοις ὑποδεξάμενος, τοσούτῳ μείζων ἐκ τῶν πειρασμῶν ἀνεφάνη, ὅσω μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει τὰ παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι παλαίσματα.

ΩΡΙΓΕ'Ν. ὁ μὲν οὖν πάντα πειρασμὸν ὑπέχων, λαμβάνει τῆς ὑπομονῆς αὐτοῦ γέρας, πάντα διπλᾶ παρὰ τὰ πρότερα· ὁ δὲ Κύριος ἆθλα δίδωσιν, οὐχὶ διπλασίονα μόνον, ἀλλ' ἑκατονταπλασίονα· οὐκ ἂν δὲ διπλάσια τῶν προτέρων ἔλαβεν, εἰ μὴ διπλασίονα τὴν ἀρετὴν ἐπεδείξατο.



ΠΡΟΘΕΩΡΙ'Α

ΚΕΦΑΛΑΙ'ΟΥ ΤΡΙΑΚΟΣΤΟΥ' ΔΕΥΤΕ'ΡΟΥ.

Ο'ΛΥΜΠΙΟΔΩ'ΡΟΥ.

Ω'ΣΠΕΡ ἐν τῷ πειρασμῷ τοσαύτη τις αὐτῷ γέγονεν ἐγκατάλειψις ὡς καὶ τὴν βασιλίδα τὴν αὐτοῦ γυναῖκα θητεύειν ἐπὶ μισθῷ· οὕτω τῆς θείας ἐπιφοιτησάσης χάριτος, πάντα λοιπὸν δίδοται τῷ Ἁγίῳ· συντρέχουσι πρὸς αὐτὸν συγγενεῖς, φίλοι δωροφοροῦσιν, ἑστιῶνται, καὶ πάντα αὐτῷ λοιπὸν ὑπῆρχε θυμηδείας ἀνάμεστα. τεκμήριον δὲ τῆς μεταβολῆς, ὅτι τὸν ὑπὸ τοῦ Θεοῦ τιμηθέντα, καθάπερ ὑπὸ Βασιλέως τιμᾷν εἰώθασιν οἱ ἄνθρωποι, καὶ πάντα αὐτῷ μετεβέβλητο, καὶ διπλᾶ ἦν.

ΚΕΙΜ. Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ, πάντα τὰ Συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτὸν, καὶ πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου.

Ἀδελφοὺς καὶ Ἀδελφὰς, πάντας τοὺς συγγενεῖς εἴωθεν ἡ θεία προσαγορεύειν γραφή. τὸ δὲ, ἤκουσαν τὰ τῷ Ἰὼβ συμβεβηκότα, εἴρηται, οὐχ ὅτι ἠγνόουν τὰ τῆς συμφορᾶς, ἀλλ' ὅτι ἕκαστος πρὸς τὸν πλησίον ἔλεγε τάπε τοῦ πειρασμοῦ, τάπε τῆς θείας ἐπισκέψεως. καὶ ἡδὺ πᾶσι καὶ ἐπωφελὲς διήγημα τὰ κατὰ τὸν Ἰὼβ ἐτύγχανε. τάχα δὲ καὶ ἀσπλαγχνίαν τῶν συγγενῶν ὁ λό-

γος αἰνίττεται ἐν προσποιήσει φιλίας καὶ συγγενείας· οἵ γε ἀτυχοῦντι μὲν ἐπὶ μακρὸν οὐ παρῆσαν· ἐπειδὴ δὲ ἐπὶ τὸ φαιδρότερον τὰ πράγματα μετεβέβλητο, τότε καὶ ἀκούειν ἔδοξαν τὰ πρότερα, καὶ συναλγησόμενοι παρεγένοντο.

ΚΕΙΜ. Φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ, παρεκάλεσαν αὐτὸν, καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν ἐπ' αὐτῷ ὁ Κύριος.

Ὁ δὲ Σύμμαχος, περὶ πάσης τῆς κακίας· κακίαν καὶ αὐτὸς λέγων τὴν κάκωσιν καὶ τὴν τῶν πειρασμῶν ἐπαγωγήν· καὶ ἦν τοῦτο ἀληθῶς θαύματος ἄξιον; ὅτι δίκαιος ὢν τοιαῦτα ὑπέστη, καὶ οὕτως ἐταλαιπωρήθη. ὁ ἀμνησίκακος καὶ ἀγαπητικὸς Ἰώβ, ἡδέως δέχεται τοὺς προσιόντας, καὶ οὐκ ἀποσείεται τὰ παρ' αὐτῶν προσενεχθέντα, οὐδὲ πέπονθεν ὅπερ οἱ πολλοὶ, οὐδὲ εἶπε τοῖς προσερχομένοις, ἐπειδὴ παρὰ τὴν νόσον οὐκ ἐπεσκέψασθέ με, οὐδὲ ἐπικουρήσατέ μοι, οὐδὲ ἐγὼ νῦν ὑμᾶς προσίεμαι, οὐδὲ τῶν παρ' ὑμῶν ἐπιδέομαι· ἀλλὰ καὶ ἡδέως ἐδέξατο τοὺς συνελθόντας, ὡς οὐδὲν πεπονθὼς παρ' αὐτῶν, καὶ παράκλησιν τὸ πρᾶγμα νενόμικεν. καὶ συνευωχήθη, ἐπειδὴ γὰρ κατὰ Θεοῦ χάριν συνέτρεχον, οὐκ ἀπεσείσατο τὴν θείαν δωρεὰν, ἀλλ' ἡδέως πάντας περιεπτύξατο· ἐπεὶ καὶ ὁ μέγας Ἀβραὰμ, ὁ τούτου πρόγονος, τὰ δῶρα Φαραὼ προσεδέξατο, θείαν εἶναι δωρεὰν τὸ πρᾶγμα τιθέμενος.



ΠΡΟ-



ΠΡΟΘΕΩΡΙΆ

ΚΕΦΑΛΑΊΟΥ ΤΡΙΑΚΟΣΤΟΥ͂ ΤΡΊΤΟΥ.

ὈΛΥΜΠΙΟΔΏΡΟΥ.

ἘΝΤΕΥ͂ΘΕΝ προκαταριθμεῖται τῆς περιουσίας τὸν διπλασιασμόν, καὶ θείαν εὐλογίαν λέγει εἶναι τὰ σωματικὰ ἀγαθά· ἐπηγγέλετο γὰρ τοῖς παλαιοτέροις εἰς εὐλογιῶν μοῖραν ἥτε παιδογονία, καὶ ἡ τῶν ὑπαρχόντων αὔξησις, ὥσπερ καὶ τοὐναντίον εἰς κατάραν αὐτοῖς κατελογίζετο. ἐπειδὴ τοίνυν πρὸ νόμου τυγχάνων, νομίμως ὁμοῦ καὶ εὐαγγελικῶς ἐπολιτεύσατο, εἴληφε μὲν τὰς κατὰ νόμον εὐλογίας· ἀπόκειται δὲ ἐν αὐτῷ καὶ τὰ τοῖς Ἁγίοις ἐπηγγελμένα ἐν τῷ μέλλοντι αἰῶνι, ὅσα ὑπὲρ λόγον καὶ ἀνθρωπίνην ἔννοιαν. ἀπὸ δὲ τοῦ, γέγραπται δὲ, αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν, ἕως τέλους, φασὶ μέν τινες, μὴ εἶναι τῆς Ἱερᾶς γραφῆς, ἀλλὰ παρεγγεγράφθαι τῷ βιβλίῳ τὰ ῥήματα· ἡμεῖς δὲ ἐν πᾶσι τοῖς Ἑλληνικοῖς ἀντιγράφοις οὕτως εὑρηκότες γεγραμμένην τὴν βίβλον, πάντα τὰ ἐγγεγραμμένα οὕτω δεχόμεθα ὡς παρὰ τῶν πατέρων παρειλήφαμεν.

ΚΕΙΜ. Ἔδωκε δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦ καὶ ἀσήμου.

Τὰς μὲν ἀμνάδας φέρουσιν, ὡς ἐπ' εὐωχίαν παραγενόμενοι, τὸ δὲ τετράδραχμον τοῦ χρυσίου, πρὸς τιμὴν τοῦ Ἰώβ, ὅπερ ἐστὶ νόμισμα ἕν· οὕτω γὰρ καὶ ἕτερος τῶν ἑρμηνευτῶν ἐξέδωκεν· Ἀκύλας δὲ καὶ Θεοδοτίων, ἐνώτιον χρυσοῦν· ἐπίρρινον δὲ Σύμμαχος, ἄσημον δὲ, ἀντὶ τοῦ, ἀτύπωτον σταθμὸν καὶ ἀχαρακτήριστον.

ΚΕΙΜ. Ὁ δὲ Κύριος εὐλόγησε τὰ ἔσχατα Ἰώβ, ἢ τὰ ἔμπροσθεν.

ὈΛΥΜΠ. Τὰ μὲν πρότερον, οὐκ ἆθλα ἀρετῆς ἐδέδοτο τῷ Ἰώβ, ἀλλ' ἵνα ἐν αὐτοῖς ἐγγυμνασθῇ, καὶ ἦν ὁ πλοῦτος αὐτῷ τῶν ἀγωνισμάτων ὑπόθεσις. ἐπειδὴ δὲ ἠγωνίσατο, καὶ διδάσκαλος ἅπασι γέγονεν, ὅπως προσήκει τῷ πλούτῳ χρήσασθαι, εἶτα καὶ ἀφαιρεθεὶς τῶν ὑπαρχόντων, ἐν τοῖς τῆς πενίας νομίμως ἠγωνίσατο σκάμμασι, γέρα τῆς ἀρετῆς τὸν διπλασιασμὸν τῶν ὑπαρχόντων ὁ μέγας ἀγωνοθέτης αὐτῷ δίδωσι.

ΚΕΙΜ. Ἦν δὲ τὰ κτήνη αὐτοῦ, πρόβατα μύρια τετρακιχίλια, κάμιλοι ἑξακιχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι θήλειαι

νομάδες χίλιαι. γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ, καὶ θυγατέρες τρεῖς.

Τὰ μὲν γὰρ τῶν ἀλόγων, ὡς ἀπολομένων, διπλᾶ δέδοται· οἱ δὲ παῖδες τοῖς προτέροις ἰσάριθμοι, ἐπειδὴ οἱ τεθνηκότες οὐκ ἀπώλοντο· ὥστε καὶ αὐτοὺς διπλοῦς ἀπέλαβε, ζώντων μὲν τῶν προαπελθόντων, τῶν δὲ δευτέρων ἐπιγενομένων.

ΒΑΣΙΛΕΙΟΥ. Τί οὖν ἐντεῦθεν συνέβαινεν; ἔφυγεν αὖθις ἡ νόσος, αὐτὸν ὡς εἰκῆ προσελθοῦσα, καὶ μηδὲν ἀνύσασα πλέον· ἀνέθαλεν εἰς δευτέραν ἥβην ἡ σάρξ, ὁ βίος ἠνθησεν πάλιν τοῖς ἅπασι, καὶ διπλασίων ἐπὶ τὸν οἶκον ἁπανταχόθεν ὁ πλοῦτος συνέρρευσεν· ἵνα τὸ μὲν ὡς μηδὲν ἀπολωλεκὼς ἔχῃ, τὸ δὲ ὕπαρξῃ τῆς καρτερίας τῷ δικαίῳ μισθός. διατί δὲ ἵππους μὲν, καὶ ἡμιόνους, καὶ καμήλους, καὶ πρόβατα, καὶ γεώργια, καὶ πᾶσαν τὴν τῆς περιουσίας τρυφὴν, ἐκ τοῦ διπλασίονος ὑπεδέξατο, ὁ τῶν παίδων δὲ ἀριθμὸς ἴσος τοῖς ἀποθανοῦσιν ἐβλάστησεν; ὅτι τὰ μὲν ἄλογα κτήνη, καὶ πᾶς ὁ πλοῦτος διαφθειρόμενος, εἰς τελείαν ἦλθεν ἀπώλειαν· οἱ παῖδες δὲ καὶ τεθνεῶτες ἔζων τῷ καλλίστῳ μέρει τῆς φύσεως. κοσμηθεὶς οὖν αὖθις ἑτέροις υἱοῖς καὶ θυγατράσιν ὑπὸ τοῦ κτίσαντος, καὶ τοῦτο εἶχε κτῆμα διπλοῦν· οἱ μὲν γὰρ παρῆσαν, τὴν ἐν τῷ βίῳ τοῖς γεννήμασιν εὐφροσύνην παρέχοντες, οἱ δὲ προοδεύσαντες, ἀνέμενον τὸν φυτεύσαντα, τότε πάντες περιστησόμενοι τῷ Ἰὼβ, ὅταν ὁ κριτὴς τῆς ἀνθρωπίνης ζωῆς συναγάγῃ τὴν ἐκκλησίαν τὴν πάνδημον· ὅταν ἡ σάλπιγξ, ἡ τὴν τοῦ Βασιλέως ἐπιδημίαν σημαίνουσα, τοῖς τάφοις σφοδρότερον ἐμβοήσασα τὴν τῶν σωμάτων ἀπαιτήσῃ παρακαταθήκην· τότε καὶ οἱ νῦν εἶναι δοκοῦντες νεκροὶ, θᾶττον τῶν ζώντων περιστήσονται τὸν τῶν ὅλων δημιουργόν. διὰ τοῦτο, οἶμαι, διπλοῦν τῶν ἄλλων τὸν πλοῦτον ἐπιμετρήσας αὐτῷ, τοῖς παισὶν ἀρκεῖσθαι τοῖς ἴσοις αὐτὸν ἐδικαίωσεν.

ΚΕΙΜ. Καὶ ἐκάλεσε τὴν μὲν πρώτην, ἡμέραν· τὴν δὲ δευτέραν κασίαν· τὴν δὲ τρίτην ἀμαλθείας κέρας.

ΟΛΥΜΠ. Ἔοικεν ὁ μακάριος Ἰὼβ εἰς ἔνδειξιν τῶν θεόθεν αὐτῷ δοθέντων ἀγαθῶν, ταῖς θυγατράσι τεθεικέναι τὰς προσηγορίας. διὸ τὴν πρώτην, ἡμέραν, ἐκάλεσεν, ὡς ἀπό τινος βαθείας νυκτὸς τῶν περιστοιχισάντων αὐτῷ δεινῶν, ἡμέρας αὐτῷ φωτεινῆς ἐπιλαμψάσης, τῆς θεόθεν αὐτῷ δοθείσης εὐημερίας· τὴν δὲ δευτέραν, Κασίαν, ὡς ἤδη λοιπὸν ἐν εὐωδίᾳ τινὶ, καὶ ἀπολαύσει τῶν ἀγαθῶν γενόμενος· τὴν δὲ τρίτην ἀμαλθείας κέρας, ὡς ἅπασι λοιπὸν πανταχόθεν τοῖς ἀγαθοῖς περιρρεόμενος· ἀμαλθείας γὰρ κέρας οἱ παλαιοὶ τὴν τῶν ἀγαθῶν ἀφθονίαν ἐκάλουν. μυθολογοῦσι γὰρ, ὅτι Ῥέα τεκοῦσα τὸν Δία, ἔδωκεν Ἀμαλθείᾳ τρέφειν, ἡ δὲ αἰγὶ αὐτὸν ὑπέβαλεν· ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα κατηστέρισε· τὸ δὲ ἕτερον τῶν κεράτων αὐτῆς ἀφελὼν, παρέσχε τῇ Ἀμαλθείᾳ, παρασκευάσας γίνεσθαι αὐτῇ διὰ τοῦ κέρατος ὃ ἐὰν αἰτήσῃ. οὐχ ὡς περὶ κερασφόρου γοῦν τῆς Ἀμαλθείας, εἴρηται κέρας Ἀμαλθείας, ἀλλ' ὅτι αὕτη αἰγὸς ἐκο-

μιξε κέρας, ἀφ' οὗ ἔρρει οἶνος, μέλι, καὶ γάλα, καὶ ὅ ἄντις ἐπεζήτει, ὡς ὁ μῦθος βούλεται. ἄλλοι δὲ πιθανώτερόν φασι περὶ τῆς Ἀμαλθείας, αἰγὸς οὕτω καλουμένης, ὅτι τὴν γῆν αὕτη ἀνορύττουσα τῷ κέρᾳ, θησαυρὸν ἀποκεκρυμμένον ἐξεκάλυψεν, ὁ δὲ αἰπόλος πλούσιος εὐθὺς ἐκ πένητος ἀνεφάνη· καὶ οὕτω τῆς Ἀμαλθείας τὸ κέρας, εἰς παράστασιν εὐδαιμονίας παρείληπται. πλὴν κἂν τοῦ κέρως τοῦδε ἡ γραφὴ μνημονεύῃ, κἂν σειρήνων, κἂν κοιλάδος τιτάνων, κἂν γιγάντων, οὐκ ἐπειδή τινα περὶ τούτων καὶ Ἕλληνες μυθολογοῦσι, τὰ τῆς ἱερᾶς γραφῆς ἀθετοῦμεν ῥήματα· ἀλλ' ἐκείνοις μὲν τοὺς γραώδεις μύθους καταλιμπάνομεν, ἡμεῖς δὲ πανταχοῦ τῆς ἀληθείας μεταποιούμεθα, πανταχόθεν ἑαυτοῖς ἐκ τῆς θεοπνεύστου γραφῆς τὰ ψυχωφελῆ πορίζόμενοι. τρεῖς μέν τοι καὶ αἱ τοῦ Ἰὼβ ἀριστεῖαι, οἷά τινες ὡραῖαι θυγατέρες, ἐν πλούτῳ, ἐν πενίᾳ, καὶ ἐν ἀνακαμπισμῷ. εἰ δὲ δεῖ τι καὶ πνευματικὸν ἐν τῷ τόπῳ θεωρῆσαι· ὅταν μὲν ὁ φωσφόρος τοῦ Κυρίου λόγος ἐν ταῖς καρδίαις ἡμῶν ἀνατείλῃ, ἡμέρα ἡμῖν ἐπιλάμπει· προκόπτοντες δὲ, Χριστοῦ εὐωδία γινόμεθα· αὐξανομένοις δὲ καὶ εἰς πλείωσιν ἐρχομένοις, τότε καὶ ἡ τῶν πνευματικῶν χαρισμάτων ἡμῖν ἀφθονία προσγίνεται. εἰδὲ καί τινα μυστικώτερον λόγον ἔχουσι τὰ γεγραμμένα τοῖς διαβατικωτέροις ἐξετάζειν καταλιμπάνομεν.

ΚΕΙΜ. Καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν.

Πάσας εἴληφε τὰς κατὰ νόμον ἐπαγγελίας ὁ τὸν νόμον γραπτὸν ἐν τῇ διανοίᾳ περιφέρων πρὶν ἀκοῦσαι νόμου· ἦν γὰρ νόμου πληρωτὴς, εἰ καὶ μὴ μαθητής. πρὸς γοῦν τῇ ἄλλῃ εὐδαιμονίᾳ, καὶ αἱ θυγατέρες αὐτῷ καλαὶ τὴν ὄψιν ἦσαν, ἵνα τῇ θέᾳ τούτων παντάπασιν ἡ τοῦ πάθους μνήμη ἀπαλειφθῇ. καὶ τοῦτο δὲ πατέρων εὐδαιμονία, τὰ τέκνα κεκτῆσθαι εὐπρόσωπα· καὶ γοῦν καὶ τῆς Σάρρας ἐπαινεῖ τὴν ὄψιν γραφὴ, καὶ τοῦ Ἰωσὴφ, καὶ τοῦ Δαβίδ· νόει μοὶ δὲ τὸ κάλλος καὶ κατὰ ψυχὴν, ὥστε τὸ, βελτίους, ἐπὶ ψυχῆς, καὶ σώματος ἐκλαμβάνεσθαι. πρὸς δὲ διάνοιαν τρεῖς τινὲς, ὡς εἴρηται, ἀριστεῖαι τῷ δικαίῳ γεγόνασι, καθ' ἃς μέχρι τῶν καιρῶν ἐκείνων οὐχ εὑρέθησαν ἐν τῇ ὑπ' οὐρανόν, ἡ πρὸ τῶν πειρασμῶν ἐν τῷ πλούτῳ, ἡ ἐν αὐτοῖς μέσοις τοῖς ἀγωνίσμασιν, ἡ μετὰ τοὺς πειρασμούς. ἐν γὰρ τοῖς τρισὶ τούτοις καιροῖς ἄριστα ἀγωνισάμενος, τρεῖς ὡραίας ἐσχηκέναι θυγατέρας λέγεται, μενούσης μὲν καὶ τῆς ἱστορίας, ἀναγομένου δὲ τοῦ λόγου καὶ ἐπὶ τοὺς τρεῖς καιροὺς καθ' οὓς γεννήματα περιφανῆ ἀρετῆς προηνέγκατο.

ΚΕΙΜ. Ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς.

Τουτέστιν, ἅμα τοῖς ἀδελφοῖς· ἵνα εἴπῃ, ὅτι πᾶσι τοῖς παισὶν ἐξ ἰσοτιμίας τὰ ὄντα ἐκληροδότησεν.

ΚΕΙΜ. Ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα. τὰ δὲ πάντα ἔτη ἔζησε διακόσια τεσσαράκοντα ὀκτώ.

ΤΟΥ ΑΥΤΟΥ. Ἔοικεν ὁ μέγας Ἰὼβ ἐφ' ὅλοις ἑπτὰ ἔτεσιν ὑποχεῖν τὴν πληγὴν· ἅπερ, οἶμαι, ἐ συναριθμεῖται, ὡς μὴ καταλεγόμενα τῇ ζωῇ τοῦ δικαίου, διὰ τὴν ἐκ τοῦ πάθους οἱονεὶ νέκρωσιν. εἰ γὰρ πάντα διπλᾶ μετὰ τὴν πεῖραν λαμβάνει, δῆλον ὅτι καὶ τὰ ἔτη. ἔζησε δέ, φησί, μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· ὧν τὸ ἥμισυ, ὀγδοήκοντα πέντε. τὸ δὲ πᾶν διακόσια πεντήκοντα πέντε, ἐξ ὧν ἑπτὰ ὑπεξῃρήσθω, ἵνα μυστικῶς τὸν ἐν τῇ πληγῇ χρόνον νοήσωμεν.

ΚΕΙΜ. Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν.

Διὰ μὲν τοῦ, εἶδε, τὸ ἐράσμιον καὶ ἐπιπόθητον τῆς τοῦ δικαίου γονῆς ἡ γραφὴ παρέστησε· διὰ δὲ τῆς τετάρτης γενεᾶς, τὸ πολυχρόνιον αὐτοῦ τῆς ζωῆς ἐδήλωσεν.

ΚΕΙΜ. Καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν.

Ἐσφράγισεν αὐτῷ τὸν ἔπαινον ἡ θεία φωνή, πρεσβύτερον ὀνομάσασα, καὶ πλήρη ἡμερῶν, καὶ τῶν τοῦ σώματος, καὶ τῶν τοῦ πνεύματος οὐδὲν ἔχοντα ἐλλιπές, οὐ χρόνον, οὐ βίον, οὐκ ἀρετήν, ἀλλὰ καλῶς τὸν τῆς εὐσεβείας δρόμον τελέσαντα. ἰστέον δέ, ὅτι μέχρι τοῦ, πρεσβύτερος, καὶ πλήρης ἡμερῶν, Ἀκύλας, καὶ Σύμμαχος, ἐλθόντες, συνεπέραναν τὸ βιβλίον, ὡς δὴ τῷ Ἑβραϊκῷ ἀκολουθοῦντες· ὁ δὲ Θεοδοτίων συμπεραίνει τοῖς Ἑβδομήκοντα.

ΚΕΙΜ. Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν.

ΟΛΥΜΠ. Ἤτοι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ἢ ἐν τῷ καιρῷ τοῦ σταυροῦ. τὸ δέ, πάλιν, πρόσκειται, ἀντὶ τοῦ, μετὰ τὴν ἐκ τοῦ πάθους ἀνάστασιν. ἀναστήσεται δὲ μετὰ Νῶε, καὶ Δανιήλ, οἷς καὶ συναριθμεῖται παρὰ τῷ Ἰεζεκιήλ.

ΚΕΙΜ. Οὗτος ἑρμηνεύεται ἐκ τῆς συριακῆς βίβλου.

Συριακὴν νῦν τὴν Ἑβραίων διάλεκτον καλεῖ, διὰ τὸ γειτνιάζειν ταύτῃ τὴν τῶν σύρων, καὶ εἰκοσιδύο στοιχεῖα ἔχειν καθάπερ οἱ Ἑβραῖοι. καὶ Συρίαν δὲ τὴν Ἰουδαίαν, καὶ Σύρους οἱ πολλοὶ τοὺς Παλαιστίνους ὀνομάζουσιν, ὡς Ἡρόδοτος λέγει, περιτέμνονται δὲ Ἰνδοὶ καὶ Αἰγύπτιοι, καὶ Ἄραβες, καὶ οἱ ἐν Παλαιστίνῃ Σύροι, τοὺς Ἰουδαίους, λέγων.

ΚΕΙΜ. Ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας, καὶ Ἀραβίας· προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ.

Ἐντεῦθεν δῆλον, ὅτι ἡ Αὐσῖτις γῆ ἐν μεθορίῳ κεῖται τῆς Ἰδουμαίας καὶ Ἀραβίας, καὶ ὅτι Ἰδουμαῖος ἦν ὁ δίκαιος, προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ, τὰς μετ' ὀνομασίας ἐπὶ τῶν ἁγίων εὑρίσκομεν γινομένας, ὡς ἐπὶ τοῦ Ἀβραάμ, τοῦ Ἰσραήλ, καὶ τοῦ Πέτρου, καὶ τοῦ Παύλου· ὥστε σημεῖον καὶ

τούτο τῆς τοῦ Ἰὼβ ἀρετῆς, ἡ τοῦ ὀνόματος μετάθεσις.

ΚΕΙΜ. Λαβὼν δὲ γυναῖκα ἀράβισσαν, γεννᾷ υἱὸν ᾧ ὄνομα Ἐννών.

Ἐπειδὴ τῆς παλαιᾶς τοῦ Ἰὼβ ὀνομασίας ἐμνήσθη, καλῶς καὶ τῆς αὐτοῦ γυναικὸς ἐμνημόνευσε τῆς ἀραβίσσης, ἐξ ἧς γέγονεν αὐτῷ ὁ Ἐννών, εἴτε εἷς τῶν πρώτων παίδων, εἴτε καὶ τῶν δευτέρων· καὶ εἰ μέν τις λέγει τὴν πρώτην τεθνηκέναι, καὶ μὴ ἀπολαῦσαι τῶν ἀγαθῶν, φαμὲν ὅτι τοῦτο ὑπέστη διὰ τὸ εἰρηκέναι τῷ Ἰὼβ, εἰπόν τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα. εἰ δὲ αὕτη ἐστὶν ἡ περιοῦσα, καὶ τῶν ἀγαθῶν ἀπολαύουσα λέγομεν, ὅτι διὰ τὸ σωφρονεστέραν αὐτὴν γενέσθαι διὰ τῆς ἐπιτιμήσεως τοῦ δικαίου, καὶ μὴ ἀντειπεῖν πρὸς τὴν συμβουλὴν, δέδοται αὐτῇ καὶ τῶν ἀγαθῶν ἡ ἀπόλαυσις· πλὴν οὐκ ἀνάγκη τὰ τοιαῦτα λεπτολογεῖν.

ΣΕΒΗΡΟΥ. Τάχα δὲ οὐκ ἦν εἰκὸς οὐδὲ δίκαιον, ἐκείνην μεταχεῖν τῶν ἀγαθῶν, τὴν ἐν τῷ καιρῷ τῶν ἄθλων ὀλιγωρήσασαν, καὶ κατενεγκεῖν ἐκ τῆς ὑψηλοτάτης κορυφῆς τῆς καρτερίας πειραθεῖσαν τὸν ἀθλητήν.

ΚΕΙΜ. Ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ ἐκ τῶν Ἡσαῦ υἱῶν υἱὸς, μητρὸς δὲ Βοσόρρας· ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ.

ΟΛΥΜΠ. Κεῖται ἡ γενεαλογία ἐν Παραλειπομέναις· ἀπὸ γὰρ Ἀβραὰμ, ὁ Ἰσαὰκ, ἐκ δὲ τούτου Ἡσαῦ, ἐξ οὗ Ῥαγουήλ, ἀπὸ δὲ τούτου Ζαρὰ ὁ τοῦ Ἰὼβ πατήρ· πέμπτος οὖν ἀπὸ Ἀβραὰμ ὁ Ἰὼβ μὴ συναριθμουμένου, δηλονότι τοῦ Ἀβραάμ. ὅθεν καὶ λέγομεν αὐτὸν πρὸ νόμου τυγχάνειν· ὁ γὰρ Μωσῆς ἕκτος ἀπὸ Ἀβραὰμ εὑρίσκεται οὕτως, Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, Λευΐ, Καάθ, Ἀμβρὰμ Μωσέως πατήρ.

ΙΟΥΛΙΑΝΟΥ. Ἔστι μέντοι Ζαρὲθ πόλις τῆς Ἰδουμαίας, καὶ Βοσὸρ τῆς Ἀραβίας, ἡ νῦν καλουμένη Βόστρα· ἐπώνυμοι δὲ αὗται τῶν γεννωμένων τὸν θεσπέσιον Ἰώβ.

ΧΡΙΣΟΣΤ. Ὅτι μὲν οὕτως λάμπων ὁ δίκαιος, ἔτι ἐν Αἰγύπτῳ ἦσαν Ἰουδαῖοι· ἔμελλον ἀνιέναι λοιπὸν, ὡς εἴγε ἐβούλοντο, οὐ μικρὸν εὕρισκον ἐμπύρευμα εὐσεβείας, οὐ δὲ γὰρ εἰκὸς ἦν λαθεῖν. εἰ γὰρ ἔτι καὶ νῦν δείκνυται τὰ λείψανα, πολλῷ μᾶλλον τότε ἐδείχθη ἄν, νεαρῶν ὄντων τῶν πραγμάτων, καὶ τὸ μέγεθος τῶν συμβεβηκότων, καὶ οἱ ἐν τῇ Ἀραβίᾳ ἅπαντες ἂν ἔγνωσαν.

ΚΕΙΜ. Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ, ἧς καὶ αὐτὸς ἦρξε χώρας.

ΟΛΥΜΠ. Οὕτω πάλιν ἐν Παραλειπομέναις εὑρήσεις· ὥστε ὅταν λέγῃ περὶ ἑαυτοῦ, ὅτι ἤμην ἐν μέσῳ αὐτῶν ὡς βασιλεὺς ἐν μονοζώνοις, ἢ ὅτι καὶ πρὸ τῆς βασιλείας διὰ τὴν ἀρετὴν ὡς βασιλεὺς ἐτιμᾶτο· ἢ τὸ ὡς, οὐχ ὁ ὁμοιωματικῶς εἴρηται, ἀλλ' ἐπ' αὐτῆς τῆς ἀληθείας, ὅτι βασιλεὺς ἐτύγχανεν.

ΚΕΙΜ. Πρῶτος Βαλὰκ ὁ τȣ͂ Βεὼρ, ϗ ὄνομα τῇ πόλει αὐτȣ͂ Δενναβά.

Διαδεξάμενος δὲ τὸν Βαλὰκ εἰς τὴν βασιλείαν, ἐκ ἐζήλωσεν αὐτὸν τῆς ἀσεβείας, ἀλλὰ τὸν Ἀβραὰμ τῆς πίστεως· καὶ σημείωσαι, ὅτι ἐκ ἔστιν ἔτος ὁ Βαλὰκ ὁ ἐκπορνεύσας τὸν Ἰσραὴλ ἐν τῷ Βεελφεγώρ· ἐκεῖνος μὲν γὰρ ὁ τȣ͂ Σεπφὼρ εἴρηται, ὡς ἐν τοῖς ἀριθμοῖς ἀρήσεις· ἔτος δὲ ὁ τȣ͂ Βεὼρ, ὡς ϗ ἐν τῇ γενέσει κεῖται· ϗ ἐκεῖνος μὲν τῆς Μωὰβ βασιλεὺς, ἔτος δὲ τῆς Ἐδώμ.

ΚΕΙΜ. Μετὰ δὲ Βαλὰκ, Ἰωβὰβ ὁ καλȣ́μενος Ἰώβ· μετὰ δὲ τȣ͂τον Ἀσὼμ ὁ ὑπάρχων Ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας· μετὰ δὲ τȣ͂τον, Ἀδὰδ υἱὸς Βαρὰδ, ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ· ϗ ὄνομα τῇ πόλει αὐτȣ͂ Γεθαίμ.

Λέγει τȣ̀ς ἡγεμόνας, ϗ χώρας, ϗ τὰ ὀνόματα, ϗ τὰς πόλεις αὐτῶν, ϗ τὰς πράξεις, πρὸς σαφεστέραν τῶν προσώπων παράστασιν· ἡ δὲ Γεθαὶμ πόλις ἐστὶ φοινίκων.

ΚΕΙΜ. Οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι, Ἐλιφὰζ τῶν Ἠσαῦ υἱῶν, Θαιμανῶν βασιλεὺς, (ὁ δὲ Θεοδοτίων, υἱὸς, ϗ ἐξέδωκεν Ἰωσαφάτ.) Βαλδὰδ ὁ Σαυχαίων τύραννος, (πάλιν ὁ Θεοδοτίων, υἱὸς Ἀμμὼν τȣ͂ Χωβόρ.) Σωφὰρ ὁ Μυναίων βασιλεύς.

ΕΥΑΓ. Τȣ͂ Ἐλιφὰζ ἦν υἱὸς Σωφὰρ, καὶ Ἀμαλὴκ, ἐκ παλλακίδος αὐτῷ γεννηθείς· ὁ ȣ͂ν Ἐλιφὰζ, ϗ ὁ Σωφὰρ γεγόνασι μαθηταὶ τȣ͂ Ἰακὼβ· ὁ δὲ Ἀμαλὴκ τȣ͂ Ἠσαῦ.

ΟΛΥΜΠ. Καλῶς δὲ πάλιν τῶν φίλων ἐμνημόνευσεν ὁ λόγος, μονονȣχὶ λέγων, ἐπὶ τῶν περιφανῶν τȣ́των καὶ ἀπαραγράπτων προσώπων γέγονε τὰ κατὰ τὸν Ἰώβ. ἐπὶ γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, φησὶν, ἡ θεία γραφή. φαίνεται δὲ ὁ Ἐλιȣ̀ς μὴ συμπαραγενόμενος εἰς τὴν ἐπίσκεψιν Ἰὼβ μετὰ τῶν τριῶν φίλων, ἀλλ' ἐκ τȣ͂ παρατυχόντος παρεῖναι, ϗ ἀρεῖν τὸν μὲν Ἰὼβ ἐν τῷ πάθει συνεχόμενον, τȣ̀ς δὲ τρεῖς φίλȣς παρακαθημένȣς αὐτῷ, ϗ διαλεγομένȣς, καὶ διὰ τὴν τȣ͂ πάθȣς ὑπερβολὴν συγκαθεσθῆναι αὐτοῖς, ἐπακροώμενος αὐτῶν, ϗ λοιπὸν ἐπαπορησάντων τῶν φίλων αὐτὸν διὰ λέξεως ἀντέχεσθαι ὕστερον· οἷα δὴ συμβαίνει διαλέξεως γενομένης, ἵστασθαι τȣ̀ς παριόντας, ϗ ἀκȣ́ειν τῶν λεγομένων, καί τινας λόγȣς ἑαυτῶν εἰσαγαγόντας, ἀντέχεσθαι τῆς διαλέξεως. τάχα δὲ οἱ μὲν φίλοι διὰ συμπάθειαν, ὁ δὲ Ἐλιȣ̀ς διὰ θέαν παραγέγονεν· ὅθεν ȣ̓δὲ ἐμνημόνευσεν ἡ γραφὴ τῆς αὐτοῦ ἀφίξεως. ἑρμηνεύεται δὲ Ἐλιȣ̀ς, Θεὸς ἀκȣ́ων, ἢ υἱὸς, ἐκφαίνων Θεόν. τοιαῦτα δὲ τὰ πρῶτα καὶ τὰ ὕστερα τῆς κατὰ τὸν Ἰὼβ πραγματείας. ϗ ὅπως ἡμῖν ἡ βίβλος ἀνέπτυκται. εἰ δ' ἔστιν ȣ̓ εἰκαστικῶς μᾶλλον, ἢ καταληπτικῶς τὴν ἑρμηνείαν ἐποιησάμεθα, ὅτι πρῶτοι, ὅτι μόνοι τȣ͂το πεπόνθαμεν, ἀλλὰ σχεδὸν μετὰ πάντων τῶν εἰς τὴν

βί-

βίβλον ταύτην καταθεμένων ἐξήγησιν.

ΧΡΥΣΟΣΤ. Ε'καςος δὲ τῶν ἀναγινωσκόντων, ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα ὁρῶν τὸν ἀθλητὴν τοῦτον τὸν γενναῖον, μιμείσθω τὴν ἀνδρείαν, ζηλούτω τὴν ὑπομονὴν, ἵνα τὴν αὐτὴν βαδίσας ὁδὸν, καὶ πρὸς ἁπάσας τοῦ διαβόλου τὰς μηχανὰς γενναίως παραταξάμενος, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν, ἐπιτυχεῖν δυνηθείη· καὶ γενέσθω τὰ τοῦ μακαρίου τοῦδε πάθη, φάρμακα τῶν ἡμετέρων κακῶν· καὶ τὸ χαλεπὸν τοῦτο κλυδώνιον, λιμὴν τῶν καθ' ἡμᾶς συμφορῶν. καὶ ἐφ' ἑκάςῳ τῶν συμβαινόντων ἡμῖν λογιζώμεθα τὸν ἅγιον· καὶ ὁρῶντες ἐν σώματι τὰ τῆς οἰκουμένης ὑποςάντα δεινὰ, γενναίως ἐπὶ τοῖς κατὰ μέρος, διακειώμεθα· καὶ καθάπερ πρὸς μητέρα τινὰ φιλόςοργον, πανταχόθεν τὰς χεῖρας ἐκτείνουσαν, καὶ τὰ παιδία πεφοβημένα δεχομένην καὶ ἀνακτωμένην, οὕτω πρὸς τὴν βίβλον ταύτην ἀεὶ καταφεύγωμεν κἂν οἰκτιςά τε καὶ μήκιςα ἡμῖν ἐπίῃ δεινὰ, ἱκανὴν πάντως λαβόντες τὴν παραμυθίαν, οὕτως ἀπελευσόμεθα χάριτι Χριςοῦ τοῦ ἀληθινοῦ Θεοῦ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ Α'γίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α'μήν.

Τ Ε' Λ Ο Σ

NOI RIFORMATORI

DELLO STUDIO DI PADOVA.

AVendo veduto per la Fede di Revisione, ed Approvazione del Pubblico Revisor D. Natal dalle Laste nel Libro intitolato: Cattena di S.S. Padri in Giob., in Greco m.s. non v'esser cosa alcuna contra la Santa Fede Cattolica, e parimente per Attestato del Segretario Nostro, niente contro Principi e buoni costumi, concediamo Licenza a Demetrio Teodosio Stampator di Venezia che possi essere stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Data li 28. Novembre 1791.

(ZACCARIA VALARESSO RIF.
(FRANCESCO PESARO CAV. PROC. RIF.

Registrato in Libro a Carte 567. al Num. 3.

Marcantonio Sanfermo Segr.

Adì 26. Novembre 1791.
Registrato a Carte 166. nel Libro del Magistrato degli Illustriss. ed Eccellentiss. Signori Esecutori contro la Bestemmia.

Antonio Perazzo Segr.


ΔΗΜΟΣΙ